Vocandus. κλητέος.
Vocifero. ἀλαλάζω, μεταφωνέω, ὁμοκλάω, ὁμοκλέω.
Vociferatio. ἀλαλαγμὸς, ἀλάλητος ὁμοκλή.
Voce carens, mutus. ἄφθογγος.
Vox ampla, etiam pugna. βοή.
Vocor in ius, uel in iudicium. κλητεύομαι.
Vocalitas. εὐστομία, εὐφωνία.
Vocalis. ἔμφωνος, εὔστομος, εὔφωνος, φωνήεις, φωνῆεν.
Vocalis, ul' clamosus. πολυηχής.
Vocatio. κλῆσις.
Volens. ἑκών.
Volo. βούλομαι, θέλω, λάω, λῶ, ἔχω, χρήζω.
Volo quidam, alii delibero uel consulo. μήδομαι, μέδω.
Voluntas. βούλησις, γνώμη, ἐθελουσία, εὐδοκία, θέλημα, θέλησις, προαίρεσις.
Voluntarius. ἐθελήμος, ἐθελοντὴρ, ἐθελοντὴς, ἐθελοντὴς, ἐθελούσιος, ἑκούσιος, ἑκών.
Volũtarius seru⁹. ἐθελόδουλος.
Voluntaria tractatio, operositas potius. φιλεργία.
Volo. as. ἵπταμαι, ἵπτημι, πέταμαι, πέτομαι, πτάομαι, ποτάομαι, πτάμαι, πτῶ, πτῆμι, πωτάομαι.
Volans. πτηνός.
Volatus. ποτή, πτῆσις, πτῆμα.
Volatilis. πτηνὸς, πετεινός, πτερόεις.
Volucer. ὄρνεον, quod nomen cõmune, οἰωνὸς uero, σαρκοφάγα, καὶ σύμβολα, ut ait Suidas, significat.
Volucres. πετεινά.
Voluo. δινέω, δινεύω, δινέω, κυλέω, κυλίζω, κυλινδέω, κυλίω.
Volumen. σύγγραμμα. (δω.
Voluto. δινέω, ἀλινδέω, ἀλυσθαίνω, ἐπικλώθω, κυλίω.
Voluere. ἰβαλίσαι.
Volutatio. δίνη, δινηθισμός, δι-

νος, κύκλωσις, κύλισμα.
Volutabrum. κύλισμα.
Voluptas, uel melius forsan ludus, seu festum. συνέργαγμα καὶ μέλπηθρον.
Voluptas. χάρμα, γλαφυρία, ἡδονή, ἧδος, ἡδυπάθεια, κηληθμός, φιληδία, χλιδή.
Voluptuosus. ἀπολαυστικὸς, γλαφυρὸς, γλυκερὸς, ἡδυσμένος, ἡδύπνοος, λαρὸς, φιλήδονος, χλιδανός.
Voluptarius. ἡδυσμένος, λαρός.
Voluptuosus, tepidus, suauis, iocũdus, comis, mãsuet'. λάρος.
Voluptas, suauitasue. γλυκεία.
Volo, auolo'ue. ἀποπτάω.
Volubilis. εὔδινος, ὀλόφεχος.
Vomer. ὕννις.
Vomitus. ἐξέραμα, ἔμετος.
Vomo. ἐξερεύγομαι.
Vorax. λαιμαργος, λαφύστης, λιχνός, τένθης, προτένθης, φάγος.
Vorator. μολοβρός.
Voro. λαφύσσω, λιχμάω, τένθω, τένθω.
Voracitas. λαφυγμός, ἀδηφαγία, λιχνεία, τενθεία.
Vorticosus. βαθυδίνης, δινήεις.
Vorator populorũ, expilator. δημοβόρος.
Vos. ὑμεῖς.
Vobis. ὕμμιν. aliqui ambo hæc tenui inspirant.
Votũ. εὐχωλὴ, εὐχὴ, προσευχή.
Voti compos. ἐπιτυχής.
Votiuus. εὐκτὸς, εὐχωλιμαῖος.
Voueo. ἐπεύχομαι, εὔχομαι.
Vox. αὐδὴ, γῆρυς, ἐνοπὴ, ἰαχὴ, κληδὼν, ὀμφὴ, ὄσσα, ὄψ, φθέγμα, φθόγγος, φθογγὴ, φωνή.
Vox gallinacea. κλωσμός.
Vox ueneratoria. τέττα, Sudas, inquit', uox natu minoris amici ad seniorem.
Vox, loquela'ue. αὐδή.
Vox citharæ factitia. θρεττανελό. Philoxenũ aiũt dithyrãbicũ poẽtam, uel tragœdiarũ magistrũ in amore Cyclopis, & Galateæ, imitatũ esse citharæ sonũ hoc nomine. Aliquot Sudas refert eius carmina, sed in hoc, uerbũ exprimit. ἢ γὰρ κιθάρα κρουομένη τοῦτο μέλος ποιεῖ, θρεττανελὼ θρεττανελώ.

Vpupa. ἔποψ.
Vrbanus. ἀστεῖος, κόμψος.
Vrbs. ἄστυ, πόλις, πόλισμα, πτόλις, πτολίεθρον.
urbiũ expugnator, ac popl'ator. πτολίπορθος, πτολιόπορθος.
Vrbis populator Vlysses apud Homerũ, Cicero solũ cẽset insigniri hoc nomine Vlyssem, reperi tamen semel de Achille Iliados. Φ. αὐτὰρ ὅγ' ὡς εἶδεν Ἀχιλλῆα πτολίπορθον.
Vrbanitas. ἀστεϊσμὸς, κομψεία, χαριεντισμός.
Vrbanus sum. ἀστείζομαι.
Vrbi uicinus. ἀστυγείτων.
Vrceolus. ἀκροτοφόρον.
Vrgeo. ἐπείγω, ἐπείγομαι, ἀναγκάζω, ἐπισπέρχω, κατεπείγω.
Vrgenter. ἐπισπερχῶς.
Vro. αἴθω, αἰθαλόω, δαΐω, ἐμπρήθω, καυστηριάζω.
Vrens. αἴθοψ, αἰθὸς, αἴθοψ, αἴθων, δάϊος, καυστικός.
Vrina. οὖρον.
Vrinæ difficultas. δυσουρία.
Vrinæ stillicidium. στραγγουρία.
Vrna. λάρναξ, σορὸς, στάμνος.
Vrtica. ἀκαλήφη.
Vrtica piscis. ἀκαλήφη.
Vrsus. ἄρκτος.
Vrsa. ἄρκτος.
Vrsa septentrio. ἄρκτος.
Vro ignuinũ abscessus. βουβωνιῶ.
Vsura. τόκος, uel fœtus fœtusue. τόκος.
Vsus. χρεία, χρῆος, χρῆσις.
Vsurpo. ἀντέχομαι, ἀντέχω, προβάλλω.
Vsque. ἄχρι, ἄχρις, μέχρι.
Vsque quo. ἔσοτε, ἕως, ἕωσκα, ἑώσοτε.
Vsque nunc, populares aliqui, nos uero hactenus. εἰσέτινυν.
Vstiuus. δαΐος, κήλεος.
Vstulo. καυστηριάζω, κηλέω.
Vstio. ἔμπρησις, ἐμπρησμός.
Vssi. κῆα.
Vt. ἵνα, ὅπως, ὥστε, ὄφρα, ὡς.
Vterus. δελφὺς, unde ἀδελφὸς, quia ex eodem utero. ἦτρον, μήτρα, νηδύς.
Vter. ἀσκός.
Vtriniũ interc' morb'. ἀσκίτης.
Vter. ὁπότερος, πότερος.
Vterinus. ὁμογάστριος.

Vtinam. εἴθε, ὄφελον, ὤφελες.
Vtilis. εὔχρηστος, κερδαλέος, λυσιτελὴς, ὀνήσιμος, σύμφορος, συμφέρων, σύμφορος, συντελής, χρειώδης, χρήσιμος, χρηστὸς, ὠφελήσιμος, ὠφέλιμος.
Vtilior. κέρδιον, ὠφελιμώτερος.
Vtilissimus. κέρδιστος.
Vtiliora. διαφέροντα.
Vtilitas. λυσιτέλεια, ὄνειαρ, ὄνησις, ὄφελος, πρᾶξις, συντέλεια, ὠφέλεια.
Vtile. λῷον, προὔργου, συμφέρον, ὄνειαρ.
ut breuiter dicã. συνελόντι φάναι.
Vt ita dicam. ὡς ἔπος εἰπεῖν.
Vt summatim dicã. ὡς μὲν συνελόντι εἰπεῖν.
Vtor. χράομαι.
Vterq;. ἀμφότερος, ἑκάτερος.
Vtraq;. ἑκατέρα.
Vtraque uice, ego malo bis. ἑκατέρως.
Vtre. ὁπότερον, ποτέρα, πότερον.
Vtiq;. ἄρα, γοῦν, δήπουθεν, ἄγε, ἦκα.
Vtriq;. ἄμφις, ἀμφοτέρωθεν, ἑκατέρωθεν, ἑκάτερθεν, ἐπαμφότερα.
Vtrinq; acutus. ἀμφίγυος.
Vtrinq; agitatus. ἀμφιέλιστος.
Vtrinq; mouens. διπαλτός.
Vtrinq; cedens. ἀμφήκη, ἀμφι
Vua. σταφυλή. (ῥάξ.
Vua acerba. ὄμφαξ.
Vuis abundans. πολυστάφυλος.
Vulua. μήτρα, νηδύς.
Vua passa. σταφίς, σταφίς.
Vulpes proprie, & lingua sicula, sed fera quoq;. κίναδος.
uulpes albicãte cauda. λαμπουρίς.
Vulpes. ἀλώπηξ, κερδαλέη, κερδώ, κερδαλεώτερος, κιλλὸς, κίναδος, βάσσαρος.
Vulpinare. ἀλωπεκίζειν.
Vultus. προσωπεῖον, πρόσωπον at Cicero, Græci, ait, qd sit uultus intelligũt, nomen nõ hñt.
Vulnus. τραῦμα ὠτειλή.
Vulneratus. οὐτάμενος, τραυματίας, τιτρωμένος.
Vulnero. οὐτάζω, οὐτάσκω, οὐτάω, τιτρώσκω.
Vulnerare. οὐτάμεναι.
Vultur. αἰγυπιὸς, γύψ.
Vulneratio. οὔτησις, τρῶσις.

Vulcanus. ἥφαιστος.
Vulcani cognomentū Hesiodo. ἀπάτωρ, Homero ἀμφιγυήεις.
Vulcanius. ἡφαίστιος.
Vulcani templum. ἡφαιστεῖον.
Vulgus. εἰκαῖον.
Vulgares. κοινόπολις.
Vulgaris. εἰκαῖος, ἰδιώτης, ἰδιῶτις, ἰδιωτικός.
Vulgo. πανδημεί.
Vulgaui. διεῖπον.
Vulnerare. τραυματισθῆναι, τρωθῆναι.
Vulnera, plagae uarietates. στίγματα.
Vulgo, as. φημίζω.
Vulnerabilis. τρωτός.
Vultū tristē prae me fero. σκυθρωπάζω, ἀπὸ τοῦ σκυθρὸν καὶ ὤψ.
Vxor. ἄκοιτις, ἄλοχος, γαμετή, δάμαρ, γυνή, παράκοιτις, σύζυγος.
Vxorem duco. γαμέω. γαμῶ.
Vxorius. ἀλοχιτικός.

X Anthic' mēsis apud Macedonas Aplis. ξανθικός.
Xanthicus Boeotus qui duello ab Atheniensi Melantho est interemptus. ξανθικός.
Xāthus historic', q Lydiacos libros quatuor reliquit. ξάνθος.
Xanthus fluuius. ξάνθος.
Xenarchus comicus. ξέναρχος. cuius act' bucalion, Porphyra, Scythae, & Didymi, Pentathli, Priapus, Somnus, Miles.
Xanthus, & Balius equi Achillis. ξάνθος, καὶ βαλίας.
Xenetus uir. ξένητος.
Xenion uir. ξενίων.
Xenias uir. ξενίας.
Xenocrates Chalcedonius discipulus, ac successor Speusippi Platon. ξενοκράτης. huic successit Polemon, cui Crantor. Scripsit autem de Platonis republica.
Xenocrates philosophus alter qui scripsit domesticū ac famiIiare augurium. ξενοκράτης.
Xenophanes. ξενοφάνης.
Xenophon philosophus Socraticus. ξενοφῶν. Hic primus uitas philosophorū scripsit, cognominatusq; ē apis attica ob mellifluā eloquētiam, scripsit plurimos libros.
Xenophon Socratis discipulus. ξενοφῶν.
Xenophon Antiocheus historicus. ξενοφῶν.
Xenophon Ephesius historicus. ξενοφῶν.
Xenophon Cyprius historicus. ξενοφῶν.
Xerxes Persarum rex. ξέρξης.
Xiris planta odorifera. ξίρις.
Xuthus, q multo studio suppetias dedit Atheniensibus, ex quo festa Boedromia Athenis. ξοῦθος.
Xypetae populus in Attica. ξυπεταιών.
Xylobalsamū. ξυλοβάλσαμον.

Z Abulon regio. ζαβυλών.
Zagre' bacch'. ζαγρεύς.
Zaleucus Locrus philosophus Pythagoreus. ζάλευκος.
Zamatium, catillus'ue. ζαμάτιον, τρυβλίον.
Zambyce musicum instrumentum. ζαμβύκη.
Zamolxis scitha. ζάμολξις.
Zamolxis nomē Deae. ζάμολξις.
Zelia urbs. ζέλεια.
Zelitas ciuis. ζηλείτης.
Zeugla pars iugi extrema. ζεύγλη.
Zeuxidia, iugalis'ue Iuno. ζευξιδία.
Zeuxitheus uir. ζευξίθεος.
Zeuxis pictor. ζεῦξις.
Zephyria, spiratio zephyri. ζεφυρία.
Zephyrion spiramē. ζεφύριον.
Zephyrus uentus lenis. ζέφυρος.
Zia ordeum. ζειά.
Zethus Amphiōis frater. ζῆθος.
zenobius sophista. ζηνόβιος.
zenodotus. ζηνόδοτος.
zeno Eleates inuentor dialectices. ζήνων.
zeno Citieus Stoicae sectae dux & fons. ζήνων.
zeno Sidoni' huius discipulus. ζήνων.
zeno Chrysippi auditor Tarseus. ζήνων.
zeno Alexādre' Iudaeus. ζήνων.
zeno rex. ζήνων.
zerynthium, uel zerynthum spelunca. ζηρύνθιον, ζήρυνθον.
zetes Aquilonis puer. ζήτης.
zeteterium instrumentum ignis ferendi. ζητητήριον.
zingiber odoramenti genus. ζιγγίβερι.
zoilus Homeri flagrū. ζώιλος.
zonaeus, qui epistolas amatorias scripsit. ζωναῖος.
zopyrus, unde zopyri talenta prouerbium. ζώπυρος.
zoroastres Persomeda, sapiens circa astronomica, magiae inuentor, qui quatuor uolumina de natura cōdidit, de gemmis unum, quinque de contemplandis syderibus. ζωροάστρης περσομήδης.
zoromasdres Chaldaeus sapiēs, scripsit mathematica & physica. ζωρομάσδρης.
zosimus Alexandreus philosophus. ζώσιμος.
zosimus Gazaeus, uel Ascalonites, q scripsit de elementis rhetoricis, etiā de Demosthene, & Lysia monimentū. ζώσιμος.
zygaena piscis. ζύγαινα.
zygia Iuno iugalis. ζυγία. iugales equi. ζύγιοι.
zythus, uel uinum hordeaceum. ζῦθος.

FINIS.

ΑΜΜΩΝΙΟΥ ΠΕΡΙ ΟΜΟΙΩΝ ΚΑΙ ΔΙΑΦΟΡΩΝ ΛΕΞΕΩΝ.

Α

Ἄβαξ καὶ ἀβάκιον διαφέρει. ἄβαξ μὲν γὰρ ἐφ' οὗ τὰ πράγματα παρατιθέασιν. ἀβάκιον δὲ ἐφ' οὗ ψηφίζουσιν.

Ἀβέβηλα καὶ βέβηλα διαφέρουσιν, ἄμφω ἐπ' ἀγαθῷ λαμβανόμενα. ἀβέβηλα μὲν γὰρ τὰ ἱερὰ καὶ ἄψαυστα καὶ μὴ βάσιμα. βέβηλα δὲ τὰ ὅσια μὲν οὐχ ἱερὰ δὲ, οἷον βάσιμα, ὄντα. ἡ δὲ κοινὴ χρῆσις τοῦ βεβήλου τὴν ἐναντιότατην ἔχει πρὸς τὸ ἀβέβηλον διαφοράν.

Ἄγγελος καὶ ἐξάγγελος καὶ αὐτάγγελος διαφέρουσιν. ἄγγελος μὲν γάρ ἐστιν ὁ ἀγγέλλων τὰ ἔξωθεν. ἐξάγγελος δὲ, ὁ τὰ ἔνδοθεν τοῖς ἔξω διαγγέλλων, ὃν Θουκυδίδης διάγγελον. ὄντων γάρ τινων τῷ Νικίᾳ διαγγέλων. αὐτάγγελος δὲ ὁ τὰ ἀφ' ἑαυτοῦ διαγγέλλων καὶ μὴ ὑφ' ἑτέρου.

Ἄγειν καὶ φέρειν διαφέρει, ἄγεται μὲν τὰ ἔμψυχα, φέρεται δὲ τὰ ἄψυχα. ὅθεν ἦγον ἔφερον δ' οὐκ ὀρθῶς εἶπον.

Ἀγχιστεῖς καὶ συγγενεῖς καὶ οἰκεῖοι διαφέρουσιν. ἀγχιστεῖς μὲν γάρ εἰσιν ἐπειδάν τις ἐκ τοῦ γένους ἀποθάνῃ, συγχωρεῖ ὁ νόμος αὐτοῖς ποιεῖσθαι τῶν τοιούτων δικαίων, συγγενεῖς δὲ οἱ ὄντες ἐκ τοῦ αὐτοῦ γένους, οὐ καλούμενοι δὲ ὑπὸ τῶν νόμων ἐπὶ τὰ ἀγχιστικὰ δίκαια, οἰκεῖοι δὲ οἱ κατ' ἐπιγαμίαν ἐπιμιχθέντες τῷ οἴκῳ.

Ἀγροῖκος καὶ ἄγροικος διαφέρει, προπερισπωμένως μὲν ὁ ἐν ἀγρῷ κατοικῶν, προπαροξυτόνως δὲ ὁ σκαιὸς τὸν τρόπον.

Ἄγριος καὶ ἀγρεῖος διαφέρει. ἄγριος μὲν γάρ ἐστιν, ὁ ὠμός. ἀγρεῖος δὲ, ὁ ἀγροῖκος.

Ἀγνοεῖν καὶ ἀμφιγνοεῖν διαφέρει. ἀγνοεῖν μὲν γάρ ἐστι τὸ καθόλου μηδὲν εἰδέναι, ἀμφιγνοεῖν δὲ τὸ ἔν τισιν ἐπιδιστάζειν.

Ἀγωνοθέται μὲν ἐπὶ τῶν σκηνικῶν λέγονται, ἀθλοθέται δὲ ἐπὶ τῶν γυμνικῶν.

Ἀγρονόμος, ἐὰν μὲν παροξυνόμενον, ἔστι ὁ ἐν ἀγροῖς νεμόμενος. τὰ γὰρ προπαροξυνόμενα, χαίρουσιν ἀνακλίνεσθαι εἰς πάθη.

Ἀγοραῖος, ἐὰν προπαροξυτόνως, σημαίνει τὸν πονηρὸν τὸν ἐν ἀγορᾷ τεθραμμένον. ἐὰν δὲ προπερισπωμένως, σημαίνει τὸν ἐν ἀγορᾷ τιμώμενον.

Ἀδεὴς καὶ ἀδαὴς διαφέρει. ἀδεὴς μὲν γάρ ἐστι διὰ τοῦ ε ψιλοῦ, ὁ ἄφοβος. διὰ δὲ διφθόγγου, ὁ ἀμαθής.

Ἄελλα καὶ θύελλα διαφέρει. ἄελλα μὲν ἄνεμος συνεστραμμένος. θύελλα δὲ ἄελλα θύουσα καὶ ὁρμῶσα.

Ἆθλος καὶ ἆθλον διαφέρει. ἀρσενικῶς μὲν γὰρ τὸν ἀγῶνα δηλοῖ. οὐδετέρως δὲ τὸ ἔπαθλον. οὗτος μὲν γὰρ ἄεθλος, ἄκτος ἐκτετέλεσθαι. ἐπὶ δὲ τῶν ἐπάθλων ἄεθλια, ποσσὶν ἀέλοντες.

Ἀθῆναι καὶ Ἀττικὴ διαφέρει. Ἀθῆναι μὲν γὰρ ἡ πόλις ἐστίν. Ἀττικὴ δὲ ἥ τε πόλις καὶ ἡ χώρα.

Αἰτῶ καὶ αἰτοῦμαι διαφέρει. τὸ μὲν γὰρ αἰτῶ ἐπὶ τῶν ἅπαξ τι λαβεῖν, καὶ μὴ ἀποδοῦναι. τὸ δ' αἰτοῦμαι ἐπὶ τῶν χρήσασθαι εἰς ἀπόδοσιν. Μένανδρος ἐν τῷ Ὑμνίδι διαστέλλει, οὐ πῦρ γὰρ αἰτῶ, οὐδὲ λοπάδ' αἰτοῦμαι.

Αἰδὼς καὶ αἰσχύνη διαφέρει. ὅτι ἡ μὲν αἰδώς ἐστιν ἐντροπὴ πρὸς ἕκαστον ὡς σεβομένως τις ἔχει. αἰσχύνη δ' ἐφ' οἷς ἕκαστος ἁμαρτὼν αἰσχύνεται. ὡς μὴ δέον τι πράξας. καὶ αἰδεῖταί μέν τις τὸν πατέρα. αἰσχύνεται δὲ ὃς μεθύσκεται. διαστέλλει δὲ Ἀριστόξενος ὁ μουσικὸς τὴν διαφορὰν ἐν τῷ πρώτῳ τόμῳ παιδευτικῶν. φησὶ γὰρ διαφορὰν τὴν ἐννομιστέον, αἰδοῦς τε καὶ αἰσχύνης. ὅτι ἡ μὲν αἰδὼς πρὸς ἡλικίαν, πρὸς ἀρετὴν, πρὸς ἐμπειρίαν, πρὸς εὐδοξίαν. ὁ γὰρ ἐπιστάμενος αἰδεῖσθαι πρὸς ἕκαστην τῶν εἰρημένων ὑπεροχῶν προσέχεται οὕτως διακείμενος, οὐ διὰ τὸ ἡμαρτηκέναι τι, ἀλλὰ διὰ τὸ σέβεσθαι, καὶ τιμᾶν τὰς εἰρημένας ὑπεροχάς, ἡ δ' αἰσχύνη πρώτον μὲν πρὸς πάντας ἀνθρώπους, ἔπειτα ἐπὶ τοῖς νομιζομένοις αἰσχροῖς.

Αἶνος καὶ παροιμία διαφέρει. ὁ μὲν γὰρ αἶνος ἐστι λόγος κατὰ ἀνάπλασιν μυθικὴν ἀπὸ ἀλόγων ζώων, ἢ φυτῶν, πρὸς ἀνθρώπους εἰρημένος, ὥς φησι Λούκιλλος Ταρραῖος ἐν τῷ πρώτῳ παροιμιῶν, οἷον ἀπὸ μὲν ἀλόγων ζώων, ὡς παρ' Ἀρχιλόχῳ. αἶνός τις ἀνθρώπων ὅδ' ὡς ἄρ' ἀλώπηξ τε, κἀετὸς ξυνωνίαν ἔθεντο, καὶ τὰ ἑξῆς, καὶ πάλιν ὅταν λέγῃ, ἐρέω τιν' ὑμῖν αἶνον ὦ Κηρυκίδη, ἀχνυμένη σκυτάλη. εἴτ' ἐπιφέρει πίθηκος ᾔει θηρίων ἀποκριθεὶς μοῦνος ἀν' ἐσχατιήν, τῷ δ' ἄρ' ἀλώπηξ κερδαλῆ συνήντετο πυκνὸν ἔχουσα νόον. καὶ Ἡσίοδος, νῦν δ' αἶνον βασιλεῦσιν ἐρέω, φρονέουσι καὶ αὐτοῖς, ὧδ' ἴρηξ προσέειπεν ἀηδόνα ποικιλόδειρον. ἀπὸ δὲ φυτῶν, ὡς παρὰ Καλλιμάχῳ. ἄκουε δὴ τὸν αἶνον, ἔν κοτε Τμώλῳ, δάφνην ἐλαίην νεῖκος οἱ παλαιοὶ Λυδοὶ λέγουσι θέσθαι, καὶ τὰ ἑξῆς. καὶ ἔστιν ὁ αἶνος ἐξηπλωμένη παροιμία μετὰ διηγήσεως ἀπαρτίζουσα τὸ νοούμενον, πρὸς παραμυθίαν τε καὶ ὠφέλειαν ἀνθρώπων. παροιμία δὲ ἡ τὴν ἀπὸ κεφαλαίου ἐπὶ τὸ χεῖρον ἀναφορὰν ἔχει ἐνδέουσαν τοῦ αἴνου, καὶ τὴν ἔξωθεν ἐνδεχομένην μεταλῆψιν. οἷον μέγα βοῦς ποτ' ἐν βοτάνῃ, καὶ ἄκμωνος μετ' ἀνθεστηρίαν.

Αἴθε καὶ ὤφελον διαφέρει. τὸ μὲν γάρ ἐστιν ἀπαρεμφάτων προσώπων. τὸ δ' ὤφελον ἐμφαίνει πρόσωπα, οἷον ὤφελον ἐγώ. ὤφελες σύ, ὤφελον ἐκεῖνος. διὸ τὸ αἴθε ἐστὶν ἐπίρρημα, τὸ δ' ὤφελον ῥῆμα.

Αἰκίαι καὶ ὕβρεις διαφέρουσιν, αἰκίαι μὲν γάρ εἰσιν αἱ ἀνευ προπηλακισμοῦ πληγαί, καθὰ καὶ Δημοσθένης ὁ ῥήτωρ φησίν. ὑβρισμαι μὲν ἐγώ,

προσπελάζουσι δὲ τοῦ μέν.

Αἰπόλος καὶ ποιμὴν διαφέρει, αἰπόλος μὲν γὰρ ὁ ἐπὶ τῶν αἰγῶν τεταγμένος νομεύς. ποιμὴν δὲ ἐπὶ τῶν προβάτων.

Ἀκταὶ καὶ θῖνες διαφέρουσιν, ἀκταὶ μὲν γάρ εἰσιν οἱ πετρώδεις τόποι τῆς θαλάσσης. θῖνες δὲ οἱ ἀμμώδεις.

Ἀκόντιον δόρατος διαφέρει. ἀκόντιον μὲν γὰρ τὸ ἀκοντιζόμενον ἔλαττον δόρατος. δόρυ δὲ τὸ μεῖζον ᾧ ἐκ χειρὸς ἐχρῶντο. παρὰ δὲ Ὁμήρῳ, καὶ τὸ δόρυ ἀκόντιον εἶναι.

Ἀκαιρία ἀσχολίας διαφέρει. ἀκαιρία μὲν γάρ ἐστιν ἔλλειψις καιροῦ ἐπιτηδείου, ἀσχολία δὲ ἡ περί τι ἄλλο ἀναστροφή.

Ἀκηρὲς σὺν τῷ σ, καὶ ἀκηρεῖ ἄνευ τοῦ σ διαφέρει. ἀκηρεῖ μὲν γὰρ ἄνευ τοῦ σ σημαίνει τὸ βραχύ. οἷον οὐδ᾽ ὅσον ἀκηρεῖ τῆς τύχης ἐσφάλη μαι. ἀκηρὲς δὲ σημαίνει τὸ παραβραχὺ ὄν. κατέπεσον ἀκηρὲς τῷ δέει.

Ἀληθὲς καὶ ἄληθες διαφέρει. ἀληθὲς μὲν γὰρ ὀξυτόνως, τὸ ἐναντίον τῷ ψεύδει. ἄληθες δὲ προπαροξυτόνως, τὸ κατ᾽ ἐπερώτησιν λεγόμενον.

Ἀλοᾶν καὶ ἀλοιᾶν διαφέρει. ἀλοᾶν μὲν γὰρ διασύρως, ἐστὶ τὸ ἅλω πατεῖν καὶ τρίβειν τοὺς στάχυας. ἀλοιᾶν δὲ ψιλῶς, τὸ τύπτειν. Ἀριστοφάνης· ἢ μητέρ᾽ ἠλοίησεν, ἢ πατρὸς γνάθον ἐπάταξεν, ἀφ᾽ οὗ καὶ μητραλοίας φαμὲν καὶ πατραλοίας.

Ἀλλοίωσις ἑτεροιώσεως διαφέρει. ἀλλοίωσις μὲν γάρ ἐστιν οὐ μόνον μεταχαρακτηρισμὸς, ἀλλὰ καὶ τοῦ προτέρου ὑπολείψεως εἶδος ἑτέρα, ἑτεροίωσις δὲ ὅλως ἀφ᾽ ἑτέρου χρώματος εἰς ἕτερον μεταβολή.

Ἀλίπαστον καὶ ἀλίπαρτον διαφέρει. τὸ μὲν γὰρ ἁλὶ πεπασμένον κρέας ἢ ἰχθὺν, ἔλεγον ἁλίπαστον. ἀλίπαρτον δὲ τὸ ἁλὶ ἐπηρμένον χώραν, ὡς τινῶν φθειρομένων τοῦ τοιούτου. ὅθεν καὶ ὁ βίος τοὺς ἐκεισμένους, καὶ δυσθεραπεύτως ἔχοντας τὰ σώματα ἀλιπαίστους καλεῖ.

Ἄλλος καὶ ἕτερος διαφέρει. ἕτερος μὲν γὰρ ἐπὶ δυοῖν, ἄλλος δὲ ἐπὶ πλειόνων.

Ἁματροχία καὶ ἁρματροχιὰ διαφέρει. ἁματροχία μὲν γάρ ἐστιν ἡ ταυτοσυνδρομὴ τῶν ἁρμάτων, εἶχε Μενέλαος ἁματροχίας ἀλεείνων. ἁρματροχιὰ δὲ ὁ τύπος καὶ ἡ ἐγχάραξις τοῦ τροχοῦ ἡ ἐπὶ τῆς γῆς. οὐδέ τι πολλὴ ἔπλετο ἐπισώτρου ἁρματροχιὴ κατόπιν.

Ἀμυγδαλῆ καὶ ἀμυγδάλη διαφέρουσιν, ἀμυγδαλῆ μὲν γὰρ περισπωμένως τὸ δένδρον δηλοῖ. ἀμυγδάλη δὲ παροξυτόνως τὸν καρπόν. καθὰ καὶ Εὔπολις ἐν ταξιάρχοις φησὶ δίδου μασᾶσθαι ἀξίας ἀμυγδάλας.

Ἅμα καὶ ὁμοῦ διαφέρει. ἅμα μὲν γάρ ἐστι χρονικὸν ἐπίρρημα. ὁμοῦ δὲ τοπικόν. Σόλων μὲν γὰρ ἅμα ἐγένετο Ἀναχάρσιδι τῷ Σκύθῃ, εἴπερ κατὰ τὸν αὐτὸν χρόνον ἤκμασαν. ὁμοῦ μέντοι οὐκέτι. οὐ γὰρ ἐν τῷ αὐτῷ ἐγενήθησαν, ἀλλ᾽ ὁ μὲν Ἀθήνησιν ὁ δ᾽ ἐν Σκυθίᾳ. καὶ Ὅμηρος διαστέλλει. ἐν θ᾽ ἅμα ἡμέρᾳ καὶ ἀγαλλὶ πέλον ἀνδρῶν ὀλλύντων, καὶ ὀλλυμένων, ἀντὶ κατὰ τὸν αὐτὸν χρόνον. καὶ αὐτὰρ ἐπεὶ κόσμηθεν ἅμ᾽ ἡγεμόνεσσιν ἕκαστοι, οἳ δ᾽ ἅμα πάντες ἐφ᾽ ἵπποισι μάστιγας. ἐπιστρεπτικῶς δὲ τῷ ὁμοῦ ἐχρήσατο καὶ πάλιν ἄλλοθ᾽ ὁμοῦ πίσυρές τε κρεῶν, καὶ σώματα σφῶν, ἀντὶ τοῦ ἐν αὐτῷ τῷ τόπῳ. τοὺς περ δὴ καὶ δύο παῖδε λάβε κρείων Ἀγαμέμνων, ἐν ἑνὶ δίφρῳ ἐόντας, ὁμοῦ δ᾽ ἔχον ὠκέας ἵππους. ἔσθ᾽ ὅτε δ᾽ ὁ ποιητὴς τὸ ὁμοῦ καὶ ἐπὶ χρονικοῦ τάσσει ἐπιρρήματος, ὡς φησὶν Ἀσκληπιάδης. εἰ δὴ ὁμοῦ πόλεμός τε δαμᾷ καὶ λοιμὸς Ἀχαιούς. εἰ μὲν ἄρ᾽ ἄντικρυς εἴποι καὶ ταῦ δὲ ὁμοῦ ἐν τῷ αὐτῷ τόπῳ, οἷον ἐν Τροίᾳ ὅτε λοιμὸς, καὶ ὁ πόλεμος δαμάζει τοὺς Ἀχαιούς.

Ἀμφότεροι καὶ ἑκάτεροι διαφέρουσιν. ἀμφότεροι μὲν γὰρ λέγονται, ὅταν ἐν τῷ αὐτῷ κατὰ τὸ αὐτὸ πράττωσιν, ἀμφότεροι τὴν δοκὸν μίαν οὖσαν φέρουσιν. ἑκάτεροι δὲ ἐπειδὰν χωρὶς ἑκάτερος τὸ ἑαυτοῦ πράττῃ, οἷον ἑκάτερος αὐτῶν δοκὸν φέρων. ἤτοι ὅταν ἑκάτερος αὐτῶν μίαν φέρῃ κατ᾽ ἰδίαν.

Ἀμύνεσθαι καὶ ἀμύνειν διαφέρει. ἀμύνεσθαι μὲν γάρ ἐστι τὸ κολάζειν τοὺς προαδικήσαντας, ἀμύνειν δὲ τὸ βοηθεῖν.

Ἁμαρτάνει ὁ πλημμελῶν. διαμαρτάνει δὲ ὁ ἀποτυγχάνων.

Ἄμητος, καὶ ἀμητὸς διαφέρει. ἄμητος μὲν γὰρ προπαροξυτόνως, σημαίνει αὐτὰ τὰ θερίσματα, τουτέστι τὸν καρπόν. ὀξυτόνως δὲ ὁ καιρὸς τοῦ θερισμοῦ, ὥσπερ καὶ ὁ τρυγητὸς τοῦ τρυγᾶν.

Ἄμαθος, καὶ ψάμαθος διαφέρει. ἄμαθος μὲν γάρ ἐστιν ἡ ἐν πεδίῳ κόνις. ψάμαθος δὲ ἡ παραθαλασσία ἄμμος.

Ἀνακεῖσθαι, καὶ κατακεῖσθαι διαφέρει. ἀνάκειται μὲν γὰρ ὁ ἀνδριὰς καὶ ἡ εἰκὼν τῷ διὰ τὴν τιμήν. κατάκειται δὲ ὁ ἀνακεχωρημένος.

Ἀνδραγάθημα, καὶ ἀνδρία διαφέρει. ἀνδραγάθημα μὲν γάρ ἐστιν εἰ καὶ τὴν ψυχικὴν ἀρετὴν ἔχει μαρτυροῦσαν. ἀνδρία δὲ δύναμις ἐπαίνου μόνη.

Ἀνοχὴ καὶ ἐκεχειρία διαφέρει. ἀνοχὴ μὲν γάρ ἐστιν ἡ ἐν πολέμῳ διά τινα χρείαν ἀναβολὴ κατὰ συνθήκην, κοινῇ τε ἐπιτελέσαι ἀλλήλοις. ἐκεχειρία δὲ ἐστιν, ὅταν οἱ ἕτεροι πέμπουσι τοὺς αἰτησομένους ἀνοχὰς ἢ σπονδὰς, ἢ εἰρήνην.

Ἀνάμνησις καὶ ὑπόμνησις διαφέρει. ἀνάμνησις γάρ ἐστιν, ὅταν τις ἐλθῃ εἰς μνήμην τῶν παρελθόντων. ὑπόμνησις δὲ ὅταν ὑφ᾽ ἑτέρου εἰς τοῦτο προαχθῇ.

Ἀναβάλλεσθαι καὶ ὑπερτίθεσθαι διαφέρει. ἀναβάλλεσθαι μὲν γάρ ἐστι τὸ προΐεσθαι, καὶ παριέναι τὸν ἐπιτήδειον καιρὸν τοῦ πράξεων. ὑπερτίθεσθαι δὲ τὸ ἐπιμένειν τὸν ἐπιτήδειον καιρὸν τοῦ πράξεων.

Ἀνακωχὴ καὶ ἀνοκωχὴ διαφέρει. ἀνακωχὴ μὲν γάρ ἐστιν ἡ ἐπὶ τῶν νεῶν ἀναχώρησις. ἡ δὲ διὰ τοῦ ο ἀνοκωχὴ, ἀνοχὴ μακρὰ πολέμου. διοκωχὴ, καὶ ἀκωχὴ διάλειψίς τις, καὶ ἄνεσις.

Ἀνάλγητος καὶ ἀναλγὴς διαφέρει, ἀνάλγητος μὲν γάρ ἐστιν ὁ ἀνεπαίσθητος τοῦ καθήκοντος. ἀναλγὴς δὲ ὁ μὴ ἀλγῶν.

Ἄντικρυς καὶ ἀντικρὺ διαφέρει. ἀντικρὺ μὲν γὰρ τὸ ἐπ' εὐθείας, καὶ ἐξεναντίας χωρὶς τοῦ σ, ὡς καταντικρύ. ἄντικρυς δὲ τὸ διαῤῥήδην καὶ φανερῶς, καὶ ἐπ' εὐθείας τοπικόν.

Ἀναβάτης καὶ ἐπιβάτης διαφέρει, ἀναβάτης μὲν γὰρ ἐπὶ ἵππου. ἐπιβάτης δὲ ἐπὶ νεώς.

Ἀναστῆναι καὶ ἐγερθῆναι διαφέρει. ἀναστῆναι μὲν ἐπὶ ἔργου. ἐγερθῆναι δὲ ἐξ ὕπνου.

Ἀναγόμενοι καὶ ἐγερθέντες διαφέρει. ἀνήγοντο μὲν γὰρ οἱ πλέοντες ἀναγόμενοί τε ἀνῆσαν. ἀνήχθησαν δέ τινος εἰς τὸ στρατηγεῖον.

Ἀνεψιοὶ καὶ ἐξανεψιοὶ διαφέρουσιν. ἀνεψιοὶ μὲν γάρ εἰσιν οἱ τῶν ἀδελφῶν παῖδες. ἐξανεψιοὶ δὲ οἱ τῶν ἀνεψιῶν παῖδες.

Ἀναγκάζειν καὶ βιάζεσθαι διαφέρει. ἀναγκάζειν μὲν γάρ ἐστιν ἐπὶ ἐμψύχων. βιάζεσθαι δὲ ἐπὶ ἀψύχων, οἷον βιάζεσθαι τὴν ναῦν.

Ἄναρχον καὶ ἀναίτιον διαφέρει. ὅτι τὸ μὲν ἀναίτιον πρὸς ἕτερον λέγεται. τὸ δὲ ἄναρχον πρὸς ἑαυτό.

Ἄντρον καὶ σπήλαιον διαφέρει. ἄντρον μὲν τὸ αὐτοφυὲς κοίλωμα. σπήλαιον δὲ τὸ χειροποίητον.

Ἄνοια καὶ ἀφροσύνη διαφέρει. ἀνόητος μὲν γάρ ἐστιν ὁ μηδὲν νοῶν. ἄφρων δὲ ὁ νοῶν μὲν, οὐ φρονίμως δὲ διοικῶν.

Ἄξονες καὶ κύρβεις διαφέρει. οἱ μὲν ἄξονες ἦσαν τετράγωνοι. οἱ δὲ κύρβεις τρίγωνοι, καὶ οἱ μὲν ἄξονες εἶχον τοὺς ἰδιωτικοὺς ἐγγεγραμμένους. οἱ δὲ κύρβεις δημοσίας ἱεροποιΐας, καὶ εἴ τι ἕτερον τοιοῦτον.

Ἀξιόχρεως μέν ἐστιν ὁ ἐπὶ λύσαι τι ἱκανός. ἀξιόπιστος δὲ ἐπὶ πιστεύεσθαι ἄξιος.

Ἀξίωμα μέν ἐστι τὸ καθ' ὑπερβολὴν διαπρέπον. ἀξία δὲ ἡ ἐκ δοκιμασίας διακρίσις.

Ἀποστάσιος ἀπροστασίου διαφέρει. ἀποστασίου μὲν δίκην ἔλεγον, ὁπότε ἀπελεύθερος κρίνοιτο, ὡς ἀποστὰς τοῦ δεσπότου. ἀπροστασίου δὲ, ὁπότε μέτοικος ἐκαλεῖτο ὡς μὴ ἔχων προστάτην.

Ἀποκήρυκτος καὶ ἐκποίητος διαφέρει. ἀποκήρυκτος μὲν γάρ ἐστιν, ὁ ἐπὶ ἀδικήματι ὑπὸ τοῦ πατρὸς ἐκβληθεὶς τῆς οἰκίας. ἐκποίητος δὲ ὁ δοθεὶς ὑπὸ τοῦ πατρὸς εἰς υἱοθεσίαν ἄλλῳ. ὃν λέγουσιν εἰσποίητον γεγονέναι.

Ἀπολογεῖσθαι καὶ ἀπολογίζεσθαι διαφέρει. ἀπολογεῖσθαι μὲν γάρ ἐστι τὸ τῷ λόγῳ τὴν κατηγορίαν ἀνασκευάζειν. ἀπολογίζεσθαι δὲ τὸ ἀποδοῦναι τὸν λόγον τῶν διαπεπραγμένων. καὶ γὰρ τὸ ἁπλοῦν λογίζεσθαι, καὶ λογίσασθαι, ἀριθμῆσαι.

Ἀποδρᾶναι καὶ ἀποφεύγειν διαφέρει. ἀποδρᾶναι μὲν γὰρ τὸ ἀναχωρήσαντά τινα ἄδηλον εἶναι ὅπου ἐστίν. ἀποφεύγειν τὸ μὴ δύνασθαι ἐπιληφθῆναι. λέγει δὲ Ξενοφῶν τὴν διαφορὰν ἐν τῇ ἀναβάσει οὔτε ἀποδεδράκασιν. ἴσασι γὰρ ὅπου οἴχονται, οὔτε ἀποφεύγουσιν.

Ἀπὸ καὶ παρὰ διαφέρει. ἡ μὲν γὰρ ἀπὸ τίθεται ἐπὶ τῶν ἀψύχων. οἷον ἀπ' Ἀθηνῶν. ἡ δὲ παρὰ ἐπὶ τῶν ἐμψύχων, οἷον παρὰ Σωκράτους. οἱ ἐναλλάσσοντες δὲ ἁμαρτάνουσιν ἢ ἀλλαγῇ προθέσεως χρῶνται, ὡς καὶ Ὅμηρος. παρὰ νηῶν ἀνιόντε, ἀντὶ τοῦ ἀπὸ τῶν νηῶν. ὡς καὶ ὁ Μαχάων φησι κυρίως οὔτε ποτὲ προφέροντο μελαινάων ἀπὸ νηῶν.

Ἀπελεύθερος καὶ ἐξελεύθερος διαφέρουσιν. ἀπελεύθερος μὲν γάρ ἐστιν ὁ ἐκ δούλου ἐλευθερωμένου. ἐξελεύθερος δὲ ὁ γινόμενος διὰ χρέα προσήλυτος ἢ κατὰ ἄλλην τινὰ αἰτίαν δουλεύσας, εἶτα ἐλευθερωθείς. ἤδη μέντοι καὶ ἀδιαφόρως χρῶνται τοῖς ὀνόμασιν.

Ἀποφορὰ καὶ εἰσφορὰ διαφέρει. ἀποφορὰ μὲν γάρ ἐστι τὰ ἀπὸ τῶν δούλων τοῖς δεσπόταις παρεχόμενα χρήματα. ἣν καὶ ἀναφορὰν καλοῦσιν. εἰσφορὰ δὲ τὰ ὑπὸ τῶν πολιτῶν.

Ἀποκειθῆναι καὶ ἀποκείρασθαι διαφέρει. ἀποκειθῆναι μὲν γάρ ἐστι τὸ ἀποχωρισθῆναι. ἀποκείρασθαι δὲ τὸ ἐπιτηδεύοντα λόγον δοῦναι.

Ἀπονίψασθαι, καὶ κατὰ χειρὸς ὕδωρ αἰτῆσαι διαφέρει. ἀπονίψασθαι μὲν γάρ ἐστι μετὰ τὸ φαγεῖν. κατὰ χειρὸς δὲ ὕδωρ αἰτῆσαι, πρὸ τοῦ φαγεῖν.

Ἀποφορὰ καὶ ἀναφορὰ διαφέρει. ἀποφορὰ μὲν γάρ ἐστιν ὁ νῦν καλούμενος φόρος. ἀναφορὰ δὲ ὁ ἀπὸ τῶν εὐόδων ἢ δυσόδων ἀναφερόμενος ἀσμός.

Ἀπέθανε καὶ τέθνηκε διαφέρει. ἀπέθανε μὲν νῦν. τέθνηκε δὲ πάλαι. ὡς περιεπάτησε μὲν ὁ δεῖνα σήμερον. περιπεπάτηκε δὲ πάλαι.

Ἀπόδοσις μὲν ἀψύχου λέγεται. ἀποκατάστασις δὲ ἐμψύχου καὶ σωζομένου.

Ἄρχειν καὶ κρατεῖν διαφέρει. ἄρχειν μὲν γὰρ τὸ τινῶν ἐπ' ὠφελείᾳ προΐστασθαι. κρατεῖν δὲ τὸ βίᾳ τινὰς ἄγειν ὑπακουομένους ἐπὶ δουλείᾳ, καθὸ καὶ τῶν θηρίων κρατεῖν ἀλλ' οὐκ ἄρχειν λέγεται.

Ἁρπαγὴ καὶ ἁρπάγη διαφέρει παρὰ τοῖς παλαιοῖς ἀττικοῖς, ὥς φησι Τρύφων ἐν τῷ τρίτῳ περὶ ἀττικῆς προσῳδίας, ἐὰν μὲν ὀξυτόνως προσενεγκώμεθα, καθάπερ ἐν τῇ συνηθείᾳ τὴν ἀφνίδιον. καὶ μετὰ βίας ἀφαίρεσιν δηλώσει. ἐὰν δὲ βαρυτόνως ἁρπάγην ὡς ἀνάγκην. ἐν ᾗ ἐκ τῶν φρεάτων τοὺς κάδους ἐξαίρουσι. καὶ παρὰ μὲν Εὐδόξῳ ἀναγινώσκομεν ποτήριον, φάτνην, ἁρπάγην, δεῦρο ἐν κάδον, καὶ ἐνισχύω τὸν παῖδα δ' οὐ δίδομεν ἀλλ' ἁρπάγην αὐτῷ κατασκευάζομεν.

Ἆρα καὶ ἄρα διαφέρει. ὁ μὲν γὰρ κατὰ περισπασμὸν λεγόμενος σύνδεσμος ἀπορηματικός ἐστιν, ὅτε ἀποροῦντες λέγομεν. ἆρα τέλος ἕξει τὸ πρᾶγμα. ὁ δὲ κατὰ συστολὴν συλλογιστικός. εἰ ἡμέρα ἐστί, φῶς ἐστιν. ἀλλὰ μὴν ἡμέρα ἐστί, φῶς ἄρα ἐστί. ἐπὶ τοῦ συμφέρειν ποιεῖν, ποιητέον ἡμῖν ἄρα ἐστί.

Ἄρτι καὶ ἀρτίως διαφέρει. ἄρτι μὲν γάρ ἐστι χρονικὸν ἐπίῤῥημα. τὸ δ' ἀρτίως ἐπὶ τοῦ ἀπηρτισμένου ἔργου τελείως. ὡς τὸ ἁμαρτάνει Σω-

προλέγουσα, ἀρτίως μὲν ἀχρυσοπέδιλος αὖ, ὡς ἀντὶ χρονικοῦ ἐπιῤῥήματος. παρὰ δὲ τοῖς Ἀττικοῖς ἀρτίως σημαίνει αὐτῆς τῆς ὥρας, τὸ δ' ἄρτι παρατατικοῦ, καὶ τοῦ παρῳχηκότος.

Ἀράχνη καὶ ἀράχνιον διαφέρει. ἀράχνη μὲν γὰρ θηλυκῶς τὸ ὕφασμα, καὶ οὐδετέρως τὸ ἀράχνιον. ἀρσενικὸς δὲ ὁ ἀράχνης τὸ ζῶον.

Ἄρνες, καὶ ἀρνειοὶ διαφέρουσιν. ἄρνες μὲν γὰρ λέγονται οἱ νεογνοί. ὡς ἢ λύκοι ἄρνεσσιν ἐπέχραον, ἀρνειοὶ δὲ οἱ προήκοντες τῇ ἡλικίᾳ, ἀρνειῷ μιν ἔγωγε ἐΐσκω πηγεσιμάλλῳ. ὅς τ' οἰῶν μέγα πῶυ.

Ἄῤῥωστος, καὶ ἀῤῥωστῶν διαφέρει. ἄῤῥωστος μὲν γὰρ ὁ νοσῶν, ἀῤῥωστῶν δέ ἐστιν ὁ ἀδυνατῶν ἐπιτελεῖν τὰ κατὰ τὰς ὀρέξεις, ὡς Ἀριστοφάνης φησίν.

Ἀῤῥωστεῖν τοῦ νοσεῖν διαφέρει. ἀῤῥωστεῖ μὲν γὰρ ὁ κακεκτῶν τῷ σώματι. νοσεῖ δὲ ὁ κλινήρης.

Ἀῤῥωδεῖν καὶ ὀῤῥωδεῖν διαφέρει. τὸ μὲν γὰρ διὰ τοῦ ο σημαίνει τὸ εὐλαβεῖσθαι. οὕτως γὰρ ἐξηγοῦνται τὴν λέξιν. ὄῤῥος λέγεται ὁ περὶ τοὺς γλουτοὺς τόπος, ὅν τινες ταῦρον λέγουσιν. ὅθεν καὶ τῶν ὀρνέων ὁ τόπος οὗτος ὀῤῥοπύγιον καλεῖται. οὐχ ὥς τινες ἀγνοοῦντες ὀρθοπύγιον. ἔτυμος δ' εἴρηται ὄῤῥος ὢν τῆς πυγῆς, καὶ οἱονεὶ ὀρσοπύγιον. οἱ δ' εὐλαβούμενοι περί τινος, ἀνασπᾶν εἰώθασι τὸ αἰδοῖον. πολλάκις δὲ καὶ τὰ ἄλογα τῶν ζώων ὑποστέλλειν εἰώθασι τὴν οὐρὰν, ὅταν εὐλαβῆται. εὐλόγως οὖν ἐκ τοῦ παρακολουθοῦντος τὸ ὀῤῥωδεῖν εἴρηται ἀντὶ τοῦ εὐλαβεῖσθαι, καὶ Εὐριπίδης τὸν Περσέα λέγοντα εἰσάγει. τὰς γὰρ συμφορὰς τῶν κακῶς πεπραγότων ἀπώποθ' ὑβρίσας αὐτὸς ὀῤῥωδῶ παθεῖν. καὶ τὸ μὲν ὀῤῥωδεῖν τοιοῦτον. τὸ δ' ἀῤῥωδεῖν, δηλοῖ κατὰ στέρησιν. τουτέστι μὴ εὐλαβεῖσθαι, ἀλλὰ καταφρονεῖν, καὶ τεθαῤῥηκέναι.

Ἀσφόδελος, καὶ ἀσφοδελὸς διαφέρει. προπαροξυτόνως μὲν γὰρ τὸ φυτόν. ὀξυτόνως δ' ὁ τόπος, κατ' ἀσφοδελὸν λειμῶνα.

Ἀστεῖος καὶ ἀστικὸς διαφέρει. ἀστεῖος μὲν γὰρ ὁ πιθανὸς καὶ χαρίεις, ἢ καθόλου ἐπιδέξιος ἐν πολιτικῇ ὁμιλίᾳ. ἀστικὸς δὲ ὁ ἐν ἄστυ διατρίβων.

Ἄστρον, καὶ ἀστὴρ διαφέρει. ἄστρον μὲν γάρ ἐστι τὸ ἐκ πολλῶν ἀστέρων μεμορφωμένων ζώδιον. οἷον ὠρίων, ἄρκτος. ἀστὴρ δὲ ὁ εἷς.

Ἀτέχνως, καὶ ἀτεχνῶς διαφέρει. τὸ μὲν γὰρ παροξυτόνως σημαίνει τὸ χωρὶς τέχνης, καὶ ἀμαθῶς. τὸ δὲ περισπώμενον τίθεται ἀντὶ τοῦ ἁπλῶς, καὶ ἀληθῶς, καὶ καθάπαξ, καὶ καθόλου ἄντικρυς, ἢ φανερῶς.

Ἀτιμοῦται καὶ ἀτιμάζεται διαφέρει. ἀτιμοῦται μὲν γάρ τις ὑπὸ τῶν νόμων ὅλος χωρεῖ ἀτιμία. ἀτιμάζεται δὲ ὁ ὑβριζόμενος ἔν τινι πράγματι.

Ἄττα ψιλούμενον καὶ δασυνόμενον διαφέρει. ψιλούμενον μὲν γὰρ σημαίνει τὸ τινά, δασυνόμενον δὲ τὸ ἅτινα.

Ἀτελὲς καὶ ἀτέλεστον διαφέρει. ἀτελὲς μὲν γάρ ἐστι τὸ μήπω τετελεσμένον. ἀτέλεστον δὲ τὸ ἀδυνάτον τελεσθῆναι. οἱ οὖν ἐναλλάσσοντες ταῦτα, ἀκυρολογοῦσιν.

Αὐχὴν καὶ δέρη διαφέρει. αὐχὴν μὲν γὰρ λέγεται τὸ ὄπισθεν τοῦ τραχήλου. δέρη δὲ τὸ ἔμπροσθεν. καθό ἐστιν ἡ φάρυγξ.

Αὖθις καὶ αὖθι χωρὶς τοῦ σ διαφέρει. τὸ μὲν αὖθίς ἐστι τὸ πάλιν, ἢ μετὰ ταῦτα. τὸ δ' αὖθι αὐτόθι. κακῶς οὖν Καλλίμαχός φησιν αὖθι τὸ δ' ἐκδύνειμι, ἀντὶ τοῦ μετὰ ταῦτα.

Αὖτις διὰ μὲν τοῦ τ, σημαίνει τὸ πάλιν. διὰ δὲ τοῦ θ, τὸ ὕστερον.

Ἄχρι χωρὶς τοῦ σ, χρονικὸν ἐπίῤῥημα. ἄχρις δὲ μετὰ τοῦ σ, ἀντὶ τοῦ ἀκριβῶς ἀπείκονται.

Βασιλεὺς κοίρανος, καὶ ἡγεμὼν διαφέρει. βασιλεὺς μὲν γάρ ἐστιν ὁ πατρόθεν, ἢ ἀπὸ γένους τὴν ἀρχὴν παραλαβών. κοίρανος δὲ ὁ πρὸς καιρὸν τὸ τοῦ βασιλέως ἔργον ἐπιτελῶν. οἷος ἦν πρὸ τῆς μήνιδος ὁ Ἀχιλλεύς, ὡς ὅγε κοιρανέων δίεπε στρατόν. ἡγεμὼν δέ ἐστιν ὁ τάξεως στρατιωτικῆς ἡγούμενος. ὡς ὁ ποιητής φησι. αὐτὰρ ἐπεὶ κόσμηθεν ἅμ' ἡγεμόνεσσιν ἕκαστοι.

Βάρβαροι καὶ βαρβαρικὸν διαφέρει. βάρβαρος μὲν γάρ ἐστιν ὄνομα τὸ οὐχ Ἑλληνικόν. βαρβαρικὸν δὲ τὸ τῶν βαρβάρων.

Βάραθρος, καὶ βάραθρον διαφέρει. βάραθρος μὲν γὰρ ὁ βαράθρου ἄξιος ἄνθρωπος. βάραθρον δὲ ὄρυγμά τι Ἀθήνησιν, εἰς ὃ τοὺς κακούργους ἐνέβαλλον. ὡς παρὰ Λακεδαιμονίοις τοὺς καταδικαζομένους ἔβαλλον εἰς τὸν κεάδα.

Βασιλεία καὶ βασίλεια διαφέρει. προπερισπωμένως ἡ βασιλέως ἀρχή. προπαροξυτόνως δὲ, ἡ βασιλέως γυνή.

Βᾶρις μέν ἐστιν αἰγύπτιον πλοῖον, λέγεται δὲ καὶ ἡ μεγάλη οἰκία, ὡς ἀπὸ Φιλίππου.

Βάσκανος ἤτε δοκιμασία, καὶ ἡ τῶν πλειόνων βασκαίνειν οὐ μόνον τὸ φθονεῖν, ἀλλὰ καὶ τὸ συκοφαντεῖν, ὡς Δημοσθένης ἐν τῷ περὶ στεφάνου, ἀντὶ δύσκολον συμβῇ ἐπὶ τῷ βασκαίνουσιν.

Βεβλῆσθαι καὶ οὐτᾶσθαι διαφέρει. βεβλῆσθαι μὲν γάρ ἐστι τὸ ἐκ βολῆς τετρῶσθαι, καὶ ἐκ τοῦ ἐναντίου. οὐτᾶσθαι δὲ τὸ ἐκ χειρὸς τετρῶσθαι.

Βιοῦν καὶ ζῆν διαφέρει. βιοῦν μὲν γὰρ ἐπὶ ἀνθρώπων μόνων λέγεται. ζῆν δὲ ἐπὶ ἀνθρώπων καὶ ἀλόγων ζώων, ἤδη δέ ποτε καὶ τῶν φυτῶν.

Βίος ζωῆς διαφέρει. βίος μὲν ἐπὶ τῶν λογικῶν τάσσεται ζώων, τουτέστιν ἀνθρώπων μόνων. ζωὴ δὲ ἐπὶ ἀνθρώπων καὶ ἐπὶ τῶν ἀλόγων ζώων, ἐντεῦθεν Ἀριστοτέλης τὸν βίον ὡρίσατο οὕτως, βίος ἐστὶ λογικὴ ζωή. ὁ οὖν ἐπὶ τῶν θηρίων βίον τάσσων, ἀκυρολογεῖ.

Βιῶναι μέν ἐστι τὸ ζῆν, βιοτεύειν δὲ τὸ πορίζειν τὰ πρὸς τὸν βίον, βιοῦν μὲν φήσομεν ἀνθρώπου, ζῆν δὲ καὶ τὸ ἄλογον ζῶον.

Βλέπειν καὶ θεᾶσθαι διαφέρουσι, βλέπειν μὲν

γὰρ κυρίως τὸ ὁρᾶν τι ὁποσοῦν, θεᾶσθαι δὲ τὸ ὁρᾶν τι τῶν τεχνικῶς γινομένων, οἷον πάλην παγκράτιον γραφήν.

Βλέφαρα καὶ βλεφαρίδες διαφέρουσι, βλέφαρα μὲν γάρ ἐστιν αὐτὰ τὰ ἐπικαλυπτόμενα δέρματα, βλεφαρίδες δὲ αἱ θρίχες αἱ ἐπὶ τῶν βλεφάρων.

Βόες καὶ βόας διαφέρει, βόες μὲν γὰρ πούς ἐστιν ἐπὶ ζώου, βόας δὲ ὁ τοῦ νεκροῦ.

Βούλει καὶ βούλῃ διαφέρει. τὸ βούλει μὲν γὰρ ὁριστικόν ἐστιν, οἷον βούλει ἀπολάσομαι, τὸ βούλῃ δὲ ὑποτακτικῶς, οἷον βούλῃ πορευσώμεθα.

Βοηθεῖ μὲν ὁ συνών, ἐπικουρεῖ δὲ ὁ ἔξωθεν εἰς βοήθειαν ἥκων, συμμαχεῖ δὲ ὁ αὐτόθεν, ὑπερμαχεῖ δὲ ὁ ἀδυνάτῳ χρησιμεύων, ἀμύνει δὲ ὁ τιμωρούμενος ὑπὲρ τοῦ ἀπολωλότος.

Βουκολεῖν καὶ ἐξαπατᾶν διαφέρει. βουκολεῖν μέν ἐστι τὸ ἐπὶ πλεῖστον ἀεὶ παραλογίζεσθαι, ἐξαπατᾶν δὲ τὸ ἐπὶ πράγματα συναρπάζειν.

Βουλεύεσθαι καὶ βουλεῦσαι διαφέρει. βουλεύεσθαι μὲν γάρ ἐστι ταυτὸν τῷ σκέψασθαι, βουλεῦσαι δὲ τὸ ἐνθυμηθῆναί τι, καὶ συντάξαι κακόν, οἷον βουλεῦσαι φόνον ἢ ἐπιβουλίαν.

Βούλεσθαι μὲν ἐπὶ μόνου λεκτέον τοῦ λογικοῦ, τὸ δὲ θέλειν καὶ ἐπὶ ἀλόγου ζώου.

Βλύει καὶ βρύει διαφέρει. βρύει μὲν γὰρ ἐπὶ τοῦ ἀνθεῖν, βλύει δὲ ἐπὶ τοῦ ἀναβάλλειν.

Βρύκειν καὶ βρύχειν διαφέρει. βρύκειν μὲν γὰρ διὰ τοῦ κ, τοῖς ὀδοῦσι, βρύχειν δὲ διὰ τοῦ χ, ἐπὶ λέοντος τὸ βρυχᾶσθαι.

Βωμός, ἑστία, ἐσχάρα, καὶ μέγαρον διαφέρουσι, καθὰ καὶ ἀμμώνιος ὁ λαμπτρεὺς ἐν πρώτῳ περὶ θυσιῶν, φησὶ γάρ, βωμοὶ μὲν γάρ οἱ τὰς προβάσεις ἔχοντες, ἐσχάρα δ' ἡ πρὸς τὴν βοωτικὴν ἱδρυμένη, ἐπὶ τῆς τοῦδε πολυεστία, τὸ δὲ μέγαρον ἡ περιοικοδομημένη ἑστία, ἔνθα τὰ μυστικὰ τῆς Δήμητρος. παρὰ δ' ὁμήρῳ ἡ ἐσχάρα ἡ αὐτὴ καὶ ἑστία καλεῖται· ὁ δὲ βωμός, καὶ τὴν βάσιν σημαίνει, χρύσειοι δ' ἄρα κοῦροι, ἐϋδμήτων ἐπὶ βωμῶν, ἀντὶ τοῦ ἐπὶ βάσεων. καὶ ἡ ἑστία σημαίνει τὸν οἶκον, ἑστία δ' ὀδυσῆος ἀμύμονος, καὶ ἀνέστιος ὁ ἄοικος παρ' ἡσιόδῳ, καὶ ἡ σωματοειδὴς θεὸς ἑστία ἐστὶν, ἣν καὶ Δήμητραν, καὶ ἥραν χρυσοπέδιλον, ἰδίως δὲ νεάνθης ὁ κυζικηνὸς ἐν τρίτῳ τῶν κατὰ πόλιν βωμοὺς θεῶν φησι, ἐσχάρας δ' ἡρώων, παρὰ δὲ εὐριπίδῃ ἐσχάρα ἀντὶ τοῦ βωμοῦ κεῖται, ἐν πλεισθένει μῆλος σφάγεται δαιμόνων ἐπ' ἐσχάραις, καὶ σοφοκλῆς ἐν χρύσῃ.

Γαμήλιος καὶ ἐπιθαλάμιος διαφέρει. ἐπιθαλάμιος μὲν γάρ ἐστι τὸ ἐπὶ τῷ θαλάμῳ τῆς γαμουμένης γραφὲν ποίημα. ὁ δὲ γαμήλιος οὐ περιορίζεται χρόνῳ, τάσσοιτο δ' ἂν, καὶ κατὰ τῆς δωρεᾶς τῆς ἐν γάμῳ διδομένης.

Γεγενῆσθαι ἐροῦμεν τὸ ὡσανεὶ γεγεννημένον, γεγονέναι δὲ τὸ ἄψυχον πρᾶγμα.

Γενέθλια καὶ γενέσια διαφέρει. ὅτι μὲν γὰρ γενέθλια τάσσεται ἐπὶ τῶν ζώντων, καὶ ἐν ᾗ ἕκαστος ἡμέρᾳ ἐγεννήθη. αὕτη καλεῖται γενέθλιος ἡμέρα, γενέσια δὲ ἐπὶ τῶν τεθνηκότων, ἐν ᾗ ἕκαστος ἡμέρᾳ τετελεύτηκεν, ὁ οὖν λέγων ἐπὶ τῶν ζώντων γενέσια ἀκυρολογεῖ.

Γέρων καὶ πρεσβύτης, καὶ προβεβηκὼς διαφέρει. Ἀλεξίων δηλοῖ ἐν τῇ ἐπιτομῇ τῶν διδύμου συμμίκτων λέγων οὕτως ἐκ τῶν ἀρίστων περὶ ἀνθρώπου γενέσεως καὶ αὐξήσεως ἄχρι γήρως, βρέφος μὲν γάρ ἐστι τὸ γεννηθὲν εὐθέως. παιδίον δὲ τὸ τρεφόμενον ὑπὸ τιθηνοῦ. παιδάριον δὲ τὸ ἤδη περιπατοῦν, καὶ τῆς λέξεως αὐτῆς ἀντεχόμενον. παιδίσκος δ' ὁ ἐν τῇ ἐχομένῃ ἡλικίᾳ. παῖς δ' ὁ διὰ τῶν ἐγκυκλίων μαθημάτων δυνάμενος ἰέναι, τὴν δ' ἐχομένην ταύτης ἡλικίαν, οἱ μὲν πάλληκα, οἱ δὲ βούπαιδα, οἱ δ' ἀντίπαιδα, οἱ δὲ μελλοέφηβον καλοῦσιν, ὁ δὲ μετὰ ταῦτα ἔφηβος, ἐν δὲ κυρίῃ τοὺς ἐφήβους φιλοματαίους καλοῦσι, ἐν δὲ κρήτῃ ἀποδρόμους διὰ τὸ μηδέπω τῶν κοινῶν δρόμων μετέχειν. ὁ δὲ μετὰ ταῦτα μειράκιον, εἶτα μεῖραξ, εἶτα νεανίσκος, εἶτα νεανίας, εἶτα ἀνὴρ μέσος, εἶτα προβεβηκώς, ὃν καὶ ὠμογέροντα καλοῦσιν, εἶτα γέρων, εἶτα πρεσβύτης, εἶτα ἔσχατος γέρων.

Γελοῖον καὶ εὐτράπελον διαφέρει. γελοῖον μὲν γάρ ἐστι τὸ ἐπὶ διαχύσει τῶν ἀκροωμένων χωρίς τινος ὕβρεως. εὐτράπελον δὲ τὸ μετὰ σεμνότητος χαριέντως λεγόμενον. εἴρηται δὲ παρὰ τὸ εὖ τρέπεσθαι τὸν λόγον.

Γέλοιος καὶ γελοῖος διαφέρει. γέλοιος μὲν ὁ καταγέλαστος. γελοῖος δὲ ὁ γελωτοποιός.

Γῆμαι τοῦ γήμασθαι διαφέρει. ὅτι γαμεῖ μὲν ὁ ἀνήρ, γαμεῖται δὲ ἡ γυνή. καὶ ὅμηρος τὴν διαφορὰν τετήρηκεν αὐτῶν, ἐπὶ τοῦ γήμασθαι εἰπών, γαμμένη ὠκυπέτω. ὁ δ' ὃν πατέρ' ἐξενάριξας γῆμε. καὶ ἀνακρέων διασύρων τινὰ ἐπὶ θηλύτητι. καὶ θαλάμοις ἐν ᾧ κεῖνος οὐκ ἔγημεν, ἀλλ' ἐγήματο. καὶ αἰσχύλος ἐν ἀμυμώνῃ. σοὶ μὲν γὰρ γαμεῖσθαι μόρσιμον, γαμεῖν δὲ μή.

Γῆρας μὲν ἐστὶν ἡ τελευταία ἡλικία. γήρανσις δὲ ἡ ἐπ' αὐτὴν πόρευσις, μήποτε οὖν ταύτῃ καὶ γηρᾶν τοῦ γηράσκειν διαφέρει.

Γράμμα στοιχείου διαφέρει. στοιχεῖον μὲν γάρ ἐστιν αὐτὴ ἡ ἐκφώνησις καὶ ὁ φθόγγος, ὃ τὸ γράμμα σημαίνει ἢ τύπος. σχῆμα, ὡς ἐν τῷ, τρίγωνον μὲν γάρ ἐστι τὸ Δ. στρογγύλον δὲ τὸ ο, τύπος. τὸ δὲ στοιχεῖον τὸ ὅλον καλεῖται. οἷον α β. καὶ τὰ λοιπὰ στοιχεῖα καταχρηστικῶς γράμματα. καὶ τὰ γράμματα ἐκάλουν οἱ παλαιοὶ γράμματα. καλλίμαχός που φησί. γράμματα δ' οὐκ ἐλήλαται ἀπόκρυφα. τουτέστι τὰ γράμματα, καὶ πάλιν πλάτωνος ἐν τῷ περὶ ψυχῆς γράμματα ἀναλεξάμενος. καὶ ἐν τῇ συνηθείᾳ πολλάκις φαμὲν εἰδέναι γράμματα τόνδε. οὐ γὰρ τὰ εἴκοσι τέσσαρα, ἀλλὰ τὸ τῶν πολλῶν ἔμπειροι γραμμάτων.

Γυμνασθῆναι καὶ γυμνάσασθαι διαφέρει. γυμνασθῆναι μὲν γάρ ἐστι τὸ ὑφ' ἑτέρου. γυμνάσασθαι δὲ τὸ ὑφ' ἑαυτοῦ.

Γυμνασία μὲν λέγεται ἡ τῶν γεγυμνασμένων ἄσκησις. ἄσκησις δὲ ἡ τῶν λεγόντων καὶ σκηνικῶν.

Δάμαλις καὶ δάμαλις διαφέρει. δαμάλης μὲν γὰρ ὁ ἄρρην μόσχος. δάμαλις δὲ ἡ θήλεια. μόσχος δὲ κοινῶς ἐπ' ἀμφότερα.

Δαὶ σύνδεσμος ἐρωτηματικῶς ἐκτεταμένως τίς δαὶ ὅμιλος, καὶ πῶς δαὶ τῶν ἄλλων ζώων. ὁ δὲ συμπλεκτικὸς δὲ συνεσταλμένως.

Δεσπότης καὶ κύριος διαφέρει. δεσπότης μὲν γάρ, ὁ τῶν ἀργυρωνήτων, καὶ κύριος. κύριος δὲ καὶ πατὴρ υἱοῦ καὶ αὐτός τις ἑαυτοῦ.

Δέος, καὶ φόβος διαφέρει. δέος μὲν γάρ ἐστι πολυχρόνιος κακοῦ ὑπόνοια. φόβος δὲ παραυτίκα πτόησις. διόπερ Ἡρόδοτος ἐν τῇ δ, ἡμέρας ἔχει φόβος τε καὶ δέος.

Δήμιος καὶ δημόκοινος διαφέρει. δήμιος μὲν γάρ ἐστιν ὁ ἀναιρῶν τοὺς καταδίκους. δημόκοινος δὲ ὁ βασανίζων.

Δήμητρ καὶ δάματρ διαφέρει. παρὰ τοῖς ἀττικοῖς φησὶ Τρύφων. δήμητρ γάρ φησιν ἐστὶν ἐπὶ τῆς θεοῦ. δάματρ δὲ ἐπὶ θαυμασμοῦ.

Δῆμος καὶ δημὸς διαφέρει. δῆμος μὲν βαρυτόνως τὸ πλῆθος τῆς πόλεως. δημὸς δὲ ὀξυτόνως, τὸ λίπος.

Δίσκος καὶ σόλος διαφέρει. δίσκος μὲν γάρ ἐστι λίθος τετρημένος, ὥς φησι Τρύφων ἐν πέμπτῳ περὶ ἑλληνισμοῦ. σόλος δὲ τὸ χαλκοῦν ὁλοσφύρειον. Ὅμηρος σόλον αὐτοχόωνον, καὶ ἐν ἄλλοις λάβε δίσκον. εἶτ' ἐπιφέρει. βόμβησε δὲ λίθος. καὶ πίνδαρος λιθίνοις ποτ' ἐν δίσκοισι.

Δικαστής, καὶ διαιτητὴς διαφέρει. δικαστὴς μὲν γάρ ἐστιν ὁ κατὰ νόμον αἱρεθεὶς κριτής. διαιτητὴς δὲ ὁ κατὰ συμφωνίαν αἱρεθεὶς συμβιβάσεως χάριν. Μένανδρος ἐν πέμπτῳ, εἴτις δικαστὴς ἢ διαιτητὴς θεῶν.

Διέφθαρται, καὶ διέφθορε διαφέρουσι. διέφθαρται μὲν γὰρ ὑφ' ἑτέρου, διέφθορε δ' ἕτερον. Ἀριστοφάνης κόραις. διέφθορας τὸν ὄρχον ἡμῶν. Μένανδρος, ἀδελφοῖς εἰδέναι τὴν κόρην διεφθορώς. Ὅμηρος φρένας ἠλεὲ διέφθορας. διεφθαρμένος τὰς αὐτοῦ φρένας.

Διαβόητος, καὶ ἐπιβόητος διαφέρει. διαβόητος μὲν γάρ ἐστιν ὁ ἐπ' ἀρετῇ ἐγνωσμένος, ἐπιβόητος δ' ὁ μοχθηρὰν ἔχων φήμην. Αἰσχίνης ἐν β, καὶ μὴ ἐπιβόητον κατὰ γείτονας ποιήσεις, τοῦτον δ' ἔνιοι τῶν ποιητῶν ἐπίσφακτον καλοῦσιν.

Διαβόητος περιβοήτου διαφέρει. διαβόητος μὲν γάρ ἐστιν ὁ ἐπ' ἀρετῇ πολυθρύλλητος. περιβόητος δὲ ὁ ἐπὶ κακίᾳ. καὶ περιβόητοι πᾶσιν ἀνθρώποις ἀνὴρ ἀκρατής. καὶ τοῦτο δὴ τὸ λεγόμενον, ἥττων ἑαυτοῦ πορνιδίῳ τετραβολῷ ἑαυτὸν οὕτω παραδέδωκεν.

Διπλοῦν καὶ διπλάσιον διαφέρει. διπλοῦν μὲν γάρ ἐστι κατὰ μέγεθος. διπλάσιον δὲ κατὰ ἀριθμόν, ὡς διπλάσιον, καὶ τετραπλάσιον, οἷον διπλάσια χρήματα ἔχει. ἐπὶ δὲ τῶν διπλουμένων τὸ διπλοῦν, ὥσπερ ἐπὶ τῶν πτυσσομένων ἱματίων. διπλοῦν τὸ ἱμάτιον οὐκέτι διπλάσιον.

Διχότομος καὶ διχοτόμος διαφέρει. διχότομος μὲν ὁ εἰς δύο διῃρημένος. διχοτόμος δὲ ὁ εἰς δύο διαιρῶν.

Διήγησις καὶ διήγημα διαφέρει. διήγησις μὲν γὰρ καὶ ποίησίς ἐστιν ἡ ἐν μήκει, τὸ τέλειον ἔχουσα. διήγημα δὲ καὶ ποίημα τὸ βραχύτερον.

Διδάξω καὶ διδάξομαι διαφέρει. διδάξω μὲν γὰρ δι' αὐτοῦ. διδάξομαι δὲ δι' ἑτέρου, ὡς οἰκοδομήσω μὲν δι' ἑαυτοῦ, οἰκοδομήσασθαι δὲ δι' ἑτέρου.

Διφθέρα καὶ μηλωτὴ διαφέρει. διφθέρα μὲν γὰρ αἰγῶν, μηλωτὴ δὲ προβάτων.

Διορθοῦν καὶ ἐπανορθοῦν διαφέρει. διορθοῦν μὲν γὰρ καὶ ἐπὶ πραγμάτων, καὶ ἐπὶ ὀβελίσκων, καὶ ἐπὶ λόγων. ἐπανορθοῦν δὲ ἐπὶ μόνων λόγων.

Διαπολιτεύεσθαι καὶ ἀντιπολιτεύεσθαι διαφέρει. διαπολιτεύεσθαι μὲν γὰρ λέγουσι τοὺς ἐκ τῆς πόλεως. ἀντιπολιτεύεσθαι δὲ τοὺς ἐξ ἑτέρας ἀντιδιαστατοῦντας ἀλλήλοις. Θεόπομπος δὲ καὶ τοὺς ἐν μιᾷ πόλει φιλοτιμουμένους πρὸς ἀλλήλους ἀντιπολιτεύεσθαι ἔφη.

Διδάσκαλος καὶ ἐπιστάτης διαφέρει. διδάσκαλος μὲν γάρ ἐστι λόγων. ἐπιστάτης δ' ἔργων.

Διαγέλεται μὲν ὁ διδοὺς λόγον καὶ λαμβάνων. λαλεῖ δὲ ὁ μὴ σπουδαιολογούμενος, λέγει δὲ καὶ ὁ κατὰ διέξοδον ἐπεξιὼν πρᾶγμα. φάσκει δὲ ὁ βραχυλόγος.

Δίκη ἥτε κρίσις, καὶ ἡ τιμωρία, καὶ τὸ δίκαιον.

Δοκιμάσατο τοῦ δοκιμάσατο διαφέρει. τὸ μὲν γὰρ δοκιμάσατο σημαίνει τὸ ἔδοξε. τὸ δὲ δοκιμάσατο, ἀντὶ τοῦ ἐδίκασε.

Δοῦλοι καὶ οἰκέται διαφέρουσι. δοῦλοι μὲν γάρ εἰσι καὶ οἱ τῶν ἐθνῶν, καὶ πάντες οἱ ὑποτεταγμένοι ὑπὸ βασιλέα, οἰκέται δὲ δεσποτῶν.

Δόξα καὶ κλέος διαφέρει, δόξα μέν ἐστιν ὁ παρὰ τῶν πολλῶν ἔπαινος. κλέος δὲ ὁ παρὰ τῶν σπουδαίων.

Δύναμις καὶ ἰσχὺς διαφέρει. ὥς φησι Πλάτων ἐν Πρωταγόρᾳ. οὐ γὰρ ταυτόν ἐστι δύναμίν τε καὶ ἰσχύν. ἡ μὲν γὰρ δύναμις καὶ ἀπὸ ἐπιστήμης γίνεται, καὶ μανίας, καὶ θυμοῦ. ἡ δὲ ἰσχὺς ἀπὸ φύσεως, καὶ εὐτροφίας τῶν σωμάτων.

Δυσπειθὴς καὶ ἀπειθὴς διαφέρει. δυσπειθὴς γάρ ἐστιν ὃς δυσχερῶς παραδέχεται τὸν πιστὸν λόγον. ἀπειθὴς δὲ ὃς ἀποκρούεται, καὶ οὐχ οἷός τέ ἐστι πείθεσθαι.

Δῶμα καὶ δωμάτιον διαφέρει. δῶμα μὲν γὰρ κοινῶς τὸ οἰκοδόμημα. δωμάτιον δὲ ὁ θάλαμος.

Δωροδοκία ἥτε δόσις τῶν δώρων καὶ ἡ λῆψις.

Ἐγχρίσαι καὶ ἐναλείψαι διαφέρει. ἐγχρίσαι μὲν γὰρ ἐπὶ σκορπίου, ἢ σφηκῶν ἢ τινος τοιούτου λέγεται. ἐναλείψαι δὲ τῶν ὀφθαλμῶν.

Ἐγγυᾷ καὶ ἐγγυᾶται διαφέρει. ἐγγυᾷ μὲν γὰρ ὁ διδούς. ἐγγυᾶται δ' ὁ λαμβάνων.

Ἐδίδαξε καὶ ἐδιδάξατο διαφέρει. ἐδίδαξε μὲν γὰρ ὁ καθηγητής. ἐδιδάξατο δ' ὁ πατὴρ συστήσας. Ἀριστοφάνης ἐν Νεφέλαις. ἐδιδαξάμην μέντοι νὴ Δί᾽ ὦ μέλε.

Εἰκὼν καὶ προτομὴ διαφέρει. εἰκὼν μὲν γάρ ἐστιν ἐπ᾽ ἀνθρώπου, προτομὴ δὲ λέοντος, καὶ ἵππου, καὶ τῶν ἄλλων.

Ἐκκλησία καὶ κατάκλησις διαφέρει. ἐκκλησίαν μὲν γὰρ ἔλεγον οἱ Ἀθηναῖοι τὴν σύνοδον τῶν κατὰ τὴν πόλιν. κατάκλησις δὲ ὁπότε καὶ τοὺς ἐκ τῶν ἀγρῶν συνεκάλουν, πρὸς ἐπίσκεψιν μείζονα τῶν πραγμάτων.

Ἐκεῖ καὶ ἐκεῖσε διαφέρει. τὸ μὲν γὰρ ἐκεῖ δηλοῖ τὸ ἐν τόπῳ. τὸ δὲ ἐκεῖσε εἰς τόπον· οὕτως ἐροῦμεν· ἐκεῖ κατέλαβεν αὐτὸν, καὶ ἐκεῖσε πορεύσομαι.

Ἐκπολεμῶσαι καὶ ἐκπολεμῆσαι διαφέρουσιν· ἐκπολεμῶσαι μὲν γάρ ἐστι τὸ εἰς τὸν πόλεμον ἐμβαλεῖν. ἐκπολεμῆσαι δὲ τὸ πόλιν ἐξελεῖν.

Ἔκγονος καὶ ἀπόγονος διαφέρει. ἔκγονος μὲν γάρ ἐστιν ὁ υἱὸς, φησὶ γὰρ Ὅμηρος. εἰ ἐτεόν γ᾽ ἐκείνου ἔκγονός ἐστι, σέβας μ᾽ ἔχει εἰσορόωντα. καὶ δι᾽ ὅλης τῆς ποιήσεως τετήρηκεν. ἀπόγονος δ᾽ ὁ υἱωνὸς, ἢ ἔτι ἄποθεν. καταχρῶνται δ᾽ ἔσθ᾽ ὅτε οἱ ἱστορικοὶ τῷ ἀπογόνῳ ἀντὶ υἱοῦ.

Ἐκμαρτυρία μαρτυρίας ἔν τινι διαφέρει. δηλοῖ Μενέαρχος ἐν τῷ κατὰ Κλεωνίδου λέγων, ἀναγνώσεται δὲ τῶν μὲν ἐπιδημούντων τὰς μαρτυρίας, τῶν δὲ ἀποδημούντων ἐκμαρτυρίας.

Ἕλκος ὠτειλῆς διαφέρει. ἕλκος μὲν γάρ ἐστι χρόνιον πάθος, μόνον ἐκ σιδήρου γινόμενον, ἔστι δ᾽ ὅτε καὶ ἐξ αὐτομάτου, εἴρηται δὲ παρὰ τὸ διελκύσθαι τὴν σάρκα. ὠτειλὴ δέ ἐστιν ἡ ἐκ τοῦ συνεγγὺς ἀπὸ σιδήρου πληγή.

Ἐλέατρος καὶ ἐδέατρος διαφέρει. ἐλέατρος μὲν γάρ ἐστιν ὁ μάγειρος παρὰ τοῖς ἐλεοῖς. τράπεζαι δ᾽ εἰσὶ μαγειρικαί, Ὅμηρος, καὶ ἐν ἐλεοῖσιν ἔχευαν. ἐδέατρος δὲ ὁ προστάτης παρὰ τὰ ἐδέσματα.

Ἐμβάδες καὶ ἔμβατα διαφέρει. ἐμβάδες μὲν τὰ κωμικὰ ὑποδήματα. ἔμβατα δὲ τὰ τραγικά.

Ἐμεῖο καὶ μεῖο διαφέρει. ἐμεῖο μὲν γάρ ἐστιν ἀσύναρθρον, ὡς Ὅμηρος. ἐμεῖο δὲ συνήθεο μύθων. τὸ δὲ μεῖο συνάρθρον, τοῦ ἐμεῖο παιδὸς, καὶ μνῆσαι πατρὸς σοῖο θεοῖς ἐπιείκελ᾽ Ἀχιλλεῦ, ἀντὶ τοῦ πατρός.

Ἐμπειρία πείρας διαφέρει. πεῖρα μὲν ἡ ἐφ᾽ ἑνὸς ἢ δύο γνῶσις ἐστὶ δοκιμαζομένη. ἐμπειρία δὲ ἡ ἐκ τῶν πολλῶν καταλήψεις βεβαία. πάλιν δὲ τέχνη ἐμπειρίας διαφέρει, ὅτι ἡ μὲν ἐν τοῖς κανόσιν. ἡ γραμματικὴ δὲ τέχνη ἀδιάπτωτος, ὡς καὶ ἡ ἐπιστήμη.

Ἔνδον καὶ ἔσω διαφέρει. ἔνδον μὲν γὰρ τὸ ἐν τόπῳ σημαίνει. ἔσω δὲ τὸ εἰς τόπον. ἔνδον μὲν γάρ ἐστιν ὁ παῖς. ἔσω δὲ εἰσέρχομαι. ἁμαρτάνει οὖν ὁ λέγων, ἔνδον εἰσέρχομαι, ἢ ἔσω ἐστὶν ὁ παῖς. Σοφοκλῆς τὴν διαφορὰν συγχεῖ, φησὶ γὰρ ἐν Τραχινίαις. γυναῖκες αἵ τ᾽ ἔσω στέγης, αἵ τ᾽ ἐκτός. δέον εἰπεῖν γυναῖκες αἵ τ᾽ ἔνδον. καὶ Εὐριπίδης ἐν Ἡρακλείδαις, καὶ τὸν γέροντα τόν τ᾽ ἔσω γραῖαν δόμων. ἀντὶ τοῦ ἔνδον. Εὔβουλος ὁ τῆς μέσης κωμῳδίας ποιητὴς ἐν Καλαθηφόροις. ὅπως δ᾽ ἀπολύσεσθ᾽ ὅτι τις γέρων ἔσω. δέον εἰπεῖν ἔνδον.

Ἐνταυθοῖ καὶ ἐνταῦθα καὶ ἐνθάδε διαφέρει. ἐνταυθοῖ μὲν τὴν ἐν τόπῳ σημασίαν δηλοῖ. ἐνταῦθα δὲ καὶ τὴν ἐν τόπῳ, καὶ τὴν εἰς τόπον, ὁμοίως καὶ τὸ ἐνθάδε. τὸ δ᾽ ἐνταῦθα, καὶ ἐνθάδε, καὶ τὴν ἐν τόπῳ, καὶ τὴν εἰς τόπον, καὶ ἀντὶ χρονικοῦ ἐπιρρήματος τοῦ τότε. ἰδεῖν μὲν οὖν τοῦ ἐνταυθοῖ. ἐνταυθοῖ νῦν ἧσο κύνας ἀπερύκων. ἰδεῖν δὲ τοῦ ἐνταῦθα, Σοφοκλῆς ἐν Ἠλέκτρᾳ, ἐνταῦθα πέμψειεν, ἔνθα μήποθ᾽ ἡλίου φέγγος κατόψει. ἔχει γὰρ καὶ τὴν εἰς τόπον σημασίαν, καὶ τὴν ἐν τόπῳ. ὁμοίως καὶ ἰδεῖν τοῦδε. ἐνθά φησιν ἡ Καλυψὼ ἐνθάδε καὖθι μένων σὺν ἐμοὶ τόδε δῶμα φυλάσσοις. Ἕκτωρ φησί, σὲ δ᾽ ἐνθάδε γῦπες ἔδονται. ταῦτα γὰρ τὴν ἐν τόπῳ σημασίαν δηλοῖ. τὰ δ᾽ εἰς τόπον οὕτως. τοῦ δ᾽ αὐτοῦ λῦτο γούνατα καὶ φίλον ἦτορ. τοῦ δ᾽ αὐτοῦ Λυκάβαντος ἐλεύσεται ἐνθάδ᾽ Ὀδυσσεύς. ἀπὸ τοῦ ἔνθα ἐν τόπῳ. ἔνθα μὲν Αἴας κεῖται ἀρήϊος, ἔνθα δ᾽ Ἀχιλλεύς. εἰς τόπον. ἔνθα καταπλεόμεσθα καί τις θεὸς ἡγεμόνευεν. ἀντὶ χρονικοῦ ἐπιρρήματος τοῦ τότε, ἔνθ᾽ αὖ Τυδείδῃ Διομήδεϊ Παλλὰς Ἀθήνη.

Ἐνθύμημα καὶ ἐνθύμιον διαφέρει. ἐνθύμημα μὲν γάρ ἐστι ποιοῦ λόγου σχῆμα. τὸ δ᾽ ἐνθύμιον ἐπὶ θεοῦ ἰδεῖν τοῦ προστροπαίου παρ᾽ Ἀττικοῖς. ὁ γοῦν Ἀντιφῶν ἐν τοῖς Φοινικοῖς φησι. τεθνεὼς οὗτος ὑμῖν ἐνθύμιος γενήσεται.

Ἔνδοξος καὶ ἐπίδοξος διαφέρει. ἔνδοξος μὲν γάρ ἐστιν ὁ ἐπίσημος. ἐπίδοξος δὲ ὁ προσδοκώμενος, καὶ ἐλπιζόμενος.

Ἕνεκα καὶ χάριν διαφέρει. ὁ μὲν γὰρ ἕνεκα ψιλὴν τὴν αἰτίαν δηλοῖ. οἷον ἕνεκα Ἀλεξάνδρου, καὶ ἕνεκα Ἑλένης ἐστράτευσε Μενέλαος. ὁ δὲ χάριν μετὰ τῆς αἰτίας δηλοῖ καὶ τὴν χάριν. χάριν Μενελάου Ἀχιλλεὺς ἐστράτευσε, τουτέστι, Μενελάῳ χαριζόμενος.

Ἐννοεῖν καὶ ἐννοεῖσθαι διαφέρει. ἐννοεῖν μὲν γὰρ ἄφνω μὴ εἰδότας. ἐννοεῖσθαι δὲ ἀπὸ μακροῦ διαλογιζόμενος.

Ἐξ ὅσου καὶ ἐξ ὅτου διαφέρει. ἐξ ὅσου μὲν γὰρ χρόνου. ἐξ ὅτου δὲ τοῦ ἐξ οὗτινος.

Ἐξανέψιοι καὶ ἐξανεψιοὶ διαφέρει, καὶ βαρυτόνως προφέρονται τοὔνομα. φησὶ γὰρ Τρύφων ἐν δευτέρῳ περὶ Ἀττικῆς προσῳδίας. ἐξανέψιοι, ὡς ἀμφίμυνοι, ἀναστελλομένης τῆς ὀξείας

ἐκ τοῦ ἀνεψιοῦ ὀνόματος ἐξωνομασμένοι. εἰσὶ δὲ οἱ μὲν ἀνεψιοὶ τῶν ἀδελφῶν παῖδες, καθὰ καὶ ἡμεῖς ἐκδεχόμεθα. ἐξανέψιοι δὲ οἱ τῶν ἀνεψιῶν παῖδες.

Ἐοικότα εἰκότων διαφέρει. τὰ μὲν γὰρ πίστεως ἐχόμενα. τὰ δ᾽ ἐμφερῆ ἐοικότα.

Ἐπικήδειος, καὶ θρῆνος διαφέρουσι. ἐπικήδειον μὲν γάρ ἐστι τὸ ἐπὶ τῷ κήδει. θρῆνος δὲ τὸ ἐν ᾠδῇ, οὔτω φύσεων. Ἀριστοκλῆς δὲ ὁ Ῥόδιος ἐν τῷ περὶ ποιητικῆς τοὔμπαλιν. φησὶ γὰρ, θρῆνος δ᾽ ἐστὶν ᾠδὴ τῆς συμφορᾶς, οἰκεῖον ὄνομα ἔχουσα, ὀδυρμὸν ἔχει σὺν ἐγκωμίῳ τοῦ τελευτήσαντος. τινὲς μὲν οὖν κοινῶς πάντα εἶπον θρήνους. οἱ δὲ διαφέρειν, θρῆνόν τε καὶ ἐπικήδειον. τὸν θρῆνον ᾄδεσθαι παρ᾽ αὐτὴν τὴν συμφορὰν πρὸ τῆς ταφῆς, καὶ μετὰ τὴν ταφήν. καὶ κατὰ τὸν ἐνιαύσιον χρόνον τὰς κηδείας ᾀδομένους ὑπὸ τῶν θεραπαινίδων, καὶ τῶν σὺν αὐταῖς. τὸ δ᾽ ἐπικήδειον ἔπαινόν τινα τοῦ τελευτήσαντος μετά τινος μετρίου σχετλιασμοῦ.

Ἐπιστρεφὴς εὐστρεφοῦς διαφέρει. ἐπιστρεφὴς ὁ προσεκτικὸς, καὶ ἐπιμελής. εὐστρεφὴς δ᾽ ὁ ἐπιδέξιος ἐν ταῖς μεταβολαῖς.

Ἐπίκουροι καὶ σύμμαχοι διαφέρουσι. ἐπίκουροι μὲν γάρ εἰσιν, οἱ τοῖς πολεμουμένοις βοηθοῦντες, καὶ συλλαμβανόμενοι. σύμμαχοι δὲ οἱ τῶν πολεμούντων. Ὅμηρος δι᾽ ὅλης ἐφύλαξε τῆς ποιήσεως τὴν διαφοράν. οὐκ ἔστιν οὖν παρ᾽ αὐτῷ ἐπικούρους Ἑλλήνων λεγομένους, ἀλλὰ Τρώων.

Ἐπιστεῖλαι καὶ ἐπισκῆψαι διαφέρουσι. ἐπιστεῖλαι μὲν διὰ γραμμάτων. ἐπισκῆψαι δὲ διὰ λόγων.

Ἐπαγγέλλει καὶ ἐπαγγέλλεται διαφέρει. ἐπαγγέλλει μὲν τὸ προστάσσει. ἐπαγγέλλεται δὲ τὸ ὑπισχνεῖται. ὑπισχνεῖται δὲ ὁ τῷ αἰτήσαντι δώσειν ὁμολογήσας. ἐπαγγέλλεται δὲ ὁ ἀφ᾽ ἑαυτοῦ δώσειν ὁμολογήσας.

Ἐπιτίμιον καὶ ἐπίτιμον διαφέρει. ἐπιτίμιον μὲν γὰρ ἡ ζημία. ἐπίτιμον δὲ τὸ τῆς τιμῆς μετέχον. ὥστε οὐ δεῖ λέγειν ἐξέτισε τὸ ἐπίτιμον, ἀλλ᾽ ἐξέτισε τὸ ἐπιτίμιον.

Ἐπικηρύξαι καὶ ἐπικηρυκεύσασθαι διαφέρει. ἐπικηρύξαι μὲν γὰρ ἔλεγον τὸ ὑποσχέσθαι χρήματα, δώσειν τῷ συλλαβόντι. καὶ ἀναγορεύοντες ἢ ἀποκτείναντί τινα τῶν καταδικασθέντων, οἱ Ἀθηναῖοι ἐπικήρυξαν εἰ μέν τις ζῶντα ἀναγάγοιτο δι᾽ ἀγορᾶς τὸ μέλλον δώσειν τάλαντον, εἰ δ᾽ ἀνέλοιτο ἥμισυ. ἐπικηρυκεύεσθαι δὲ ἔλεγον τὸ περὶ συμβιβάσεως καὶ σπονδῶν τὰς πόλεις κήρυκας πρὸς ἀλλήλας διαπέμψασθαι.

Ἐπίτιμος καὶ ἐπιτίμιος διαφέρει. ἐπίτιμος μὲν ἐστὶ ὁ ἔντιμος, ἐπιτίμιος δὲ ὁ ἐπιζήμιος, καὶ ἐπίπληκτος. ἀφ᾽ οὗ τὴν ἐπίπληξιν ἐπιτίμιον φαμὲν, καὶ ἐπιτίμησον αὐτῷ, ἀντὶ τοῦ ἐπίπληξον.

Ἐπιχαίρειν καὶ συγχαίρειν διαφέρει. ἐπιχαίρειν μὲν γάρ ἐστι τὸ συνεπιγελᾶν τοῖς ἀλλοτρίοις κακοῖς. συγχαίρειν δὲ τὸ συνήδεσθαί τινος ἀγαθοῖς.

Ἐπιδοτικὸς μέν ἐστιν ὁ δεομένοις ἐπιδιδούς. μεταδοτικὸς δὲ καὶ φίλοις.

Ἐρωτᾶν τοῦ πυνθάνεσθαι διαφέρει. πυνθάνεσθαι μὲν γάρ ἐστι τὸ κατ᾽ ἀκολουθίαν διεξοδικῶς ἀκούειν τὰ ὑπό τινος λεγόμενα αὐτὸν οὐ δ᾽ ἐρωτῶντα. ἐρωτᾶν δὲ τὸ ἐθέλειν τινὰ κεφαλαιώδη λαβεῖν ἀπόφασιν, περὶ τοῦ ὑποκειμένου πράγματος. ὁ γοῦν Τηλέμαχός φησι πρὸς Νέστορα. εἴρεαι ὁππόθεν εἰμὲν, ἐγὼ δέ κέ τοι καταλέξω. καὶ Ἀχιλλεύς φησιν. ἀλλ᾽ ἴθι νῦν Πάτροκλε διίφιλε, Νέστορ᾽ ἔρειο ὅν τινα τοῦτον ἄγει. ὅτι δὲ τοῦ πυνθάνεσθαι ἐπὶ ψιλοῦ τοῦ ἀκούειν τάσσεται, φανερὸν ἐκ τοῦ λέγειν Τηλέμαχον, νῦν δ᾽ ὅτε μέγας εἰμὶ, καὶ ἄλλων μῦθον ἀκούων πυνθάνομαι καὶ δή μοι ἀέξεται ἔνδοθι θυμός. καὶ Ὀδυσσεύς φησι, πυνθανόμην ἰθάκης γε καὶ ἐν Κρήτῃ εὐρείῃ. κατὰ δὲ τοὺς φιλοσόφους ἐρώτησίς ἐστι φράσις συμβολικὴ ἀπόκρισιν ζητοῦσα, οἷον νέον, ἀμφίβολον, σαφές, ἄδηλον. αὗται γὰρ αἱ πέντε ἀποφάσεις, συμβολικαὶ καλοῦνται. ἔστι μέντοι γε ὅτε οὐχ οὕτως, ἀλλ᾽ ἑτέρως ἀρκεῖ νομίζειν πρὸς τὰς ἐρωτήσεις, οἷον ἡμέρα ἐστί. καὶ πῶς, ἡμέρα ἐστὶν ἡμέρα. καὶ οὕτως, ἡμέρα ἐστίν. πεῦσις δέ ἐστι λέξις πρὸς ἣν οὐκ ἔστι συμβολικῶς ἀποκρίνεσθαι, οἷον, ποῦ οἰκεῖ Ἀρίστων; φησὶ γὰρ, ἐν τῷδε τῷ τόπῳ. καὶ ποῖος ἔβη Ἀνδρόμαχος; ἢ δ᾽ ἀποκρίνεται, ὅτι ἐπὶ πύργον ἔβη μέγαν Ἰλίου οὕνεκ᾽ ἄκουσε τείρεσθαι Τρῶας. οὐ γὰρ ἐνχωρεῖ ἐνταῦθα συμβολικῶς εἰπεῖν ναὶ ἢ οὔ. κατὰ τί οὖν περὶ τῆς διαφορᾶς ταύτης φέρονται, καὶ οἱ φιλόσοφοι συμφώνως τοῖς προειρημένοις. Ποτάμων περὶ τῆς διαφορᾶς φησὶν οὕτως.

Ἐρωτήσεως, πεύσεως, καὶ ἀποκρίσεως διαφέρει. ἐρώτησις μὲν γάρ ἐστι σύντομος ἀπόκρισις. πεῦσις δὲ μακρᾶς πράξεως ἀπαγγελία. ἀπόκρισις δ᾽ ὑποδεσθέντων ἐξήγησις.

Ἔρως καὶ πόθος διαφέρουσι. ἔρως μὲν γὰρ τῶν παρόντων. πόθος δὲ τῶν ἀπόντων.

Ἐρᾶν καὶ ποθεῖν διαφέρει. ἐρᾶν μὲν γάρ ἐστι τῶν ἐν ὄψει. ποθεῖν δὲ τοὺς ἀπόντας. διαστέλλει δὲ καὶ Ὅμηρος. ὡς σέο νῦν ἔραμαι, καί με γλυκὺς ἵμερος αἱρεῖ. πρὸς τὴν Ἥραν φησὶν ὁ Ζεὺς παροῦσαν. ἐπὶ δὲ τοῦ ἀπόντος, ἀλλά με σοῦ πόθος σά τε μήδεα φαίδιμ᾽ Ὀδυσσεῦ. σή τ᾽ ἀγανοφροσύνη μελιηδέα θυμὸν ἀπηύρα. φυλάσσει γὰρ ἀκριβῶς ὁ ποιητὴς τὰς τοιαύτας ἐναλλαγάς.

Ἐρωτᾶν μέν ἐστι τὸ θέλειν κεφαλαιώδη λαβεῖν ἀπόφασιν ἢ ναὶ ἢ οὔ. πυνθάνεσθαι δὲ τὸ κατὰ διέξοδον ἀξιοῦν πρᾶγμα, οἷον πῶς ἐπολεμήσατε.

Ἔρως μέν ἐστιν ἐπιβολὴ φιλοποιΐας. πόθος δ᾽ ἀπόντος, ἵμερος δ᾽ ἔρως ἀπαιτῶν τῆς πρὸς τὸν ἐρώμενον χρείας.

Ἔσται τοῦ γενήσεται διαφέρει. ἔσται μὲν γὰρ τὸ καὶ

νῦν ὄντα

ναῦ ὄντα. γεννήσει τι ἢ τὰ γεννήσεως τευξόμενα. ἐπὶ νέος πρεσβύτης ἔσται. ὅ δ' ἀτέκνῳ παῖδας γεννήσοντι. ἄλλως, ἔσται μὲν γὰρ τὸ ὑποκείμενον. οἷον ὁ παῖς ἔσται ἀνήρ. γεννήσεται δὲ τὸ ἄριστον.

Ἑστιάτωρ καὶ δαιτυμὼν διαφέρει. ἑστιάτωρ μὲν γὰρ ὁ ὑποδοχεύς. δαιτυμόνες δὲ οἱ ἑστιώμενοι.

Ἑσπέρα καὶ ὀψὲ διαφέρει. ἑσπέρα μὲν γάρ ἐστι δυσμὴ τοῦ ἡλίου. ὀψὲ δὲ βραδέως καὶ μετὰ πολὺν χρόνον. διὰ τοῦτο καὶ προστιθέασιν, ὀψὲ τῆς ἡμέρας.

Ἑταῖρος καὶ φίλος διαφέρουσιν. ὁ μὲν γὰρ φίλος καὶ ἑταῖρος, ὁ δ' ἑταῖρος οὐ πάντως φίλος, διὸ καὶ ἐπὶ τοῦ αἵμονος φησὶν ὅμηρος. πλησίστιον ἐσθλὸν ἑταῖρον. καὶ ἄλλως. φίλοι μὲν κοινῶς λέγονται πάντες οἱ τὰ τῆς φιλίας δίκαια πρὸς ἑαυτοὺς ἔχοντες. ἑταῖροι δὲ ἰδίως οἱ καὶ τῇ ἡλικίᾳ παραπλησίως ἔχοντες, καὶ ἐν συνηθείᾳ, καὶ ἐν συνεργίᾳ πολὺν χρόνον γεγονότες.

Ἑτερόφθαλμος καὶ μονόφθαλμος διαφέρουσιν. ἑτερόφθαλμος μὲν γὰρ ὁ κατά τι περίπτωσιν πηρωθεὶς τὸν ἕτερον τῶν ὀφθαλμῶν. μονόφθαλμος δὲ ὁ μόνον ὀφθαλμὸν ἔχων, ὡς ὁ κύκλωψ.

Ἕτερος καὶ ἄλλος διαφέρει. ἕτερος μὲν ἐπὶ δυοῖν τάσσεται. ὡς ὅμηρος. φολκὸς ἔην, χωλὸς δ' ἕτερον πόδα. τὸ δὲ ἄλλος ἐπὶ πολλῶν, ὡς αὐτὸς ὅμηρος, δεῖ δ' ἡμᾶς, εἴσομεν ἄλλον.

Εὐφυὴς καὶ εὐμαθὴς διαφέρει. εὐφυὴς μὲν γὰρ λέγεται παρὰ ἀττικοῖς ὁ σκωπτικός. εὐμαθὴς δὲ ὁ εἰς τὸ μαθεῖν ταχύς.

Εὑρεῖν καὶ εὑρέσθαι διαφέρει. εὑρεῖν μὲν γὰρ τὸ καὶ ἐν τῇ συνηθείᾳ. εὑρέσθαι δὲ οἱονεὶ τὸ ἐκπορίσασθαι. Μένανδρος δυσκόλῳ. εὑρηκὼς κάτω τούτου τέχνην. Δίφιλος ἐν πύῤῥᾳ. δῶρον δ' ἐμοῦ τῇ παρὰ θεῶν εὑρημένον.

Εὔμορφος εὐειδοῦς διαφέρει. εὔμορφος μὲν γὰρ ὁ τὴν μορφὴν εὖ ἔχων. οἷον εὐπρόσωπος. καὶ γὰρ τὸ τὴν ὄψιν πῶς σχηματίζειν, μορφάζειν λέγομεν. εὐειδὴς δὲ ὁ τὸ εἶδος καλῶς ἔχων, οἷον πᾶν τὸ σῶμα.

Εὐθύς, εὐθύ, καὶ εὐθέως διαφέρουσιν. εὐθὺς μὲν γὰρ ὁ κανών. εὐθὺ δὲ τὸ γυμνάσιον. αὐτὸ κατ' εὐθεῖαν τοῦ γυμνασίου. ἢ εὐθὺ τὸ κανόνιον. τὸ δ' εὐθέως ἀντὶ τοῦ χρονικοῦ ἐπιῤῥήματος ὁ οὐδὲν ἐλάσσων ἡμαρτάνει, καθὰ Μένανδρος ἐν δυσκόλῳ. τί φὴς ἰδὼν ἐνθένδε παῖς δ' ἐλευθέρων, ἀπῆλθες εὐθύς, ὡς ταχύ. τινὲς μέντοι τῶν ἀρχαίων φασί, καὶ τὸ εὐθὺς ἀντὶ χρονικοῦ κεῖσθαι. φασὶ γοῦν κατὰ λέξιν. τινὲς δὲ τὸ μὲν εὖ λέγειν, ἐπί τινος εὐθέως. οἷον ἐπὶ μὲν τοῦ θηλυκοῦ τοὔνομα ἡ εὐθεῖα ὁδός. εὐθεῖα βακτηρία. ἐπὶ δὲ ἄῤῥεν, εὐθὺς ὁ κανών. ἐπὶ δ' οὐδέτερον, εὐθὺ τὸ ξύλον. οἱ δὲ ἀρχαῖοι. ἐνίοτε τὸ εὐθὺ ἐπὶ θέσιν, τὸ ἐφ' ὅλου τῆς τεινούσης ἐπί τινος τόπου, εὐθὺ τῆς στοᾶς. εὐθὺ τῶν ἀφωμένων. τὸ δὲ κατὰ τοὺς χρόνους οὐ λέγεται, ἀλλ' εὐθὺς οἷον γήμαντος δ' αὐτοῦ, εὐθὺς ἔσομ' ἐλεύθερος, καὶ ὡς τοῦτ' εἶδεν εὐθὺς ἄνω κάτω.

Εὐφραίνεσθαι καὶ ἥδεσθαι διαφέρει. Πλάτων πρωταγόρᾳ, εὐφραίνεσθαι μὲν γάρ ἐστι, μανθάνοντά τι καὶ φρονήσεως μεταλαμβάνοντα αὐτῇ τῇ διανοίᾳ. ἥδεσθαι δὲ ἐσθίοντά τι αὐτῷ τῷ σώματι.

Εὐθὺς καὶ εὐθὺ διαφέρει. τὸ μὲν γὰρ εὐθὺς χρόνιόν ἐστιν ἐπίῤῥημα. τὸ δὲ εὐθὺ, τὸ ἐξ ἐναντίας δηλοῖ.

Εὐεργεσία καὶ χάρις διαφέρει. εὐεργεσία μὲν γάρ ἐστιν ἡ μεγάλη χάρις. χάρις δὲ ἡ ἐλάττων. οἷον χιτῶνα, ἢ κλίνην χαρίζεται. εὐεργετεῖ δὲ οὔ.

Εὐθὺ καὶ ὀρθὸν διαφέρει. τὸ μὲν γὰρ εὐθὺ ἀντίκειται τῷ στρεβλῷ. τὸ δὲ ὀρθόν, τῷ πλαγίῳ.

Εὖ τοῦ καλῶς διαφέρει. εὖ μὲν τὸ ὀρθῶς σημαίνει. καλῶς δὲ τὸ χρήσιμον συνηρημένως. τὸ οὖν εὖ καὶ καλῶς σημαίνει ὀρθῶς, καὶ χρησίμως.

Ἐχθρὸς πολεμίου, δυσμενοῦς διαφέρει. ἐχθρὸς μὲν γάρ ἐστιν ὁ πρότερον φίλος. πολέμιος δ' ὁ μεθ' ὅπλων χωρῶν πέλας. δυσμενὴς δ' ὁ χρόνιον πρὸς τόν ποτε φίλον τὸ μῖσος διατηρῶν, καὶ δυσδιαλλάκτως ἔχων.

Ζῆλος καὶ ζηλοτυπία διαφέρει. ζηλοτυπία μὲν γάρ ἐστιν αὐτὸ τὸ πάθος, ἤγουν τὸ ἐν μίσει ὑπάρχον. ζῆλος δὲ μίμησις καλοῦ. οἷον ζηλοῖ τὸν καθηγητὴν ὁ παῖς, ζηλοῖ δὲ γείτονα γείτων. ἡσίοδος. ἐπὶ καλοῦ. ζηλοτυπεῖ δὲ ἡ δεῖνα τόνδε.

Ζηλῶσαι τοῦ ἐρίσαι διαφέρει. ζηλῶσαι μὲν γάρ ἐστι τὸ σὺν ἐπιθυμίᾳ μιμεῖσθαι. ἐρίζειν δὲ τὸ μετὰ μάχης φιλονεικεῖν.

Ζῆλος φθόνου διαφέρει. ζῆλος μὲν γάρ ἐστιν ἡ δι' ἐπιθυμίαν μίμησις γινομένη, δοκοῦντός τινος καλοῦ. φθόνος δὲ βασκανία τις τῶν ἄλλοις μὲν προσόντων ἀγαθῶν ἡμῖν δ' οὔ.

Ζῆλος μέν ἐστι λύπη ἐπ' ἀλλοτρίοις ἀγαθοῖς, διὰ καὶ ἑαυτῷ τι ἐπιθυμεῖ τοιοῦτο ποιῆσαι.

Ζήλου τρία εἴδη. ὁ μὲν γάρ ἐστι μακαρισμός. καθὰ καὶ φησί τις. ζηλῶ σε τοῦ δεῖνα ἐπὶ τῷδε. δεύτερος καθὸ ζηλωτής τινος λέγεται. οἷον θησεὺς ἡρακλέους. τρίτος δὲ ὁ φθόνῳ ὅμοιος.

Γέρων καὶ πρεσβύτης, καὶ προβεβηκὼς διαφέρει. ἀλεξίων δηλοῖ ἐν τῇ ἐπιτομῇ τῶν διδύμου συμμίκτων λέγων οὕτως ἐκ τῶν ἀρίστωνος περὶ ἀνθρώπου γενέσεως καὶ αὐξήσεως ἄχρι γήρως, βρέφος μὲν γάρ ἐστι τὸ γεννηθὲν εὐθέως. παιδίον δὲ τὸ τρεφόμενον ὑπὸ τιθηνοῦ. παιδάριον δὲ τὸ ἤδη περιπατοῦν, καὶ τῆς λέξεως ἀντεχόμενον. παιδίσκος δ' ὁ ἐν τῇ ἐχομένῃ ἡλικίᾳ. παῖς δ' ὁ διὰ τῶν ἐγκυκλίων μαθημάτων δυνάμενος ἰέναι, τὴν δ' ἐχομένην ταύτης ἡλικίαν, οἱ μὲν πάλληκα, οἱ δὲ βούπαιδα, οἱ δ' ἀντίπαιδα, οἱ δὲ μελλέφηβον καλοῦσιν, ὁ δὲ μετὰ ταῦτα ἔφηβος, ἐν δὲ κυρήνῃ τοὺς ἐφήβους τριακατίους καλοῦσιν, ἐν δὲ κρήτῃ ἀποδρόμους διὰ τὸ μηδέπω τῶν κοινῶν δρόμων μετέχειν. ὁ δὲ μετὰ ταῦτα μειράκιον, εἶτα μεῖραξ, εἶτα νεανίσκος, εἶτα νεανίας, εἶτα ἀνὴρ μέσος, εἶτα προβεβηκώς. ὃν καὶ ὠμογέροντα καλοῦσιν, εἶτα γέρων, εἶτα πρεσβύτης, εἶτα ἔσχατος γέρων.

Γελοῖον καὶ εὐτράπελον διαφέρει. γελοῖον μὲν γάρ ἐστι τὸ ἐπὶ διαχύσει τῶν ἀκροατῶν χωρίς τινος ὕβρεως. εὐτράπελον δὲ τὸ μετὰ σεμνότητος χαριέντως λεγόμενον. εἴρηται δὲ παρὰ τὸ εὖ τρέπεσθαι τὸν λόγον.

Γέλοιος καὶ γελοῖος διαφέρει. γέλοιος μὲν ὁ καταγέλαστος. γελοῖος δὲ ὁ γελωτοποιός.

Γῆμαι τοῦ γήμασθαι διαφέρει. ὅτι γαμεῖ μὲν ὁ ἀνήρ. γαμεῖται δὲ ἡ γυνή. καὶ ὅμηρος τὴν διαφορὰν τετήρηκεν αὐτῶν, ἐπὶ τοῦ γήμασθαι εἰπών, γημαμένη ᾧ υἱῷ. ὁ δ' ὃν πατέρ' ἐξεναρίξας γῆμε. καὶ ἀνακρέων διασύρων τινὰ ἐπὶ θηλύτητι. καὶ θαλάμοις ἐν ᾧ κεῖνος οὐκ ἔγημεν, ἀλλ' ἐγήματο. καὶ αἰσχύλος ἐν ἀμυμώνῃ. σοὶ μὲν γὰρ γαμεῖσθαι μόρσιμον, γαμεῖν δὲ μή.

Γῆρας μὲν ἐστὶν ἡ τελευταία ἡλικία. γήρασις δὲ ἡ ἐπ' αὐτὴν πόρευσις, μήποτε οὖν ταύτῃ καὶ γηρᾶν τοῦ γηράσκειν διαφέρει.

Γράμμα στοιχείου διαφέρει. στοιχεῖον μὲν γάρ ἐστιν αὐτὴ ἡ ἐκφώνησις καὶ ὁ φθόγγος, ὃ τὸ γράμμα σημαίνει ἢ τύπος. σχῆμα, ὡς ἐν τῷ, φίτωνον μὲν γάρ ἐστι τὸ Δ. στρογγύλον δὲ τὸ ο, τύπος. τὸ δὲ στοιχεῖον τὸ ὁλόκληρον. οἷον α β. καὶ τὰ λοιπὰ στοιχεῖα καταχρηστικῶς γράμματα. καὶ τὰ γράμματα ἐκάλουν οἱ παλαιοὶ γράμματα. καλλίμαχός που φησί. γράμματα δ' οὐκ ἐλήθασιν ἀπόκρυφα. τουτέστι τὰ γράμματα, καὶ πάλιν πλάτωνος ἐν τῷ περὶ ψυχῆς γράμμα ἀναλεξάμενος. καὶ ἐν τῇ συνηθείᾳ πολλάκις φαμὲν εἰδέναι γράμματα τόνδε. οὐ γὰρ τὰ εἴκοσι τέσσαρα, ἀλλὰ τὸ τῶν πολλῶν ἔμπειρον γραμμάτων.

Γυμνασθῆναι καὶ γυμνάσασθαι διαφέρει. γυμνασθῆναι μὲν γάρ ἐστι τὸ ὑφ᾽ ἑτέρου. γυμνάσασθαι δὲ τὸ ὑφ᾽ ἑαυτοῦ.

Γυμνασία μὲν λέγεται ἡ τῶν γεγυμνασμένων ἄσκησις. ἄσκησις δὲ ἡ τῶν λεγόντων καὶ σκηνικῶν.

Δαμάλης καὶ δάμαλις διαφέρει. δαμάλης μὲν γὰρ ὁ ἄρρην μόσχος. δάμαλις δὲ ἡ θήλεια. μόσχος δὲ κοινῶς ἐπ᾽ ἀμφοτέρων.

Δαὶ σύνδεσμος ἐρωτηματικῶς ἐκτεταμένως· τίς δαὶ ὅμιλος, καὶ πῶς δαὶ τῶν ἄλλων φώτων. ὁ δὲ συμπλεκτικὸς δὲ συνεσταλμένως.

Δεσπότης καὶ κύριος διαφέρει. δεσπότης μὲν γάρ, ὁ τῶν ἀργυρωνήτων, καὶ κύριος. κύριος δὲ καὶ πατὴρ υἱοῦ καὶ αὐτός τις ἑαυτοῦ.

Δέος, καὶ φόβος διαφέρει. δέος μὲν γάρ ἐστι πολυχρόνιος κακοῦ ὑπόνοια. φόβος δὲ παραυτίκα πτόησις. διόπερ Ὅμηρος ἐν τῇ Δ, ἡμίας ἔχει φόβος τε καὶ δέος.

Δήμιος καὶ δημόκοινος διαφέρει. δήμιος μὲν γάρ ἐστιν ὁ ἀναιρῶν τοὺς καταδίκους. δημόκοινος δὲ ὁ βασανίζων.

Δημήτηρ καὶ δαμάτηρ διαφέρει. παρὰ τοῖς Ἀττικοῖς φησὶ Τρύφων. δημήτηρ γάρ φησιν ἐστὶν ἐπὶ τῆς θεοῦ. δαμάτηρ δὲ ἐπὶ θαυμασμοῦ.

Δῆμος καὶ δημὸς διαφέρει. δῆμος μὲν βαρυτόνως τὸ πλῆθος τῆς πόλεως. δημὸς δὲ ὀξυτόνως, τὸ λίπος.

Δίσκος καὶ σόλος διαφέρει. δίσκος μὲν γάρ ἐστι λίθος τετρημένος, ὥς φησι Τρύφων ἐν πέμπτῳ περὶ ἑλληνισμοῦ. σόλος δὲ τὸ χαλκοῦν ὁλοσφύρειον. Ὅμηρος σόλον αὐτοχόωνον, καὶ ἐν ἄλλοις λάβε δίσκον. εἶτ᾽ ἐπιφέρει. βόμβησε δὲ λίθος. καὶ Πίνδαρος λιθίνοις ποτ᾽ ἀνδίσκοισι.

Δικαστὴς, καὶ διαιτητὴς διαφέρει. δικαστὴς μὲν γάρ ἐστιν ὁ κατὰ νόμον αἱρεθεὶς κριτής. διαιτητὴς δὲ ὁ κατὰ συμφωνίαν αἱρεθεὶς συμβιβάσεως χάριν. Μένανδρος ἐν πέμπτῳ, εἴτις δικαστὴς ἢ διαιτητὴς θεῶν.

Διέφθαρται, καὶ διέφθορε διαφέρουσιν. διέφθαρται μὲν γὰρ ὑφ᾽ ἑτέρου, διέφθορε δ᾽ ἕτερον. Ἀριστοφάνης κόραις. διέφθορας τὸν ὄρνιν ἡμῶν. Μένανδρος, ἀδελφοῖς ἐπ᾽ ἔσχατι τὴν κόρην διεφθορώς. Ὅμηρος φρένας ἠλεὲ διέφθορας. διεφθαρμένας τὰς σαυτοῦ φρένας.

Διαβόητος, καὶ ἐπιβόητος διαφέρει. διαβόητος μὲν γάρ ἐστιν ὁ ἐπ᾽ ἀρετῇ ἐγνωσμένος, ἐπιβόητος δ᾽ ὁ μοχθηρὰν ἔχων φήμην. Αἰσχρίων ἐν β, καὶ μ᾽ ἐπιβόητον κατὰ γείτονας ποιήσεις. τοῦτον δ᾽ ἔνιοι τῶν ποιητῶν ἐπίσφατον καλοῦσιν.

Διαβόητος περιβοήτου διαφέρει. διαβόητος μὲν γάρ ἐστιν ὁ ἐπ᾽ ἀρετῇ πολυθρύλλητος. περιβόητος δὲ ὁ ἐπὶ κακίᾳ. καὶ περιβόητοι πᾶσιν ἀνθρώποις αὐτὴν ἀκρατής. καὶ [illegible] διὰ τὸ λεγόμενον, ἥττων ἑαυτοῦ πορνιδίῳ τετραοβολίῳ ἑαυτὸν οὕτω παραδέδωκεν.

Διπλοῦν καὶ διπλάσιον διαφέρει. διπλοῦν μὲν γάρ ἐστι κατὰ μέγεθος. διπλάσιον δὲ κατὰ ἀριθμόν, ὡς διπλάσιον, καὶ τετραπλάσιον, οἷον διπλάσια χρήματα ἔχει. τὸ δὲ τῶν διπλουμένων τὸ διπλοῦν, ὥσπερ ἐπὶ τῶν πτυσσομένων ἱματίων. διπλοῦν τὸ ἱμάτιον οὐκέτι διπλάσιον.

Διχότομος καὶ διχοτόμος διαφέρει. διχότομος μὲν ὁ εἰς δύο διῃρημένος. διχοτόμος δὲ ὁ εἰς δύο διαιρῶν.

Διήγησις καὶ διήγημα διαφέρει. διήγησις μὲν γὰρ καὶ ποίησίς ἐστιν ἡ ἐν μήκει, τὸ τέλειον ἔχουσα. διήγημα δὲ καὶ ποίημα τὸ βραχύτερον.

Διδάξω καὶ διδάξομαι διαφέρει. διδάξω μὲν γὰρ δι᾽ αὐτοῦ. διδάξομαι δὲ δι᾽ ἑτέρου, ὡς οἰκοδομήσω μὲν δι᾽ ἑαυτοῦ, οἰκοδομήσασθαι δὲ δι᾽ ἑτέρου.

Διφθέρα καὶ μηλωτὴ διαφέρει. διφθέρα μὲν γὰρ αἰγῶν, μηλωτὴ δὲ προβάτων.

Διορθοῦν καὶ ἐπανορθοῦν διαφέρει. διορθοῦν μὲν γὰρ καὶ ἐπὶ ὀστράκων, καὶ ἐπὶ ὀβελίσκων, καὶ ἐπὶ λόγων. ἐπανορθοῦν δὲ ἐπὶ μόνων λόγων.

Διαπολιτεύεσθαι καὶ ἀντιπολιτεύεσθαι διαφέρει. διαπολιτεύεσθαι μὲν γὰρ λέγουσι τοὺς ἐκ τῆς πόλεως. ἀντιπολιτεύεσθαι δὲ τοὺς ἐξ ἑτέρας ἀντιδιαστατοῦντας ἀλλήλοις. Θεόπομπος δὲ καὶ τοὺς ἐν μιᾷ πόλει φιλοτιμουμένους πρὸς ἀλλήλους ἀντιπολιτεύεσθαι ἔφη.

Διδάσκαλος καὶ ἐπιστάτης διαφέρει. διδάσκαλος μὲν γάρ ἐστι λόγων. ἐπιστάτης δ᾽ ἔργων.

Διαλέγεται μὲν ὁ διδοὺς λόγον καὶ λαμβάνων. λαλεῖ δὲ ὁ μὴ σπουδαιολογούμενος, λέγει δὲ καὶ ὁ κατὰ διέξοδον ἐπεξιὼν πρᾶγμα. φάσκει δὲ ὁ βραχυλόγος.

Δίκη ἥ τε κρίσις, καὶ ἡ τιμωρία, καὶ τὸ δίκαιον.

Δοάσατο τοῦ δοιάσατο διαφέρει. τὸ μὲν γὰρ δοάσατο σημαίνει τὸ ἔδοξε. τὸ δὲ δοιάσατο, ἀντὶ τοῦ ἐδίστασε.

Δοῦλοι καὶ οἰκέται διαφέρουσι. δοῦλοι μὲν γάρ εἰσι καὶ οἱ τῶν ἰδιωτῶν, καὶ πάντες οἱ ὑποτεταγμένοι ὑπὸ βασιλέα, οἰκέται δὲ δεσποτῶν.

Δόξα καὶ κλέος διαφέρει, δόξα μέν ἐστιν ὁ παρὰ τῶν πολλῶν ἔπαινος. κλέος δὲ ὁ παρὰ τῶν σπουδαίων.

Δύναμις καὶ ἰσχὺς διαφέρει. ὥς φησι Πλάτων ἐν Πρωταγόρᾳ. οὐ γὰρ ταυτόν ἐστι δύναμίν τε καὶ ἰσχύν. ἡ μὲν γὰρ δύναμις καὶ ἀπὸ ἐπιστήμης γίνεται, καὶ μανίας, καὶ θυμοῦ. ἡ δὲ ἰσχὺς ἀπὸ φύσεως, καὶ εὐτροφίας τῶν σωμάτων.

Δυσπειθὴς καὶ ἀπειθὴς διαφέρει. δυσπειθὴς γάρ ἐστιν ὃς δυσχερῶς παραδέχεται τὸν πιστὸν λόγον. ἀπειθὴς δὲ ὃς ἀπαρνεῖται, καὶ οὐχ οἷός τέ ἐστι πείθεσθαι.

Δῶμα καὶ δωμάτιον διαφέρει. δῶμα μὲν γὰρ κοινῶς τὸ οἰκοδόμημα. δωμάτιον δὲ ὁ θάλαμος.

Δωροδοκία ἥ τε δόσις τῶν δώρων καὶ ἡ λῆψις.

Ἐγχρίσαι

Ἐγχρίσαι καὶ ἐναλεῖψαι διαφέρει. ἐγχρίσαι μὲν γὰρ ἐπὶ σκορπίου, ἢ σφηκῶν ἤ τινος τοιούτου λέγεται. ἐναλεῖψαι δὲ τοὺς ὀφθαλμούς.

Ἐγγυᾷ καὶ ἐγγυᾶται διαφέρει. ἐγγυᾷ μὲν γὰρ ὁ διδούς. ἐγγυᾶται δ' ὁ λαμβάνων.

Ἐδίδαξε καὶ ἐδιδάξατο διαφέρει. ἐδίδαξε μὲν γὰρ ὁ καθηγητής. ἐδιδάξατο δ' ὁ πατὴρ συστήσας. Ἀριστοφάνης ἐν νεφέλαις. ἐδιδαξάμην μέντοι νιδίῳ μέλανι.

Εἰκὼν καὶ προτομὴ διαφέρει. εἰκὼν μὲν γάρ ἐστιν ἐπ' ἀνθρώπου, προτομὴ δὲ λέοντος, καὶ ἵππου, καὶ τῶν ἄλλων.

Ἐκκλησία καὶ κατάκλησις διαφέρει. ἐκκλησίαν μὲν γὰρ ἔλεγον οἱ Ἀθηναῖοι τὴν σύνοδον τῶν κατὰ τὴν πόλιν. κατάκλησις δὲ ὁπότε καὶ τοὺς ἐκ τῶν ἀγρῶν συνεκάλουν, πρὸς ἐπίσκεψιν μειζόνων τῶν πραγμάτων.

Ἐκεῖ καὶ ἐκεῖσε διαφέρει. τὸ μὲν γὰρ ἐκεῖ δηλοῖ τὸ ἐν τόπῳ. τὸ δὲ ἐκεῖσε εἰς τόπον οὕτως ἐροῦμεν. ἐκεῖ κατέλαβεν αὐτὸν, καὶ ἐκεῖσε πορεύομαι.

Ἐκπολεμῶσαι καὶ ἐκπολεμῆσαι διαφέρουσιν. ἐκπολεμῶσαι μὲν γάρ ἐστι τὸ εἰς τὸν πόλεμον ἐμβαλεῖν. ἐκπολεμῆσαι δὲ τὸ πόλιν ἐξελεῖν.

Ἔκγονος καὶ ἀπόγονος διαφέρει. ἔκγονος μὲν γάρ ἐστιν ὁ υἱὸς, φησὶ γὰρ Ὅμηρος. ἐπεὶ ποῖοί γ' ἐκείνου ἔκγονός ἐστι, θάμβος μ' ἔχει εἰσορόωντα. καὶ δι' ὅλης τῆς ποιήσεως τετήρηκεν. ἀπόγονος δ' ὁ ἤτοι υἱωνὸς, ἢ ἔτι ἄποθεν. καταχρῶνται δ' ἐνίοτε οἱ νεώτεροι καὶ τῷ ἐκγόνῳ ἀντὶ υἱωνοῦ.

Ἐκμαρτυρία μαρτυρίας ἐν τίνι διαφέρει. δηλοῖ Μενέαρχος ἐν τῷ κατὰ Κλεομέδοντος λέγων, ἀναγνώσεται δὲ τῶν μὲν ἐπιδημούντων τὰς μαρτυρίας, τῶν δὲ ἀποδημούντων ἐκμαρτυρίας.

Ἕλκος ὠτειλῆς διαφέρει. ἕλκος μὲν γάρ ἐστι χρόνιον πάθος, μόνον ἐκ σιδήρου γινόμενον, ἔστι δ' ὅτε καὶ ἐξ αὐτομάτου, εἴρηται δὲ παρὰ τὸ διελκύσθαι τὴν σάρκα. ὠτειλὴ δ' ἐστὶν ἡ ἐκ τοῦ παραχρῆμα ἀπὸ σιδήρου πληγή.

Ἐλέαφος καὶ ἐδέαφος διαφέρει. ἐλέαφος μὲν γάρ ἐστιν ὁ μάγειρος παρὰ τοῖς Ἠλείοις. φάσκουσι δ' εἰσὶ μάγειροι καὶ, Ὅμηρος, καὶ ἐν ἐλεοῖσιν ἔχευαν. ἐδέαφος δὲ ὁ προστάτης παρὰ τὰ ἐδέσματα.

Ἐμβάδες καὶ ἔμβαται διαφέρει. ἐμβάδες μὲν γὰρ τὰ κωμικὰ ὑποδήματα. ἔμβαται δὲ τὰ τραγικά.

Ἐμεῖο καὶ μεῖο διαφέρει. ἐμεῖο μὲν γάρ ἐστιν ἀσύναρθρον, ὡς Ὅμηρος. ἐμεῖο δὲ συνήθεο μύθων. τὸ δὲ μεῖο συναρθρον, τοῦ ἐμεῖο παιδὸς, καὶ μνῆσαι πατρὸς σοῖο θεοῖς ἐπιείκελ' Ἀχιλλεῦ, ἀντὶ τοῦ πατρός.

Ἐμπειρία πείρας διαφέρει. πεῖρα μὲν ἡ ἐφ' ἑνὸς ἢ δύο γνῶσις ἐστι δοκιμαζομένη. ἐμπειρία δὲ ἡ τῶν πολλῶν κατάληψις βεβαία. πάλιν δὲ τέχνη ἐμπειρίας διαφέρει, ὅτι ἡ μὲν ἐν τοῖς κοινοῖς. ἡ γραμματικὴ δὲ τέχνη ἀδιάπτωτος, ὡς καὶ ἡ ἐπιστήμη.

Ἔνδον καὶ ἔσω διαφέρει. ἔνδον μὲν γὰρ τὸ ἐν τόπῳ σημαίνει. ἔσω δὲ τὸ εἰς τόπον. ἔνδον μὲν γάρ ἐστιν ὁ παῖς. ἔσω δὲ εἰσέρχομαι. ἁμαρτάνει οὖν ὁ λέγων, ἔνδον εἰσέρχομαι, ἢ ἔσω ἐστὶν ὁ παῖς. Σοφοκλῆς τὴν διαφορὰν συγχεῖ, φησὶ γὰρ ἐν Τραχινίαις. γυναῖκες αἵ τ' ἔσω στέγης, αἵ τε ἐκτός. δέον εἰπεῖν γυναῖκες αἵ τ' ἔνδον. καὶ Εὐριπίδης ἐν Ἡρακλείδῃ, καὶ τὸν γέροντα τήν τ' ἔσω γραῖαν δόμων. ἀντὶ τοῦ ἔνδον. Εὔβουλος ὁ τῆς μέσης κωμῳδίας ποιητὴς ἐν Καλαθηφόροις. ὅπως ἂν ἀπολύσεσθ' ὅτι τις γέρων ἔσω. δέον εἰπεῖν ἔνδον.

Ἐνταυθοῖ καὶ ἐνταῦθα καὶ ἐνθάδε διαφέρει. ἐνταυθοῖ μὲν τὴν ἐν τόπῳ σημασίαν δηλοῖ. ἐνταῦθα δὲ καὶ τὴν ἐν τόπῳ, καὶ τὴν εἰς τόπον, ὁμοίως καὶ τὸ ἐνθάδε. τὸ δ' ἐνταῦθα, καὶ ἐνθάδε, καὶ τὴν ἐν τόπῳ, καὶ τὴν εἰς τόπον, καὶ ἀντὶ χρονικοῦ ἐπιρρήματος τοῦ τότε. ἤδη μὲν οὖν τοῦ ἐνταυθοῖ. ἐνταυθοῖ νῦν ἧσο κυνὸς ἀπορύκων. ἤδη δὲ τοῦ ἐνταῦθα, Σοφοκλῆς ἐν Ἠλέκτρᾳ, ἐνταῦθα τύμψαι, ἔνθα μή ποθ' ἡλίου φέγγος καθορᾷ. ἔχει γὰρ καὶ τὴν εἰς τόπον σημασίαν, καὶ τὴν ἐν τόπῳ. ὁμοίως καὶ ἤδη τὸ ἐνθάδε. ἐνθάδε φησὶν ἡ Καλυψὼ ἐνθάδε κ' αὖθι μένων σύν ἐμοὶ τόδε δῶμα φυλάσσοις. Ἕκτωρ φησί, σὲ δ' ἐνθάδε γῦπες ἔδονται. ταῦτα γὰρ τὴν ἐν τόπῳ σημασίαν δηλοῖ. τὰ δ' εἰς τόπον οὕτως. τοῦ δ' αὐτοῦ λῦτο γούνατα καὶ φίλον ἦτορ. τοῦ δ' αὐτοῦ Λυκάβαντος ἐλεύσεσθαι ἐνθάδ' Ὀδυσσεύς. ἀπὸ τοῦ ἔνθα ἐν τόπῳ. ἔνθα μὲν Αἴας κεῖται ἀρήϊος, ἔνθα δ' Ἀχιλλεύς. εἰς τόπον. ἔνθα κατεπλέομεν καί τις θεὸς ἡγεμόνευεν. ἀντὶ χρονικοῦ ἐπιρρήματος τοῦ τότε, ἔνθ' αὖ Τυδείδῃ Διομήδεϊ Παλλὰς Ἀθήνη.

Ἐνθύμημα καὶ ἐνθύμιον διαφέρει. ἐνθύμημα μὲν γάρ ἐστι ποιοῦ λόγου σχῆμα. τὸ δ' ἐνθύμιον ἐπίθετον ἤδη τοῦ προσφόρου παρὰ Ἀττικοῖς. ὁ γοῦν Ἀντιφῶν ἐν τοῖς Φοινικοῖς φησι. τεθνεὼς ὅτος ὑμῖν ἐνθύμιος γενήσεται.

Ἔνδοξος καὶ ἐπίδοξος διαφέρει. ἔνδοξος μὲν γάρ ἐστιν ὁ ἐπίσημος. ἐπίδοξος δὲ ὁ προσδοκώμενος, καὶ ἐλπιζόμενος.

Ἕνεκα καὶ χάριν διαφέρει. ὁ μὲν γὰρ ἕνεκα ψιλὴν τὴν αἰτίαν δηλοῖ. οἷον ἕνεκα Ἀλεξάνδρου, καὶ ἕνεκα Ἑλένης ἐστράτευσε Μενέλαος. ὁ δὲ χάριν μετὰ τῆς αἰτίας δηλοῖ καὶ τὴν χάριν. χάριν Μενελάου Ἀχιλλεὺς ἐστράτευσε, τουτέστι, Μενελάῳ χαριζόμενος.

Ἐννοεῖν καὶ ἐννοεῖσθαι διαφέρει. ἐννοεῖν μὲν γὰρ ἄφνω μὴ ἤδη ἐστιν. ἐννοεῖσθαι δὲ ἀπὸ μακροῦ διαλογιζόμενος.

Ἐξόσου καὶ ἐξότου διαφέρει. ἐξόσου μὲν γὰρ χρόνου. ἐξότου δὲ τοῦ ἐξοῦτινος.

Ἐξαίφνης καὶ ἐξαπίνης διαφέρει, καὶ βαρυτόνως προφέρονται τοὔνομα. φησὶ γὰρ Τρύφων ἐν δευτέρῳ περὶ Ἀττικῆς προσῳδίας. ἐξαίφνης, ὡς ἀμβλύμενοι, ἀναστελλομένης τῆς ὀξείας

ἐκ τοῦ ἀνεψιοὶ ὀνόματος ἐξαμειβόμενοι. εἰσὶ δὲ οἱ μὲν ἀνεψιοὶ τῶν ἀδελφῶν παῖδες, καθὰ καὶ ἡμεῖς ἐκδεχόμεθα. ἐξανέψιοι δὲ οἱ τῶν ἀνεψιῶν παῖδες.

Ἐοικότα εἰκότων διαφέρει. τὰ μὲν γὰρ πίστεως ἐχόμενα. τὰ δ' ἐμφερῆ ἐοικότα.

Ἐπικήδειος, καὶ θρῆνος διαφέρουσι. ἐπικήδειον μὲν γάρ ἐστι τὸ ἐπὶ τῷ κήδει. θρῆνος δὲ τὸ ἐν ᾠδῇ, οὕτω φύσει ὤν. Ἀριστοκλῆς δὲ ὁ ῥόδιος ἐν τῷ περὶ ποιητικῆς τοὔμπαλιν. φησὶ γάρ, θρῆνος δ' ἐστὶν ᾠδὴ τῆς συμφορᾶς, οἰκεῖον ὄνομα ἔχουσα, ὀδυρμὸν ἔχει σὺν ἐγκωμίῳ τοῦ τελευτήσαντος. τινὲς μὲν οὖν καινῶς ποιοῦντα εἴποι θρήνους. οἱ δὲ διαφέρειν, θρῆνόν τε καὶ ἐπικήδειον. τὸ μὲν θρῆνον ᾄδεσθαι παρ' αὐτῇ τῇ συμφορᾷ πρὸ τῆς ταφῆς, καὶ μετὰ τὴν ταφήν. καὶ κατὰ τὸν ἐνιαύσιον χρόνον τὰς κηδείας ᾀδομένας ὑπὸ τῶν θεραπαινίδων, καὶ τὸν σὺν αὐταῖς. τὸ δ' ἐπικήδειον ἔπαινόν τινα τοῦ τελευτήσαντος μετὰ τινὸς μετρίου σχετλιασμοῦ.

Ἐπιστραφὴς ἀστραφοῦς διαφέρει. ἐπιστραφὴς ὁ προστακτικός, καὶ ἐπιμελής. ἀστραφὴς δ' ὁ ἐπιδέξιος ἐν ταῖς μεταβολαῖς.

Ἐπίκουροι καὶ σύμμαχοι διαφέρουσι. ἐπίκουροι μὲν γάρ εἰσιν, οἱ τοῖς πολεμουμένοις βοηθοῦντες, καὶ συλλαμβανόμενοι. σύμμαχοι δὲ οἱ τῶν πολεμούντων. Ὅμηρος δι' ὅλης ἐφύλαξε τῆς ποιήσεως τὴν διαφοράν. οὐκ ἔστιν οὖν παρ' αὐτῷ ἐπικούρους Ἑλλήνων λεγομένους, ἀλλὰ Τρώων.

Ἐπιστεῖλαι καὶ ἐπισκῆψαι διαφέρουσιν. ἐπιστεῖλαι μὲν διὰ γραμμάτων. ἐπισκῆψαι δὲ διὰ λόγων.

Ἐπαγγέλλει καὶ ἐπαγγέλλεται διαφέρει. ἐπαγγέλλει μὲν τὸ προστάσσει. ἐπαγγέλλεται δὲ τὸ ὑπισχνεῖται. ὑπισχνεῖται δὲ ὁ τῷ αἰτήσαντι δώσειν ὁμολογήσας. ἐπαγγέλλεται δὲ ὁ ἀφ' ἑαυτοῦ δώσειν ὁμολογήσας.

Ἐπιτίμιον καὶ ἐπίτιμον διαφέρει. ἐπιτίμιον μὲν γὰρ ἡ ζημία. ἐπίτιμον δὲ τὸ τῆς τιμῆς μετέχον. ὥστε οὐ δεῖ λέγειν ἐξέπισε τὸ ἐπίτιμον, ἀλλ' ἐξέτισε τὸ ἐπιτίμιον.

Ἐπικηρύξαι καὶ ἐπικηρυκεύσασθαι διαφέρει. ἐπικηρύξαι μὲν γὰρ ἔλεγον τὸ ἀποφήνασθαι χρήματα, δώσειν τῷ συλλαβόντι. καὶ ἀνάγοντες ἢ ἀποκτείναντές τινα τῶν καταδικασθέντων, οἱ Ἀθηναῖοι ἐπεκήρυξαν εἰ μέν τις ζῶντα ἀγάγοιτο δι' ἀγορᾶς τὸ μήλιον δώσειν τάλαντον, εἰ δ' ἀνέλοιτο ἥμισυ. ἐπικηρυκεύεσθαι δὲ ἔλεγον τὸ περὶ συμβιβάσεως καὶ σπονδῶν τὰς πόλεις κήρυκας πρὸς ἀλλήλας διαπέμψασθαι.

Ἐπίτιμος καὶ ἐπιτίμιος διαφέρει. ἐπίτιμος μὲν γὰρ ὁ ἔντιμος, ἐπιτίμιος δὲ ὁ ἐπιζήμιος, καὶ ἐπίπληκτος. ἀφ' οὗ τὴν ἐπίπληξιν ἐπιτίμιον φαμέν, καὶ ἐπιτίμησον αὐτῷ, ἀντὶ τοῦ ἐπίπληξον.

Ἐπιχαίρειν καὶ συγχαίρειν διαφέρει. ἐπιχαίρειν μὲν γάρ ἐστι τὸ συνεπιγελᾶν τοῖς ἀλλοτρίοις κακοῖς. συγχαίρειν δὲ τὸ συνήδεσθαί τινος ἀγαθοῖς.

Ἐπιδοτικὸς μέν ἐστιν ὁ δεομένοις ἐπιδιδούς. μεταδοτικὸς δὲ ὁ φίλοις.

Ἐρωτᾶν τοῦ πυνθάνεσθαι διαφέρει. πυνθάνεσθαι μὲν γάρ ἐστι τὸ κατ' ἀκολουθίαν διεξοδικῶς ἀκούειν τὰ ὑπό τινος λεγόμενα αὐτὸν οὐ δ' ἐρωτῶντα. ἐρωτᾶν δὲ τὸ ἐθέλειν τινὰ κεφαλαιώδη λαβεῖν ἀπόφασιν, περὶ τοῦ ὑποκειμένου πράγματος. ὁ γοῦν Τηλέμαχος φησὶ πρὸς τὸν Νέστορα. εἴρεαι ὁππόθεν εἰμέν, ἐγὼ δέ κέ τοι καταλέξω. καὶ Ἀχιλλεύς φησιν. ἀλλ' ἦ νῦν Πάτροκλε διίφιλε, Νέστορ' ἔρειο ὅντινα τοῦτον ἄγει. ὅτι δὲ τὸ πυνθάνεσθαι ἐπὶ ψιλοῦ τοῦ ἀκούειν τάσσεται, φανερὸν ἐκ τοῦ λέγειν Τηλέμαχον, νῦν δ' ὅτε μέγας εἰμί, καὶ ἄλλων μῦθον ἀκούων πυνθάνομαι καὶ δή μοι ἀέξεται ἔνδοθι θυμός. καὶ Ὀδυσσεύς φησι, πυνθανόμην Ἰθάκης γε καὶ ἐν Κρήτῃ εὐρείῃ. κατὰ δὲ τοὺς φιλοσόφους ἐρώτησίς ἐστι φράσις συμβολικὴ ἀπόκρισιν ζητοῦσα, οἷον τί ἐν ἀμφιβόλῳ, σαφές, ἄδηλον. αὗται γὰρ αἱ πάντες ἀποφάσεις, συμβολικαὶ καλοῦνται. ἔστι μέντοι γε ὅτε οὐχ οὕτως, ἀλλ' ἑτέρως ἀποκρινόμεθα πρὸς τὰς ἐρωτήσεις, οἷον ἡμέρα ἐστί. καὶ οὕτως, ἡμέρα ἐστὶν ἡ μέρα. καὶ οὕτως, ἡμέρα ἐστίν. πύσις δέ ἐστι λέξις πρὸς ἣν οὐκ ἔστι συμβολικῶς ἀποκρίνασθαι, οἷον, ποῦ οἰκεῖ Ἀρίστων; φησὶ γάρ, ἐν τῷδε τῷ τόπῳ. καὶ ποῖος ἔβη Ἀνδρόμαχος; ἢ δι' ἀποκρίνεται, ὅτι ἐπὶ πύργον ἔβη μέγαν Ἰλίου οὕνεκ' ἄκουσε τείρεσθαι Τρῶας. οὐ γὰρ ἐνχωρεῖ ἐνταῦθα συμβολικῶς εἰπεῖν ναὶ ἢ οὔ. καὶ τάχα τι οἶον περὶ τῆς διαφορᾶς ταύτης φρόντισ, καὶ οἱ φιλόσοφοι συμφώνως τοῖς προειρημένοις. Ποτάμων περὶ τῆς διαφορᾶς φησὶν οὕτως. Ἐρώτησις, πύσεως, καὶ ἀνακρίσεως διαφέρει. ἐρώτησις μὲν γάρ ἐστι σύντομος ἀπόκρισις. πύσις δὲ μακρᾶς πράξεως ἀπαγγελία. ἀνάκρισις δ' ὑποδεστέρα ἐξήγησις.

Ἔρως καὶ πόθος διαφέρουσιν. ἔρως μὲν γὰρ τῶν παρόντων. πόθος δὲ τῶν ἀπόντων.

Ἐρᾶν καὶ ποθεῖν διαφέρει. ἐρᾶν μὲν γάρ ἐστι τῶν ἐν ὄψει. ποθεῖν δὲ τοὺς ἀπόντας. διαστέλλει δὲ καὶ Ὅμηρος. ὡς σέο νῦν ἔραμαι, καί με γλυκὺς ἵμερος αἱρεῖ. πρὸς τὴν Ἥραν φησὶν ὁ Ζεὺς παροῦσαν. ἐπὶ δὲ τοῦ ἀπόντος, ἀλλά με σοῦ πόθος σά τε μήδεα φαίδιμ' Ὀδυσσεῦ. σή τ' ἀγανοφροσύνη μελιηδέα θυμὸν ἀπηύρα. φυλάσσει γὰρ ἀκριβῶς ὁ ποιητὴς τὰς τοιαύτας ἐναλλαγάς.

Ἐρωτᾶν μέν ἐστι τὸ θέλειν κεφαλαιώδη λαβεῖν ἀπόφασιν ἢ ναὶ ἢ οὔ. πυνθάνεσθαι δὲ τὸ κατὰ διέξοδον ὀξεῖν πρᾶγμα, οἷον πῶς ἐπολέμησας τί.

Ἔρως μέν ἐστιν ἐπιβολὴ φιλοποιΐας. πόθος δ' ἀπόντος, ἵμερος δ' ἔρως ἀπαιτῶν τῆς πρὸς τὸν ἐρώμενον χρείας.

Ἔσται τοῦ γενήσεται διαφέρει. ἔσται μὲν γὰρ τὰ καὶ

νεῶν ὄντα. γενήσεταί τι ἢ τὰ γενέσεως τευξόμενα. οἷον νέος πρεσβύτης ἔσται. ὡς δ' Ἀστάκιῳ παῖδες γενήσονται. ἄλλως, ἔσται μὲν γὰρ τὸ ὑποκείμενον. οἷον ὁ παῖς ἔσται ἀνήρ. γενήσεται δὲ τὸ ἄριστον.

Ἑστιάτωρ καὶ δαιτυμὼν διαφέρει. ἑστιάτωρ μὲν γὰρ ὁ ὑποδοχεύς. δαιτυμόνες δὲ οἱ ἑστιώμενοι.

Ἑσπέρα καὶ ὀψὲ διαφέρει. ἑσπέρα μὲν γάρ ἐστι δυσμένου τοῦ ἡλίου. ὀψὲ δὲ βραδέως καὶ μετὰ πολὺν χρόνον. διὰ τοῦτο καὶ προστιθέασιν, ὀψὲ τῆς ἡμέρας.

Ἑταῖρος καὶ φίλος διαφέρουσιν. ὁ μὲν γὰρ φίλος καὶ ἑταῖρος, ὁ δ' ἑταῖρος οὐ πάντως φίλος, διὸ καὶ ἐπὶ τοῦ Αἰνείου φησὶν Ὅμηρος. πλησίον ἑστηκεν ἑταῖρον. καὶ ἄλλως. φίλοι μὲν κοινῶς λέγονται πάντες οἱ τὰ τῆς φιλίας δίκαια πρὸς ἑαυτοὺς ἔχοντες. ἑταῖροι δὲ ἰδίως οἱ καὶ τῇ ἡλικίᾳ παραπλησίως ἔχοντες, καὶ ἐν συνηθείᾳ, καὶ ἐν συνεργίᾳ πολὺν χρόνον γεγονότες.

Ἑτερόφθαλμος καὶ μονόφθαλμος διαφέρουσιν. ἑτερόφθαλμος μὲν γάρ ἐστιν ὁ κατὰ περίπτωσιν πηρωθεὶς τὸν ἕτερον τῶν ὀφθαλμῶν. μονόφθαλμος δὲ ὁ μόνον ὀφθαλμὸν ἔχων, ὡς ὁ κύκλωψ.

Ἕτερος καὶ ἄλλος διαφέρει. ἕτερος μὲν ἐπὶ δυοῖν τάσσεται. ὡς Ὅμηρος· φολκὸς ἔην, χωλὸς δ' ἕτερον πόδα. τὸ δὲ ἄλλος ἐπὶ πολλῶν, ὡς αὐτὸς ὁ Ὅμηρος, δὴ δ' ἑμεῖς, ἄλλοι μὲν ἄλλα.

Εὐφυὴς καὶ εὐμαθὴς διαφέρει. εὐφυὴς μὲν γὰρ λέγεται παρὰ τοῖς Ἀττικοῖς ὁ σκωπτικός. εὐμαθὴς δὲ ὁ εἰς τὸ μαθεῖν ταχύς.

Εὑρεῖν καὶ εὑρέσθαι διαφέρει. εὑρεῖν μὲν γάρ ἐστι καὶ ἐν τῇ συνηθείᾳ. εὑρέσθαι δὲ σημαίνει τὸ ἐκπορίσασθαι. Μένανδρος δυσκόλῳ. εὑρηκὸς κάτω τούτου τέχνην. Δίφιλος ἐν πύρρᾳ. δῶρον δ' ἐμοὶ τῇ παρὰ θεῶν εὑρημένον.

Εὔμορφος εὐειδοῦς διαφέρει. εὔμορφος μὲν γὰρ ὁ τὴν μορφὴν εὖ ἔχων. οἷον εὐπρόσωπος. καὶ γὰρ τὸ τὴν ὄψιν πῶς σχηματίζειν, μορφάζειν λέγομεν. εὐειδὴς δὲ ὁ τὸ εἶδος καλῶς ἔχων, οἷον πᾶν τὸ σῶμα.

Εὐθύς, εὐθύ, καὶ εὐθέως διαφέρουσιν. εὐθὺς μὲν γὰρ ὁ κανών. εὐθὺ δὲ τὸ γυμνάσιον. ἀντὶ τοῦ κατ' εὐθεῖαν τοῦ γυμνασίου. ἢ εὐθὺ τὸ κανόνιον. τὸ δ' εὐθέως ἀντὶ τοῦ χρονικοῦ ἐπιρρήματος. ὁ οὖν ἐναλλάσσων ἁμαρτάνει, καθὰ Μένανδρος ἐν δυσκόλῳ. τί φὴς ἰδὼν ἐνθένδε πῶς δ' ἐλευθέρων, ἀπῆλθες εὐθὺς, ὡς ταχύ. τινὲς μέν τοι τῶν ἀρχαίων φασί, καὶ τὸ εὐθὺς ἀντὶ χρονικοῦ κεῖσθαι. φασὶ γοῦν κατὰ λέξιν. τινὲς δὲ τὸ μὲν εὖ λέγειν, ἐπέτεινε εὐθέως. οἷον ἐπὶ μὲν τοῦ θηλυκοῦ τοὔνομα ἡ εὐθεῖα ὁδός. εὐθεῖα βακτηρία. ἐπὶ δὲ ἄρρεν, εὐθὺς ὁ κανών. ἐπὶ δ' οὐδέτερον, εὐθὺ τὸ ξύλον. οἱ δὲ ἀρχαῖοι, οὐδέποτε τὸ εὐθὺ ἐτίθεσαν, τὸ ἐπ' ὁδοῦ τῆς τεινούσης ἐπί τινος τόπου, εὐθὺ τῆς στοᾶς. εὐθὺ τῶν ἀρωμάτων. τὸ δὲ κατὰ τοὺς χρόνους οὐ λέγεται, ἀλλ' εὐθὺς οἷον γράμματος δ' αὐτοῦ, εὐθὺς ἔσομ' ἐλεύθερος, καὶ ὡς τοῦτ' εἶδεν εὐθὺς ἦν ἄνω κάτω.

Εὐφραίνεσθαι καὶ ἥδεσθαι διαφέρει. Πλάτων πρωταγόρᾳ, εὐφραίνεσθαι μὲν γάρ ἐστι, μανθάνοντά τι καὶ φρονήσεως μεταλαμβάνοντα αὐτῇ τῇ διανοίᾳ. ἥδεσθαι δὲ ἐσθίοντά τι αὐτῷ τῷ σώματι.

Εὐθὺς καὶ εὐθὺ διαφέρει. τὸ μὲν γὰρ εὐθὺς χρονικόν ἐστιν ἐπίρρημα. τὸ δὲ εὐθὺ, τὸ ἐξ ἐναντίας δηλοῖ.

Εὐεργεσία καὶ χάρις διαφέρει. εὐεργεσία μὲν γάρ ἐστιν ἡ μεγάλη χάρις. χάρις δὲ ἡ ἐλάττων. οἷον χιτῶνα, ἢ κώνια χαρίζεται. εὐεργετεῖ δὲ οὔ.

Εὐθὺ καὶ ὀρθὸν διαφέρει. τὸ μὲν γὰρ εὐθὺ ἀντίκειται τῷ στρεβλῷ. τὸ δὲ ὀρθὸν, τῷ πλαγίῳ.

Εὖ τοῦ καλῶς διαφέρει. εὖ μὲν τὸ ὀρθῶς σημαίνει. καλῶς δὲ τὸ χρήσιμον συνειρημένως. τὸ οὖν εὖ καὶ καλῶς σημαίνει ὀρθῶς, καὶ χρησίμως.

Ἐχθρὸς πολεμίου, δυσμενοῦς διαφέρει. ἐχθρὸς μὲν γάρ ἐστιν ὁ πρότερον φίλος. πολέμιος δ' ὁ μεθ' ὅπλων χωρῶν πέλας. δυσμενὴς δ' ὁ χρόνιον πρὸς τοὺς ποτὲ φίλους τὸ μῖσος διατηρῶν, καὶ δυσδιαλλάκτως ἔχων.

ΖΗλος καὶ ζηλοτυπία διαφέρει. ζηλοτυπία μὲν γάρ ἐστιν αὐτὸ τὸ πάθος, ἤγουν τὸ ἐν μίσει ὑπάρχειν. ζῆλος δὲ μίμησις καλοῦ. οἷον ζηλοῖ τὸν καθηγητὴν ὁ παῖς, ζηλοῖ δὲ γείτονα γείτων. Ἡσίοδος. ἐπὶ καλοῦ. ζηλοτυπεῖ δὲ ἡ δεῖνα τόνδε.

Ζηλῶσαι τοῦ ἐρίσαι διαφέρει. ζηλῶσαι μὲν γάρ ἐστι τὸ τὴν ἐπιθυμίαν μιμεῖσθαι. ἐρίζειν δὲ τὸ μετὰ μάχης φιλονεικεῖν.

Ζῆλος φθόνου διαφέρει. ζῆλος μὲν γάρ ἐστιν ἡ δι' ἐπιθυμίαν μίμησις γινομένη, δοκοῦντός τινος καλοῦ. φθόνος δὲ βασκανία τις τῶν ἄλλοις μὲν προσόντων ἀγαθῶν ἐμοὶ δ' οὔ.

Ζῆλος μέν ἐστι λύπη ἐπ' ἀλλοτρίοις ἀγαθοῖς, διὰ καὶ ἑαυτῷ τι ἐπιθυμεῖ τοῦτο ποιῆσαι.

Ζήλου τρία εἴδη. ὁ μὲν γάρ ἐστι μακαρισμός. καθὰ καὶ φησί τις. ζηλῶ τὸν τῆς δεῖνα ἐπὶ τῷδε. δεύτερος καθὸ ζηλωτής τινος λέγεται. οἷον θησεὺς ἡρακλέους. τρίτος δὲ ὁ φθόνῳ ὅμοιος.

Ζυγὸς, ἀρσενικῶς μὲν ἐπὶ τῶν βοῶν. θηλυκῶς δὲ ἐπὶ τῶν σταθμῶν.

Ζώνη καὶ ζώνιον διαφέρει. ζώνη μὲν γάρ ἐστιν ἡ τοῦ ἀνδρός. ζώνιον δὲ ἡ τῆς γυναικός.

ΗΓέρθη καὶ ἀνέστη διαφέρει. ἠγέρθη μὲν λεκτέον ἀπὸ ὕπνου. ἀνέστη δὲ ἀπὸ κλίνης.

Ἦθος μέν ἐστιν ἀρχὴ ἐπιτηδεύματος. τρόπος δὲ ἐπίστασις πράξεων κατὰ στάσιν καὶ ἀναστροφήν.

Ἠλπίζειν καὶ ἐπηλπίσαι διαφέρει. ἤλπισαν μὲν οἱ αὐτοί τινας ἐλπίδας ἔχοντες περί τινος. ἐπήλπισαν δὲ ἑτέρους εἰς ἐλπίδα ἤγαγον.

Ἡμέρα ἠοῦς διαφέρει. ἡμέρα μὲν γάρ ἐστι τὸ κατάστημα μόνον ἀσώματον, ἣν Ἡσίοδος νυκτὸς γενεαλογεῖ. νυκτὸς δ' αὖτ' αἰθήρ τε καὶ ἡμέρα ἐξεγένοντο. ἠοῦς δὲ τὸ σωματικὸν ἄστρον. ὃν πάλιν Ἡσίοδος θείας ὑποτίθεται, θεία δ' ἠὼ ἠέλιόν τε

μέγαν λαμπρόν τε σελήνην, ἠῶθεν πάντεσσιν ἀθανάτοισι φαείνει γένετο. ἠῶθι δὲ τῆς σωματοειδοῦς. ἀλλ' ἤτοι τοῦτον μὲν χρυσόθρονος ἥρπασεν ἠώς.

Ἦς καὶ ἦσθα, καὶ ἦ διαφέρει. τὸ μὲν γὰρ ἦσθα, παρῳχημένον δηλοῖ χρόνον. τὸ δὲ ἦς, τὸν μέλλοντα. Ὅμηρος, Δηΐφοβ' ἦ μέν μοι τὸ πάρος πολὺ φίλτατος ἦσθα. ἐπὶ δὲ τοῦ ἦς Μένανδρος ἐν ψευδηρακλεῖ. ὕδωρ μὲν οἴνου, μὴ δὲ γρῦ τούτῳ θὲς λέγε. αὖ τἄλλα δ' ἦς ἄμεμπτος εἰς τὴν ἕκτην βοηδρομιῶνος ἐνδελεχῶς ἕξεις ἀεί. καὶ καθόλου πάντοτε οὕτω λέγεται ἐπὶ τοῦ μέλλοντος, καὶ κατὰ τὴν ἡμετέραν συνήθειαν. οἷον, ἐὰν νοῇς, ἐὰν λαλῇς, ὅπως λαλῇς, ἐὰν ᾖς ἀγαθὸς, ὁ γοῦν λέγων πρός τινα, ἦς ποτε πλούσιος, ἀγνοήσει τὴν διαφοράν. δεῖ γὰρ φάναι ἦσθα. τὸ δὲ ἦ, ἀντὶ τοῦ ἔφη τάττει Ὅμηρος, ἦ καὶ κυανέῃσιν. διαφέρει δὲ τὰ ῥήματα, τῷδε. ὅτι τὸ μὲν ἐπὶ τρίτου προσώπου μόνον τάσσεται. τὸ δὲ ἔφη ἐπὶ τριῶν ὡς ἔφημεν.

Ἡσυχία ὅτε μὲν σιωπὴν σημαίνει, ὅτε δὲ τὴν ἐπιείκειαν. ὁπότε φαμὲν, ἐν πολλῇ διάγειν ἡσυχίᾳ.

Θαλαμὰς ὡς ἀγαθὰς, καὶ θαλάμας ὡς μεγάλας, διαφέρει φησὶ Τρύφων παρὰ τοῖς ἀττικοῖς ἐν δευτέρῳ περὶ ἀττικῆς προσῳδίας. ἐὰν μὲν γὰρ ὀξυτονήσωμεν δηλώσει τὸ τῶν διοσκούρων ἱερὸν, ἐὰν δὲ βαρυτονήσωμεν, τὰς καταδύσεις μηνύει.

Θαυμάζω γενικῇ μὲν συντασσόμενον, σημαίνει τὸ καταγινώσκω καὶ καταγελῶ, οἷον θαυμάζω τῶν ταύτην ἐχόντων τὴν γνώμην. αἰτιατικῇ δὲ τὸ ἐπαινῶ, οἷον θαυμάζω τοὺς οὕτω φρονοῦντας.

Θεημαχία καὶ θεομαχία διαφέρει. θεημαχία μὲν γάρ ἐστιν ἡ πρὸς θεὸν μάχη. θεομαχία δὲ αὐτῶν τῶν θεῶν πρὸς ἀλλήλους μάχη.

Θεωρὸς καὶ θεατὴς διαφέρει. θεωρὸς μὲν γάρ ἐστιν ὁ εἰς θεοὺς πεμπόμενος. θεατὴς δὲ ὁ ἀγώνων καὶ θεάτρων, πότερον θεατὴς ἢ χαίρειν μαντευμάτων. καὶ Αἰσχύλος. βοᾶς τοιοῦδε πράγματος θεωρὸς ὤν. ἁμαρτάνουσιν οὖν οἱ λέγοντες. θεωρῆσαί με δεῖ τὸν ἀγῶνα, δέον εἰπεῖν, θεάσασθαι. διαστέλλει δὲ τοῦτο ἐπιμελῶς, Λυσιμαχίδης ἐν τῷ πρὸς Καικίλιον περὶ τῶν παρὰ τοῖς ἀττικοῖς ῥητόρων, καὶ πολλῶν παραθέσεις ποιεῖται, καί ἐστι τὸ θεάσασθαι, ὥσπερ πρόκειται, παρὰ τὴν θέαν. τὸ δὲ θεωρεῖν φησιν οὐκ ἄλλο τι ἢ τὸ τῶν θεῶν ὤραν. τοῦτο δὲ τὸ φροντίζειν. διὸ καὶ τοὺς τῶν θεαμάτων ἕνεκα πεμπομένους, ἤτοι θυσίαις δὲ καὶ εὐσεβείᾳ, πάντας ὠνόμαζον θεωρούς, καὶ τὸ τοῖς ἀθηναίοις διδόμενον θεωρικόν. οὐχὶ τὰς θέας, ὡς Καικίλιος ὑπέλαβεν, ἀλλὰ διὰ τὸ ἐν ταῖς ἑορταῖς εἰς τοὺς θεοὺς εὐσεβεῖν, καὶ ἐπιθύειν, καὶ εὐφραίνεσθαι.

Θεράποντες καὶ οἰκέται διαφέρουσι. θεράποντες μὲν γὰρ οἱ ὑποτεταγμένοι φίλοι ὑφ' ὧν θεραπεύονται οἱ προσήκοντες. οἰκέται δὲ δι' αὐτοῦ τῆς.

Θέσθαι καὶ ὑποθέσθαι διαφέρει. θέσθαι μὲν γάρ ἐστι τὸ λαβεῖν ὑποθήκην. ὑποθέσθαι δὲ, τὸ δοῦναι ὑποθήκην.

Θέλειν καὶ βούλεσθαι ἐὰν λέγῃ τις, δηλώσει, ὅτι ἀκουσίως τε καὶ ἀλόγως ὀρέγεταί τινος.

Θερίζειν, τότε διατρίβειν τὴν τοῦ θέρους ὥραν ὡς τὸ χειμάζειν, καὶ τὸ τοὺς δημητριακοὺς καρποὺς συλλέξαι.

Θηβαῖοι καὶ θηβαγενεῖς διαφέρουσι, καθὼς Δίδυμος ἐν ὑπομνήματι τῷ πρώτῳ τῶν παιάνων Πινδάρου φησίν. καὶ τὸν τρίποδα ἀπὸ τούτου θηβαγενεῖς πέμπουσι τὸν χρύσεον εἰς Ἰσμήνιον πρῶτον. τί δ' ἐστι διαφορὰ θηβαγενέων πρὸς θηβαίους Ἔφορος ἐν τῇ δευτέρᾳ φησί. οὗτοι μὲν οὖν συνετετάχεσαν εἰς τὴν βοιωτίαν, τοὺς δὲ τοῖς ἀθηναίοις ὁμόρους προσοικοῦντας, ἰδίᾳ θηβαῖοι προσηγάγοντο πολλοῖς ἔτεσιν. ὕστερον δὲ οἱ σύμμικτοι ὄντες πολλαχόθεν. ἐνέμοντο δὲ τὴν ὑπὸ τὸν Κιθαιρῶνα χώραν, καὶ τὴν ἀπέναντι τῆς εὐβοίας. ἐκαλοῦντο δὲ θηβαγενεῖς, ὅτι προσεγένοντο τοῖς ἄλλοις βοιωτοῖς διὰ θηβαίων.

Θὴς, λάτρεις, ἀμφίπολος, ἄτμενος διαφέρουσι. θὴς μὲν γὰρ ὁ ἐπὶ μισθῷ δουλεύων, θητεύων τε, ἀμισθωτός τε. λάτρεις δὲ ὁ κατὰ πόλεμον περιστάντας ἁλοὺς, καὶ ἐπὶ δουλείαν προσαχθείς. ἀμφίπολος δὲ κοινὸν ὄνομα ἄρρενος καὶ θηλείας δούλης. ἄτμενες δὲ οὐ μόνον ὁ δοῦλος, ἀλλὰ καὶ ὁ ὑποτεταγμένος ἐλεύθερος.

Θράσος, καὶ θάρσος διαφέρει. θράσος μὲν γάρ ἐστιν ἡ ἄλογος ὁρμὴ, θάρσος δὲ ἔλλογος ὁρμή.

Θύρα καὶ θυραία διαφέρει. θύρα μὲν γάρ ἐστιν ἡ ἐξ ἀρχῆς γινομένη. Μένανδρος ἐν παρακαταθήκῃ θύραν ἐξέλει. θυραία δὲ τὸ μᾶλλον πρὸς ἐκκοπὴν θύρας μέγεθος.

Θύεσθαι τοῦ σφάττεσθαι διαφέρει. θύεσθαι μὲν γάρ ἐστιν ἐπὶ τιμῇ θεοῦ, καὶ τὸ μαντεύεσθαι ἐπὶ τιμῇ διὰ σπλάγχνων, θύεσθαι φαμέν. σφάττεσθαι δὲ τὸ δι' ἥν τινα οὖν αἰτίαν φονεύεσθαι. καὶ τὸ μὲν ἐπ' ἀλόγου, τὸ δ' ἐπ' ἀνθρώπου τάττεσθαι.

Θύουσι καὶ θύονται διαφέρει. θύουσι μὲν γὰρ οἱ σφάττοντες τὰ ἱερεῖα. θύονται δὲ οἱ διὰ τῶν σπλάγχνων μαντευόμενοι.

Θύρα καὶ θύραι διαφέρουσι. θύρα μὲν γάρ ἐστι τὸ ἐπίθεμα τὸ ἐκ τῶν σανίδων. θύραι δὲ τὸ ἄνοιγμα αὐτὸ, καὶ τὰ χαλάσματα τῆς θύρας.

Θυμὸς μὲν ὀξύς ἐστι πρόσκαιρος. ὀργὴ δὲ πολυχρόνιος μνησικακία.

Ἱερῶσαι καὶ καθιερῶσαι λέγουσιν ἐπὶ τῶν θυομένων ἱερείων. ἱερῶσαι δὲ καθιερῶσαι ἐπὶ τῶν ἀνατιθεμένων.

Ἱερεῖον καὶ χρηστήριον διαφέρει. ἱερεῖον μὲν γάρ ἐστι κοινῶς τὸ σφαζόμενον πρὸς θυσίαν ἢ πᾶσαν. χρηστήριον δὲ τὸ ἱερεῖον ᾧ χρῶνται χρηστηρια-

ζόμενοι, Ἡρόδοτος, καθάπερ ἔτι καὶ νῦν ὅταν χρηστήρια θύωσιν ἐν τῷ ἱερῷ.

Ἱερὰ τούς τε περιβόλους τῶν ναῶν, καὶ τὰ σφάγια, καὶ τὰ ὑπὸ τῶν ἀνθρώπων. ὡς Ὑπερείδης ἐν τῷ κατὰ Ἀρχεστρατίδου. καὶ τὰ ξόανα, ὡς Θεόπομπος ἐν εἰκοστῇ ἕκτῃ.

Ἱκέσθαι καὶ ἀφικέσθαι διαφέρει. ὥς φησιν Ἡρακλείδης. ἱκέσθαι μὲν γάρ ἐστι τὸ ἐλθεῖν. ἀφικέσθαι δὲ τὸ ἐπανελθεῖν. ὅμως τὴν διαφορὰν φησὶν οὐδ' αὐτὸς ἀφίκετο πατρίδα γαῖαν, ἢ ἵκετο δ' ἐς Μαραθῶνα καὶ εὐρυάγυιαν Ἀθήνην.

Ἰδουμαῖοι καὶ Ἰουδαῖοι διαφέρουσιν, ὥς φησι Πτολεμαῖος ἐν πρώτῳ περὶ Ἡρώδου τοῦ βασιλέως. Ἰουδαῖοι μὲν γάρ εἰσιν οἱ ἐξ ἀρχῆς φυσικοί. Ἰδουμαῖοι δὲ τὸ μὲν ἀρχῆθεν οὐκ Ἰουδαῖοι, ἀλλὰ Φοίνικες καὶ Σύροι, κρατηθέντες δ' ὑπ' αὐτῶν καὶ ἀναγκασθέντες περιτέμνεσθαι, καὶ συντελεῖν εἰς τὸ ἔθνος, καὶ τὰ αὐτὰ νόμιμα ἡγεῖσθαι, ἐκλήθησαν Ἰουδαῖοι.

Ἶπες καὶ θρῖπες, καὶ κίες, καὶ ἶκες διαφέρουσιν. ἶπες μὲν γὰρ λέγονται θηρίδια τὰ διαβρωτικὰ τῶν κεράτων. Ὅμηρος· μὴ κέρα ἶπες ἔδοιεν. θρῖπες δὲ τὰ ἐσθίοντα τὰ ξύλα, καὶ θριπήδεστα τὰ ὑπὸ θριπῶν βεβρωμένα ξύλα, οἷς καὶ ἀντὶ σφραγίδων ἐχρῶντο. ὅτι ἦν δυσαπομίμητα. κίες δὲ τὰ ἐν τοῖς κριθοῖς καὶ ἐν ταῖς πυροῖς θηρίδια. ἶκες δὲ τὰ διεσθίοντα τοὺς ὀφθαλμοὺς τῶν ἀμπέλων. Ἀλκμάν, καὶ ποικίλον ἶκα, τὸν ὀφθαλμῶν ἀμπέλων ὀλετῆρα.

Ἴσοι καὶ κοινοὶ διαφέρει. Πλάτων ἐν Πρωταγόρᾳ· χρὴ γὰρ τοὺς ἐν τοῖσδε λόγοις παραγινομένους, κοινοὺς μὲν εἶναι ἀμφοῖν τοῖν διαλεγομένοιν ἀκροατάς. ἴσους δὲ μή, ἔστι γὰρ οὐ ταυτόν. κοινὸν μὲν γὰρ ἀκοῦσαι ἀμφοτέρων χρή, μὴ ἴσον δὲ εἶναι ἑκατέρῳ, ἀλλὰ τῷ σοφωτέρῳ πλέον, τῷ δὲ ἀμαθεστέρῳ ἔλασσον.

Ἰσοτελὴς καὶ μέτοικος διαφέρει. ἰσοτελὴς μὲν γὰρ ὁ τετιμημένος. μέτοικος δὲ ὁ ἐν τῷ ἴσῳ τάγματι τοῖς πολίταις, καὶ τὸ μὲν μετοίκιον μὴ τελῶν. πάντα δὲ ἔχων τὰ αὐτὰ τοῖς πολίταις πλὴν τοῦ ἄρχειν. μέτοικος δέ, ὁ μετοικήσας εἰς ἑτέραν πόλιν ἐκ τῆς ἑαυτοῦ, καὶ τοῦ μὲν ξένου πλέον τι ἔχων, τοῦ δὲ πολίτου ἔλαττον. ἐτέλει δὲ ὁ μέτοικος κατ' ἐνιαυτὸν μετοίκιον δραχμὰς δώδεκα, καὶ ἐν τῇ τῶν Ἀθηναίων πομπῇ, σκάφην ἔφερε κηρία ἔχουσαν, ὅθεν καὶ σκαφηφόρους ἔλεγον τοὺς μετοίκους, πολλάκις δὲ καὶ συνεστράτευσαν τοῖς Ἀθηναίοις.

Ἰσθμὸς καὶ πορθμὸς διαφέρει. ἰσθμὸς μὲν γάρ ἐστι στενὴ δίοδος, ἑκατέρωθεν θαλάσσης περιειργομένης. πορθμὸς δέ ἐστι στενὸς θαλάσσης πόρος ἑκατέρωθεν ὑπὸ γῆς περιειργόμενος.

Ἴσθι καὶ γίνωσκε διαφέρει. ἴσθι μὲν γὰρ ἀντὶ τοῦ γίνωσκε τάσσεται. αὐτὴ δ' οἶκ' ἴσθι, ἀντὶ τοῦ γίνωσκε, καὶ τὸ πληθυντικὸν ἴστε, ἀντὶ τοῦ γινώσκετε. καὶ Μένανδρος ἐν Ἥρωι. ἀλλ' ἴσθι κατὰ τοῦτον συγχωρήσομαι. τάσσουσι δὲ ὅμως καὶ ἀντὶ τοῦ ἴσθι τὸ ἴθι. Εὔφημος. ἴθι μοῦνον ἐξορμωμένη, ἀντὶ τοῦ γίνου.

Ἱστοριογράφος συγγραφέως διαφέρει. ἱστοριογράφος μὲν γάρ ἐστιν ὁ τὰ πρὸ αὐτοῦ γεγονότα συγγραφόμενος, ὡς Ἡρόδοτος. συγγραφεὺς δὲ ὁ τὰ ἐφ' ἑαυτοῦ, ὡς Θουκυδίδης.

Ἱστοδόκη καὶ ἱστοπέδη διαφέρουσιν. ἱστοδόκη μὲν γάρ ἐστιν ἐφ' ἧς ὁ ἱστὸς κατακλίνεται. Ὅμηρος· ἱστὸν δ' ἱστοδόκῃ πέλασαν. ἱστοπέδη δὲ ὁ ἐν μέσῳ τῆς νεὼς κοῖλος τόπος. τινὲς δὲ ληνίδα καλοῦσιν εἰς ὃν ὁ ἱστὸς ἐντίθεται. ἀλλά με δεσμῷ δήσατ' ἐν ἀργαλέῳ ὄφρ' ἔμπεδον αὐτόθι μίμνω, ὀρθὸν ἐν ἱστοπέδῃ.

Ἰταλοὶ καὶ Ἰταλιῶται διαφέρουσιν. Ἰταλοὶ μὲν γὰρ οἱ ἀρχῆθεν τὴν χώραν οἰκοῦντες. Ἰταλιῶται δέ, ὅποσοι τῶν Ἑλλήνων ἐπῴκησαν μετὰ ταῦτα. τὸ αὐτὸ καὶ ἐπὶ τῶν Σικελιωτῶν.

Κατοίκησις καὶ κατοίκισις διαφέρει. ὥς φησιν Ἀπολλωνίδης ὁ Νικαεὺς ἐν τῷ πέμπτῳ περὶ κατεψευσμένων. κατοίκισις μὲν γάρ ἐστιν ἡ ὑφ' ἑτέρων γενομένη ἵδρυσις. κατοίκησις δὲ ὅταν αὐτοί τινες οἰκήσωσι τόπον ἢ πόλιν τινὰ καταλαβόντες. οἷον Ἀθηναῖοι κατῴκησαν μὲν τὴν ἀκρόπολιν, κατῴκισαν δὲ Ἴωνας, καὶ ἔστι παρὰ μὲν τὸ κατοικεῖν ἡ κατοίκησις. παρὰ δὲ τὸ κατοικίζειν ἡ κατοίκισις.

Καταβολὴ καὶ εἰσβολὴ διαφέρει. καταβολὴ μὲν γὰρ ἡ ἔκτισις τοῦ εἰσφερομένου ἀργυρίου. εἰσβολὴ δὲ περίοδος τοῦ πυρετοῦ.

Κάταμμα καὶ κάταγμα διαφέρει. κάταμμα μὲν τὸ ἐκτεταμένως τὸ καταπαγὲς καὶ συντεταμμένον. κάταγμα δὲ βραχέως τὸ τοῦ ἐρίου ἕλκυσμα.

Καταχύματα καὶ καταχύσματα διαφέρει. καταχύματα μὲν γὰρ χωρὶς τοῦ σ, τὰ καταχεόμενα ὕδατα ἐπὶ λουτρῶνος καὶ τῶν ἄλλων ὁμοίων. καταχύσματα δὲ σὺν τῷ σ, αἱ ἰσχάδες καὶ τὰ ἄλλα τραγήματα τῶν νέων ἢ τῶν δούλων ἃ κατέχεον. Ἀριστοφάνης. εἶτ' οὐχὶ δέξει δῆτα τὰ καταχύσματα. καὶ Δημοσθένης ἐν τῷ κατὰ Στεφάνου ψευδομαρτυριῶν. ἀλλ' αὐτὸς μὲν οὐκ ὤκνησε τὴν δέσποιναν αὐτοῦ γῆμαι, ᾗ τὰ καταχύσματα αὐτοῦ κατέχεε τότε, ἡνίκα ἐωνήθη.

Κάδος καὶ καδίσκος διαφέρει. κάδος μὲν λέγεται ᾧ ἐκ τοῦ φρέατος ἀνιμῶσι τὸ ὕδωρ. καδίσκος δὲ ἀγγεῖον εἰς ὃ τὰς ψήφους ἐμβάλλουσι.

Καθάρσια καὶ καθάρματα διαφέρει. καθάρσια μὲν γὰρ λέγονται τὰ ἱερά, καὶ τὰ ἄλλα οἷς καθαίρονται. καθάρματα δὲ τὰ μετὰ τὸ καθαρθῆναι ἀπορριπτούμενα.

Κανθαρίζειν καὶ τονθορύζειν διαφέρει. κανθαρίζειν μὲν γὰρ λέγουσιν οἱ Ἀττικοὶ τὸ φεύγειν. τονθορύζειν δὲ τὸ ψιθυρίζειν καὶ γογγύζειν.

Καιρὸς καὶ χρόνος διαφέρει. καιρὸς μὲν γάρ ἐστι μέρος χρόνου, ὅτε μεμετρημένων ἡμερῶν σύστημα. χρόνος δὲ πολλῶν καιρῶν περιοχὴ καὶ σύλληψις. ἄλλως. ὁ μὲν καιρὸς δηλοῖ ποιότητα χρόνου, οἷον ὅτε πόλεμος ἦν. χρόνος δὲ ποσότητα, οἷον πρὸ ὀλίγου χρόνου, ἢ μετὰ δέκα ἔτη.

Κάλλαια καὶ κάλλη διαφέρει. κάλλαια μὲν γὰρ οἱ τῶν ἀλεκτρυόνων πώγωνες. κάλλη δὲ τὰ εἴδη τῶν βαμμάτων.

Κάθησαι τοῦ κάθισον διαφέρει. κάθησαι μὲν γὰρ ἐροῦμεν αὐτῷ τινι περὶ ἑαυτοῦ κελεύοντες. κάθισον δὲ περὶ ἑτέρου, κάθισον αὐτόν.

Κακὸς πονηροῦ διαφέρει. ὥσπερ ὁ ἄκακος τοῦ ἀγαθοῦ. κακὸς μὲν γὰρ ὁ κακοῦργος. πονηρὸς δὲ ὁ δραστικὸς κακοῦ.

Κακοήθεια μέν ἐστι κακία κεκρυμμένη, κακοτροπία δὲ ποικίλη καὶ παντοδαπὴ πανουργία.

Κέλης καὶ ἐπακτροκέλης διαφέρει. κέλης μὲν γάρ ἐστι πλοιάριόν τι μικρόν. ἐπακτροκέλης δὲ κακοῦργον, καὶ λῃστρικὸν σκάφος μεταξὺ ἐπακτρίδος καὶ κέλητος. Αἰσχίνης ἐν τῷ κατὰ Τιμάρχου. ἀλλ' αἱ προπετεῖς τοῦ σώματος ἡδοναὶ καὶ τὸ μηδὲν ἱκανὸν εἶναι ταῦτα πληροῖ τὰ λῃστήρια. ταῦτα εἰς τὸν ἐπακτροκέλητα ἐμβιβάζει. ἐπακτῆρες δὲ κυνηγέται καλοῦνται.

Κέλυφος, κελύφανον, καὶ ἔλυτρον διαφέρει. κέλυφος μὲν γὰρ λέγεται ἐπὶ τῶν ὀστρακοδέρμων. οἷον τῶν κογχυλίων. κελύφανον δὲ τῶν φραγμάτων, καὶ ὀσπρίων. ἔλυτρον δὲ τὸ ὑγρὸν χώρημα.

Κέδρος θηλυκῶς μὲν τὸ δένδρον. ἀρσενικῶς δὲ ὁ καρπός, ἀλλὰ θυεῖ τοὺς κέδρους.

Κηρύξαι ἀποκηρύξαι καὶ ἐπικηρύξαι διαφέρει. κηρύξαι μὲν γὰρ καὶ ἐπικηρύξαι λέγουσιν ἐπὶ τοῦ ἀπὸ κήρυκος ἀποδίδοσθαί τι. Μένανδρος, ἀπεκήρυξεν αὐτὴν ἀγαπῶν, οἷον ὑπὸ κήρυκι ἐπώλησεν. ἐπικηρύξαι δὲ τὸ ἀπαγγέλλεσθαι χρήματα δώσειν τῷ συλλαβόντι καὶ ἀνάγοντι, καὶ ἀποκτείναντί τινα τῶν διαφυγόντων.

Κιβωτὸς καὶ κίστη διαφέρει. κιβωτὸς μὲν γάρ ἐστιν ἡ ξυλίνη. διὸ καὶ αὐτὴ πῆξ καλεῖται, κίστη δὲ ἡ πλεκτή.

Κίνησις περιφορᾶς διαφέρει. κίνησις μὲν γάρ ἐστι κυρίως ἡ ἐκ τόπου εἰς τόπον μετάβασις. περιφορὰ δὲ, ἡ περὶ τὸν αὐτὸν τόπον στροφή.

Κίθαρις καὶ κιθάρα διαφέρει. φησὶν Ἀριστόξενος ἐν τῷ περὶ ὀργάνων. κίθαρις γάρ ἐστιν ἡ λύρα, καὶ οἱ χρώμενοι αὐτῇ κιθαρισταί, οὓς ἡμεῖς λυρῳδοὺς φαμέν. κιθάρα δὲ ᾗ χρῆται ὁ κιθαρῳδός. Αἰσχίνης ἐν τῷ κατὰ Τιμάρχου διαστέλλει, καί φησιν οὕτω περὶ αὐτῶν. εἶχε κιθαριστὰς καὶ κιθαρῳδούς. κιθαριστὴς μέν ἐστιν ὁ μόνον ψάλλων. κιθαρῳδὸς δὲ ὁ καὶ ψάλλων.

Κλῆσις καὶ πρόκλησις διαφέρει. κλῆσις μὲν γάρ ἐστιν ἡ εἰς ὁτιοῦν τῶν δικαστηρίων γινομένη, πρόκλησις δὲ ἡ εἰς ἄφεσιν πραγμάτων.

Κλῆμα κλίματος διαφέρει. κλῆμα μὲν γάρ ἐστιν εἶδος ἀμπέλου. κλίμα δὲ μέρος τι τοῦ κόσμου.

Κλύσαι μὲν λέγεται ποτήριον ἢ ἀγγεῖον. νίψαι δὲ πρόσωπον καὶ πόδας, πλῦναι δ' ἐσθῆτα.

Κόρδαξ καὶ κάρδαξ διαφέρει. κόρδαξ μὲν γάρ ἐστιν εἶδος ὀρχήσεως. κάρδαξ δέ τις ἐκαλεῖτο στρατιώτης. βάρβαρος δὲ ἡ λέξις. καλεῖται δὲ ἡ μὲν στρατιωτικὴ ὄρχησις ἐμμέλεια, σίκιννις δὲ ἡ σατυρική. κόρδαξ δὲ ἡ κωμική.

Κομιδῇ καὶ κομιδὴ διαφέρει. κομιδῇ γὰρ περισπωμένως ἐπίρρημα, καὶ σημαίνει τὸ παντελῶς. κομιδὴ δ' ὀξυτόνως ὄνομα, ὅτε οὐ σφαλεῖν κομιδή. λέγεται δὲ ἡ ἀπόληψίς τινος κομιδὴ παρὰ τὸ κομίσασθαι καὶ ἀπολαβεῖν.

Κόπτει καὶ ψοφεῖ διαφέρει. κόπτει μὲν γὰρ τὴν θύραν ὁ ἔξωθεν. ψοφεῖ δὲ ὁ ἔσωθεν ἐξιών.

Κομᾶν καὶ κουριᾶν διαφέρει. κομᾶν μὲν γάρ ἐστι τὸ ἐπί τινι σεμνύνεσθαι τῶν καλῶς πεπραγμένων, καὶ τρέφειν τὴν κόμην. κουριᾶν δὲ τὸ κουρᾶς ἐπιδεῖσθαι καὶ τὴν κόμην καθεικέναι.

Κόρυδος καὶ κορύδαλος διαφέρει. κόρυδος μὲν γὰρ τὸ ὄρνεον, λέγεται δὲ γῆς ἱερόν. κορύδαλος δὲ δῆμος Ἀθήνησιν, ἐν ᾧ σωτῆρες κούρης ἱερόν.

Κόνις καὶ κονὶς διαφέρει. τὸ γὰρ λεπτότατον τῆς γῆς κονὶς ὀξύνεται. τὸ δὲ ἀπὸ τῆς κεφαλῆς γινόμενον φθειρῶδες βαρύνεται.

Κόσμος οἰκουμένης διαφέρει. ὁ μὲν περιέχει οἰκουμένην καὶ ἄστρα. ἡ δὲ γῆν μόνον τὴν φανεράν.

Κτήματα καὶ ἐπικτήματα διαφέρει. κτήματα μὲν γάρ ἐστι τὰ ἐν τῇ οἰκίᾳ, ἐπικτήματα δὲ τὰ ἐν ἀλλοτρίᾳ.

Κτῆσις μέν ἐστι πᾶσα ἡ οὐσία. κτῆμα δ' ἕν τι.

Κραιπάλη καὶ μέθη διαφέρει. κραιπάλη μὲν γάρ ἐστιν ἡ χθεσινή. μέθη δὲ ἡ τῆς αὐτῆς ἡμέρας γινομένη οἴνωσις.

Κύπτειν καὶ κυπτάζειν διαφέρει. κύπτειν μὲν γάρ ἐστι τὸ ἐπικάμπτεσθαι τῷ σώματι. κυπτάζειν δέ ἐστι τὸ στραγγεύεσθαι. Ἀριστοφάνης ἐν Νεφέλαις. χώρει τί κυπτάζεις ἔχων περὶ τὴν θύραν.

Κυβεύειν καὶ πεττεύειν διαφέρει. κυβεύειν γάρ ἐστι τὸ διὰ ψήφων ἢ ἀστραγάλων παίζειν. πεττεύειν δὲ τὸ διὰ ψήφων.

Κρίνειν τοῦ διακρίνειν διαφέρει. κρίνειν μὲν γὰρ τὸ κυρίως δοκιμάζειν. διακρίνειν δὲ τὸ πρᾶγμα πράγματος διιστᾶν, καὶ χωρίζειν.

Κύειν καὶ τίκτειν διαφέρει. κύειν μὲν τὸ ἔγκυον εἶναι. τίκτειν δὲ τὸ ἀπαλλάττεσθαι τοῦ κύειν. Εὐριπίδης ἐναντίον ἡ κύουσα τίκτειν εἶπεν ἐνίκ' ἡγόμην πάλιν.

Κύριος καὶ δεσπότης διαφέρει. κύριος μὲν γὰρ τῆς γυναικὸς ὁ ἀνήρ, καὶ τῶν υἱῶν ὁ πατήρ. δεσπότης δ' ἀργυρωνήτων τινῶν ἄλλων.

Κωφὸς καὶ ἐνεὸς ὁ αὐτὸς παρὰ τοῖς παλαιοῖς ἐλέγετο ὁ μὴ φθεγγόμενος. Ὅμηρος κύματι κωφῷ τὸ μὴ ἀποτελοῦντι ἦχον, καὶ ἡσυχίᾳ·

καὶ κωφοῦ ξυνίημι, καὶ οὐ λαλέοντος ἀκούω, παραλλήλως ἔταξεν· νῦν δὲ κωφὸς ὁ βεβλαμμένος τὴν ἀκοὴν λέγεται.

Κωμῳδὸς καὶ ῥαψῳδὸς λέγεται ὁ χορευτής, καὶ ὑποκριτής. κωμῳδοποιὸς δὲ καὶ ῥαψῳδοποιὸς οἱ ποιηταί. ἐνίοτε δὲ συγχέουσι τὴν διαφοράν.

Λαγχάνειν καὶ κληροῦσθαι διαφέρει. λαγχάνειν μὲν γάρ ἐστιν, οὗ ἂν ὁ κλῆρος ἔλθῃ. Ὅμηρος· κλήρῳ νῦν πεπάλαχθε διαμπερὲς ὅς κε λάχῃσι. κληροῦνται δὲ οἱ καθιέντες εἰς τὸν κλῆρον. καὶ λαγχάνειν μέν ἐστι τὸ ἐκ τῶν κληρουμένων τοῦ προκειμένου τυχεῖν. κληρώσασθαι δὲ τὸ κλήρῳ χρήσασθαι.

Λαλεῖν, καὶ λέγειν, καὶ διαλέγεσθαι διαφέρει. λέγειν μὲν τὸ τεταγμένως προφέρεσθαι τὸν λόγον. λαλεῖν δὲ τὸ ἀτάκτως ἐκφέρειν τὰ ἐπιπίπτοντα ῥήματα. διαλέγεσθαι δὲ τὸ ἀμείβεσθαι, καὶ λόγον ἀντὶ λόγου παραδιδόναι πρὸς τὸν ἀντιλέγοντα. Πλάτων ἐν σοφιστῇ. οἱ δ᾽ ἄλλοι φιλόσοφοι διαιροῦσιν οὕτως. λαλεῖν μὲν τοὺς ἀτάκτως ἐκφέροντας ὃν προφέρουσι λόγον. διαλέγεσθαι δὲ καὶ λέγειν τοὺς μετ᾽ ἐπιμελείας λέγοντας. διαφορὰν δὲ τῶν δύο τούτων λέγουσι, καὶ τὸ μὲν διεξιέναι λόγον συναίροντες, λέγειν φασί. διαλέγεσθαι δὲ τὸ ἀμειβόμενον τοὺς λόγους κατ᾽ ἐρώτησιν καὶ ἀπόκρισιν ποιεῖσθαι.

Λαβεῖν καὶ δέξασθαι διαφέρει. λαβεῖν μὲν γάρ ἐστι τὸ κείμενόν τι ἀνελέσθαι. δέξασθαι δὲ τὸ διδόμενον ἐκ χειρός.

Λέπας καὶ λεπὰς διαφέρει. λέπας μὲν γὰρ βαρυτόνως ἐστὶν ὄρους ἀπόσπασμα. λεπὰς δὲ ὀξυτόνως ἐν ταῖς πέτραις γινόμενόν τι ὄστρεον.

Λέμβοι καὶ λέμφοι διαφέρει. λέμβος μὲν γάρ ἐστι πλοιαρίου τινὸς εἶδος. λέμφοι δὲ παρὰ Ἀττικοῖς οἱ κορυζώδεις ἐλέγοντο καὶ μυξώδεις. Μένανδρος. ἀποβολιμαίοις γέρων ἀμέμυκτ᾽ ἄθλιος λέμφος.

Λέχος καὶ εὐνὴ διαφέρει, λέχος μὲν γάρ ἐστιν ἡ κλίνη, εὐνὴ δὲ ἡ ἐπὶ ταύτης στρωμνή. φησὶ γοῦν ποιητής. ἔνθα οἱ ἐκθεῖσαι πυκινὸν λέχος ἐμβάλλετ᾽ εὐνὴν, δέμνια καὶ χλαίνας.

Λεῖαι καὶ λίαι διαφέρει. λεία μὲν γὰρ διὰ τῆς διφθόγγου σημαίνει τὴν ἐπέλασιν τῶν τετραπόδων. λῃίδα δ᾽ ἐκ πεδίου συνελάσαμεν. διὰ δὲ τοῦ ι, ἐπίρρημα δηλοῖ ἐπιτάσεως· ἐάν τε ἐκτείνηται, ἐάν τε συστέλληται.

Λῆμα καὶ λῆμμα διαφέρει. λῆμα μὲν γάρ ἐστι δι᾽ ἑνὸς μ τὸ παράσημα τῆς τύχης. λῆμμα δὲ διὰ δύο μμ, τὸ λαμβανόμενον.

Λητουργεῖν διὰ τοῦ η, καὶ λιτουργεῖν διὰ τοῦ ι διαφέρει. φησὶ Δίδυμος ἐν ὑπομνήματι δευτέρας Ἰλιάδος, τὸ μὲν γὰρ λητουργεῖν τὸ τῷ δημοσίῳ ὑπηρετεῖν, λῆτον γάρ φασι τὸ δημόσιον. λήιτον ἀμφεπένοντο. τὸ δὲ λιτουργεῖν κακὰ λέγειν.

Λίβανος καὶ λιβανωτὸς διαφέρει. λίβανος μὲν γὰρ κοινῶς καὶ τὸ δένδρον, καὶ τὸ θυμιώμενον. λιβανωτὸς δὲ μόνον τὸ θυμιώμενον.

Λογογράφος καὶ λογοποιὸς διαφέρει. λογογράφος μὲν γάρ ἐστιν, ὁ τοὺς δικανικοὺς λόγους γράφων. λογοποιὸς δὲ ὁ λόγους τινὰς καὶ μύθους συντιθείς.

Λόγος ποιήσεως διαφέρει. λόγος μὲν γάρ ἐστιν ἡ δίχα μέτρου σύνταξις. ποίησις δὲ ἡ σύνθεσις ἡ μέτρῳ κοσμουμένη.

Λυχνοῦχον καὶ λαμπτῆρα φασὶ τὸν νῦν, φανὸν δὲ τὴν λαμπάδα. καὶ οἱ μὲν κωμικοὶ διὰ τοῦ φ. οἱ δὲ ῥητορικοὶ διὰ τοῦ π, πανός. λυχνεῖον δὲ ἐκάλουν τὴν λυχνείαν.

Λυχνίον λύχνου διαφέρει. λυχνίον μὲν γάρ ἐστιν ἡ λυχνία, ὡς Ἀντιφάνης φησὶν ἐν Ἀφροδίτης γοναῖς. λύχνος δὲ ὁ φανός. Μένανδρος ἐν νομοθέταις. ἑτέρου λυχνοῦχος ἑτέρου λήκυθος.

Μάχαιρα καὶ μαχαιρὶς διαφέρει. μάχαιραν μὲν γὰρ ὁμοίως ἡμῖν λέγουσιν οἱ Ἀττικοί. μαχαιρίδας δὲ τὰς τῶν κουρέων.

Μακρολόγος καὶ πολυλόγος διαφέρει. μακρολόγος μὲν γάρ ἐστιν ὁ περὶ ὀλίγων πολλὰ λέγων. πολυλόγος δὲ ὁ περὶ πολλῶν πολλὰ λέγων.

Μαστὸς μαζοῦ διαφέρει. μαστὸς μὲν γάρ ἐστιν ὁ γυναικεῖος. κυρίως δὲ τὸ δίον μεστὸν εἶναι γάλακτος. μαζὸς δὲ ὁ ἀνδρεῖος, ὡς καὶ ὁ ποιητής φησι, νευρὴν μὲν μαζῷ πέλασε τόξῳ δὲ σίδηρον.

Μάρτυς ἐλέγχου διαφέρει. μάρτυς μὲν ἐπ᾽ ἀγαθοῦ λαμβάνεται. ἔλεγχος δὲ ἐπὶ φαύλου.

Μάχη καὶ πόλεμος διαφέρει. μάχη μὲν γάρ ἐστιν ἡ ἐν πολέμοις ἐνέργεια. πόλεμος δὲ ὁ χρόνος, καὶ ἡ πρὸς τὴν μάχην παρασκευή.

Μαρτυρία καὶ ἐκμαρτυρία διαφέρει. μαρτυρία μὲν γάρ ἐστιν ἡ τῶν ἐπιδημούντων. ἐκμαρτυρία δὲ ἡ τῶν ἀποδημούντων. ὡς διασαφεῖ Δείναρχος ἐν τῷ κατὰ Κλεομέδοντος αἰκίας λέγων. πολλὰ καὶ ἀγαθὰ ὦ ἄνδρες δικασταὶ γένοιτο ὑμῖν, καὶ τῷ νομοθετήσαντι ἐξεῖναι τῶν ἀποδημούντων ἐκμαρτυρίας παρέχεσθαι.

Μάγοι τόν τε φαρμακέα, ὡς Αἰσχίνης ἐν τῷ κατὰ Κτησιφῶντος καὶ τὸν περὶ τοὺς θεοὺς ἱερουργὸν ὡς Ἡρόδοτος.

Μανία μέν ἐστιν ἔκστασις λογισμοῦ. λύσσα δ᾽ ἐπιτεταμένη μανία. οἶστρος δὲ μανιώδης ἐπιθυμία.

Μαντικὴ μέν ἐστιν ἡ τέχνη. μαντεία δὲ ὁ χρησμός.

Μέτοικος, καὶ ἰσοτελὴς διαφέρει. μέτοικος μὲν γάρ ἐστιν ὁ ὑπόφορος. ἰσοτελὴς δὲ ὁ μὴ τελῶν τι ἢ ἀρχῶν.

Μεταβάλλεσθαι καὶ μεταμορφοῦσθαι, καὶ ἀλλοιοῦσθαι, καὶ ἑτεροιοῦσθαι διαφέρει. μεταβάλλεσθαι μὲν γάρ ἐστι πάθος κοινόν· καὶ γὰρ καιρῶν γίνονται, καὶ πράξεων, καὶ ἀφροδισίων, ὁ γοῦν Εὐριπίδης ἐν Ὀρέστῃ παριστῶν τὴν δύναμιν τῆς λέξεως φησί· μεταβολὴ πάντων γλυκύ.

μεταμορφοῦσθαι δὲ μεταχαρακτηρισμὸς ἢ μετατύπωσις σώματος εἰς ἕτερον χαρακτῆρα. ἀλλοίωσις δὲ οὐ μόνον μετασχηματισμὸς χαρακτήρων, ὡς τὸ ἀλλοῖός μοι ξεῖνε φάνης νέον ἠὲ πάροιθεν, ἀλλὰ καὶ τῆς προτέρας ἀπολύσεως ποίησις ἑτέρα. ἑτεροίωσις δ᾽ ὅταν ἀφ᾽ ἑτέρου σώματος εἰς ἕτερον μεταβάλῃ, οἷον Νιόβη εἰς λίθον.

Μεῖραξ, καὶ μειράκιον καὶ μειρακίσκος διαφέρει. μειράκιον γὰρ καὶ μειρακίσκος ὁ ἄρσην. μεῖραξ δὲ ἡ θήλεια.

Μετρεῖσθαι, καὶ ἵστασθαι διαφέρει. μετρεῖσθαι μὲν γὰρ ἔλεγον οἱ παλαιοὶ μέτρῳ λαμβάνειν πυρὸν ἤ τι τοιοῦτον ἐνδεῖν, ἵνα ἀποδῶ. Ἡσίοδος· εὖ μὲν μετρεῖσθαι, εὖ δ᾽ ἀποδοῦναι, οὐχὶ ἀργύρειον ἢ χρύσεον, οὐδέπω γὰρ ἦν τότε νομίσματα. ἵστασθαι δὲ Ὅμηρος. δείδω μὴ τὸ χθιζὸν ἀποστήσωνται Ἀχαιοὶ χρεῖος. οἷον γενόμενον αὐτοῖς ἐλάττωμα ἐν τῷ μάχεσθαι, ἀντιχρεολυτήσωσι, καὶ ἀναπιστήσονται. ὡς περὶ ὀφειλομένου δάνους χρήσασθαι δ᾽ ἔλεγον ἱμάτιον ἢ σκεῦος.

Μέμψασθαι, ἐγκαλεῖν καὶ ψέγειν διαφέρει. μέμψις μὲν ἐστὶν ἀμελοῦντος κατηγορία. ψόγος δὲ ἐπονείδιστος.

Μινυρίζειν καὶ μινύρεσθαι διαφέρει. μινυρίζειν μὲν γάρ ἐστι τὸ ἠρέμα προσᾴδειν. μινύρεσθαι δὲ τὸ θρηνεῖν. τὸ δ᾽ αὐτὸ καὶ κινύρεσθαί φασι.

Μισητὴ, καὶ μισῆτη διαφέρει παρὰ τοῖς Ἀττικοῖς, ὥς φησι Τρύφων ἐν δευτέρῳ περὶ Ἀττικῆς προσῳδίας. ἐὰν μὲν γὰρ ὀξυτονήσωμεν, σημαίνει τὴν ἀξίαν μίσους. καθὰ καὶ ἡμεῖς ἐν τῇ συνηθείᾳ προφερόμεθα. ἐὰν δὲ βαρυτονήσωμεν, τὴν καταφερῆ πρὸς συνουσίαν, τὴν δὲ διαφορὰν τῶν σημαινομένων καὶ παρὰ Δωριεῦσί φασι φυλάττεσθαι καὶ παρ᾽ Ἴωσι.

Μισθὸς μισθώματος διαφέρει. μισθὸς μέν ἐστιν ὁ δίκαιος μισθός. μίσθωμα δὲ τὸ ἐπονείδιστον.

Μνήμη καὶ μνεία διαφέρει. ἔστι μὲν γὰρ μνήμη, τοῦτο οὐ πάντως καὶ μνεία. ἔστι δὲ μνεία, τοῦτο εὐθέως καὶ μνήμη. ἔστι δὲ μνήμη γενικὴ τύπωσις ψυχῆς. μνεία δὲ λόγος κατὰ ἀνανέωσιν λεγόμενος, ὁ μὲν γὰρ μιμνησκόμενος οὐ πάντως καὶ μνήσκεται. ὁ γὰρ μεμνημένος πάντως καὶ μιμνήσκεται. ἄλλως, μνήμη ἐστὶν ἡ τῶν μνημονικῶν ἀεὶ σύστασις. μνεία δὲ προγεγονότος τινὸς ὑπόμνησις ὥστε ὁ τούτοις ἐναλλὰξ χρώμενος, ἁμαρτήσεται.

Μνημεῖα καὶ μνήματα διαφέρει. μνημεῖα μὲν γὰρ ἔλεγον τὰ μνημόσυνα. μνήματα δὲ τοὺς τάφους. μνήμη μὲν γὰρ γίνεται νεκροῦ. μνεία δὲ ζῶντος.

Μοχθηρὸς μόχθηρος καὶ πονηρὸς διαφέρουσι. μοχθηρὸς μὲν γὰρ ὀξυτόνως, ὁ τὰ ἤθη πονηρός. λέγουσι δὲ ἁπλῶς τὰ φαῦλα καὶ μοχθηρὰ, πονηρὰ, ὡς Θουκυδίδης, πονηρὰ τὰ πράγματα τῶν Ἀθηναίων, ἀντὶ τοῦ φαῦλα. μόχθηρος δὲ ὁ ἐπίπονος ὡς καὶ πόνηρος.

Μύριοι ἐπὶ ἀριθμοῦ. μυρίοι δὲ οἱ πολλοί.

Μῦθος καὶ ἱστορία διαφέρει. ἱστορία μὲν γὰρ γεγονότα πράγματα περιέχει. ὁ δὲ μῦθος διαπεπλασμένα καὶ ψευδῆ. ὁ γοῦν λέγων, ὅτι πεποίηται ἡ περὶ τὸν κύκλωπα ἱστορία. ἢ ἄλλο τι τοιοῦτον, οὐκ ἄγαν ὀρθοεπεῖ. μᾶλλον γὰρ ἁρμόζει λέγειν, ὅτι πεποίηται περὶ τὸν κύκλωπα μῦθος.

Ναὸς καὶ σηκὸς διαφέρει. ὁ μὲν γὰρ ναός ἐστι θεῶν, ὁ δὲ σηκὸς ἡρώων.

Ναύκληροι καὶ ναύκραροι διαφέρει. ναύκληροι μὲν γάρ εἰσιν οἱ ναῦς κεκτημένοι. ναύκραροι δὲ οἱ εἰσπραττόμενοι τὰ δημόσια κτήματα. καὶ ναυκραρία οἱ τόποι ἐν οἷς ἀπέκειντο τὰ κτήματα. ἐλέγοντο δὲ ὁμοίως ναύκληροι καὶ οἱ μισθοῦντες τὴν συνοικίαν.

Ναυαγία μέν ἐστιν αὐτὴ ἡ τῆς νεὼς διαφθορά. ναυάγιον δὲ τὸ ἐξ αὐτῆς ἐκβρασθέν.

Νεαρὸν νεαλοῦς καὶ προσφάτου διαφέρει. νεαρὸν μὲν γάρ ἐστι τὸ νεωστὶ κομισθὲν ὕδωρ. ἔγκειται γὰρ τῇ λέξει τὸ ἀρύειν. πρόσφατον δὲ τὸ κρέας. εἴρηται γὰρ ἀπὸ τοῦ φάσαι ὅ ἐστι τὸ φονεῦσαι. ὅθεν καὶ τὸ φάσγανον. νεαλὲς δὲ τὸ νεωστὶ ἑαλωκὸς, οἷον ἰχθῦς. δύναται δὲ νεωστὶ ἁλὶ πεπασμένον.

Νηρεΐδες τῶν τοῦ Νηρέως θυγατέρων διαφέρει. Δίδυμος ὁμοίως ἐν ὑπομνήματι Βακχυλίδου ἐπινίκων. φησὶ γὰρ κατὰ λέξιν. εἰσὶ τοίνυν οἵ φασι διαφέρειν τὰς Νηρεΐδας τῶν τοῦ Νηρέως θυγατέρων. καὶ τὰς μὲν ἐκ Δωρίδος γνησίας αὐτοῦ θυγατέρας νομίζεσθαι. τὰς δὲ ἐξ ἄλλων ἤδη κοινότερον, Νηρεΐδας καλεῖσθαι, καὶ τὰς μὲν γνησίας, καὶ τὸν ἀριθμὸν, πλείους δὲ τὰς ἄλλας. ταῦτα φησὶ Μνασέας ἐν τοῖς περὶ τῆς Εὐρώπης τὸν τρόπον τοῦτον. εἶτα ἐκτίθεται διὰ μακρῶν τὴν λέξιν. καὶ ἐπιφέρει πιθανῶς τὰς μὲν ἐκ μιᾶς τῆς Δωρίδος γνησιωτέρας τῶν ἄλλων οὔσας, Νηρέως θυγατέρας λέγεσθαι. τὰς δὲ συμμίκτους αὐτῷ μόνον Νηρεΐδας.

Νῆες πλοίων διαφέρει. Δίδυμος ἐν δεκάτῳ ῥητορικῶν ὑπομνημάτων φησὶν οὕτως, ὅτι διαφέρουσιν αἱ νῆες τῶν πλοίων. τὰ μὲν γάρ ἐστι στρογγύλα. αἱ δὲ κωπήρεις καὶ στρατιώτιδες. Ἀριστοτέλης δὲ ἱστορεῖ ἐν δικαιώμασι τὸν πόλεμον οὕτως. Ἀλέξανδρος ὁ Μολοττὸς ὑπὸ ταὐτὸ χρόνον Ταραντίνων αὐτὸν μεταπεμψαμένων ἐπὶ τὸν πρὸς τοὺς βαρβάρους πόλεμον, ἐξέπλευσε ναυσὶ μὲν πεντεκαίδεκα. πλοίοις δὲ συχνοῖς ἱππαγωγοῖς καὶ στρατιωτικοῖς.

Νοῦς μέν ἐστιν ἀπόκρυφος λογισμός. φρένες δὲ αἱ ἀγαθαὶ διάνοιαι.

Νῦν καὶ νυνὶ διαφέρει. φησὶ κατά τινας Ἡρακλείδης ἐν πρώτῃ περὶ καθολικῆς προσῳδίας. τὸ μὲν γὰρ νῦν χρονικὸν ἐπίρρημα, τάσσεται ἐπὶ τῶν τριῶν χρόνων, ἐνεστῶτος, παρῳχημένου,

καὶ μέλλοντος. οἷον ὅτι αὐτῶν ναῦς ἐστι, ναῦς ἔσται. τὸ δὲ ναυσὶ ἐπὶ μόνου ἐνεστῶτος.

Νωθέστερος μὲν ὁ βλακώδης. νωχαλέστερος δὲ ὁ ἀσθενέστερος.

Ξόανον, βρέτας, ἄγαλμα διαφέρει. ξόανον μὲν γάρ ἐστι τὸ ἐξεσμένον λίθινον, ἢ ἐλεφάντινον. βρέτας δὲ τὸ βροτῷ ὁμοιούμενον ἤτοι χαλκοῦν, ἢ ἐκ τῆς ἐμφεροῦς ὕλης πεποιημένον. ἄγαλμα δὲ τὸ πώρινον ἢ ἔκ τινος ἑτέρου λίθου κατεσκευασμένον.

Ξενίζειν μὲν οὐ μόνον τὸ καταδέχεσθαι ξένον, ἀλλὰ καὶ τὸ ξένως διαλέγεσθαι. ὡς Δημοσθένης ἐν τῷ πρὸς Βοιωτούς.

Ξυστόν τε, τὸ ἀκόντιον ὡς παρ᾽ Ἡσιόδῳ ἐν τῷ πρώτῳ, καὶ τὸ οἰκοδόμημα, ὡς παρὰ Ξενοφῶντι ἐν οἰκονομικῷ.

Ὀβελὸς ὀβολοῦ διαφέρει. ὀβελὸς μὲν γάρ ἐστιν εἰς ὃ διαπειρόνται τὰ κρέα μέλλοντα ὀπτᾶσθαι. ὀβολὸς δὲ μέρος δραχμῆς.

Ὧδε καὶ ὅδε διαφέρει. ὧδε μὲν γὰρ ἀναφορικῶς καὶ δεικτικῶς. ὅδε δὲ δεικτικῶς μόνον κατ᾽ ἐπέκτασιν.

Οἰκῆας καὶ οἰκείους διαφέρειν φασίν. οἰκεῖοι μὲν γὰρ οἱ κατ᾽ ἐπιγαμίαν προσήκοντες. οἰκῆες δ᾽ ἅπαντες καὶ οἱ ἐν τῇ οἰκίᾳ τυγχάνοντες τῇ αὐτῇ, εἴτε οἰκέται, εἴτε ἐλεύθεροι. φησὶ γοῦν Ἕκτωρ ὄφρ᾽ ἴδωμαι οἰκῆας, ἄλοχόν τε φίλην, καὶ νήπιον υἱόν, καὶ ἐξ ὕπνου γνώσεται φίλους οἰκῆας ἐγείρει. καὶ ἐν Ὀδυσσείᾳ. κήδετο οἰκήων οὓς κτήσατο δῖος Ὀδυσσεύς.

Οἰκίζεται καὶ συνοικίζεται διαφέρει. οἰκίζεται μὲν γὰρ πόλις ἀπὸ τῆς πρώτης τῶν συνοικητόρων ἀθροίσεως, καὶ καθιδρύσεως. συνοικίζεται δὲ ἡ ἐκ πολλῶν πόλεων εἰς μίαν πόλιν συναγομένη ἀπὸ τοῦ πλείονα δύναμιν ἔχειν. διοικίζεται δὲ ἡ ἐκ μιᾶς πόλεως μεγέθει ἰσχυούσης εἰς πολλὰ καταδιαιρουμένη ἀπὸ τῶν ἐχθρῶν ἵνα ἀσθενὴς γένηται, ὡς οἱ Λακεδαιμόνιοι τὴν ἐν Ἀρκαδίᾳ μεγάλην πόλιν διῴκισαν.

Οἰκότριψ καὶ οἰκέτης διαφέρει. οἰκότριψ μὲν ὁ ἐν τῇ οἰκίᾳ διατρεφόμενος ὃν ἡμεῖς θρεπτὸν καλοῦμεν. οἰκέτης δὲ ὁ δοῦλος ὁ ὠνητός. παρὰ δὲ Σόλωνι ἐν τοῖς ἄξοσιν οἰκεὺς κέκληται ὁ οἰκότριψ.

Οἶμος οἴμης διαφέρει. οἶμος μὲν γάρ ἐστιν ἀρσενικῶς ἡ ὁδός. οἴμη δὲ ἡ ᾠδή.

Οἶκτος καὶ οἰκτισμὸς διαφέρει. οἶκτος μὲν γάρ ἐστιν οἰκτιζομένου ἔλεος. οἰκτισμὸς δὲ ὁ λόγος τοῦ οἰκτείροντος.

Οἴνη καὶ οἰνάνθη διαφέρει. οἴνη μὲν γὰρ ἡ ἄμπελος. οἰνάνθη δὲ ἡ πρώτη τῶν βοτρύων ἐξάνθησις. οἰναρία δὲ τὰ φύλλα.

Οἴκαδε τοῦ εἰς οἶκον διαφέρει. οἴκαδε μὲν γὰρ τὸ εἰς τὴν ἰδίαν οἰκίαν βαδίζειν. εἰς οἶκον δὲ καὶ ἐφ᾽ ἑτέραν.

Οἶκος, οἰκία, συνοικία, οἰκίσκος, καὶ δῶμα διαφέρουσιν. οἶκος μὲν λέγεται ἡ πᾶσα οὐσία. οἰκία δὲ ἡ ἀπὸ ἑνὸς ἢ ἀπὸ δευτέρου κατοικουμένη. συνοικία δὲ ἡ πολλοῖς καὶ μισθουμένη. οἴκημα δὲ τὸ τέγος ἢ τὸ δεσμωτήριον. οἰκίσκος τὸ μικρὸν δωμάτιον, δῶμα δὲ ὁ λεγόμενος κοιτών.

Ὄλβιος καὶ εὐτυχὴς διαφέρει. ὄλβιος μὲν γάρ ἐστιν ὁ τελείαν τὴν εὐδαιμονίαν ἔχων. εὐτυχὴς δὲ ὁ ζῶν ἡδέως καὶ ἀλύπως.

Ὀλίγον καὶ μικρὸν διαφέρει. τὸ μὲν γὰρ ὀλίγον ἐπ᾽ ἀριθμοῦ. τὸ δὲ μικρὸν ἐπὶ μεγέθους τάσσεται. Ἀριστόνικος ἐν ὑπομνήματι ἐκάλεσ᾽ ἐπὶ στοιχείου, ὀλίγον παῖδα καλυψοῦς. φασὶ δὲ ὅτι, ὀλίγον μακρὰ ὑπαλλακτικῶς. τὸ μὲν γὰρ ὀλίγον ἐπ᾽ ἀριθμοῦ, τὸ δὲ μικρὸν ἐπὶ μεγέθους τάσσεται. καὶ Ὅμηρος· δίφρον ἀεικέλιον καταθεὶς ὀλίγην τε τράπεζαν, τὴν μικράν.

Ὅλμος καὶ ὅρμος διαφέρει. ὅλμος μὲν γάρ ἐστι μαγειρικὸν σκεῦος, εἰς ὃ κόπτονται τὰ εἴδη τὰ μαγειρικά, ὅρμος δέ ἐστι λιμήν.

Ὄρθρος μέν ἐστιν ἡ πρὸ ἀνατολῆς ἡλίου ὥρα καθ᾽ ἣν ἀναστάντες ἐξ ὕπνου ὀρθοὶ γινόμεθα. πρωῒ δὲ ἡ πρὸ τοῦ καθήκοντος καιροῦ. Ὅμηρος, πρωῒ δὲ ὑπ᾽ ἠοῖο ζαὴ τεύχει. καὶ Ἡσίοδος τελευτῆσαι τινὰ πρωῒ μάλ᾽ ἤϊθεον τουτέστι πρόωρον.

Ὁρᾶν καὶ ὑφορᾶν διαφέρει. ὁρᾶν μὲν γάρ ἐστι τὸ θεωρεῖν. ὑφορᾶν δὲ τὸ καταφρονεῖν.

Ὀρνιθευτὴς καὶ ὀρνιθοσκόπος διαφέρει. ὀρνιθευτὴς μὲν γάρ ἐστιν ὁ θηρεύων ὄρνιθας. ὀρνιθοσκόπος δὲ ὁ οἰωνοσκόπος.

Ὀροφὴ καὶ τέγος διαφέρει. ὀροφὴ μὲν γάρ ἐστιν ἡ στέγη. τέγος δὲ τὸ δῶμα.

Ὅσιον καὶ ἱερὸν διαφέρει. ὅσια μὲν γάρ ἐστι τὰ ἰδιωτικὰ ὧν ἐφίεται, καὶ ἔξεστι προσάψασθαι. ἱερὰ δὲ τὰ τῶν θεῶν, ὧν οὐκ ἔξεστι προσάψασθαι. Δημοσθένης ἐν τῷ κατὰ Τιμοκράτους λέγει, ὡς τι πέπονθε τοῦ τὸν νόμον, οὐδὲ τὰ μὲν ἱερῶν χρήματα τοὺς θεούς. τῶν ὁσίων δὲ τὴν πόλιν ἀποστερεῖ.

Ὅτι καὶ διότι διαφέρει, τὸ μὲν γὰρ ὅτι αἰτίαν δηλοῖ, ὅτι δὲ βεβαίωσιν, τὸ δὲ διότι αἰτίαν δηλοῖ. αὐτίκα γοῦν ὅτι μὲν ἐκλείπει ἡ σελήνη πάντες ἴσμεν, διότι δὲ οὐκέτι, ἀλλὰ μόνοι οἱ ἔμπειροι.

Οὐκοῦν παροξυτόνως μὲν ἀποφατικόν ἐστι τὸ οὐχὶ οὖν. οἷον οὐκοῦν ἀπιστεῖν. περισπωμένως δὲ συλλογιστικός ἐστι σύνδεσμος καὶ σημαίνει ἀπόφασιν.

Οὐδὲν διὰ τοῦ δ, καὶ οὐθὲν διὰ τοῦ θ διαφέρει. οὐδὲν μὲν γὰρ τὸ ἐν τῷ καθόλου, ὡς φαμὲν οὐδὲν ἐν κόσμῳ κενόν. πᾶσα γὰρ ἡ τοῦ κενοῦ φύσις βασανίζεται. οὐθὲν δὲ ἀναλυθὲν εἰς τὸ ἴδιον ἀντίστοιχον, σημαίνει τὴν τοῦ ἑνὸς ἄρσιν, καὶ ἐπιφορὰν ἑτέρας ἀρχῆς, οὐδ᾽ ἓν οὔτε δύο. τὸ δὲ διὰ τοῦ δ, ἀπαρτίζει, διὸ καὶ ὁ ποιητής φησιν· οὐδὲν ἀκιδνότερον γαῖα τρέφει ἀνθρώποιο. ὁ οὖν ἐναλλάσσων ἁμαρτάνει. διὸ καὶ Ζηνόδοτον εὐθύνουσι γράφοντα, οὐθὲν ἀκιδνότερον.

Οὕνεκα καὶ εἵνεκα διαφέρει. οὕνεκα μὲν σημαίνει τὸ ὅτι. εἵνεκα δὲ χάριν. Ὅμηρος διαστέλλει, οὔτε

καὶ τὸν χρύσην ἠτίμησ᾽ ἀρητῆρα. αὐτὶ τοῦ ὅτι. εἵνεκα ῥιγεδανῆς ἑλένης ἥμαρτεν οὕτω ὁ καλλίμαχος εἰπὼν, εἵνεκεν οὐχ ἓν ἄλεισμα ὅπερ ἄτοπον. ἔδει γὰρ εἰπεῖν οὕνεκα, ἵνα γένηται ὅτι οὐχ ἓν ἄλεισμα.

Ο ὗτος καὶ οὑτοσὶ διαφέρει. τὸ μὲν γὰρ οὑτοσὶ δεικτικὸν μόνον. τὸ δὲ οὗτος δεικτικὸν καὶ ἀναφορικόν. δεικτικὸν μὲν, οὗτός τοι διομήδης. ἀναφορικὸν δὲ, οὗτος μὲν πανάριστος, ὃς αὐτῷ πάντα νοήσει. ὁ αὐτὸς λόγος καὶ ἐπὶ τούτου καὶ τουτουί.

Ο ὐλὴ καὶ ὠτειλὴ διαφέρει. οὐλὴ μέν ἐστιν ἡ ὑπασμένη σὰρξ ἐκ παλαιοῦ τραύματος. ὠτειλὴ δὲ τὸ πρόσφατον τραῦμα παρὰ τὸ οὐτάσθαι. καὶ ὅμηρος τὴν διαφορὰν τετήρηκεν. ἐπὶ μὲν τῆς οὐλῆς εἰπὼν, τήν ποτέ μιν σῦς ἤλασε λευκῷ ὀδόντι. ἐπὶ δὲ τῆς ὠτειλῆς αὐτίκα δ᾽ ἔρρεεν αἷμα κατ᾽ οὐταμένην ὠτειλήν.

Ο ὖρος καὶ ὄρος διαφέρει. οὖρος μὲν ὁ ἄνεμος. ὄρος δὲ ὁ τόπος ἢ τὸ ὑψηλόν. οὐρεὺς τ᾽ ὀξὺ καὶ ἰσθμαῖον.

Ο φλεῖν καὶ ὀφείλειν διαφέρει. ἀπολλωνίδης ὁ νικαεὺς ἐν ὑπομνήματι περὶ παραπρεσβείας δημοσθένους. ὀφλεῖν μὲν γάρ τις φησὶν ἐπὶ καταδίκης. ὀφείλειν δέ τις ὡς ἡμεῖς ἐκδεχόμεθα.

Ο φλημα καὶ χρέος διαφέρει. ὄφλημα μὲν γὰρ καὶ ὀφείλημα τὸ ἐκ καταδίκης τῷ δημοσίῳ ὀφειλόμενον. χρέος δὲ τὸ ἰδιωτικὸν δάνειον.

Ο χθαι καὶ ὄχθοι διαφέρουσιν. ὄχθαι μὲν γάρ εἰσι ποταμῶν χείλη. ὄχθοι δὲ ἐπάρματα γῆς.

Ο ψὲ καὶ ἑσπέρα διαφέρει. ἑσπέρα μὲν γάρ ἐστιν ἡ μετὰ τὴν δύσιν τοῦ ἡλίου ὥρα. ὀψὲ δὲ ἡ μετὰ πολὺ τῆς δύσεως καὶ καθόλου μετὰ πολὺν χρόνον. ὡς ὅμηρος, ὀψὲ δὲ δὴ μετέειπε καὶ ὀψαρότης πρὸς ἀρότην ἰσοφαρίζει. ὀψαρότης ἐστὶν ὁ μετὰ πολὺ τοῦ προσήκοντος χρόνου ἀροτριῶν.

Γ αρέχειν καὶ παρέχεσθαι διαφέρει. παρέχειν μὲν γὰρ λέγεται τὰ ἐκ χειρὸς διδόμενα, οἷον ἐσθήματα ἢ ἐκπώματα. τὸ δὲ παρέχεσθαι λέγεται ἐπὶ τῆς τῆς ψυχῆς διαθέσεως, οἷον ἐπιθυμίαν, εὔνοιαν. θουκυδίδης, καὶ πᾶν τὸ πρόθυμον παρεχόμενοι. δημοσθένης ἐν φιλιππικοῖς. τὴν αὐτὴν παρεχόμενα προθυμίαν.

Γ αρειαὶ καὶ παρεῖαι διαφέρουσι. παρειαὶ μὲν γὰρ ὀξυτόνως αἱ τοῦ ἀνθρώπου. παρεῖαι δὲ προπερισπωμένως, ὄφεις τινὲς μετέωρα τὰ παρεῖα ἔχοντες, ὡς παρείας ὄφεις.

Γ άσασθαι βραχέος μὲν ὄντος τοῦ α. τὸ γεύσασθαι δηλοῖ. ἐν ἐκτάσει δὲ τούτου, τὸ κτήσασθαι.

Γ αραβολὴ καὶ παράδειγμα διαφέρει. παραβολὴ μὲν γάρ ἐστιν, ἡ ὥστε γενέσθαι ἐπὶ παραδείγματος, οἷον ὡς δ᾽ ὅτε τίς τε δράκοντα ἰδών. παράδειγμα, γεγονότος πράγματος αὐτὶ παράθεσις, οἵνες καὶ μέν ταῦτα ἐπώλεσεν.

Γ ἄλτον καὶ πέλτη διαφέρει. πάλτον μὲν γάρ ἐστι δόρυ. πέλτη δὲ ἀσπὶς ἴτυν οὐκ ἔχουσα.

Γ αρακέκρουσται καὶ παρακέκρουται διαφέρει. τὸ μὲν γὰρ σὺν τῷ σ, ἐνεργητικόν ἐστι καὶ σημαίνει τὸ ἐξηπάτηκε. τὸ δὲ χωρὶς τοῦ σ, παθητικόν, καὶ σημαίνει τὸ ἐξηπάτηται.

Γ αῖς καὶ ἀντίπαις διαφέρει. παῖς μὲν γάρ ἐστιν ὁ ἐν τῇ παιδικῇ ἡλικίᾳ. ἀντίπαις δὲ ὁ ἐκβεβηκὼς τοῦ παιδὸς τὴν ἡλικίαν, καὶ ἤδη πρόσηβος. βούπαις δὲ ὁ μέγας παῖς.

Γ αιδίσκη καὶ θεράπαινα διαφέρει. παιδίσκη μὲν γάρ ἐστι πᾶσα ἡ τὴν παιδικὴν ἔχουσα ἡλικίαν, ὡς καὶ παιδίσκος. θεράπαινα δὲ ἡ δούλη.

Γ αίδευσις καὶ παιδεία διαφέρει. ὥς φησι πλάτων ἐν ὅροις. παιδεία μὲν γάρ ἐστι δύναμις θεραπευτικὴ ψυχῆς. παίδευσις δὲ παιδείας καὶ ἀρετῆς παράδοσις, καὶ ἐκ παιδὸς ἄχρι τῆς ἐπ᾽ ἀρετὴν ὁδηγοῦσα.

Γ αιδίσκη καὶ παῖς διαφέρει. παιδίσκη μὲν γὰρ ἡ ἐλευθέρα παρ᾽ ἀττικοῖς. παῖς δὲ ἡ δούλη. μένανδρος ἐν δακτυλίῳ, ἐπὶ τοῦ δ᾽ αὖ τις ὑπὸ κακοδαίμων ἔφη. ὃς οὐκ αὖ ἐκ δ᾽ ἔχει θυγατέρας μέσος καὶ ταύτας πεντήκοντα παιδίσκας ἔχων.

Γ αρθενία καὶ σωφροσύνη διαφέρει, καὶ παρθένος σώφρονος. ἡ μὲν παρθένος σώφρων ἐστὶ πάντως. ἡ δὲ σώφρων οὐ πάντως παρθένος.

Γ άσχειν καὶ συμπάσχειν διαφέρει. ὡς πάσχων συμπάσχοντος. ὁ μὲν γὰρ πάσχων λυπεῖται μὲν ἐπὶ τῷ τοῦ συμπάσχοντος πάθει, οὐ μέντοι συμπάσχων ἀλγεῖ, καθάπερ ὁ πάσχων. οἷον πυρέττει τις τῶν φίλων σφόδρα καὶ συμπάσχομεν τούτῳ πυρέττοντι, οὐ μέντοι καὶ πυρέττομεν.

Γ άτρια πατρῷα καὶ πάτρια διαφέρει. πατρῷα μὲν γὰρ τὰ ἐκ πατέρων εἰς υἱοὺς χωροῦντα. πατρικοὶ δὲ ἢ φίλοι ἢ ξένοι. πάτρια δὲ τὰ τῆς πόλεως ἔθη.

Γ αιδίσκη καὶ παιδισκάριον διαφέρει. παιδίσκην μὲν γὰρ λέγομεν τὴν ἐλευθέραν, παιδισκάριον δὲ τὴν δούλην.

Γ αῖδα οὐ μόνον τὸν υἱὸν, ἀλλὰ καὶ τὸν δοῦλον, ὡς δημοσθένης ἐν τῷ πρὸς παντανίετον.

Γ ελαστὴς καὶ πενέστης διαφέρει. πελαστὴς μὲν ἐστὶν ὁ πρόσφυγξ. πενέστης δὲ παρὰ θετταλοῖς οἱ κατὰ πόλεμον δουρηθέντες, ὡς παρὰ λάκωσιν οἱ εἵλωτες.

Γ ένης καὶ πτωχὸς διαφέρει. πένης μὲν γὰρ ὁ ἀπὸ τοῦ ἐργάζεσθαι καὶ πονεῖν πορειζόμενος τὸν βίον. πτωχὸς δὲ ὁ ἐπαίτης, ὁ τοῦ ἔχειν ἐκπεπτωκώς. ἢ ἀπὸ τοῦ πτώσσειν πτωχὸν δ᾽ ἀνιηρὸν δ᾽ αἰτίζει ἀπολυμαντῆρα, καὶ ἔτυ μολογῶν φησίν. ἀλλὰ πτώσσειν βούλεται αἰτίζων κατὰ δῆμον, βόσκειν ἣν γαστέρ᾽ ἄναλτον.

Γ εριμάξαι καὶ ἐκμάξαι, τὸ τοὺς οἰομένους πεφαρμάχθαι δι᾽ ἐπῳδῶν καὶ καθαρμῶν προσποιεῖσθαι ἀπολύειν.

Γ ειρατὴς καὶ πειρατὴς διαφέρει. πειρατὴς μὲν γὰρ ὁ πειράζων. πειρατὴς δὲ ὁ θαλάσσιος λῃστὴς, καὶ νεῖλος, τὰς διαλυθείσας σανίδας καταλιπόντες τοῖς πειραταῖς.

Γ εῖρα καὶ πεῖρα διαφέρει. πεῖρα μὲν γάρ ἐστιν ἡ

ἐπισήμοτε

καὶ ἐμπειρεία. πήρα δὲ τὸ ἰατρικὸν ἐγχειρίδιον. καὶ δέρμα τι ἀρτοφόρον. ὃ ἐνθεὶς τὴν νομὴν φέρουσιν οἱ ποιμένες.

Π ηδάλιον καὶ πληθεῖον διαφέρει. πηδάλιον μὲν γὰρ νεός. πληθεῖον δὲ σχεδίας.

Π ῆ, καὶ ποῖ, καὶ ποῦ διαφέρει. τὸ μὲν γὰρ πῆ καὶ ποῖ εἰς τόπον, οἷον πῆ ἔβη Ἀνδρομάχη. τὸ δὲ ποῦ ἐν τόπῳ, οἷον ποῦ νῦν δεῦρο κιὼν λίπες Ἕκτορα. ὥστε ἁμαρτάνουσιν οἱ λέγοντες ποῦ ἀπέρχῃ. δέον εἰπεῖν, πῆ ἀπέρχῃ.

Π λεῖν τοῦ ἀποπλεῖν, καὶ παραπλεῖν, καὶ περιπλεῖν διαφέρει. πλεῖν μὲν γάρ ἐστι τὸ κατ' εὐθὺ πλέειν. ἀποπλεῖν δὲ τὸ ἔκ τόπου τινὸς ἀπαίρειν. παραπλεῖν δὲ τὸ τόπον τινὰ διὰ πλοίου διέρχεσθαι. περιπλεῖν δὲ τὸ περὶ σκάφος ἵνα στρέφεσθαι περὶ τὸν αὐτὸν τόπον.

Π λούσιος εὐπόρου ἀφνειοῦ, ὀλβίου, καὶ εὐτυχοῦς διαφέρει. πλούσιος μὲν γὰρ ὁ πολυούσιος, ὁ πολλὴν ἔχων οὐσίαν. εὔπορος δὲ ὁ πρὸς τὰς ἐπιβαλλούσας τύχας ἀνενδεής. ἀφνειὸς δὲ ὁ ἀπ' ἐνιαυτοῦ τὴν τροφὴν συλλέγων. ἔνος γὰρ ὁ ἐνιαυτός. ὄλβιος δὲ ὁ τελείαν τὴν εὐδαιμονίαν ἔχων, οἷον ὁλόβιος. εὐτυχὴς δὲ ὁ ζῶν ἡδέως, καὶ ἀλύπως.

Π λῦμαι, καὶ πλῦναι διαφέρουσι. πλῦμαι μὲν γὰρ αἱ πλημμυρίδες τῶν ποταμῶν. πλῦναι δὲ αἱ τῶν τροφῶν σύριγγες.

Π λῆθος καὶ ὄχλος διαφέρει. πλῆθος μὲν γάρ ἐστι σύστημά τινων. ὄχλος δὲ κυρίως ἡ ὄχλησις.

Π λούσιοι εὐπόρων διαφέρουσιν. οἱ μὲν γὰρ πλούσιοι οὐ πάντως εὐποροῦσι, ἀλλὰ ἔκ τινων περιστάσεως, καὶ ἀποροῦσί ποτε χρημάτων ἢ ἄλλου τινός. οἱ δὲ εὔποροι κἂν μὴ πλουτῶσιν, ὧν δέονται ἔχουσι. τινὲς δὲ εὐπορίαν μὲν τὸν μέτριον πλοῦτον ἡγοῦνται, πλοῦτον δὲ τὴν μεγάλην εὐπορίαν.

Π ολεμικὸς καὶ αἰχμητὴς διαφέρει. πολεμικὸς μὲν γάρ ἐστιν ὁ ἐμπείρως πολεμῶν. αἰχμητὴς δὲ ὁ ἐμπείρως τοῖς κατὰ πόλεμον ὅπλοις χρώμενος.

Π όμα καὶ πῶμα διχῶς λέγουσι. τὸ μὲν ἁπλοῦν διὰ τοῦ ο μικροῦ, ἐν δὲ συνθέσει μόνον διὰ τοῦ ω μεγάλου, οἷον γαλακτοπωτεῖν, καὶ ὑδροπωτεῖν.

Π ομπὴ καὶ πομπεία διαφέρει. πομπὴ μὲν γὰρ ἣν τοῖς θεοῖς πέμπουσι. πομπεία δὲ ἡ λοιδορεία. Δημοσθένης, τῆς δὲ πομπείας ταύτης, ὕβρεων.

Π αρρησία καὶ παρουσία διαφέρει. παρρησία μὲν γὰρ ἡ διὰ λόγων πρός τινα οἰκείωσις. παρουσία δὲ ἡ ἔπελευσις.

Π ολίτης καὶ πατριώτης διαφέρει. πολίτης μὲν γὰρ ὁ ἐκ τῆς αὐτῆς πόλεως, ἐλεύθερος ἐλευθέρῳ. πατριώτης δὲ ὁ ἐκ τῆς αὐτῆς χώρας, δοῦλος δούλῳ. ἡ γὰρ πατρὶς καὶ ἐπὶ τῆς χώρας τάττεται. ὡς τὸ τοῖσι δ' ἄφαρ πόλεμος γλυκίων γένετ' ἠὲ νέεσθαι φίλην ἐς πατρίδα γαῖαν. οὐ γὰρ πάντες ἐκ μιᾶς ἦσαν πατρίδος, ἀλλ' ἐκ μιᾶς χώρας.

Π όλις καὶ ἄστυ διαφέρει. πόλις μὲν γὰρ καὶ ὁ τόπος καὶ οἱ κατοικοῦντες ἤγουν τὸ συναμφότερον. ἄστυ δὲ μόνον ὁ τόπος. φράζεο νῦν ὅπως καὶ πόλιν καὶ ἄστυ σαώσῃς.

Π οιεῖν τοῦ περιποιεῖν διαφέρει. ποιεῖν μὲν γάρ ἐστι τὸ κατασκευάζειν τι. περιποιεῖν δὲ τὸ περικτᾶσθαι, ἢ κοσμεῖν.

Π όνηρον βαρυτονούμενον ὡς σόλοικον, καὶ πονηρὸν ὀξυτονούμενον ὡς κυδοιμόν, φασὶ διαφέρειν παρὰ τοῖς Ἀττικοῖς, ὁμοίως μόχθηρον καὶ μοχθηρόν. πονηρὸς μὲν γάρ ἐστιν ὀξυτόνως ὁ κακοήθης. πόνηρος δὲ ὁ ἐπίπονος. ἐπιπόνους γὰρ τοὺς ἐν φύσει καὶ τὰ φαῦλα μόχθηρα λέγομεν. κατὰ δὲ ὀξύτητα φύσει καὶ ἐπὶ ἐμψύχων. μοχθηρὰς γέ τοι τέχνας δημιουργήματα φαμὲν εἶναι. εἰ δή τις τοῦ τόνου κεκοινώνηκεν, ἅμα τῷ ὅσα ἄλλα καὶ τὴν σὺν τῇ τόνῳ μετέχειν. ὅτι ὀξυτονεῖν ἀπαιτεῖ ὁ λόγος βίᾳ, ἀνάγκης. πᾶν γὰρ παρώνυμον εἰς ρον λῆγον παρασχηματιζόμενον τοῖς γένεσιν ὀξυτονεῖται, οἷον κῆμα, κηματηρός. ὄλισθος, ὀλισθηρός. μέλι, μελιτηρός. τόλμα, τολμηρός. νόσος, νοσηρός. εἰ δὴ πόνος καὶ μόχθος τὰ πρωτότυπα πονηρὸς καὶ μοχθηρὸς ἀνάγκη ὀξυτόνως. εἰ δ' οἱ Ἀττικοὶ βαρυτονοῦσιν, οὐ θαυμαστόν ἐστι. χαίρουσι γὰρ τῇ βαρύτητι. ὅθεν Ἀδελφιδοῦν λέγουσι τὴν πρώτην ὀξυτονοῦντες ὡς ὁ πλαθὲν φησὶν ὁ Τρύφων παρατιθέμενος. ὅ λαμβάνει ἀγχωτέρα ὡς Θετταλίαν, ὡς μυρτάλην, καὶ χαίρειν τὴν πρώτην συλλαβὴν ὀξυτονοῦντες. ὥστε οὐκ εἰς διαστολὴν φησὶ τοῦ σημαινομένου εὗρεν τὴν βαρύτητα ἀλλ' ὡς ἔθος ἐκπληροῦντες οὕτω προηνέγκαντο.

Π ῆ καὶ ποῦ παρὰ τοῖς ἀρχαίοις τὴν εἰς τόπον σημασίαν δηλοῖ. πῆ μὲν τὴν ἐπὶ τόπῳ. πῶ δὲ τὴν ἐκ τόπου.

Π ονεῖν καὶ ἀλγεῖν διαφέρει. πονεῖν μὲν γάρ ἐστι τὸ ἐνεργεῖν. ἀλγεῖν δὲ τὸ ὀδυνᾶσθαι.

Π ότον βαρυτόνως, καὶ ποτὸν ὀξυτόνως διαφέρει. πότος μὲν γάρ ἐστι βαρυτόνως τὸ συμπόσιον. ὡς Μένανδρος, πότοι συνεχεῖς κύβοι. ὀξυτόνως δὲ αὐτὸ τὸ ἔκπομα. ὡς Δημοσθένης ἐν τῷ κατὰ Ἀνδροτίωνος, βρωτοῦ καὶ ποτοῦ μεταλαβεῖν.

Π ολύτιμος καὶ πολυτίμητος διαφέρει. πολύτιμος μὲν γάρ ἐστιν, ὁ πολλῆς τιμῆς ἠγορασμένος ἄνθρωπος. πολυτίμητος δὲ ὁ πολλῆς τιμῆς ἄξιος. ὡς τοὺς θεοὺς πολυτιμήτους λέγομεν.

Π ρεσβεύεσθαι καὶ πρεσβεύειν διαφέρει. πρεσβεύεσθαι μὲν γάρ ἐστι τὸ πέμπειν πρέσβεις. πρεσβεύειν δὲ τὸ πέμπεσθαι, πρεσβευτὴν οἱ Ἀττικοὶ λέγουσι.

Π ρόξενος, καὶ ἰδιόξενος, καὶ δορύξενος διαφέρει. πρόξενος πόλεως καὶ ἔθνους, ὡς παρὰ Θουκυδίδῃ. ξένος δὲ εἷς ἑνός, ὁ δ' αὐτὸς καὶ ἰδιόξενος. οὐκ ὀρθῶς δὲ Εὐριπίδης ἐν Τηλέφῳ, πρόξενον εἴρηκε τὸν ἰδιόξενον. ὁμιλικός τις ἐστὶ προξενίας χρώμενος. δορύξενος δὲ ὁ κατὰ πόλεμον γενόμενος φίλος. ὅταν γὰρ καὶ ξενίων τυχών, ἀπελύθη πρὸς τοῦ πολεμίου λύτρα λαβόντος, μνησθεὶς ἢ τεταγμένη, κομίσας δὲ καὶ φυλάξας τὴν

πᾶσιν ἐγένετο φίλος, καὶ δορύξενος ἐκαλεῖτο.

Π ροτέρα καὶ προτεραία διαφέρει. προτέρα μὲν γάρ ἐστι τάξεως. προτεραία δὲ ἐστὶ μόνης ἡμέρας.

Π ρῶτος καὶ πρότερος διαφέρει. πρῶτος μὲν γάρ ἐστι πολλῶν. πρότερος δὲ ἐστὶ δυοῖν. καὶ τῷ μὲν πρώτῳ ἀκόλουθός ἐστιν ὁ ὕστατος. τῷ δὲ προτέρῳ ὕστερος. καὶ πρότερος μὲν ἐστὶ τάξεως, πρώτως δὲ ἐστὶ ποιότητος. ὡς ὅταν ἐστὶ ἀγάλματος λέγωμεν, πρώτως ἔχειν τῇ τέχνῃ, διὸ ὀρθῶς Πλάτων γοῦν διαιρούμενος τὰς πολιτείας, τὴν μὲν πρώτως ἔχειν φησί. τὴν δὲ ὑστέρως, δηλονότι ἡ μὲν πρωτεύει, ἡ δὲ ἕπεται. εἰδ' ἔτις εἴποι πρότερον ἦλθεν εἰς Ἀθήνας, ἁμαρτάνει, πρῶτον γὰρ χρή.

Π ρυτανεῖα τὰ καταβαλλόμενα ὑπὸ τῶν διωκόντων τὴν δίκην. ἴσα δὲ τὰ ἐπιδέκατα τοῦ τιμήματος τῆς δίκης. πρυτανεία δὲ θηλυκῶς ὁ χρόνος. διῄρητο γὰρ παρὰ Ἀθηναίοις ὁ ἐνιαυτὸς εἰς δέκα πρυτανείας. ὅσαι καὶ αἱ φυλαὶ ἦσαν καὶ ἐπρυτάνευσεν ἑκάστη φυλὴ κατ' ἐνιαυτὸν ἅπαξ. ὅθεν καὶ τοὺς μισθοὺς καὶ τὰ ἐνοίκια κατὰ τὰς πρυτανείας καὶ κατὰ μῆνα ἐτέλουν.

Π ρὸ μοίρας καὶ πρὸ ὥρας διαφέρει. πρὸ μοίρας μὲν γὰρ ὁ βιαίως ἀποθανών. πρὸ ὥρας δὲ ὁ ἐν νεότητι.

Π ρεσβεύονται καὶ πρεσβεύουσι διαφέρει. πρεσβεύονται μὲν γὰρ οἱ τοὺς πρέσβεις χειροτονοῦντες καὶ πέμποντες. πρεσβεύουσι δὲ οἱ χειροτονούμενοι ἐστὶ τὴν πρεσβείαν.

Π ρέσβεις οἱ πρεσβευταί. πρέσβυς δὲ οὐδέποτε λέγεται. τὸ γὰρ ἑνικὸν πρεσβευτὴς ἀνέγνωσται.

Π ρότερος καὶ πρῶτος διαφέρει. πρότερος μὲν ἐπὶ δυοῖν τάσσεται. ὡς Ὅμηρος ἐπὶ Τληπολέμου καὶ Σαρπηδόνος. τῶν καὶ Τληπόλεμος πρότερος. τὸ δὲ πρῶτος ἐστὶ πολλῶν ὥστε πολὺ πρῶτος ἄναξ ἀνδρῶν Ἀγαμέμνων.

Π ρωτότοκος μὲν προπαροξυτόνως ὁ πρῶτος τεχθείς. πρωτοτόκος δὲ παροξυτόνως ἡ πρῶτον τεκοῦσα.

Π ροσπταίειν μὲν λέγεται τοῖς κάτω μορίοις ἢ ποσὶν, ἢ κνήμῃ. προσκρούειν δὲ τοῖς ἄνω καὶ κεφαλῇ.

Π είθεσθαι μὲν τὸ ἑκουσίως συγκατατίθεσθαι, πειθαρχεῖν δὲ τὸ κελεύοντι πεισθῆναι.

Π υθὼν θηλυκῶς καὶ ὀξυτόνως, ὁ τόπος. βαρυτόνως δὲ καὶ ἀρσενικῶς, ὁ δράκων.

Π ῦς, καὶ ποῖ, καὶ πῇ, καὶ ποῦ διαφέρει παρὰ τοῖς Ἀθηναίοις. τὸ μὲν γὰρ πῦς καὶ ποῖ τὴν εἰς τόπον σημασίαν δηλοῖ. τὸ δὲ πῇ τὴν ἐν τόπῳ. τὸ δὲ ποῦ τὴν ἐκ τόπου, ὥσθ' οἱ διαλέγοντες καὶ λέγοντες πῇ πορεύῃ, ἁμαρτάνουσι, δέον εἰπεῖν, πῦς πορεύῃ. τὸ γὰρ πῇ τὴν ἐν τόπῳ σχέσιν δηλοῖ. Σώφρων, πῇ γὰρ ἄσφαλτος, ποῖος ἐλισκεπεῖται, ἀντὶ τοῦ ποῦ. ὅταν δ' εἰς τόπον θέλῃ εἰπεῖν, φησί. πῦς ἐς μυχὸν καταδύῃ, ἀντὶ τοῦ εἰς τίνα μυχόν.

Ρ άφανος καὶ ῥαφανὶς διαφέρει. ῥάφανον μὲν γὰρ Ἀττικοὶ λέγουσι τὴν παρ' ἡμῖν κράμβην. ῥαφανίδα δὲ τὴν παρ' ἡμῖν ῥάπανον.

Ρ έφανος καὶ ῥάφανος διαφέρει παρ' Ἴωσι καὶ Ἀττικοῖς. ῥέφανον μὲν ἣν καὶ ἡμεῖς φαμὲν, ῥάφανον δὲ τὴν κράμβην.

Ρ εῖθρον ῥεύματος διαφέρει. ῥεῖθρον μὲν γάρ ἐστιν ὁ τόπος δι' οὗ φέρεται τὸ ῥεῦμα, ῥεῦμα δὲ αὐτὸ τὸ ὕδωρ.

Ρ ᾷον μὲν τὸ εὔοδον. τὸ ῥᾷστα τῇ ὁδῷ ἐπιτελούμενον. εὐχερὲς δὲ τὸ ταῖν χεροῖν ταχέως ἐπιτελεσθέν. εὐπετὲς δὲ τὸ ἐμπεσὸν εἰς εὐμάρειαν.

Ρ ὶς καὶ ῥύγχος διαφέρει. ῥὶς μὲν γὰρ λέγεται ἐστὶ ἀνθρώπου. ῥύγχος δὲ ἐστὶ ἀλόγου ζώου.

Ρ ὶς καὶ μυκτὴρ διαφέρει. ῥὶς μὲν γὰρ λέγεται ἡ ἀπὸ τοῦ μεσοφρύου κατατείνουσα μέχρι τοῦ χείλους, μυκτῆρες δὲ αἱ τῶν ῥινῶν καταβύσεις δι' ὧν ἔξεισι τὸ ὑγρὸν ἀπομυσσόμενον.

Ρ οιὰ μὲν μετὰ τοῦ ι τὸ δένδρον. ῥοὰ δὲ ὁ καρπός.

Ρ όδον καὶ ῥοδωνιὰ καὶ ῥοδῆ διαφέρει. ῥόδον μὲν γὰρ τὸ ἄνθος. ῥοδωνιὰ δὲ ὁ τόπος. ῥοδῆ δὲ τὸ φυτόν. Ἀρχίλοχος, ἔχουσα θαλλὸν μυρσίνης ἐτέρπετο. ῥοδῆς τε καλὸν ἄνθος.

Ρ ύεσθαι καὶ ἐρρύεσθαι διαφέρει. Ἀριστόξενος ἐν τῷ πρώτῳ τραγῳδοποιῶν περὶ νεωτέρων οὕτω φησὶ κατὰ λέξιν. ῥύεσθαι καὶ ἐρρύεσθαι διαφορὰν ἔχει πρὸς ἄλληλα. τὸ μὲν γὰρ ῥύεσθαι ἐκ θανάτου ἕλκειν. τὸ δὲ ἐρρύεσθαι φυλάττειν.

Σ ταθῆναι καὶ στῆναι διαφέρει. σταθῆναι μὲν γάρ ἐστι τὸ ὑφ' ἑτέρου. στῆναι δὲ τὸ κατ' ἰδίαν ὁρμὴν καὶ προαίρεσιν, οἷον ἐστάθη ὁ ἀνδριὰς ὑφ' ἑτέρου, ἐστάθη ὁ κολοσσός. ἔστη ὁ ἄνθρωπος δι' αὑτοῦ.

Σ τάχυς, βραχέως τὸ ἑνικόν. ἐκτεταμένως τὸ πληθυντικόν.

Σ ταφυλὴν ὀξυτονητέον, ὡς ἀλκήν. καὶ σταφύλην βαρυτόνως, ὡς μελίτην διαφέρειν φησὶ Πτολεμαῖος ἐν δευτέρᾳ περὶ τῆς ἐν Ὀδυσσείᾳ προσῳδίας. ἡ μὲν γὰρ βαρυτονουμένη, φησὶν, ὄνομα ἐστὶ τῆς καθιεμένης μολίβδου, παρὰ τοῖς ἀρχιτέκτοσι τίθεται. τὸ δ' ὀξυτονούμενον ἐστὶ τῆς ὀπώρας. ὁ αὐτὸς πάλιν ἐν δευτέρᾳ τῆς ἐν Ἰλιάδι προσῳδίας κατὰ λέξιν, φησὶν οὕτως. σταφύλη ἐστὶ νῶτον ἔχουσα. σταφύλη βαρυτόνως ὡς Νιόβη. οὐ γάρ ἐστιν ὅμοιον τῷ συκῇ. ἐκεῖνο γὰρ διαιρεῖται συκέη. ἐκεῖνο δ' οὐ διαιρεῖται. Ἡρακλείδης ὁ ἡμέτερος φησὶν, ἡμαρτῆσθαι δοκεῖ παρὰ τοῖς Ἕλλησιν ὀξυτονούμενον τοὔνομα. οὐδὲν γὰρ τῶν εἰς η ληγόντων θηλυκῶν ὀνομάτων μετέχον γένους τοῦ οὐδετέρου παρὰ τελευτῶντος τοῦ υ ὀξυτονεῖται. ἀλλὰ πάντα τὰ ὑπὲρ δύο συλλαβὰς βαρυτονεῖται, κατὰ τὸ υ. μὴ ὀξυτονούμενα ἀλλὰ βαρυτονοῦντα τὸ στοιχεῖον ἔχει, οἷον κονδύλη, δαμάλη, φεσύλη. δοκεῖ δ' αὕτη μία τῶν τιθηνησα-

μείων

μένων τὸν Διόνυσον. ὡς ὁ Λυκοῦργος σεῦε κατ' ἠγάθεον νυσήιον, ἐσύλη. ὅθεν καὶ τὸ σταφύλη βαρυτονητέον. οἱ ὀξυτονοῦντές φασιν ὅτι ἀπὸ βαρυτόνων ἀρσενικῶν, εἰς ος ληγόντων, τὰ εἰς η λήγοντα θηλυκὰ ὀξυτονεῖται, ἢ ἐὰν τὰ ἀρσενικὰ ὀξυτονεῖται, τὰ θηλυκὰ βαρυτονηθήσεται. ἔστι πόθος, ποθή, νόμος, νομή, ὦνος ὠνή, τίμος τιμή, φόνος φονή. ἐν ἀργαλέῃσι, καὶ φονῇσι, τοῦμπαλιν δεινὸς δεινή. ἐπεὶ οὖν καὶ ἐπὶ τούτου τὸ ἀρσενικόν ἐστι στάφυλος. οὕτω γὰρ ἐκαλεῖτο ὁ τοῦ Διονύσου υἱὸς, τὸ θηλυκὸν σταφυλὴ ὀξυτονηθήσεται. πρὸς οὓς ῥητέον, ἰδοὺ κόγχος κόγχη, καὶ οὐκ ὀξυτονεῖται, φίλος φίλη, μόνος μόνη, μύλος μύλη. καὶ ἐπὶ τῶν ὀξυτόνων καλὸς καλή, σοφὸς σοφή. καὶ τὰ θηλυκὰ οὐ βαρύνεται, ἀλλ' ὁμοτονεῖ τοῖς μὲν βαρυτόνοις τὰ βαρύτονα, τοῖς δὲ ὀξυτόνοις τὰ ὀξύτονα. ὅθεν οὐ παράδοξον καὶ ἀπὸ τοῦ στάφυλος βαρυτόνου ὀνόματος, καὶ τὸ θηλυκὸν βαρυτονεῖν σταφύλη, ὡς ἐσύλη. τινὲς δὲ βοηθοῦντες τῇ συνηθείᾳ, καὶ ὀξυτονεῖν βουλόμενοί φασιν ὅτι ὅσα τοῦ αὐτοῦ ἀπαραλλάκτως ἔχεται σημαινομένου ὁμοτονεῖ. ὅσα δὲ διαλλάσσει τοῦ σημαινομένου οὐκέτι. ὁ μὲν οὖν φίλος καὶ φίλη καὶ ξένος καὶ ξένη καὶ τὰ προκείμενα, ἀπαράλλακτά ἐστι, διὸ ὁμοτονεῖ. τὰ δὲ διαφέροντα οὐκέτι. καθάπερ γὰρ χόλος χολή, καὶ τρόπος τροπή, καὶ νόμος νομή, γόνος γονή, δόμος δομή, στρόφος στροφή, πόθος ποθή. περὶ τούτου οὖν ἐν ἄλλοις ἐντελῶς εἴρηται ὅτι διαφέρει. εἰ οὖν ἐστι στάφυλος ἀρσενικὸν, διαφέρει δὲ τῷ σημαινομένῳ ἡ σταφυλή. ὀπώρα δὲ ὄντως ὀξύνεται. τὸ μέντοι προκείμενον τοῦ Ἡρακλείδου παρατήρημα ἰσχυρὸν, καθὰ παραπέμπεται ὀξυτονεῖν. οὐ μόνον διὰ τὰ παρακολουθοῦντα τῷ ὀνόματι, ἀλλ' ὅτι καὶ ὑπὲρ δύο ἐστὶ συλλαβάς. τὰ γὰρ προκείμενα δισύλλαβα. ὥστε οὐδὲ τὴν ὀπώραν ὀξυτονεῖν ἡ ἀναλογία ἐπιτρέπει. ἀλλὰ καὶ ἡ Πτολεμαίου ἀθετεῖται παρατήρησις, καθ' ἣν διαφέρειν φησὶ τοῖς τόνοις τοὔνομα καὶ τῷ σημαινομένῳ.

Σ ημεῖον καὶ τεκμήριον διαφέρει. αὐτίκα οὖν ἐν τῇ τέχνῃ τὰ παρῳχημένα σημείοις πιστεύεσθαι. τὰ δὲ μέλλοντα τεκμηρίοις.

Σ ισύρα καὶ σίσυρνα διαφέρει. σισύρα μὲν γὰρ τὸ ἐκ τῶν τετριχωμένων δερμάτων ἀναποίητον στέγαστρον, σίσυρνα δὲ τὸ ἐκ τῶν κορκύδων ἐρραπτόμενον ἀμπεχόνιον.

Σ ηκὸς δύο σημαίνει, θεῶν τε ναὸν, καὶ προβάτων περιφράγματα.

Σ ικελὸς καὶ σικελιώτης διαφέρει. σικελὸς μὲν γάρ ἐστιν ὁ ἐξ αὐτῆς τῆς σικελίας ὤν, σικελιώτης δὲ ὁ σικελὸς μὲν μὴ ὤν, τὴν δὲ χώραν αὐτὴν οἰκῶν.

Σ ιωπὴ καὶ σιγὴ διαφέρει. σιωπὴ μὲν γάρ ἐστι κατάσχεσις λόγου, σιγὴ δὲ στέρξις λόγου.

Σ κέπτεσθαι καὶ σκέπτεσθαι διαφέρει. σκέπτεσθαι μὲν γάρ ἐστι τὸ προασπίζεσθαι. σκέπτεσθαι δὲ τὸ βουλεύεσθαι.

Σ κῶμμα γελοίου εὐτραπέλου καὶ γεφυρισμοῦ διαφέρει. σκῶμμα μὲν γάρ ἐστι τὸ ἐπὶ διασυρμῷ τοῦ πέλας λεγόμενον, οἱονεὶ σκέμμα. γελοῖον δὲ τὸ ἐπὶ διαχύσει τῶν ἀκροατῶν χωρὶς τινος ὕβρεως. εὐτράπελον τὸ μετὰ σεμνότητος χαριέντως λεγόμενον. εἴρηται δὲ παρὰ τὸ εὖ τρέπεσθαι τὸν λόγον. γεφυρισμὸς δὲ ἀπὸ τοῦ τοῖς Ἀθήνησιν ἐπὶ τῶν γεφυρῶν ἐπιγράφειν. ἤτοι ἔμμετρα ἢ καὶ δίχα μέτρων διασυρμούς τινων.

Σ οφὸς καὶ συνετὸς διαφέρει. καθὸ ὁ σοφὸς καὶ συνετός. ὁ δὲ συνετὸς οὐ πάντως σοφός.

Σ οῖο καὶ σεῖο παρὰ ποιηταῖς κατὰ τὸ οἰκεῖον βάθος ἀναγινώσκοντας διαφέρει. σοῖο μὲν γάρ ἐστι σύναρθρος ἀντωνυμία οἷον μνήσαι πατρὸς σοῖο. ἡ δὲ σεῖο οὐ σύναρθρος. σεῖο δέκαν ζώου καὶ τρὶς τόσα δοῖεν ἄποινα. ἀντὶ τοῦ σοῦ ζῶντος καὶ τρὶς τοσαῦτα δοῖεν ἄποινα. οὐκέτι σοῦ ζῶντος. καὶ φυλάττεται ταῦτα ἄκρως παρ' Ὁμήρῳ.

Σ πονδαὶ καὶ συνθῆκαι διαφέρει. σπονδαὶ μὲν γάρ εἰσιν ἃς ἐκ πολέμου συντίθενται πρὸς ἀλλήλους ἃς ἀπογράφονται ἐφ' αἷς διακείσονται οἱ συντιθέμενοι μὴ πολεμήσειν, μηδ' ἀδικήσειν ἀλλήλους. συντίθενται δὲ εἰρήνην καὶ φιλίαν πρὸς ἀλλήλους. καὶ τὸ παρὰ ταύτας πραχθὲν, ἀρχὴ γίνεται πολέμου.

Σ πουδάζειν καὶ συσπουδάζειν διαφέρει. σπουδάζειν μὲν γάρ ἐστι τὸ ἐναντίον τοῦ παίζειν. συσπουδάζειν δὲ τὸ βοηθεῖν τινι καὶ συναίρεσθαι.

Σ τρατόπεδον καὶ στρατὸς διαφέρει. στρατόπεδον ὁ τόπος ἐν ᾧ ἡ στρατεία, στρατὸς δὲ τὸ στρατιωτικὸν πλῆθος. στρατεία ἐκτεταμένως τὸ πρᾶγμα. στρατιὰ συνεσταλμένως τὸ τῶν στρατιωτῶν πλῆθος. ἐναλλάσσεται δὲ πολλάκις ἐν τῇ χρήσει.

Σ τρατὸς καὶ στράτευμα καὶ στρατόπεδον διαφέρει. στρατὸς μὲν γὰρ καὶ στράτευμα κυρίως τὸ πλῆθος λέγεται. στρατόπεδον δὲ ὁ τόπος ἐν ᾧ εἰσι.

Σ υμμαχεῖν καὶ ἐπιμαχεῖν διαφέρει. συμμαχεῖν μέν τι λέγουσι τὸ σὺν ἑαυτοῖς φησὶ Δίδυμος ἐπ' αὐτοὺς ἐπίωσιν πολέμιοι, εἴτε ἕτεροι ἐπιστρατεύωσιν. ἐπιμαχεῖν ὅταν τοὺς ἐπιόντας ἀμύνονται μόνον. διέσταλκε Θουκυδίδης ἐν τῇ πρώτῃ λέγων, Κερκυραίους Ἀθηναίοις συμμαχίαν μὲν οὐ ποιήσασθαι, ἐπιμαχίαν δέ.

Σ ύνεργος καὶ συνεργὸς διαφέρει. συνεργὸς μὲν ὀξυτόνως ὁ περί τι ἔργον ἐπιτήδειον συμπονῶν. σύνεργος δὲ παροξυτόνως ὁ τὸ αὐτὸ μετιὼν, οἷον σύντεχνος.

Σ ύγγραμμα συντάξεως διαφέρει, σύγγραμμα μὲν γάρ ἐστιν ὁ δίχα μέτρου λόγος ὁ προσαγορευόμενος πεζός. σύνταγμα δὲ πολεμικόν ἐστι σύστημα, ἀφ' οὗ καὶ συνταγματάρχης ὁ τοῦ συστήματος αὐτοῦ ἄρχων.

Σ ύνθεσις συντάξεως διαφέρει. σύνθεσις μὲν γάρ ἐστιν ὁ λόγος ὁ ἔμμετρος. σύνταξις δὲ ὁ λόγος ὁ πεζός.

Σ υμβουλὴ παραινέσεως διαφέρει. συμβουλὴ μὲν γάρ ἐστιν εἰσήγησις ἀντιλογίαν ἐπιδεχομένη, διὰ τὸ ἄδηλον τοῦ ἐκβησομένου. καὶ γὰρ ἐάν τις συμβουλεύσῃ πόλεμον, ἀμφίβολον εἰ συμφέρει. διὸ καὶ ἔχει τὸ ἐνιστάμενον. παραίνεσις δέ ἐστι συμβουλὴ ἀντίρρησιν οὐκ ἐπιδεχομένη. διὰ τὸ διὰ αὐτῆς λέγομεν πάντως ὁμολογεῖσθαι ἀγαθόν. ὡς εἴ τις παραινέσει σωφρονεῖν. ὅπερ ἐστὶν ὁμολογημένον ἀγαθόν.

Σ φάξαι καὶ θῦσαι διαφέρει. θῦσαι μὲν γάρ ἐστι τὸ θυμιᾶσαι. σφάξαι δὲ τὸ ἱερουργῆσαι τι ζῶον. καὶ Ὅμηρος τὴν διαφορὰν τετήρηκεν οὕτως. ἐπὶ μὲν τοῦ θῦσαι εἰπών. θεοῖσι δὲ θῦσαι ἀνώγει, Πάτροκλον ὃν ἑταῖρον. ὁ δ᾽ ἐν πυρὶ βάλλε θυηλάς. ἐπὶ δὲ τοῦ σφάξαι, αὖ ἔρυσαν μὲν πρῶτα καὶ ἔσφαξαν καὶ ἔδειραν.

Σ τύραξ θηλυκῶς μὲν θυμίαμα, ἀρσενικῶς δὲ, τὸ ξύλον τοῦ ἀκοντίου.

Σ χισταὶ τὰ ὑποδήματα. Εὔπολις φίλοις, οὐ δῆτα, ταῦτα δὲ ἀργείας φέρειν σχιστὰς ἐν ὀργεῖν. σχιστὸς δὲ ἀρσενικῶς χιτὼν γυναικεῖος. Ἀπολλόδωρος ἐν ἐφήβοις, σχιστὸν χιτωνίσκον τινὰ ἐνδέδυκας.

Σ χολῇ τὸ ἠρέμα καθὸ φαμέν. σχολῇ βαδίζω, καὶ τὸ ἐν καιρῷ, καθ᾽ ὃ λέγεται οὐκ ἔστι σχολὴ. καὶ ἡ διατριβὴ. καὶ οἱ μαθηταί. διὸ φαμὲν λαμπρὰν σχολήν.

Τάλαν διὰ τοῦ ν. τὸ ἐπίρρημα, διὰ δὲ τοῦ ς. ὁ ταλαίπωρος.

Τ άπητες, καὶ ἀμφιτάπητες διαφέρουσι. τάπητες μὲν γάρ εἰσιν οἱ ἐκ τοῦ ἑτέρου μέρους μαλλὸν ἔχοντες. ἀμφιτάπητες δὲ οἱ ἐξ ἀμφοτέρων.

Τ αυρόκτονος ὁ ὑπὸ ταύρου ἀναιρεθείς. ταυροκτόνος ὁ ταῦρον ἀποκτείνας.

Τ έχνη ἐπιτηδεύματος διαφέρει. τέχνη μὲν γάρ ἐστιν ἡ ἄνευ λόγου μὴ δυναμένη εἶναι, οἷον γραμματικὴ, ῥητορική. ἐπιτήδευμα δὲ τὸ λόγου χωρὶς ὄν, οἷον χαλκευτικὴ, τεκτονική.

Τ εχνίτης καὶ βάναυσος διαφέρει. τεχνίτης μὲν γάρ ἐστιν ὁ λογικῆς τινος τέχνης ἔμπειρος καθεστώς. βάναυσος δὲ ὁ δίχα λόγου τινὸς ἐπιτηδεύματος.

Τ έδραχμον καὶ τετράδραχμον διαφέρει. τέδραχμον μὲν γάρ ἐστι τὸ νόμισμα. τετράδραχμον δὲ τὸ τῶν τεσσάρων δραχμῶν.

Τ έρας σημείου διαφέρει. τὸ μὲν γὰρ τέρας παρὰ φύσιν γίνεται. τὸ δὲ σημεῖον παρὰ συνήθειαν.

Τ εχνάσματα καὶ τεχνήματα διαφέρει. τεχνάσματα μὲν γὰρ τὰ κακουργήματα. τεχνήματα δὲ αἱ τέχναι.

Τ είχη καὶ τειχεῖα διαφέρει. τείχη μὲν γάρ ἐστι τὰ τῶν πολεμίων. τειχεῖα δὲ τὰ τῶν οἰκιῶν.

Τ ήθη καὶ τηθὶς διαφέρει. τήθη μὲν γάρ ἐστιν ἡ τοῦ παιδὸς τροφός. ταύτας δ᾽ ἔνιοι μαίας καὶ μάμμας καλοῦσι. τηθὶς δέ ἐστιν ἡ τοῦ πατρὸς ἢ μητρὸς ἀδελφή, ἣν ἔνιοι θείαν καλοῦσι.

Τ ιτθὴ, καὶ τροφὸς, καὶ τιθηνὸς διαφέρει. τιτθὴ μὲν γάρ ἐστιν ἡ μαστὸν ἔχουσα. τροφὸς δὲ καὶ τιθηνὸς ἡ τὴν ἄλλην ἐπιμέλειαν ποιουμένη τοῦ παιδὸς καὶ μετὰ τὸν ἀπογαλακτισμόν.

Τ ιμωρεῖσθαι καὶ τιμωρεῖν διαφέρει. τιμωρεῖσθαι μὲν γάρ ἐστι τὸ κολάζειν. τιμωρεῖν δὲ τὸ βοηθεῖν τοῖς ἀδικουμένοις.

Τ ίθησι καὶ τίθενται διαφέρει. τίθησι μὲν γὰρ τὸν νόμον ὁ νομοθέτης. τίθενται δὲ τὸν νόμον οἱ δικάζοντες καὶ αἱρούμενοι.

Τ ούνεκα καὶ οὕνεκα διαφέρει. τὸ μὲν γὰρ τούνεκα ἐστὶ τούτου ἕνεκα. τὸ δὲ οὕνεκα ἀντὶ τοῦ ὅτι. ἁμαρτάνει οὖν ὁ Καλλίμαχος ἐν Ἑκάλῃ κατὰ δύο τρόπους, λέγων. τοὔνεκεν αἰγανέες ἔχον. ὅτι τε δέον εἰπεῖν οὕνεκα, τοὔνεκεν εἶπε. καὶ ὅτι ἀντὶ τοῦ κα, κεν εἶπεν.

Τ ιμωρεῖν καὶ τιμωρεῖσθαι διαφέρει. τιμωρεῖν μὲν γάρ ἐστι τὸ βοηθεῖν τινι. καὶ συναίρεσθαι. τιμωρεῖσθαι δὲ τὸ κολάζειν. καὶ συντάσσουσι. τιμωρῶ τῷ φίλῳ ἀντὶ τοῦ βοηθῶ. τιμωροῦμαι τὸν ἐχθρὸν ἀντὶ τοῦ κολάζω.

Τ ίθεται νόμον καὶ τίθησι διαφέρει. τίθησι μὲν γὰρ ὁ εἰσφέρων. τίθεται δὲ ὁ κυρῶν.

Τ όμος καὶ τομὸς διαφέρει. τόμος μὲν γάρ ἐστιν ὁ τεμνόμενος χάρτης. τομὸς δὲ ὁ τέμνων σίδηρος.

Τ ρίετες βαρυτόνως, καὶ τριετὲς ὀξυτόνως διαφέρει. φησὶ Πτολεμαῖος ὁ Ἀσκαλωνίτης. ἐὰν μὲν γὰρ βαρυτονήσωμεν, ἔσται ἐπὶ χρόνου. διὸ καὶ ὁ ποιητής φησι. ὡς τρίετες μὲν ἔληθε δόλῳ. ἐὰν δὲ ὀξυτονήσωμεν τριετὲς, ὡς εὐφυὲς, ἔσται ἐπὶ ἡλικίας. οἷον τριετὲς τὸ παιδίον. ὅθεν τὸ διετὲς ἀλμύτην, χρὴ οὖν ἀναγινώσκειν, ὡς ἀξιοῖ ὁ Ἀσκαλωνίτης.

Τ ροχοὶ ὀξυτόνως καὶ τρόχοι βαρυτόνως διαφέρουσι παρὰ τοῖς Ἀττικοῖς, φησὶ Τρύφων ἐν δευτέρᾳ περὶ Ἀττικῆς προσῳδίας. τοὺς μὲν γὰρ περιφερεῖς τροχοὺς ὁμοίως ἡμῖν προφέρονται, ὀξυτονοῦντες. τρόχους δὲ βαρυτόνως λέγουσι τοὺς δρόμους. ἀναγινώσκομεν γὰρ ὡς φησὶ μὲν ἐν Χλόῃ Εὐπόλιδος. ὁρῶ Μενάνδρου τόνδε γυμνάδα στόλον στείχοντα θεωρὸν ἐκ τρόχων πεπαυμένον. ἀναλογώτερον δὲ τὸ βαρύνειν. τὰ γὰρ εἰς χος δισύλλαβα παρατέλευτον ὄντος τοῦ ο. βαρυτονεῖται. οἷον λόχος, ὄχος, βρόχος, κόγχος, κάλχος, μόχος. οὕτω καὶ τρόχος καὶ ἔτι τὰ παρὰ ῥήματος εἰς ω. βαρύτονα καὶ αὐτὰ βαρυτονεῖται ἰσοσυλλαβοῦντα. οἷον πλέκω πλόκος. σπείρω, σπόρος. λέγω λόγος. φέρω φόρος. οὕτω καὶ τρέχω τρόχος.

Τ ραγῳδοὶ, καὶ κωμῳδοὶ, καὶ τραγῳδοποιοὶ καὶ κωμῳδοποιοὶ διαφέρουσι. τραγῳδοὶ μὲν γὰρ καὶ κωμῳδοί εἰσιν οἱ ὑποκριταὶ τῆς κωμῳδίας

καὶ τραγω-

καὶ τραγῳδίας. τραγῳδοποιοὶ δὲ καὶ κωμῳδοποιοὶ οἱ ποιηταὶ τῶν δραμάτων.

τ ύραννοι οἱ ἀρχαῖοι τοὺς βασιλεῖς ἐκάλουν, Ἡρόδοτος ἐπὶ Κροίσου. τυράννου δὲ ἐθνέων τῶν ἐντὸς Ἅλυος ποταμοῦ. τελευτήσαντος δὲ αὐτοῦ διεδέξατο τὴν βασιλείαν. καὶ Ἀριστοφάνης ἐν Λημνίαις, ἐν ταῦθ' ἐτυράννευον ὑψίπολις πατὴρ Θόας. βραδύτερον τῶν ἐν αὐτῷ χρόνοις δραμάτων. ἔθος ἔτι καὶ τὸν τύραννον βασιλέα ἔλεγον. ὡς δὲ ὕστερον ἐν ἔθει μετὰ τοὺς Πεισιστράτου.

τ ίτθη μέν ἐστιν ἡ μάμμη. ἐπιτίτθη δὲ ἡ προμάμμη. τιθὴ δὲ ἡ θεία, τιτθὴ δὲ ἡ τροφός.

Υ μνος ἐγκωμίου διαφέρει. ὁ μὲν γὰρ ὕμνος ἐστὶ θεῶν. τὸ δὲ ἐγκώμιον ἀνθρώπων.

υ παρ ὀνείρατος διαφέρει. ὕπαρ μὲν γάρ ἐστιν ἡ ἐναργὴς ὄψις. ὄνειρον δὲ ἡ ἐν τῷ καθεύδειν φαντασία.

υ παντῆσαι καὶ ἀπαντῆσαι διαφέρει. ὑπαντῆσαι μὲν γὰρ ἐπὶ ὁδοῦ λέγεται. ἀπαντῆσαι δὲ τὸ ἐντυχεῖν δίκῃ. οἷον ἀπάντησον κατὰ τὴν δίκην. ἀντὶ τοῦ ἐντύχε.

υ πόσχεσις καὶ ἐπαγγελία διαφέρει. ὑπισχνεῖται μὲν γὰρ ὁ ἐξαιτηθεὶς διδόναι μέλλων. ἐπαγγέλλεται δὲ ὁ δίχα παρακλήσεως παρέχειν βουλόμενος.

υ πόληψις ὑπονοίας διαφέρει. ὑπόληψις μὲν γάρ ἐστι καλοῦ τινος ὑπόνοια. ὑφόρασις δὲ δόξα ἐπὶ τὸ χεῖρον.

υ πάρξαι τὸ, τὸ γενέσθαι, καὶ τὸ κατάρξασθαι.

υ πάγειν καὶ προελθεῖν διαφέρει. ὅτι τὸ προελθεῖν μέν ἐστι τὸ βαδίζειν. ὑπάγειν δὲ τὸ ὑπὸ ζυγὸν ἄγειν βοῦς ἢ ἵππους, ἢ τῶν τοιούτων. ὡς Ὅμηρος, ὕπαγε ζυγὸν ὠκέας ἵππους. οἱ δὲ βιασάμενοι τὴν λέξιν φασὶν ὅτι ὑπάγειν λέγομεν ἀντὶ τοῦ προάγειν, ὥσπερ ὑφηγητὴν ἀντὶ τοῦ προηγητήν. καὶ ὑπογραμμὸν, ἀντὶ τοῦ προγραμμόν. ὥσπερ καὶ Ἀριστοτέλης. ἐγὼ δὲ ὑπαίρω τὸν ὄρκον. ἀντὶ τοῦ προαίρω. οὕτως οὖν καὶ ὑπάγειν λέγομεν ἀντὶ τοῦ προάγειν. τουτέστιν εἰς τοὔμπροσθεν πορεύεσθαι. κέχρηται τῇ λέξει Εὔπολις ἐν Βάπταις. σὺ δὲ ὕπαγε εἰς τοὔμπροσθεν.

φ ακοὺς φακῆς διαφέρειν φασί. φακοὶ οἱ ἔτι ὠμοὶ οὐχ ἑψημένοι. φακὴ δὲ ἡ ἑψημένη. τετήρηται παρὰ τοῖς παλαιοῖς ἡ διαφορά.

φ αυλία καὶ φυλία διαφέρει. φαυλία μὲν γὰρ εἶδος ἐλαίας. φυλία δὲ ἡ ἄγριος.

φ άκελος καὶ σφάκελος διαφέρει. φάκελος μὲν γάρ ἐστι φορτίον ξύλων. Θουκυδίδης, φακέλους ὕλης ἀγρίας. σφάκελος δὲ ὁ μετὰ φλεγμονῆς σπασμός.

φ άσκαλος φασκωλίου διαφέρει. φάσκαλος μὲν γάρ ἐστιν ἱματιοφορεῖον. φασκώλιον δέ ἐστι ἀργυροθήκη.

φ αρμακεία γοητείας διαφέρει. φαρμακεία μὲν ἡ κυρίως ἡ βλάβη ἡ διὰ δηλητηρίας πόσεως γινομένη φαρμάκου. γοητεία δὲ ἡ ὑπὸ ἐπικλήσεως τε, καὶ ἐπαοιδῆς φαρμακεύς. φαρμακός δὲ ὁ ξυστοίως, ὁ διὰ καθαρσιν τῆς πόλεως ῥιπτόμενος.

φ άσμα μέν ἐστι τὸ ὅμοιον ἀληθείᾳ. φάντασμα δὲ τὸ ἑτερόμορφον. εἴδωλον δὲ τὸ ὅμοιον τῇ σκιᾷ. τέρας δὲ ἐναργὲς σῶμα ἑτερόμορφον. βρέτας δὲ τὸ ξόανον.

φ άρμακα μὲν λέγεται ἐπὶ τοὺς νόσους πολυφάρμακα. φάρμακον δὲ φίλτρον ἀνίκεστον.

φ εύγει καὶ ἀποφεύγει διαφέρει. φεύγει μὲν γὰρ δίκην ὁ κατηγορούμενος, καὶ γὰρ ὁ κατήγορος διώκει. ἀποφεύγει δὲ ὁ νικήσας καὶ λυθεὶς τῆς κατηγορίας.

φ θίοι καὶ φθιῶται διαφέρουσι. φθίοι μὲν γὰρ οἱ ἀπὸ τῶν πρωτεσιλάου. φησὶ γοῦν Ὅμηρος. πρόσθ' ὦντε μέδοντες. οὐκ ἀπὸ πόλεως, οὐδὲ ἀπὸ χώρας, ἀλλ' ἀπ' ἀνδρὸς φθίου. φθιῶται δὲ οἱ ὑπὸ τῷ Ἀχιλλεῖ ἀπὸ πόλεως Θεσσαλικῆς φθίας, καὶ χώρας ὁμωνύμου. φθίαν δ' ἐριβώλακα, ἐγνώκειν οὖν Καλλίμαχος εἰπών. οὐδέ τι τὴν φθίαν εἶχεν ἀνακρείειν.

φ ιλεῖν καὶ κυνεῖν διαφέρει, ὅτι τὸ μὲν κυνεῖν τὸ τοῖς χείλεσιν ἀσπάζεσθαι. φιλεῖν δὲ τὸ ἀγαπᾶν καὶ ξενίζειν.

φ ίλος καὶ ἑταῖρος διαφέρει, φίλοι μὲν γὰρ κοινῶς ἅπαντες οἱ τὰ τῆς φιλίας δίκαια πρὸς ἑαυτοὺς ἔχοντες. ἑταῖροι δὲ ἰδίως οἱ καὶ τῇ ἡλικίᾳ παραπλησίας ἔχοντες, δὲ καὶ ἐν τῇ συνηθείᾳ καὶ ἐν τῇ συνεργείᾳ πολὺν χρόνον γεγονότες.

φ όρος καὶ φορὸς διαφέρει. φόρος μὲν γὰρ λέγεται ὁ φέρων. ὥσπερ καὶ φόρος ὁ ἀνάφερος. φορὸς δὲ ὁ τόπος τῆς ἀναιρέσεως καὶ φορὸς ὁ φερόμενος.

φ ράσον καὶ φράσαι διαφέρει. φράσον μὲν γάρ ἐστι τὸ εἰπέ. φράσαι δὲ ἀντὶ τοῦ διανοήθητι. σὺ δὲ φράσαι εἴ με σαώσεις.

φ ριμάττεσθαι καὶ φρυάττεσθαι διαφέρει φριμάττεσθαι μὲν γὰρ τὸν τράγον φαμὲν, καὶ φριμαγμὸς ἡ τοῦ τράγου φωνὴ ὥσπερ φρυαγμός. φρυάττεσθαι δὲ τὸν ἵππον τὸν φυσῶντα καὶ γαυριῶντα.

φ ρονεῖν τοῦ καταφρονεῖν διαφέρει. φρονεῖν μὲν γάρ ἐστι τὸ λογίζεσθαί τι καὶ ἐνθυμεῖσθαι. καταφρονεῖν δὲ τὸ ἐκφαυλίζειν καὶ ὑπερορᾶν.

φ ρὴν μὲν ἡ θρίξ. φρόνιον δὲ τὸ ἀλιευτικὸν συνεῖδον.

φ ύλλον καὶ φῦλον διαφέρει. φύλλον μὲν γὰρ τὸ πέταλον δένδρου. φῦλον δὲ τὸ γένος.

φ ωνεῖν καὶ ὠρύεσθαι διαφέρει. φωνεῖν μὲν γὰρ ἐπὶ ἀνθρώπων λέγεται. ὠρύεσθαι δὲ ἐπὶ λύκων. παρατηρητέον δὲ ἐπὶ τῶν λοιπῶν τὸ οἰκεῖον ἑκάστῳ. ὅτι βληχᾶσθαι μὲν γὰρ λέγεται ἐπὶ τῶν προβάτων. μηκᾶσθαι δὲ ἐπὶ τῶν αἰγῶν διὰ τοῦ η. μυκᾶσθαι δὲ ἐπὶ τῶν βοῶν διὰ τοῦ υ. βρωμᾶσθαι ἐπὶ ὄνων. βρυχᾶσθαι δὲ ἐπὶ λεόντων. χρεμετίζειν δὲ ἐπὶ ἵππων. ἀρράζειν δὲ ἐπὶ κυνῶν παρ' Ἀθηναίοις ἀπὸ τῆς ἀρ φωνῆς. παρ' ἡμῖν ὑλακτεῖν λέγεται.

Φ ωλεὸς καὶ κοίτη διαφέρει. φωλεὸς μὲν γὰρ ἐπὶ τῶν ἑρπετῶν τάσσεται. κοίτη δὲ ἐπὶ ἀνθρώπων. ὥστε ἐπὶ μὲν τῶν ἑρπετῶν ῥητέον τὸ φωλεύειν. ἐπὶ δὲ ἀνθρώπων τὸ κοιτάζειν. ἐπὶ δὲ τῶν ὀρνέων τὸ νεοττεύειν. ὁ γοῦν λέγων νεοττοὺς τῶν τέκνων, ἀκυρολογεῖ. τέκνα μὲν γὰρ ἀνθρώπων. νεοττοὶ δ᾽ ὀρνίθων. νεβροὶ δὲ ἐλάφων. σκύμνοι δὲ λεόντων. σκύλακες δὲ κυνῶν.

Χ άραξ θηλυκῶς μὲν ἐπὶ τῶν τῇ ἀμπέλῳ παραπεπηγμένων. ἀρσενικῶς δὲ ἐπὶ τῶν ἐν τοῖς πολέμοις περιπηγνυμένων. ἀφ᾽ ὧν λέγουσι χαρακώσαντες, ἀντὶ τοῦ περιφράξαντες, καὶ χαρακώματα τὰ περιφράγματα.

Χ αρὰ καὶ εὐφροσύνη καὶ τέρψις καὶ εὐθυμία καὶ ἡδονὴ καὶ ἀπόλαυσις διαφέρουσι. χαρὰ μὲν γάρ ἐστι πρόσφατος ψυχῆς ἔπαρσις καὶ διάχυσις. εὐφροσύνη δὲ πάθος χρονίου μετὰ σωφροσύνης γινόμενον. τέρψις δὲ οἱονεὶ τρέψις καὶ ψυχαγωγία, ἀπὸ τοῦ ἡδέος ἐπὶ τὸ κρεῖσσον. εὐθυμία δὲ βραχεῖα ψυχῆς χαρά. ἡδονὴ δὲ ἐκ ψυχῆς, αἰσθητική. ἀπόλαυσις δὲ ἕξις κοινῶς τῆς πάσης μεταλήψεως τασσομένη ἀγαθῆς τε καὶ φαύλης.

Χ ειμάζειν οὐ μόνον τὸ παραχειμάζειν ἀλλὰ καὶ τὸ ὀχλεῖν. ὡς Μένανδρος ἐν ἡνιόχῳ.

Χ λαῖναν καὶ χλανίδα διαφέρειν φησὶ Τρύφων ἐν τῷ πέμπτῳ περὶ ἑλληνισμοῦ, καὶ παρατίθεται Ξενοφῶντα. χλαίνας μὲν γάρ φησι λέγεσθαι ἐπὶ τῶν ἐγκοιμηθῆναι καὶ παχέων, διὸ καὶ Ὅμηρον φάναι. ἐνθάδε τ᾽ ἐκθεῖσαι πυκινὸν λέχος. ἔμβαλετ᾽ εὐνῇ. δέμνια καὶ χλαίνας καὶ ῥήγεα σιγαλόεντα. χλανίδας δὲ τὰς φορουμένας καὶ μαλακωτέρας. ἀντιπαρίστησι τῷ παρατηρήματι χλαῖναν πορφυρέην αὐτ᾽ ὀφθαλμοῖσιν ἐπισχών. μήποτε οὖν ἐκεῖνο λέγειν, τὰς μὲν χλαίνας ἐπὶ τῶν ἐγκοιμηθῆναι, καὶ φορουμένων, χλανίδας δὲ ἐπὶ μόνων τῶν φορουμένων, οὐκέτι δὲ ἐπὶ τῶν ἐγκοιμηθῆναι.

Χ λαμὺς καὶ χλαῖνα διαφέρει, καθὸ δὴ πολλῶν ἀπέδειξε Δίδυμος ἐν ὑπομνήματι δευτέρῳ ἰλιάδος, ἡ μὲν χλαῖνα ἡρωϊκὸν φόρημα. χλαμὺς δὲ μακεδονικόν. μετὰ ἑξακόσια ἔτη τῶν ἡρωϊκῶν ὀνομασθεῖσα. Σαπφὼ (αὕτη γὰρ μέμνηται τῆς χλαμύδος) διαφέρειν φησὶ καὶ τῷ σχήματι. ἡ μὲν γὰρ χλαῖνα τετράγωνον φησὶν ἱμάτιον. ἡ δὲ χλαμὺς εἰς τέλειον περὶ τὰ κάτω συνῆκται. καὶ τοὺς χρησαμένους πολὺ καὶ ἀπ᾽ ἀλλήλων διεστάναι προσάγεται Ἀριστοτέλην φύλαρχον πολέμαρχον, ὅτι πολὺ διαφέρουσι.

Χ ιτώνιον καὶ χιτωνίσκος διαφέρει. χιτωνίσκος μὲν γὰρ ὁ τοῦ ἀνδρὸς χιτών. χιτώνιον δὲ τὸ τῆς γυναικὸς ἔνδυμα.

Χ όας συνεσταλμένως τὴν ἑορτὴν, Ἀριστοφάνης Ἀχαρνεῦσι. καλοῦσι λιὰς κατὰ τὰ πάτρια τῆς χόας. χοᾶς δὲ περισπωμένως ἐπὶ μέτρου τοῦ οἴνου.

Χ ορηγεῖν καὶ χορηγὸς διαφέρει. χορηγεῖν μὲν τὸ διδασκαλεῖον, καὶ χορηγὸς ὁ διδάσκαλος. χορὸς δὲ τὸ σύστημα τῶν παίδων, καὶ τῶν ᾀδόντων.

Χ ολάδες καὶ χόλικες διαφέρει. χολάδες μὲν γὰρ τὰ ἔντερα. καὶ τὸ χαμαὶ χολάδες. χόλικες δ᾽ αἱ τῶν βοῶν κοιλίαι. Ἀριστοφάνης βαβυλωνίοις. ἡ βοιδαρίων τις ἀπέκτεινε ζεῦγος χολίκων ἐπιθυμῶν.

Χ ρήστας καὶ δανειστὰς λεκτέον. καὶ τοὺς χρεωφειλέτας. χρηστήριον ὁ τόπος, καὶ ὁ χρησμὸς, καὶ τὸ ἱερόν.

Χ ύθραι καὶ χυθρεῖα διαφέρει. χύθραι μὲν γὰρ καὶ αὐτὰ τὰ σκεύη, καὶ τὰ χυθροπωλεῖα χυθρεῖα δὲ τὰ τῶν χυθρῶν ὄστρακα.

Ψ άλλιον καὶ ψέλλιον διαφέρει. ψάλλιον μὲν, τὸ τοῦ ἵππου. ψέλλιον τὸ ἄκροις βραχίοσι περιτιθέμενον κόσμιον. ἐπὶ συνεχὲς ψέλλιον καλοῦσι τὸ ἄκρον. ὅθεν καὶ ἡμεῖς τὴν ἐπ᾽ ἄκρων χειλέων λεγομένην προσῳδίαν, ψελλὴν εἰώθαμεν, ὥς φησι Τρύφων.

Ψ άμαθος καὶ ἄμαθος διαφέρει. ψάμαθοι μὲν γὰρ τὴν παραθαλασσίαν ἄμμον, ἐπὶ ψαμάθοις ἁλίῃσιν. ἄμαθοι δὲ τὴν κόνιν. τύχε γὰρ ἀμάθοιο βαθείας.

Ω ρα δασέως τοῦ ἔτους, καὶ τῆς ἡμέρας. ψιλῶς δὲ ἡ φροντίς.

Ω νήσασθαι καὶ ἀγοράσαι διαφέρει. ὠνήσασθαι μὲν γάρ ἐστι τὸ πρίασθαί τι τῶν πωλουμένων. ἀγοράζειν δὲ καὶ τὸ ἐν ἀγορᾷ διατρίψαι.

Ω τειλὴ, καὶ οὐλὴ διαφέρει. ὠτειλὴ μὲν γάρ ἐστι τὸ πρόσφατον τραῦμα, παρὰ τὸ οὐτάσθαι. οὐλὴ δὲ ἡ ὑγιασμένη σὰρξ ἐκ τραύματος παλαιοῦ. ὡς Ὅμηρος, οὐλὴν τήν ποτέ μιν σῦς ἤλασε λευκῷ ὀδόντι.

ΤΕΛΟΣ.

ΤΑΞΙΣ ΠΑΛΑΙΑ, ΚΑΙ ΟΝΟΜΑΣΙΑΙ ΤΩΝ ΑΡΧΟΝΤΩΝ.

Καταλοχίσαι τὸ εἰς λόχους καταμερίσαι τὸ πλῆθος τοῦ στρατοῦ.

Λόχος εἶναι μὲν τὸ σύστημα τὸ ἐξ ἀνδρῶν ῑ. οἱ δὲ τὸ ἐξ ἀνδρῶν ιβ. οἱ δὲ, τὸ ἀπὸ ἑκκαίδεκα ἀνδρῶν πλῆθος ὃ καὶ τέλειόν φασι καὶ σύμμετρον.

Λοχαγὸς, πρωτοστάτης καὶ ἡγεμὼν, ὁ αὐτός ἐστιν. ἔστι μὲν ὁ ᾱ. καὶ ἄριστος τοῦ λόχου.

Οὐραγὸς ὁ τελευταῖος τοῦ λόχου.

Στίχος καὶ δεκανία καὶ λόχος, τὸ αὐτό ἐστιν. οἱ δὲ καὶ ἐνωμοτίαν αὐτὸν καλοῦσιν. οἱ δὲ τὸ ϛ. λέγουσι τοῦ λόχου τὴν ἐνωμοτίαν. οἱ δὲ τὸ δ.

Ἐνωμοτάρχης, ὁ τῆς ἐνωμοτίας ἄρχων.

Διμοιρίαν καὶ ἡμιλοχίαν, τὸ αὐτό φασι.

Διμοιρίτης καὶ ἡμιλοχίτης, ὁ ἄρχων τοῦ ἡμιλόχου καὶ τῆς μοίρας.

Ἐπιστάτης, ὁ τοῦ λόχου ὄπισθεν τεταγμένος, ὁ δὲ μετ' αὐτὸν, πρωτοστάτης. ὁ δὲ μετὰ τοῦτον πάλιν ἐπιστάτης, ὡς εἶναι τὸν ὅλον στίχον ἐκ πρωτοστατῶν, καὶ ἐπιστατῶν συγκείμενον. ἔνιοι δὲ λοχαγὸν μὲν, τὸν πρωτοστάτην λέγουσιν ὥσπερ καὶ οὗτοι, καὶ οὐραγὸν, τὸν ἐπιστάτην. τοὺς ἐν μέσῳ δὲ οὐχ ὁμοίως. ἀλλ' ἐπιστάτην μὲν, τὸν μετὰ τὸν πρωτοστάτην ἤτοι β. τὸν δὲ γ. ἀπὸ τοῦ πρωτοστάτου ὑποστάτην.

Συλλοχισμός ἐστιν, ὅταν τῷ ᾱ. λόχῳ ἕτερος λόχος ἐπιτεθῇ. ὥστε λοχαγὸν λοχαγῷ, καὶ οὐραγὸν οὐραγῷ, καὶ τοὺς μεταξὺ τοῖς ὁμοζύγοις παρίστασθαι.

Τετραρχίαι, οἱ δ. λόχοι ἀνδρῶν ξδ. καὶ ἡγούμενος τετράρχης.

Τάξις αἱ δύο τετραρχίαι, ἀνδρῶν ρκη. καὶ ὁ ἡγούμενος πάλαι μὲν ταξίαρχος, νῦν δὲ ἑκατοντάρχης.

Σύνταγμα ὃ ἔνιοι παράταξιν, αἱ β. τάξεις, ἄνδρες σνϛ. καὶ ὁ ἡγούμενος συνταγματάρχης. τοῦτο δὲ ἔνιοι καὶ ξεναγίαν καλοῦσι καὶ ξεναγὸν τὸν ἡγούμενον.

Πεντακοσιαρχία τὰ β. τάγματα, ἄνδρες φιβ. καὶ ὁ ἡγούμενος πεντακοσιάρχης.

Ἔκτακτοι. τούτους τὸ μὲν παλαιὸν ἡ τάξις εἶχεν, ὡς καὶ τοὔνομα δηλοῖ. διότι τάξεως ἐξάριθμοι ἦσαν. εἰσὶ δὲ ε. στρατοκήρυξ, σαλπιγκτὴς, σημειοφόρος, ὑπηρέτης, οὐραγὸς, νῦν δὲ καὶ τοῦ συντάγματος λέγονται, καὶ τῶν ἄλλων. ἔχειν δὲ τούτους τὴν τάξιν ἢ τὸ σύνταγμα. τὸν μὲν ὅπως τῇ φωνῇ σημαίνῃ τὸ πραττόμενον. τὸν δὲ ὅπως τῷ σημείῳ, εἰ μὴ ἡ φωνὴ κατακούοιτο διὰ θόρυβον. τὸν δὲ σαλπιγκτὴν, ὁπότε μηδὲ σημεῖα βλέποιεν διὰ κονιορτόν. καὶ τὸν ὑπηρέτην ὥστε τι τῶν εἰς τὴν χρείαν παρακομίσαι. τόν γε μὴν ἔκτακτον οὐραγὸν, πρὸς τὸ ἐπανάγειν τοὺς ἀπολειπομένους ἐπὶ τὴν τάξιν, οἱ τῶν δ. ἄνω

τεταγμένων κατὰ μέτωπον κάτω τάσσεται.

Ξεναγία, αἱ β. πεντακοσιαρχίαι, ἀνδρῶν ακδ. οἱ δὲ πλεῖστοι τοῦτο τὸ πλῆθος χιλιαρχίαν καλοῦσι. καὶ χιλίαρχον τὸν ἡγούμενον.

Τεραρχία, αἱ β. χιλιαρχίαι, ἀνδρῶν βμη. οἱ δὲ καὶ τέλος ὀνομάζουσι. καὶ τὸν ἡγούμενον τεράρχην. οἱ δὲ τελάρχην.

Φαλαγγαρχίαι, αἱ β. κεραρχίαι ἄνδρες δϙϛ. τοῦτο ἔνιοι καὶ ἀποτομὴν κέρατός φασιν. οἱ δὲ μέρος. πάλαι δὲ καὶ στρατηγία ἐκαλεῖτο, καὶ ὁ ἡγούμενος στρατηγὸς. νῦν δὲ φαλαγγάρχης.

Διφαλαγγία, αἱ β. φαλαγγαρχίαι, ἄνδρες ηρϙβ. τοῦτο δὲ καὶ μέρος ὑπ' ἐνίων καλεῖται ἀλλὰ καὶ κέρας, καὶ ὁ ἡγούμενος κεράρχης.

Φάλαγξ ἢ. τετραφαλαγγαρχία, αἱ β. φάλαγγες. ἄνδρες ιϛ. χιλιάδες καὶ τπδ. τοῦτο γὰρ ἡ τελεία καὶ εὔχρηστος φάλαγξ.

Μῆκός ἐστι φάλαγγος, τὸ ᾱ. ἐκ τῶν λόχων σύνταγμα. ὃ μίαν εὐθείαν τάσσεται ἀπὸ κέρατος εἰς κέρας διατεῖνον. καλεῖται δὲ τοῦτο καὶ πρόσωπον, καὶ μέτωπον καὶ στόμα καὶ παράταξις, καὶ πρωτολοχία, καὶ πρωτοστάται. ὁ δὲ κατόπιν τούτου στίχος καὶ παράλληλος κείμενος δεύτερον ζυγὸν καλεῖται, καὶ ὁ τρίτος τρίτον, καὶ ἑξῆς ὁμοίως.

Βάθος ἐστὶ φάλαγγος, τὸ μετὰ τὸ μέτωπον ἅπαν, καὶ ὁ ἀπὸ λοχαγοῦ ἐπὶ οὐραγὸν στίχος, κατὰ βάθος λέγεται.

Ζυγεῖν ἐστι, τὸ ἐπ' εὐθείας τῷ κατὰ μῆκος στίχῳ κεῖσθαι. ἤτοι παραλλήλως ἔχειν.

Στοιχεῖν ἐστι τὸ ἐπ' εὐθείας κεῖσθαι τῷ κατὰ βάθος στίχῳ. τοῦτο γὰρ καὶ κυρίως στίχος λέγεται.

Διχοτομία φάλαγγος, ἡ εἰς β. ἴσα τομή. ταῦτα δὲ τὰ μέρη καλεῖται κέρατα. ὧν τὸ μὲν εὐώνυμον κέρας λέγεται καὶ οὐρά. τὸ δὲ λοιπὸν δεξιὸν κέρας, καὶ κεφαλὴ, καὶ δεξιὸν ἀκρωτήριον, καὶ δεξιὰ ἀρχή.

Ἄραρος, καὶ ὀμφαλὸς, καὶ συνοχὴ, πρᾶγμα ὡς ἔνιοι καὶ στόμα ὡς ἕτεροι ἡ διχοτομία καλεῖται.

Ὁπλῖται, πελτασταὶ, ψιλοὶ, τῆς πεζικῆς εἰσὶ καὶ μαχίμου δυνάμεως. ἔχουσι δὲ διαφοράν. ὁπλῖται μὲν γὰρ λέγονται οἱ βαρυτάτῃ κεχρημένοι ὁπλίσει, κατὰ τὸν μακεδονικὸν τρόπον, ἀσπίσι περιφερέσι καὶ δόρασι περιμήκεσι στερροῖς. ψιλοὶ δὲ οἱ κουφοτάτῃ κέχρηνται. τόξῳ γὰρ καὶ ἀκοντίοις καὶ λίθοις, ἐκ σφενδόνης, ἢ ἐκ χειρός. οἱ δὲ πελτασταὶ μέσῃ πως κέχρηνται σκευῇ, ἥ γε πέλτη τε μικρά τίς ἐστιν ἀσπιδίσκη, καὶ κοῦφα καὶ τὰ δόρατα πολὺ τῶν ὁπλιτῶν λειπόμενα. εἰσὶ δὲ τῆς ὀχηματικῆς δυνάμεως τρεῖς διαφοραί. ἡ μὲν γάρ ἐστιν ἱππική. ἡ δὲ δι' ἁρμάτων. ἡ δὲ δι' ἐλεφάντων. τοῦ δὲ ἱππικοῦ τὸ μὲν ἁπλῶς οὕτω καλεῖται, ἱππεῖς καὶ ἱππικόν. τὸ δὲ ἀμφίπποι, καὶ ἀμφίπποι μὲν οἱ ἐπὶ δυεῖν ἀστρώτοιν συνδεδεμένοιν ὀχούμενοι. οἳ καὶ μεταπηδῶσιν ἀπ' ἄλλου ἐπ' ἄλλον, ὅταν ἡ χρεία καλῇ. τοῦ δὲ

κυρίως ἱππικοῦ τὸ μὲν ἐστι κατάφρακτον, ὃ καὶ τοὺς ἵππους καὶ τοὺς ἱππέας πεφραγμένους παρέχεται. τὸ δὲ ἀκατάφρακτον, τούτων δὲ οἱ μὲν θυρεοὺς ἔχοντες θυρεοφόροι καλοῦνται. οἱ δὲ ἁπλῶς δορατοφόροι. αὐτῶν δὲ οἱ μὲν μόνον ἀκοντίζουσιν, εἰς δὲ χεῖρας τοῖς πολεμίοις οὐκ ἔρχονται. καὶ καλοῦνται ἱππακοντισταὶ, καὶ διὸ ταραντῖνοι. οἱ δὲ τόξοις, οἳ λέγονται ἱπποτοξόται, ἔτι δὲ οἱ μὲν δορατοφόροι, οἱ δὲ κοντοφόροι, ἢ ξυστοφόροι, καλοῦνται ὑπὸ τοῖς τρισὶν ὀνόμασιν. ἔτι δὲ εἰσὶν οἱ ἀπὸ τῶν ἵππων καὶ πλησίον πολεμίοις δόρασι μαχόμενοι. οἱ δὲ ἀκροβολισταὶ, οἱ πόῤῥωθεν βάλλοντες. ἔτι τῆς ἱππικῆς δυνάμεως κατάφρακτοι. ἱππακοντισταὶ, ἐλαφροὶ, θυρεοφόροι, οἱ καὶ ταραντῖνοι, ἱπποτοξόται.

Πύκνωσις κατὰ παραστάτην καὶ ἐπιστάτην, τουτέστι, πύκνωσις κατὰ μῆκος καὶ βάθος, κατέχει δὲ ὁ πεπυκνωμένος ἀνὴρ, πήχεις β. ὁ δὲ ἁπλῶς τεταγμένος, πήχεις δ.

Συνασπισμὸς ὅταν ἕκαστος ἀνὴρ τῶν ἐν τῇ φάλαγγι, κατέχῃ πῆχυν ἕνα, τότε καλεῖται συνασπισμός.

Πρόταξις ψιλῶν ὅτε τῶν ἄλλων οὗτοι ἐν πολέμῳ προτάσσονται. ὑπόταξις δὲ, ὅτε ὑποτάττονται. πρόσταξις δὲ, ὅτε καὶ ἐμπλεκόμενοι τῇ φάλαγγι, παρ' ἄνδρα τάττονται λέγεται δὲ καὶ παρένταξις τοῦτο.

Παρεμβολὴ παρεντάξεως διαφέρει. ἡ μὲν γάρ ἐστι τῶν ὁμοίων παρένθεσις. οἷον ὁπλιτῶν παρ' ὁπλίτας, ἢ ψιλῶν παρὰ ψιλούς. παρένταξις δὲ ἡ τῶν ἀνομοίων, οἷον ὁπλιτῶν παρὰ ψιλούς, ἢ ψιλῶν παρ' ὁπλίτας.

Λόχος ἀνδρῶν ὀκτώ.

Σύστασις, τέσσαρες λόχοι, ἀνδρῶν λβ.

Πεντηκονταρχία β. συστάσεων, ἀνδρῶν ἑξήκοντα τεσσάρων.

Ἑκατονταρχία β. πεντηκονταρχίαι. ἀνδρῶν ρκη. ἑκάστη ἡ ἑκατονταρχία ἐκτάτους ἔχει πέντε.

Ψιλαγία β. ἑκατονταρχίαι, ἀνδρῶν διακοσίων πεντήκοντα ἕξ.

Ξεναγία β. ψιλαγίαι, ἀνδρῶν φιβ.

Σύστρεμμα β. ξεναγίαι, ἀνδρῶν χιλίων κδ.

Ἐπιξεναγία δύο συστρέμματα, ἀνδρῶν δισχιλίων μη.

Στίφος, δύο ἐπιξεναγίαι, ἀνδρῶν τετρακισχιλίων ϟϛ.

Ἐπίταγμα, δύο στίφη, ἀνδρῶν ὀκτακισχιλίων ϟβ. τούτου ἔκτακτοι ἀνδρῶν ν. ἐπιξεναγοὶ μὲν δύο, συστρεμματάρχαι δὲ οἱ λοιποί.

Ἐμβολὴ παρατάξεως ὄνομα τοιόνδε, ἔστι δὲ τὸ ἥμισυ τοῦ ῥόμβου τοιοῦδε ὄντος.

Ῥομβοειδὴς παράταξις ὀνομάζεται καὶ σφηνοειδής.

Ἴλη ἱππέων ἐστὶν ἑξήκοντα τεσσάρων.

Ἐπιλαρχία β. ἶλαι ἱππέων ρκη.

Ταραντιναρχία β. ἐπιλαρχίαι, ἱππέων διακοσίων πεντήκοντα ἕξ.

Ἱππαρχία β. ταραντῖναι, ἱππέων πεντακοσίων δώδεκα.

Ἐφιππαρχία β. ἱππαρχίαι, ἱππέων χιλίων εἰκοσιτεσσάρων.

Τέλος, δύο ἐφιππαρχίαι, ἱππέων δισχιλίων τεσσαράκοντα ὀκτώ.

Ἐπίταγμα β. τέλη, ἱππέων τετρακισχιλίων ϟϛ.

Κλίσις ἡ κατὰ ἄνδρα κίνησις.

Κλίσις ἐπὶ δόρυ ἐστὶν, ἡ ἐπὶ τὰ δεξιὰ κλίσις. ἐπανάκλησις δὲ ἡ ἐπὶ τὰ ἀριστερὰ κλίσις.

Ἐπ' ἀσπίδα κλίσις, ἐστὶν, ἡ ἐπὶ τὰ ἀριστερὰ ὁμοίως.

Μεταβολή ἐστιν ἡ δὶς ἐπὶ τὸ αὐτὸ γινομένη κλίσις, κατὰ νώτου τὰς τῶν ὁπλιτῶν ὄψεις μετατιθεῖσα. ἧς δύο διαφοραί. ἡ μὲν ἀπὸ τῶν πολεμίων, ἣν καὶ ἐπ' οὐρὰν ὀνομάζουσιν. ἡ δὲ ἐπὶ τοὺς πολεμίους, ἀπ' οὐρᾶς καλουμένη. ἔνιοι δὲ οὕτω καὶ αὐτὴν ὑπογράφουσιν.

Μεταβολή ἐστι, μετάληψις τῆς προϋπαρχούσης ἐπιφανείας, εἰς τὴν κατ' οὐρὰν ἐπιφάνειαν. ἢ ἀπὸ ταύτης ἐπὶ τὴν ἐναντίαν. καὶ ἡ μὲν ἀπὸ τῶν πολεμίων μεταβολὴ, δὶς ἐπὶ δόρυ κλινάντων γίνεται, ἡ δὲ ἐπὶ τοὺς πολεμίους, δὶς ἐπ' ἀσπίδα.

Ἐπιστροφή ἐστιν, ἐπειδὰν τὸ πᾶν σύνταγμα πυκνώσαντες κατὰ παραστάτην καὶ ἐπιστάτην, καθάπερ ἑνὸς ἀνδρὸς σῶμα, ἐπὶ δόρυ, ἢ ἐπ' ἀσπίδα ἐγκλίνωμεν. καθάπερ ἐπὶ κέντρῳ τῷ λοχαγῷ, παντὸς τοῦ τάγματος περιενεχθέντος καὶ μεταλαβόντος τόπον μὲν τὸν ἔμπροσθεν. ἐπιφάνειαν δὲ τὴν ἐκ δεξιῶν διαμενόντων ἑκάστῳ τῶν παραστατῶν, καὶ τῶν ἐπιστατῶν.

Ἀναστροφή ἐστιν ἡ ἀποκατάστασις τῆς ἐπιστροφῆς, εἰς τὴν προτέραν χώραν. περισπασμὸς δέ ἐστιν ἡ ἐκ δυοῖν ἐπιστροφῶν τοῦ τάγματος κίνησις, ὥστε μεταλαμβάνειν τὸν ὀπίσω τόπον. ἐκπερισπασμὸς δέ ἐστιν, ἐκ τριῶν ἐπιστροφῶν συνεχῶν, τοῦ κίνησις, ὥστε μεταλαμβάνειν, ἐὰν μὲν ἐπὶ δόρυ γίνηται, τὴν ἐξ ἀριστερῶν ἐπιφάνειαν. ἐὰν δὲ ἐπ' ἀσπίδα, τὴν ἐκ δεξιῶν. εἰς ὀρθὸν δέ ἐστιν ἀποδοῦναι, τὸ ἐπὶ τὴν ἐξ ἀρχῆς θέσιν. ἀποκαταστῆσαι ἄνδρα ἕκαστον, ὥστε ἐπὶ δόρυ κλίνειν, ἐκ τῶν πολεμίων κελεύσειεν. εἶτ' αὖθις, εἰς ὀρθὸν ἀποδοῦναι δηλώσει ἐπὶ τοὺς πολεμίους πάλιν τρέπεσθαι. καλεῖ δὲ τοῦτο καὶ ἐπ' ὀρθὸν ἀποκαταστῆσαι.

Ἐξελιγμῶν διτταί εἰσιν ἰδέαι. ἡ μὲν κατὰ λόχους. ἡ δὲ κατὰ ζυγά. εἴδη δὲ ἑκατέρων αὐτῶν γ. καλεῖται γὰρ ὁ μὲν μακεδών. ὁ δὲ χορεῖος. ὃν καὶ κρητικὸν καὶ περσικὸν καλοῦσι. τούτων δὲ μακεδὼν ἐξελιγμός ἐστιν, ὁ κατὰ λόχους, ὁ μεταλαμβάνων τῆς φάλαγγος τὸν ἔμπροσθεν τόπον ἀντὶ δὲ τῆς κατὰ πρόσωπον ἐπιφανείας, τὴν ὄπισθεν. χορεῖος δὲ ὁ τὸν αὐτὸν ἐπέχων τό-

ποι τῆς

ποι τῆς φάλαγγος τὴν ὅπλισιν κατὰ μέρος. ἀνθ' ὧν πρότερον κατεῖχον τόπων, ἑτέρους μεταλαμβανόντων, τοῦ μὲν λοχαγοῦ, τὸν τοῦ οὐραγοῦ. τοῦ δὲ οὐραγοῦ, τὸν τοῦ λοχαγοῦ. αὕτη δὲ τῆς κατὰ πρόσωπον ἔμπροσθεν ἐπιφανείας, τὴν ὄπισθεν. οἱ δὲ κατὰ ζυγὰ ἐξελιγμοὶ γίνονται. ἐπεὶ δ' αὖ ἀπὸ τῶν ἀποτομῶν τὰ κέρατα καθιστᾶσιν. τὰς δὲ ἀποτομὰς τῶν κεράτων, χρεὼν τὰ μέσα ἰσχυροποιεῖν. καὶ ὁμοίως τὰ δεξιὰ ἐν τοῖς εὐωνύμοις. καὶ τὰ εὐώνυμα ἐν τοῖς δεξιοῖς.

Διπλασιασμὸς, διχῶς λέγεται. ἢ γὰρ τόπον ἐφ' ἡ φάλαγξ, μενόντος τοῦ πλήθους τῶν ἀνδρῶν, ἢ ἀριθμὸν αὐτῶν. γίνεται δὲ ἑκάτερον διχῶς. ἢ κατὰ λόχον ἢ ζυγά. ταυτὸν δ' εἰπεῖν, κατὰ μῆκος ἢ κατὰ βάθος. κατὰ μῆκος μὲν οὖν γίνεται διπλασιασμὸς ἀνδρῶν, ὅταν, μεταξὺ τῶν προϋπαρχόντων λόχων, παρεμβάλλωμεν ἢ παρεμπλέκωμεν, ἄλλους αὐτοῖς ἀριθμούς. τὸ μῆκος φυλάττοντες τὸ αὐτὸ τῆς φάλαγγος, ὥς τε πύκνωσιν γενέσθαι μόνην ἐκ τῆς τῶν ἀνδρῶν διπλασιάσεως. κατὰ βάθος δὲ, ὅταν μεταξὺ τῶν προϋπαρχόντων ζυγῶν παρεμβάλλωμεν, ἢ παρεμπλέκωμεν ἄλλα αὐτοῖς ἰσάριθμα. ὥστε κατὰ βάθος πύκνωσιν εἶναι μόνην, κατὰ μῆκος δὲ τόπου. ὁ δὲ διπλασιασμὸς, ὅταν τὴν προειρημένην κατὰ μῆκος πύκνωσιν, μανότητι μετατάττωμεν ἢ παρενθέντες ἐξελίσσωσι κατὰ μῆκος. κατὰ βάθος δὲ γίνεται τόπου διπλασιασμὸς, ὅταν τὴν προειρημένην κατὰ βάθος πύκνωσιν μετατάττωμεν μανότητι. ἢ οἱ παρενθέντες ἐξελίξωσι κατὰ βάθος. ἔνιοι δὲ τοὺς τοιούτους διπλασιασμοὺς ἀποδοκιμάζουσι, καὶ μάλιστα ἐγγὺς ὄντων τῶν πολεμίων. ἐφ' ἑκάτερα δὲ τῶν κεράτων, τοὺς ψιλοὺς καὶ τοὺς ἱππέας ἐπεκτείναντες τὴν ὄψιν τοῦ διπλασιασμοῦ, χωρὶς ταραχῆς τῆς φάλαγγος ἀποδιδόασι.

Πλαγία λέγεται φάλαγξ, ἥτις ἔχει τὸ μῆκος τοῦ βάθους πολλαπλάσιον. ὀρθία δὲ λέγεται, ὅταν ἐπὶ κέρατος πορεύηται, πολλαπλάσιον ἔχουσα τὸ βάθος τοῦ μήκους, καθόλου δέ· παρὰ μῆκος μὲν λέγεται πᾶν τάγμα, ὃ ἂν τὸ μῆκος ἔχῃ, πλεῖον τοῦ βάθους.

Λοξὴ λέγεται φάλαγξ, ἡ τὸ ἕτερον κέρας ὁπότερον ἂν προαιρῆται, πλησίον τῶν πολεμίων ἔχουσα, καὶ ἐν αὐτῷ τὸν ἀγῶνα ποιουμένη. τὸ δὲ ἕτερον ἐν ἀποτάσει δι' ὑποστολῆς ἔχουσα. δεξιὰ μὲν, ἡ τὸ δεξιὸν προβεβλημένη. λαιὰ δὲ ἡ τὸ λαιόν.

Παρεμβολὴ λέγεται ἐπειδὰν προτεταγμένων τινῶν εἰς τὰ μεταξὺ διαστήματα ἐκ τῶν ἐπιτεταγμένων καθιστῶσί τε αὐτοῖς ἐπιβάλωσι.

Πρόταξις δὲ ὅταν ἐξ ἑκατέρων τῶν μερῶν τῆς τάξεως, ἢ ἑκατέρου κατὰ τὸ κέρας αὐτὸ προσθῇ, θῇ τις ἴσως τῇ πάσῃ φάλαγγι, κατ' εὐθὺ τοῦ μετώπου τῆς τάξεως.

Ἔνταξις δὲ ἐπειδ' ἂν τις προαιρῆται τοὺς ψιλοὺς εἰς τὰ διαστήματα τῆς φάλαγγος ἐντάσσειν, ἄνδρα παρ' ἄνδρα. ἔνιοι δὲ τοῦτο καὶ παρένταξιν ὀνομάζουσι.

Ἐπαγωγὴ λέγεται, ὅταν τάγματα τάγματι ὑποτάσσηται, οἷον τετραρχίας ἡγουμένης, αἱ λοιπαὶ τετραρχίαι ὑποτάσσονται, ἢ ξεναγίας ἡγουμένης, αἱ λοιπαὶ ξεναγίαι ἐπακολουθῶσι, καὶ καθόλου ὅταν σύνταγμα συντάγματι ἐν πορείᾳ ἕπηται. ὥστε τοῖς τοῦ προειρημένου συντάγματος οὐραγοῖς, τοὺς τοῦ ἑξῆς τάγματος ἡγεμόνας συνάπτειν.

Παραγωγὴ λέγεται, ὅταν ἡ φάλαγξ πορεύηται, τοὺς ἡγεμόνας ἐκ τῶν εὐωνύμων ἔχουσα ἢ ἐκ τῶν δεξιῶν. κἂν μὲν ἐκ τῶν δεξιῶν μερῶν ἔχῃ τοὺς ἡγεμόνας, εὐώνυμος παραγωγὴ λέγεται. ἐὰν δὲ ἐκ τῶν εὐωνύμων, δεξιὰ παραγωγή. εἴτε δὲ ἡ πορεία, ἐν ἐπαγωγῇ γίνεται. εἴτε ἐν παραγωγῇ, ἐν μονοπλεύρῳ, ἢ διπλεύρῳ, ἢ τριπλεύρῳ, ἢ τετραπλεύρῳ τάγματι βαδίζηται. μονοπλεύρῳ μὲν ὅταν μοναχόθεν φοβηθῇ. διπλεύρῳ δὲ ὅταν διχόθεν. τριπλεύρῳ δὲ ὅταν τριχόθεν. καὶ τετραπλεύρῳ, ὅταν οἱ πολέμιοι πανταχόθεν ἐπιτίθεσθαι ὑφορῶνται.

Ἀμφίστομος φάλαγξ καλεῖται, ἡ τοὺς ἡμίσεας τῶν ἐν τοῖς λόχοις ἀνδρῶν ἀπεστραμμένους ἀπὸ σφῶν ἔχουσα, ὡς ἀντινώτους εἶναι. διφαλαγγία δὲ ἀμφίστομος, ἥτις ἐν τῇ πορείᾳ τοὺς ἡγεμόνας ἔχει, ἐν παραγωγαῖς τεταγμένα ἐξ ἑκατέρων τῶν μερῶν, τοὺς δὲ οὐραγοὺς ἔχουσα ἔξω ἐξ ἑκατέρων τῶν μερῶν ἐν παραγωγαῖς τεταγμένους.

Ἑτερόστομος φάλαγξ καλεῖται, ἥτις ἂν πορεύηται, τὸ μὲν ἡγούμενον ς ἔχουσα ἐν εὐωνύμῳ παραγωγῇ. τουτέστι τοὺς ἡγεμόνας ἐξ εὐωνύμου. τοῦ δὲ λοιποῦ ἡμίσεως τοὺς ἡγεμόνας ἐν δεξιᾷ παραγωγῇ.

Ὁμοιόστομος δὲ ἐν πορείᾳ διφαλαγγία ἐστίν, ἥτις τοὺς ἡγεμόνας ἑκατέρας τῆς φάλαγγος ἐκ τῶν αὐτῶν μερῶν ἔχει τεταγμένους, οἷον ἐκ δεξιῶν, ἢ ἐξ εὐωνύμων ἑκατέρας φάλαγγος.

Ἐμβολὴ δὲ καλεῖται, ὅταν ἡ ἀμφίστομος διφαλαγγία, τὰ μὲν ἡγούμενα κέρατα ἀλλήλοις συνάψῃ, τὰ δὲ ἑπόμενα διαστήσῃ.

Κοιλέμβολον δὲ καλεῖται, ἐπειδὰν ἡ ἀντίστομος διφαλαγγία τὰ μὲν ἑπόμενα κέρατα συνάψῃ. τὰ δὲ ἡγούμενα, διαστήσῃ.

Πλαίσιον ὀνομάζεται ὁπόταν πρὸς πάσας τὰς πλευρὰς παρατάξηταί τις ἑτερομήκει σχήματι.

Πλινθίον δὲ ἢ πλινθεῖον λέγεται, ὅταν τετραγώνῳ σχήματι ταυτὸ τοῦτο πράξῃ. ὅπερ Ξενοφῶν ὁ τοῦ Γρύλλου διπλάσιον ἰσόπλευρον καλεῖ.

Πεπλεγμένη φάλαγξ ἐστὶν, ἥτις τοῖς ἀπαντῶσι τόποις ἀναγκαζομένη ἐξομοιοῦσθαι, τεθλασμένους λόχους ἐπέχει, καὶ ξιφοειδὴς ἡ φάλαγξ ὅλη γίνεται, καὶ πολυειδὴς τῇ τάξει.

Ἐπικάμπιος δὲ ἐπὰν τὰ μέσα τοῖς πολεμίοις προσάπτῃ. τὰ δὲ κέρατα ἐκ τῶν ὄπισθεν μερῶν, ὄρθιον ὑφ' ἑαυτὴν ἔχῃ τεταγμένα.

Ἐπαναμερισμὸν δὲ ὅταν εἰς ὀλίγους πλείονας διαλύῃ τῶν ταγμάτων.

Κυρτὴ δὲ καὶ κοίλη, καὶ ἐπικάμπιος λέγεται, ἡ εἰς τοὐπίσω, καὶ πρόσω τὸ στόμα κοῖλον ἔχουσα, ἢ κυρτὸν, ἢ ἐπικαμπὲς, καὶ ὥσπερ ὡς εἴρηται, ἢ εἰς τοὐπίσω, ἢ εἰς τὸ πρόσω, ὥστε τὰ εἴδη αὐτῶν γίνεσθαι, καὶ ἑκατέρας τῶν ψιλῶν εἰς τοὐπίσω σχηματιζομένης, ἢ εἰς τὸ πρόσω.

Ὑπερφαλάγγισις λέγεται ὅταν ἐξ ἑκατέρων μερῶν τῆς φάλαγγος, ὑπερέχωμεν τῶν πολεμίων.

Ἐπιτισμός ἐστιν, ὅταν τὸ βάθος τῆς φάλαγγος συναιρῆται καὶ ἀντὶ ιϛ. τυχὸν ἀνδρῶν ἐλάττους γένωνται.

Ὑπερκέρωσις δὲ, ὅταν ἐκ τοῦ ἑτέρου μέρους, μόνον ὑπερέχωμεν τῶν πολεμίων.

ΟΡΒΙΚΙΟΥ

ΤΩΝ ΠΕΡΙ ΤΟ ΣΤΡΑΤΕΥΜΑ ΤΑΞΕΩΝ.

Ἱστέον δὲ ὅτι τῶν περὶ τὸ στράτευμα τάξεων καὶ ἡγεμονιῶν, ὁ μὲν πέντε ἀνδρῶν ἀριθμὸς καλεῖται πεμπὰς, ὁ δὲ ἄρχων πεμπαδάρχης. ὁ δὲ τῶν δέκα, δεκὰς, καὶ δεκάδαρχος. ὁ δὲ τῶν πέντε καὶ εἴκοσι, λόχος, καὶ λοχαγός. ὁ τῶν πεντήκοντα, πεντηκοστὺς καὶ πεντηκόνταρχος. ὁ τῶν ἑκατὸν, τάξις, καὶ ταξίαρχος. ὁ τῶν πεντήκοντα καὶ διακοσίων, σύνταγμα, καὶ συνταγματάρχης. ὁ τῶν πεντακοσίων, πεντακοσιοστὺς καὶ πεντακοσίαρχος. ὁ τῶν χιλίων, χιλιοστὺς καὶ χιλίαρχος. ὁ τῶν δισχιλίων, μεραρχία καὶ τέλος, καὶ μεράρχης, καὶ τελάρχης. ὁ τῶν τετρακισχιλίων φάλαγξ, καὶ φαλαγγάρχης. ὁ τῶν μυρίων, μυριοστὺς καὶ μυρίαρχος. αἱ δύο διφαλαγγαρχίαι, τετραφαλαγγαρχία, ἀνδρῶν μυρίων ἑξακισχιλίων, καὶ ὁ ἄρχων τετραφαλαγγάρχης. τὸ μέντοι πεζικὸν ἅπαν στράτευμα ὁμωνύμως τοῖς μερικοῖς τάγμασι λέγεται φάλαγξ. καὶ ὁ ἡγούμενος, στρατηγὸς, τοῦ δὲ ἱππικοῦ, ἵππαρχος. τὸ δὲ συναμφότερον πεζοί τε καὶ ἱππεῖς, στρατιά. τῆς δὲ στρατιᾶς τὸ μέτωπον λεγόμενον, ὃ καὶ πρῶτον ζυγὸν καλοῦσι, πρωτοστάται, καὶ ὁ ἡγούμενος πρωτοστάτης. οἱ δὲ παρ' ἑκάτερα παρατεταγμένοι κέρατα, δεξιόν τε καὶ εὐώνυμον, οἱ αὐτοὶ καὶ παραστάται, ὁ δὲ ἀρχὸς ὁμωνύμως. οἱ δὲ ὄπισθεν αὐτῶν ὡς ἐπὶ τὸ βάθος τεταγμένοι ἐπιστάται. τὸ δὲ ἐπὶ τούτοις πρὸς τὸ βάθος ἔσχατον ζυγὸν, οὐρὰ καὶ οὐραγὸς, ὁ αὐτὸς δὲ ὀπισθοφύλαξ. ἡ συνήθεια πεντηκοντοφύλακα αὐτὸν καλεῖ. ὁ δέ γε τοῦ παντὸς στρατοῦ ἡγεμονεύων, βασιλεύς.

ΤΑ ΤΟΥ

Η ΣΗΜΑΝΤΙΚΑ.

Ὁ ἦ διαζευκτικὸς σύνδεσμος ψιλούμενος καὶ περισπώμενος, πόσα σημαίνει; τέσσαρα, τὸν δὴ παραπληρωματικὸν σύνδεσμον, ὡς τὸ ἐπεὶ ἦ πολὺ φέρτερόν ἐστιν. καὶ ἐπίρρημα βεβαιώσεως, ἀντὶ τοῦ ὄντως. ὡς τὸ, ἦ μάλα δὴ τέθνηκε Μενοιτίου ἄλκιμος υἱός. σημαίνει καὶ ῥῆμα ἀντὶ τοῦ εἶπε, ὡς τὸ, ἦ καὶ κυανέῃσιν ἐπ' ὀφρύσι νεῦσε Κρονίων. καὶ ἐρωτηματικοῦ συνδέσμου, ὡς τὸ, ἦ μοῦνοι φιλέουσ' ἀλόχους μερόπων ἀνθρώπων Ἀτρεΐδαι. ψιλούμενος δὲ καὶ βαρυτονούμενος, πόσα σημαίνει; τέσσαρα, σύνδεσμον διαζευκτικὸν τὰ ἐναντία ἐν τῇ συντάξει διιστῶντα. ὡς τὸ, ἢ νέος ἢ παλαιός. καὶ ὑποδιαζευκτικὸν, ὑποδιαζευκτικὸς δέ ἐστιν, ὁ διάφορα πράγματα τιθεὶς, καὶ μηδὲν ἕτερον ἐν τῇ αἰτήσει διαιρῶν, δός μοι χρυσὸν ἢ ἄργυρον. καὶ διασαφητικόν. διασαφητικὸς δέ ἐστιν, ὅταν δύο προτίθηται, τὸ ἓν αἱρεῖται. οἷον θέλω τύχης σταλαγμὸν, ἢ φρενῶν πίθον. ῥανὶς φρενῶν μοι μᾶλλον, ἢ βυθὸς τύχης. ἔστι δὲ καὶ ἀντὶ τοῦ καθὼς, ὡς τὸ, ἣ θέμις ἐστὶν ἄναξ ἀγορῇ.

ΤΑ ΤΟΥ ΩΣ ΣΗΜΑΝΤΙΚΑ.

Τὸ ὡς πόσα σημαίνει; λβ. τί καὶ τί. Παραβολήν. ὥστε λέων ἐχάρη μεγάλῳ ἐπὶ σώματι κύρσας. Ἀνταπόδοσιν. ὡς αὖτις καθ' ὅμιλον ἔδυ ζώων ἀγερώχων. Ὑπερβολήν. ὡς οὐκ αἰνότερον ἄλλο γυναικός. Ὁμοίωσιν. ὡς ὁ δ' Ὀδυσσῆος μεγαλήτορος υἱῒ ἔοικεν. Ἀντὶ τοῦ ὅμως. ἀλλ' οὐδ' ὡς ἑτάρους ἐρρύσατο ἱέμενός περ. Ἀναφοράν. ὡς οἱ μὲν τοιαῦτα πρὸς ἀλλήλους ἀγόρευον. Θαυμασμόν. ὡς ἀγαθαὶ φρένες ἦσαν, ἐχέφρονι Πηνελοπείῃ. Ἀντὶ τοῦ ὅπως. ὡς εἰ πού τι πυλέων ἐξέσυτο φαίδιμος Ἕκτωρ. Ἀντὶ ἵνα συνδέσμου. ὡς μοι καὶ τῶνδ' ἄνδρα πελώριον ἐξονομήνῃς. Τὸ ὅπως. ὡς πείσῃς Διΐ πατρὶ καὶ ἄλλοις ἀθανάτοισι. Τὸ ὅτι, ἔγνως ὡς θεός εἰμι. καὶ τὸ, ὡς δὴ τοῦδ' ἐνεκείσομαι ἐγκυβόλῳ. Τὸ ἐπεὶ, ὡς ἴδε χῶρον ὅθι μὲν ἔστασαν ὠκέες ἵπποι. Τὸ εὐκτικὸν ἐπίρρημα. ὡς ὄφελε θάνατός μοι ἁδεῖν κακός. Τὸ διό. ὡς αὖ ἔπειτ' ἀπὸ σεῖο φίλον τέκος. Τὸν ἐπισυναπτικὸν σύνδεσμον, ὡς ὑμεῖς παρ' ἐμεῖο θεῶν ὕπο νῆα κίοιτε. Τὸ ὁμοίως, μνήσομαι ὡς μ' ἀσύφηλον ἐν Ἀργείοισιν ἔρεξεν. Τὸ ὅμως, ὡς πρῶτον κέλωρας ἐδαμάσσατο Διός. Τὸ ὅσον, καὶ κρέας ὡς οἱ χεῖρες ἐχάνδανον. Τὸ περὶ σύνδεσμον. ὡς οὔτι ποταμῷ δεδμημένῳ αἴσιμον ἦεν. Τὸ εὐθέως ὡς ἴδεν ὥς μιν μᾶλλον ἔδυ χόλος. Τὸ ὡσαύτως. ὡς δ' αὖ νῦν μοι ἄγαθε θεοίτην βεβαίωσιν. ὡς χαίρει ἐς ἄνθρωπος ἀνθρώποις. Τὸ ἀλλὰ, ὡς τούτου ἀλήθειά τις ἀτ-

τικὸν ἐστί. τὸ ἕως, ὡς ὁ μὲν ἔνθα πολλὸν βίοτον καὶ χρυσὸν ἀγείρων. τὸ οὕτως, ὡς πότ' ἔην, νῦν αὖτε κατώτερος ἀντιπώσαντων. τὸ οὐκέτι, ὡς οὐκ ἔστι χάρις μετόπισθ' εὐεργέων. διηγηματικὸν καὶ κεφάλαιον, ὡς ἦλθ' ὡς αἴπαθος ἐμνήσατο λυγροῦ ὀλέθρου. τὸ λίαν, ὡς ἐμεγαλύνθη τὰ ἔργα σου κύριε. τὸ τοσοῦτον. ὡς φαίνεις, ἵνα πάντων ἵδρυθῇς ἀνθρώπων. τὸ ὡτίον, ὅπερ μόνον ψιλοῦται τῶν ἄλλων πάντων δασυνομένων καὶ ἐξαιρουμένων. τὴν δὲ πρόθεσιν, ὡς αἰεὶ τὸν ὁμοῖον ἄγει θεὸς ὡς τὸν ὁμοῖον.

ΠΕΡΙ ΔΙΑΛΕΚΤΩΝ ΕΚ ΤΩΝ ΙΩΑΝΝΟΥ ΓΡΑΜΜΑΤΙΚΟΥ ΤΕΧΝΙΚΩΝ.

Διάλεκτός ἐστι γλώττης ἰδίωμα. εἰσὶ δὲ διάλεκτοι πέντε, ἀτθὶς, δωρὶς, αἰολὶς, ἰὰς, κοινή. καὶ ἀτθὶς μὲν ἐκλήθη ἀπὸ ἀτθίδος τῆς κραναοῦ θυγατρός, αἰολὶς δὲ ἀπὸ αἰόλου τοῦ ἕλληνος. δωρὶς δὲ ἀπὸ δώρου τοῦ ἕλληνος. ἰὰς δὲ ἀπὸ ἴωνος τοῦ ξούθου τοῦ ἕλληνος καὶ κρεούσης τῆς ἐρεχθέως θυγατρός. κοινὴ δὲ ἐκ τῶν τεσσάρων συνεστῶσα. ἔχει δὲ ἑκάστη διάλεκτος οἰκεῖον ἰδίωμα.

Περὶ διαλέκτων προοίμιον ἕτερον.

Διάλεκτοι πέντε, ἰὰς, ἀτθὶς, δωρὶς, αἰολὶς, κοινή.

Περὶ ἰάδος.

Ἰὰς δ' ἐστὶν, ᾗ κέχρηνται ἴωνες. δοκεῖ δὲ ἀρχαία εἶναι αὐτοῖς. ἴδιον δὲ αὐτῆς ἐστιν, ἀντὶ τοῦ α, τῷ η κεχρῆσθαι. καὶ τὰς περισπωμένας συλλαβὰς εἰς δύο διαιρεῖν. καὶ ἀντὶ τοῦ π, τὸ κ λαμβάνειν. καὶ ἀντὶ τῶν δασυνουσῶν συναλοιφῶν, ψιλότητας ἐκφέρειν. καὶ ἐπί τινων λέξεων τὸ ι ὑπεξαιρεῖν. Χρῶνται μὲν οὖν τῷ η ἀντὶ τοῦ α, οἷον θύρην ἀντὶ τοῦ θύραν. καὶ ἡμέρην ἀντὶ τῆς ἡμέραν. καὶ ὠφελείην ἀντὶ τοῦ ὠφέλειαν. τὰς δὲ περισπωμένας συλλαβὰς εἰς δύο διαιροῦσιν. ἀντὶ τοῦ ποιεῖν γὰρ, ποιέειν λέγουσιν. ἀντὶ τοῦ π τὸ κ λαμβάνουσι. τὸ γὰρ πῶς, κῶς λέγουσιν. ἀντὶ τῶν δασυνομένων συναλοιφῶν ψιλότητας ἐκφέρουσιν, ὅταν λέγωσιν ἀντὶ τοῦ ἐφ' ἵππων, ἐπ' ἵππων. καὶ ἐφορᾷ, ἐπορᾷ. ἐπὶ δέ τινων λέξεων τὸ ι ὑπεξαιροῦσιν, ἀντὶ τοῦ ποιεῖσθαι ποιέεσθαι λέγοντες. ἰὰς δὲ ἀπὸ ἴωνος τοῦ ἀπόλλωνος καὶ κρεούσης τῆς ἐρεχθέως θυγατρός.

Περὶ ἀτθίδος.

Ἀτθὶς δ' ἐστὶ διάλεκτος, ᾗ κέχρηνται ἀθηναῖοι. ἴδιον δὲ αὐτῆς ἐστι, κατακόρως κεχρῆσθαι ταῖς συναλοιφαῖς, καὶ τὰς λέξεις ἀδιαιρέτως ἐκφέρειν. ἔτι δὲ καὶ τὸ τ καὶ ρ, ἀντὶ σ λαμβάνειν. καὶ τὸ υ, ἀντὶ τοῦ ε. καὶ ἀντὶ τοῦ σ τὸ ξ. ταῖς μὲν οὖν συναλοιφαῖς κατακόρως χρῶνται, ὅταν λέγωσι θοἰμάτιον ἀντὶ τοῦ ἱμάτιον. καὶ φροίμιον ἀντὶ τοῦ προοίμιον. ἀδιαιρέτως δέ τινας τῶν λέξεων ἐκφέρουσιν, ὅταν λέγωσι πατρῷον, ἀντὶ τοῦ πατρώϊον. καὶ νηρῇδα, ἀντὶ τοῦ νηρηΐδα. καὶ τὸ ρ καὶ τ, ἀντὶ τοῦ σ λαμβάνουσι, τὴν θάλασσαν γάρ, θάλατταν, καὶ τὸ πράσσειν πράττειν. πάλιν ἀντὶ τοῦ θαρσαλέως, ἄρσενα, θαρραλέως, ἄρρενα λέγουσιν. ἀντὶ τοῦ ε τὸ υ λαμβάνουσιν, ὅταν λέγωσι, τοὔνυμα, τὸ ὄνυμα. τοὔγκλιμα, τὸ ἔγκλιμα. τοὔλαιον, τὸ ἔλαιον. τοὐπίσημον, τὸ ἐπίσημον. τοὔργον, τὸ ἔργον. ἀντὶ δὲ τοῦ σ τὸ ξ, ὅταν λέγωσι ξύμπας ἀντὶ τοῦ σύμπας, καὶ ξυμφορὰν ἀντὶ τοῦ συμφοράν. καὶ ξυνένηκεν, ἀντὶ τοῦ συνένηκεν. καὶ ξύμβολον ἀντὶ τοῦ σύμβολον. καὶ ξυνθήκη, ἀντὶ τοῦ συνθήκη. ἐκλήθη δὲ ἀτθὶς, ἡ τῶν ἀττικῶν ἀπὸ ἀτθίδος τῆς κραναοῦ θυγατρός.

Περὶ δωρίδος.

Δωρὶς δὲ κέκληται διάλεκτος, ᾗ κέχρηνται δωριεῖς. ἴδιον δὲ αὐτῆς ἐστιν, ἀντὶ τοῦ η, τῷ α χρῆσθαι. καὶ ἀντὶ τοῦ ω, τῷ α. καὶ ἀντὶ θηλυκῶν ὀνομάτων, πληθυντικὰς πτώσεις ἐκφέρειν. καὶ ἀντὶ τῆς ου διφθόγγου τῷ ω χρῆσθαι. καὶ ἀντὶ τῆς ει διφθόγγου, τὸ η παραλαμβάνειν. καὶ ποτὲ ἀντὶ τοῦ θ, τὸ σ. καὶ ἐπί τινων λέξεων τὸ ι ὑπεξαιρεῖσθαι. ἀντὶ μὲν οὖν τοῦ η τῷ α χρῶνται, ὅταν λέγωσι τὸ ἅλιον ἀντὶ τοῦ ἥλιον. καὶ ἁμέραν, ἀντὶ τοῦ ἡμέραν. καὶ ἁ κύπρις ἀντὶ τοῦ ἡ κύπρις. καὶ ἁδὺ ἀντὶ τοῦ ἡδύ. ἀντὶ δὲ τοῦ ω τῷ α χρῶνται ὅταν λέγωσι μουσῶν μουσᾶν. θυρῶν θυρᾶν. ἀντὶ δὲ ἑνικῶν θηλυκῶν ὀνομάτων πληθυντικὰς πτώσεις ἐκφέρουσιν, ὡς ὅταν λέγωσι καλὴν καλάς. σοφὴν σοφάς. ἀντὶ δὲ τῆς ει διφθόγγου τῷ η χρῶνται, ὅταν λέγωσιν ἀντὶ τοῦ ἰδεῖν, δραμεῖν, λαβεῖν. ἰδῆν, δραμῆν, λαβῆν. ἀλλὰ καὶ λάβον, ἀντὶ τοῦ λαβεῖν. καὶ δράμεν ἀντὶ τοῦ δραμεῖν. καὶ ἔλθεν, ἀντὶ τοῦ ἐλθεῖν λέγουσι. δωρὶς δὲ ἐκλήθη ἀπὸ δώρου τοῦ ἕλληνος παιδός.

Περὶ αἰολίδος.

Αἰολὶς δὲ λέγεται διάλεκτος, ᾗ κέχρηνται αἰολεῖς. ἴδιον δὲ αὐτῆς ἐστι, τὰς ὀξυτόνους λέξεις ἀναστρέφειν, καὶ τισὶν ὀνόμασι θηλυκοῖς αἰτιατικῆς πτώσεως, τὸ ι, προστιθέναι. καὶ ποτὲ ἀντὶ τοῦ υ, τῷ ο χρῆσθαι. καὶ ἀντὶ τοῦ ο, τῷ ω. καὶ ἀρχόμενα ἀπὸ φωνηέντων, ψιλῶς ἐκφέρειν. καὶ ἀντὶ τῆς ου διφθόγγου, τὸ ω τάττειν. καὶ προστιθέναι ἐπὶ τῶν λέξεων τοῦ ρ τὸ β. ἀντὶ δὲ τῶν δύο μμ, δύο ππ λαμβάνειν. καὶ τὰς λέξεις μὲν ἀναστρέφουσι τὰς ὀξυτόνους, τὸ ποταμὸς πόταμος λέγοντες. καὶ τὸ καλὸς κάλος. τισὶ δὲ ὀνόμασι θηλυκοῖς αἰτιατικῆς πτώσεως τὸ ι προστιθέασιν. ὅταν λέγωσιν ἀντὶ τοῦ καλὰς καλαῖς. σοφὰς σοφαῖς. ἀντὶ δὲ τοῦ υ, τῷ ω χρῶνται, ὅταν λέγωσι λειπῶσαι ἀντὶ τοῦ λειποῦσι, καὶ ἰδῶσαι ἀντὶ τοῦ ἰδοῦσαι, καὶ λαλῶσαι ἀντὶ τοῦ

Τὰ εἰς αος λήγοντα ἀρσενικὰ προπαροξύτονα ἢ ὀξύτονα, διὰ τοῦ εως προφέρεται· οἷον μενέλαος, μενέλεως· λαὸς, λεώς· ναὸς, νεώς.

Τὸ ι ἐν ταῖς λέξεσι προστιθέασιν. οἷον· νυνὶ, τουτοὶ, οὑτοσὶ, πρωϊνί. ἡμεῖς δὲ, νῦν, οὗτος, τοῦτον, πρωΐ.

Τὰ εἰς ευς ὀνόματα, διὰ τοῦ ω τῆς γενικῆς ἐκφέρει· ἀριστεὺς, ἀριστέως· ὁμοίως πηλεὺς, πηλέως.

Αἱ συναλοιφαὶ ἀττικῶν εἰσιν ἴδιαι. τῷμῷ, ἀντὶ τοῦ, τῷ ἐμῷ. βεβρεγμἔχων, ἀντὶ τοῦ, βεβρεγμένα ἔχων.

Αἱ διαιρέσεις τοῦ ι, ἀττικῶν εἰσιν ἴδιαι καὶ δωριέων, καὶ αἰολέων· ἕταρον ἀντὶ τοῦ ἑταῖρον. ἐς χρυΐσαν, ἀντὶ τοῦ εἰς χρύσαν.

Αἱ παραλήψεις τῶν κλητικῶν ἀντὶ τῶν ὀνομαστικῶν, ἀττικῶν εἰσιν ἴδιαι. νεφεληγερέτα ζεὺς, ἀντὶ τοῦ νεφεληγερέτης. ἱππότα νέστωρ, ἀντὶ τοῦ ἱππότης. καὶ εὐρύοπα ζεὺς ἀντὶ τοῦ εὐρυόπης. σημειωτέον αἱ εὐθεῖαι δὲ ἀντὶ κλητικῶν, καὶ αἱ κλητικαὶ ἀντὶ εὐθειῶν. τοῦτο δὲ μόνον ἀθηναίων τὸ σχῆμα.

Αἱ ἐλλείψεις τῶν μερῶν τοῦ λόγου ἀττικῶν εἰσι, καὶ δωριέων, καὶ ἰώνων. οἷον κόπτων ἀμφοτέρῃσι, ἐλλείπει τὸ χερσίν.

Αἱ παραλήψεις τῶν αἰτιατικῶν πτώσεων ἀντὶ γενικῶν, ἀττικῶν εἰσιν, οἷον μή τε σὺ τόνδ' ἀγαθός περ ἐὼν ἀποαίρεο κούρην. ἀντὶ τοῦ τούτου.

Ἀεὶ παθητικοῖς ῥήμασιν ἀντὶ ἐνεργητικῶν χρῶνται, οἷον γράψομαι, ἀντὶ τοῦ γράφω. καὶ ποιοῦμαι ἀντὶ τοῦ ποιῶ.

Ἔτι τῶν ἀττικῶν ποιείσθων, καὶ νοείσθων λέγεται, ἀντὶ τοῦ ποιείτωσαν, καὶ νοείτωσαν.

Τὰ εἰς ως ἐπιρρήματα τῆς μεσότητος, εἰς ον τρέπουσι. ὀνόμασι γὰρ ἀντὶ ἐπιρρημάτων χρῶνται. οἷον δέον, πρέπον. ἀντὶ τοῦ δεόντως καὶ πρεπόντως.

Τὰς εἰς ες ληγούσας τῶν συγκριτικῶν ὀνομάτων, εἰς ους τρέπουσι. οἷον μείζους, χείρους, καλλίους. ἀντὶ τοῦ μείζονες, χείρονες, καλλίονες.

Ταῖς συναλοιφαῖς ἀεὶ κατακόρως χρῶνται. τὸ γὰρ ἱμάτιον, θοἰμάτιον λέγει. καὶ τὸ ἔλαιον, τοὔλαιον.

Τὸ σ ἀντὶ τοῦ ρ χρῶνται. τὸ γὰρ θάρρος θάρσος λέγει. καὶ τὸ θαρραλέον θαρσαλέον. καὶ τὸ ἄρρεν ἄρσεν.

Τὸ ου ἀντὶ τοῦ ο χρῶνται, ὡς ὅταν λέγῃ τοὔνδυμα, τοὔγκλημα, τοὔπος. ἀντὶ τοῦ τὸ ἔνδυμα, τὸ ἔγκλημα, τὸ ἔπος.

Εὐθείαις ἀντὶ κλητικῶν χρῶνται. ὦ φίλος, ἀντὶ τοῦ ὦ φίλε.

Ὑποθετικοῖς ἀντὶ συγκριτικοῖς πολλάκις χρῶνται. ἀντὶ τοῦ εἰπεῖν θηριωδέστερος πάντων, θηριωδέστατος λέγει.

Τῷ η ἀντὶ τοῦ ε κέχρηνται, τρέπει γὰρ τὸ ε εἰς η, ὡς ὅταν λέγῃ· ἠδυνάμην, ἠβουλόμην.

Ἡ αὐτὴ διάλεκτος μεταβολὰς εἴληφε κατὰ καιροὺς, ὁμοίως τὸν ἀρχαῖον τύπον ἀπογράφει. τοῖς γὰρ δυϊκοῖς ὁρῶμεν χρωμένους τούς τε κωμικοὺς ποιητὰς καὶ ἀττικοὺς συγγραφεῖς, λέγοντας τὼ πόδε, καὶ τὼ χεῖρε, καὶ νὴ τὼ θεὼ, καὶ διὸς κούρω. λέγει δὲ καὶ πλάτων ὁ φιλόσοφος ἐν τῷ γοργίᾳ. τὼ γὰρ ξένω τώδε γοργίας τε καὶ πῶλος, σοφὼ μὲν ἀμφοτέρω ἐστὸν καὶ φίλω ἐμώ. καὶ δυοῖν ὀβολοῖν. καὶ δυοῖν χαλκοῖν. καὶ ταῖν θεαῖν.

Ὅσα τῶν εἰς ος ληγόντων ἔχει τὸ α παραλῆγον, ταῦτα διὰ τοῦ ω μεγάλου, καὶ τοῦ ε, ἵλαος ἵλεως, καὶ κατὰ τὰς πλαγίους οὕτως τῇ ὀρθῇ ἀκολούθως.

Μενέλεω, ἀντὶ τοῦ μενελάου, κατὰ τὴν δοτικὴν ὁμοίως σὺν τῷ ι μενέλεῳ, καὶ προσθέσει τοῦ ν, τοῖν μενέλεῳν. τὴν δὲ αἰτιατικὴν μενέλεων. τὴν δὲ πληθυντικὴν ὀρθὴν ὁμοίως τῇ ἑνικῇ δοτικῇ, μενέλεῳ. τὴν δὲ γενικὴν, τῶν μενέλεων. τὴν δοτικὴν σὺν τῷ ι. τοῖς μενέλεως τὴν αἰτιατικὴν τοὺς μενέλεως.

Ἔτι τῆς ἀτθίδος ἀντὶ τοῦ εὐφυῆ, ὑγιῆ, εὐφυᾶ λέγειν καὶ ὑγιᾶ. καὶ ἀντὶ τοῦ εὐβοέα καὶ πειραιέα, εὐβοᾶ καὶ πειραιᾶ. τοῦτο δὲ εἰώθασι ποιεῖν, ἐφ' ὧν ἡ τελευταία συλλαβὴ διὰ μόνου τοῦ α λέγεται, ἢ τὸ ε τῷ α παραλήγει. ὡς ἐπὶ τῶν παρακειμένων. οὐ μὴν ἐφ' ὧν γε μετὰ συμφώνου λήγουσι, εὐμενῆ, εὐτυχῆ, οὐ γὰρ φασὶν εὐμενᾶ καὶ εὐτυχᾶ. οὐ δὲ πάλιν ἐφ' ὧν σύμφωνον ἄρχει τοῦ ε παραλήγοντος, βασιλέα, δρομέα.

Ἐπὶ τῶν τοιούτων ῥημάτων, ἐδυνάμην, ἐβουλόμην, ἔμελλον. τὸ ε εἰς η ἀλλάττουσι, λέγοντες ἠδυνάμην, ἠβουλόμην ἤμελλον.

Καὶ τῆς αὐτῆς προθέσεως ἀλλάττουσι τὸ α εἰς η. ἠνειχόμην λέγοντες, ἀντὶ τοῦ ἀνειχόμην.

Ἔτι γε μὴν τῶν εἰς η ληγόντων ῥημάτων ἐπὶ δευτέρου προσώπου παθητικοῦ, διὰ τῆς ει διφθόγγου. βούλει γὰρ, ἀντὶ τοῦ βούλῃ. ὅταν δὲ ᾖ ὑποτακτικὸν, ὁμοίως ἡμῖν λέγουσι, ἐὰν βούλῃ.

Τὰ δὲ εὐκτικὰ λαμβάνουσιν ἀντὶ ὑποτακτικῶν. ἐὰν ἔλθοις, ἀντὶ τοῦ ἐὰν ἔλθῃς, καὶ ἐὰν ἔλθοι, ἀντὶ τοῦ ἐὰν ἔλθῃ.

Ὑφαιροῦσι δὲ πολλάκις καὶ ι, τὸ κλαίειν λέγοντες κλάειν, καὶ τὸ μυῖαι, μύαι. καὶ μητρυιαῖ, μητρυαῖ. καὶ ποιεῖν, ποεῖν. καὶ ποίημα, πόημα.

Καὶ ἀντὶ τῆς προθέσεως, τῷ ὡς χρῶνται. ἀντὶ τοῦ, πρὸς τὸν βασιλέα, καὶ πρὸς τὸν φίλον, ὡς τὸν βασιλέα, ὡς τὸν φίλον.

Ἴδιον δὲ αὐτῶν ἐστι καὶ τὰς εἰς α ληγούσας ἑνικὰς αἰτιατικὰς ἀρσενικὰς διὰ τοῦ η προφέρεσθαι. εὐρυεδέα εὐρυεδῆ. πηλέα πηλῆ, τυδέα τυδῆ, δίψαν δίψην.

Χρῶνται δὲ καὶ τοῖς παθητικοῖς ἀντὶ ἐνεργητικῶν. λοιδορούμενος, ἀντὶ τοῦ λοιδορῶν. φαινόμενος ἀντὶ τοῦ φαίνων, φαινακιζόμενος ἀντὶ τοῦ φαινακίζων. διακονούμενος, ἀντὶ τοῦ διακονῶν. διαβαλλόμενος, ἀντὶ τοῦ διαβάλλων. μισούμενος, ἀντὶ τοῦ μισῶν.

Ἔθ᾽ ὅτε δὲ καὶ τὰ ἐνεργητικὰ τιθέασιν ἀντὶ παθητικῶν. τὸ πολιτεύειν ἀντὶ τοῦ πολιτεύεσθαι, καὶ γράφειν ἀντὶ τοῦ γράφεσθαι. καὶ τὰ ὅμοια.

Τοὺς δὲ ἀορίστους καὶ μέλλοντας ὁλοκλήρους παθητικούς, ἀντὶ μέσους πολλάκις ἐναλλάσσοντες, τὸ μισηθήσεται μισήσεται λέγουσι, καὶ τὸ ζητηθήσεται, ζητήσεται. καὶ τμηθήσεται, τμήσεται, καὶ τὰ ὅμοια.

Τοὺς δὲ παρὰ τὸ ἴζω μέλλοντας, ἀποβάλλοντες τὸ σ, περισπῶσιν. ὀνειδιῶ λέγουσιν ἀντὶ τοῦ ὀνειδίσω, καὶ ῥαντιῶ ἀντὶ τοῦ ῥαντίσω, καὶ μυκτηριῶ ἀντὶ τοῦ μυκτηρίσω.

Φιλοῦσι δὲ καὶ τὰ πολλὰ συγκόπτειν. τὰς γὰρ νηρεΐδας, νηρῇδάς φασι. καὶ τὸν ἀπόλλωνα ἀπόλλω. καὶ ἀμείνονα, ἀμείνω, καὶ κρείττονα κρείττω.

Ἀλλάττουσι δὲ καὶ τοὺς τόνους, καὶ τοὺς ἤχους, καὶ τοὺς χρόνους. τόνους μὲν, ἀντὶ τοῦ πολίων ταξίων, πόλεων λέγουσι καὶ τάξεων. ἤχους δὲ, τὸ σταφίδα καὶ στάχυς ἀσταφίδα λέγουσι καὶ ἄσταχυς. χρόνους δὲ, τὴν βασιλέα τὸ α ἐκτείνουσι καὶ ἀβρέχη καὶ ἱμάντα, καὶ ἀνδριάντα.

Λέγουσι δὲ καὶ ἀντὶ τοῦ εἰς ἀθήνας ἀθήναζε πορεύομαι, καὶ τὸ ἐν ἀθήναις, ἀθήνησι σοφιστεύω, καὶ τὸ ἐξ ἀθηνῶν ἐξ ἀγροῦ, ἀθήνηθεν, ἄγροθεν ἔρχομαι. καὶ τὸ εἰς οἶκον, οἴκαδε. ἐξ οἴκου, οἴκοθεν. ἐν οἴκῳ, οἴκοι. καὶ τὸ ἐξ οὗ χρόνου, ἐξ ὅσου χρόνου.

Καὶ τὸ ρ ἀντὶ τοῦ λ χρῶνται, τὸ γὰρ κλίβανον κρίβανον λέγουσι.

Περὶ ἰάδος.

Ἡ ἰὰς τὰ εἰς ας λήγοντα ὀνόματα, εἰς ης τρέπει, ἐὰν μὴ ὦσι δώρια. ἑρμείας ἑρμείης, σωσίας, σωσίης. τότε γὰρ ἴωνες τρέπουσιν, ὅταν μὴ ᾖ τετραμμένα ἐκ δωριέων ὡς εἴρηται, ἑρμείας, ἑρμείης. οἱ γὰρ δωριεῖς οὐ τρέπουσιν αὐτά.

Πᾶν εἰς ης λῆγον, οὗ ἡ γενικὴ εἰς ου περατοῦται, παρ᾽ αὐτοῖς εἰς εω λήγει. πέρσης πέρσου πέρσεω. ξέρξης ξέρξου ξέρξεω. πηληϊάδης πηληϊάδου πηληϊάδεω.

Τὰ εἰς ης ἀρσενικὰ, ὧν ἡ γενικὴ εἰς ους, διὰ τοῦ εος προφέρεται, οἷον δημοσθένης δημοσθένεος, ἀμαθὴς, ἀμαθέος, τὴν αἰτιατικὴν εἰς εα ποιεῖται. δημοσθένεα, ἀμαθέα.

Τὰς εἰς ους λήγοντας γενικὰς τὰς ἀπὸ τῶν εἰς ες οὐδετέρων εὐθειῶν γινομένας, διαιρεῖ, εὐσεβὲς, εὐσεβέος, εὐγενέος, δυσγενέος, δυσσεβέος.

Πᾶσα εὐθεῖα εἰς ευς, διὰ τοῦ ηος ἐκφέρεται ἐπὶ γενικῆς παρὰ ἴωσιν, οἷον βασιλεὺς, βασιλῆος.

Τὰ εἰς ους οὐδέτερα, κατὰ τὴν γενικὴν εἰς εος ποιοῦσιν ἴωνες. πλῆθος πλήθους πλήθεος.

Τὰς εἰς εις εὐθείας πληθυντικὰς ἀπὸ τῶν εἰς ευς ἑνικῶν γινομένας, εἰς ηες διαιροῦσιν ἴωνες. οἷον βασιλῆες, ἀντὶ τοῦ βασιλεῖς.

Τὰς εἰς αι πληθυντικὰς διαιρεῖ ἐπὶ γενικῆς διὰ τοῦ ε. οἷον πέρσαι περσῶν περσέων. νύμφαι νυμφῶν νυμφέων. τὸ δὲ νυμφάων αἰολικῶς.

Πᾶσα δοτικὴ πληθυντικὴ εἰς οι λήγουσα προσλαμβάνει τὸ ι παρ᾽ αὐτοῖς. οἷον καλοῖς καλοῖσι, σοφοῖς σοφοῖσι, καὶ τὰ ὅμοια.

Πᾶσα δοτικὴ πληθυντικὴ εἰς αις λήγουσα μεταβάλλει τὸ α εἰς η ἐπὶ τῆς ἰάδος, προσγεγραμμένου μὲν τοῦ ι, μὴ συνεκφωνουμένου δὲ, οἷον καλαῖς, καλῇσι, νύμφαις νύμφῃσι.

Τὰς εἰς α εὐθείας, εἰς η τρέπουσιν ἴωνες, οἷον ἥρα, ἥρη. χώρα, χώρη.

Τὸν οὖν σύνδεσμον, ὦν, λέγουσιν ἴωνες.

Τῶν ῥημάτων τὰς συνθέσεις διὰ ψιλῶν συμφώνων ποιοῦσιν ἴωνες. κατπερῶ, κατπερᾷς, κατπερᾷ.

Τοῖς προτακτικοῖς ἄρθροις ἴωνες ἀντὶ τῶν ὑποτακτικῶν χρῶνται. τὸν θέλω, ὃν θέλω, τὴν θέλω, ἣν θέλω.

Τὸ κ ἀντὶ τοῦ π ἐν τοῖς ἐρωτηματικοῖς καὶ ἀναφορικοῖς, οἷον πόσα, κόσα. ὁπόσα, ὁκόσα. ὅπως, ὅκως.

Τῷ ω ἀντὶ τοῦ α ἔσθ᾽ ὅτε χρῶνται ἴωνες. ὤνθρωπον λέγοντες, ὤριστον.

Τῷ ω ἀντὶ τοῦ αυ διφθόγγου χρῶνται, θῶμα τὸ θαῦμα λέγοντες.

Αἱ τμήσεις ἰώνων ἴδιαι. πέλοπος νῆσος, ἡ πελοπόννησος. ἄγριον ἔλαιον, ἀντὶ τοῦ ἀγριέλαιον. καὶ ἄγριον αἶγα, ἀντὶ τοῦ αἴγαγρον, καὶ συὸς ἀγρίου, ἀντὶ τοῦ συάγρου.

Αἱ παραλήψεις ἀπαρεμφάτων ἀντὶ προστακτικῶν, ἰώνων εἰσὶ, πάντα μάλ᾽ ἀτρεκέως ἀγορευέμεν. ἀντὶ τοῦ ἀγόρευε, πειρᾶν δὲ ὥς κεν φράδες, ἀντὶ τοῦ πειρῶ. καὶ μυρία τοιαῦτα.

Αἱ παραλήψεις τῶν ἀρσενικῶν ἀντὶ θηλυκῶν ἰώνων εἰσί. τοῖσι δὲ τετρεμένοισι μέλας ἐπὶ ἕσπερος ἦλθεν. ἀντὶ τοῦ ἑσπέρα.

Αἱ παραλήψεις τῶν ὀνομαστικῶν πτώσεων ἀντὶ τῶν γενικῶν, ἰώνων εἰσίν. οἱ δὲ δύο σκόπελοι, ὁ μὲν οὐρανὸν, ἀντὶ τοῦ τούτων δὲ δύο σκοπέλων, ὁ μὲν, τόδε. ὁ δὲ τόδε.

Τὰ εἰς ω λήγοντα θηλυκὰ ἐπὶ τῆς αἰτιατικῆς εἰς ουν περατοῖ. οἷον ἰὼ ἰοῦν. λητὼ, λητοῦν. σαπφὼ, σαπφοῦν.

Τὸ ι ἐνίων λέξεων ἐξαιρεῖται ἡ ἰάς. τὸ γὰρ ποιεῖσθαι ποιέεσθαι λέγει, ὅθεν ποιέεντο.

Τὰ εἰς ις λήγοντα θηλυκὰ οὐδέποτε διὰ τοῦ ε κλίνουσιν ἴωνες, ἀλλὰ διὰ τοῦ ο, πόλις πόλιος, καὶ ὄφις ὄφιος.

Αἱ διαιρέσεις τῶν εἰς ει ληγόντων ἑνικῶν δοτικῶν, ἰώνων εἰσὶν ἴδιαι. βέλεϊ, ἀντὶ τοῦ βέλει. ἔγχεϊ ἀντὶ τοῦ ἔγχει.

Αἱ ἐπαναδιπλώσεις ἴδιαι εἰσὶν ἰώνων. λελάχωσιν ἀντὶ τοῦ λάχωσι. κέκλυθι, ἀντὶ τοῦ κλῦθι.

Μεταθέσει στοιχείων ἰὰς χρῆται. οἷον κραδίη, ἀντὶ τοῦ καρδία.

Ἀπὸ τῆς ει διφθόγγου ἴωνες ἐξαιροῦσι τὸ ι. ἑκτόρεος, χρύσεος, ἀντὶ τοῦ ἑκτόρειος, χρύσειος.

Τὰς εἰς εις λεγούσας πληθυντικὰς ἴωνες πάντοτε διαιροῦσιν, ἀπὸ μὲν τῶν εἰς ευς οὔσας διὰ τοῦ η προφέρονται. βασιλεῖς βασιλέες βασιλῆες. ἀπὸ δὲ τῶν εις, ης, ἢ εἰς υς, διὰ τοῦ ε. οἷον, ἀληθεῖς ἀληθέες, ἀληθέες. ὀξεῖς ὀξέες.

Αἱ προσθέσεις τοῦ ι τῷ ε ἐπιφερομένου φωνήεντος ἢ ἑνὸς τῶν ἀμεταβόλων, ἰώνων εἰσὶν οἷον εἴως, κεινά. ἀντὶ τοῦ ἕως, κενά.

Ἡ ἐναλλαγὴ τῆς ει διφθόγγου εἰς τὴν ευ συλλαβὴν ἰώνων ἐστίν. ἐρίηρευ, ἀντὶ τοῦ ἐρίηρει. ἠέρευ, ἀντὶ τοῦ ἠέρει. ἐρυσάρματευς, ἀντὶ τοῦ ἐρυσάρματεις.

Τὰ εἰς η πληθυντικὰ οὐδέτερα, εἰς εα διαιροῦσιν ἴωνες, οἷον τείχη τείχεα. ὄρη, ὄρεα. ὁμοίως καὶ τὰς γενικὰς διὰ τῆς εων.

Ἀεὶ τὸ υ προστιθέασι ταῖς λέξεσιν ἴωνες, οἷον ὄρος, οὖρος, νόσος νοῦσος. ὄνομα οὔνομα.

Τὸ διπλοῦν σσ, εἰς ξ τρέπουσιν ἴωνες, τὰ γὰρ δισσά, διξὰ λέγουσι.

Τὸ ι τῶν λέξεων ἴωνες ἐξαιροῦνται πολλάκις. τὸ γὰρ δείξω, δέξω λέγουσι, καὶ τὴν ἀπόδειξιν, ἀπόδεξιν.

Τῶν μετοχῶν τὰς παθητικὰς εἰς ου προπαραληγούσας ἴωνες διαιροῦσιν. οἷον λυπούμενος λυπεόμενος.

Τὰς εἰς ων ληγούσας μετοχὰς ἀπὸ τῆς α συζυγίας τῶν περισπωμένων, γινομένας ὧν τὸ προστακτικὸν αὐτὸ β καὶ γ προσώπου εἰς ει δίφθογγον λήγει, διαιροῦσιν ἴωνες. οἷον φρονῶν φρονέων. ἔστι γὰρ φρόνει τὸ προστακτικόν. νοῶν, νοέων, νόει γάρ. καὶ τὰ ἀπ' αὐτῶν ῥήματα διαιρεῖ, βοῶν δὲ οὐ θέλει διαιρεῖσθαι, τὰ γὰρ τῆς δευτέρας φθάνουσι τὴν διαίρεσιν, πλὴν ὅμηρος ἢ διαιρεῖ σπανιάκις ἐστίν.

Αἱ ἐναλλαγαὶ τοῦ η εἰς α βραχὺ ἰώνων εἰσί. μεμακυῖα ἀντὶ τοῦ μεμηκυῖα. καὶ λελασμένος, ἀντὶ τοῦ λελησμένος. καὶ ἄλαστος ἀντὶ τοῦ ἄληστος.

Αἱ ἐναλλαγαὶ τοῦ α μακροῦ εἰς η ἰώνων εἰσὶν ἥρα, ἥρη. στεῖρα, στείρη.

Αἱ ἐναλλαγαὶ τοῦ α βραχέος εἰς η, τῶν μεταγενεστέρων εἰσί. ἀλήθειαν ἀληθείην.

Αἱ ἀφαιρέσεις τῶν κατ' ἀρχὴν συμφώνων, ἰώνων εἰσίν. εἴβειν, ἀντὶ τοῦ λείβειν. καὶ αἰνὸς ἀντὶ δεινός.

Αἱ εἰς τὴν ω συλλαβὴν περισπωμένην τιθέασι μεταξὺ τῶν προσθέσεων. ἐζωεῖλον καὶ ἀπωνέοντο ἀντὶ τοῦ ἐζεῖλον, καὶ ἀπώνοντο.

Τὰ πρῶτα στοιχεῖα τῶν λέξεων ἴωνες ἀφαιροῦνται ἐκεῖνος, κεῖνος. ἑορτή, ὀρτή. ὁμοίως καὶ τὸ ε τῶν παρεληλυθότων ἐνόει, νόει. ἔτευχε, τεῦχε. ἔτικτε, τίκτε.

Τῷ π ἀντὶ τοῦ φ χρῶνται. ἀφικόμην γὰρ ἀπικόμην λέγουσι.

Τὰ σύνθετα ῥήματα διαλύουσι. καὶ μεταξὺ τιθέασιν, οἷον λέων κατὰ ταῦρον ἐδηδὼς ἀντὶ τοῦ κατεδηδώς. κατὰ δ' ἔκτανεν ἐκτίωνα, ἀντὶ τοῦ κατέκτανεν.

Αἱ ἀναστροφαὶ καὶ τὰ ὑπερβατὰ ἰώνων εἰσὶν οἷον δῶρ' ἀπὸ αἱρεῖσθαι, ἀντὶ τοῦ ἀφαιρεῖσθαι. ὑπερβατὰ δέ εἰσι τοιαῦτα. νήπιοι οἳ κατὰ βοῦς ὑπερίονος ἠελίοιο.

Καὶ ἔσθιον, ἀντὶ τοῦ κατήσθιον.

Αἱ διαιρέσεις τῶν εἰς ως ληγόντων ἐπιρρημάτων, τῶν ἀπὸ τῶν εἰς υς ληγόντων ἀρσενικῶν καὶ τῶν εἰς ες οὐδετέρων, ἰώνων εἰσὶν ἀτρεκέως ἀντὶ τοῦ ἀτρεκῶς.

Ἡ ἰὰς διάλεκτος ἐστὶ τῇ παλαιᾷ ἀτθίδι ἡ αὐτή. ταύτῃ δὲ ὡς ἐπὶ πολὺ ὅμηρός τε καὶ ἡσίοδος καὶ ἀρχίλοχος κέχρηται, καὶ ἀνακρέων καὶ ἡρόδοτος. ἔστι δὲ αὐτῆς ἰδιώματα, τὸ η ἀντὶ τοῦ α τιθέναι. θύραν θύρην. ἥραν, ἥρην. ἑστίαν ἑστίην. ἀντὶ δὲ τοῦ καλαῖς, καλῇσι. σοφαῖς, σοφῇσι. πύλαις, πύλῃσι. τὸ ι ἰῶσι κατὰ χώραν μένειν. ὅπως τὸ η ὡς εἴρηται ἀντὶ τοῦ α τιθοῦσιν οἱ ἴωνες.

Χρῶνται δὲ καὶ συστελλομένῳ τῷ α ἀντὶ τοῦ η ἴωνες. δωριεῖς δὲ, ἐκτεινομένῳ.

Γίνεται δὲ ἐν τῇ ἰάδι διαλέκτῳ πρόσθεσις. ἀφαίρεσις. συγκοπή. παρένθεσις. πλεονασμός. διαίρεσις.

Πρόσθεσις μὲν οὖν γίνεται παρ' αὐτοῖς ὅταν ἐν ἀρχῇ τοῦ λόγου ἕτερον παραληφθῇ στοιχεῖον. οἷον εἵνεκα ῥιγεδανῆς. ἀντὶ τοῦ ἕνεκα. ἴλιον εἴσω, ἀντὶ τοῦ ἔσω, καὶ μοῦνος ἐών, ἀντὶ τοῦ μόνος. καὶ ξεῖνος ὅδ' οὐκ ἐθέλει, ἀντὶ τοῦ ξένος. καὶ ἄρτον οὖλον ἑλών. ἀντὶ τοῦ ὅλον, καὶ ἄλλα μυρία.

Ἀφαίρεσις δὲ τοὐναντίον πάσχει τῇ προσθέσει. ἡ μὲν γὰρ πρόσθεσις ἐν ἀρχῇ λαμβάνει ἔξωθεν ἕτερον στοιχεῖον. ἡ δὲ ἀφαίρεσις καὶ τὸ κείμενον ἀποβάλλει. ὅταν ἴωνες τὴν μὲν ἑορτὴν ὀρτὴν λέγωσι. καὶ τὸ ἱδρὸν, ἱρεῖ.

Συγκοπὴ δέ, ὅταν μέσα στοιχεῖα ὀνόμασι ἐκκοπῇ. οἷον μώνυχας ἵππους, ἀντὶ τοῦ μονόνυχας. καὶ κάππεσον, ἀντὶ τοῦ κατέπεσον. καὶ φέρτε, ἀντὶ τοῦ φέρετε. καὶ κακκείοντες, ἀντὶ τοῦ κατακείοντες.

Παρένθεσις δὲ ἐστὶ τοὐναντίον πεπονθυῖα τῇ συγκοπῇ. ἐκείνη μὲν γὰρ ἀπολύει. αὕτη δὲ προσλαμβάνει στοιχεῖον ἔξωθεν. οἷον ἐρίγδουπος, ἀντὶ τοῦ ἐρίδουπος, περιττὸν ἄρα τὸ γ. καὶ ὑμέων, ὑμείων. σοφέων, σοφείων.

Ἐναλλαγὴ δὲ γίνεται, ὅταν ἕτερον στοιχεῖον παραληφθῇ ἀντὶ κυρίου. ποτί, ἀντὶ τοῦ πρός. καὶ ξερόν, ἀντὶ τοῦ ξηρόν. καὶ ἡ δοῦρα μὲν ἔπονται, ἀντὶ τοῦ δόρα. καὶ τιθήμενον εὖ τις καλά, ἀντὶ τοῦ τιθέμενον. καὶ τῷ κ, ἀντὶ τοῦ π ἐνίοτε χρῶνται. ὅκως ἀντὶ τοῦ ὅπως.

Μετάθεσις δὲ γίνεται, ὅταν τὰ ὄντα μετατεθῇ ἐν τῷ αὐτῷ ὀνόματι. καὶ ἢ πρότερον στοιχεῖον τῆς ἰδίας γενικῆς συλλαβῆς μὴ ὀφειλόμενον, ἢ καὶ δεύτερον. κραδίην ἀντὶ τοῦ καρδίαν. καὶ τέτρατον ἦμαρ, ἀντὶ τοῦ τέταρτον. καὶ κρατερὸς διομήδης, ἀντὶ τοῦ καρτερός. καὶ τὰ ὅμοια.

Πλεονασμὸς δέ ἐστιν, ὅταν ἐπὶ ταῖς πληθυντικαῖς δοτικαῖς ἀρσενικαῖς πτώσεσιν, εἰς οις ληγούσαις, ἢ θηλυκαῖς εἰς ης, προσλαμβάνουσι τὸ ι. ποταμοῖς, ποταμοῖσι. καλοῖς, καλοῖσι. σοφῇς, σοφῇσι.

Διαίρεσις δὲ γίνεται οὐ μόνον παρ' αὐτοῖς ἐπὶ τῶν δισυλλάβων ὀνομάτων, ἀλλ' ἤδη καὶ ἐπὶ τῶν μονοσυλλάβων καὶ προσηγορικῶν. ῥοῦς ῥόος. χροῦς χρόος.

Ἐπὶ δὲ τῶν ὑπὲρ μίαν συλλαβὴν ληγομένων ὀνομάτων, καὶ προσηγορικῶν ἀρσενικῶν ἑνικῶν εἰς ης ληγόντων, ἡ γενικὴ εἰς ους λήγῃ, αὐτοὶ τὴν προφορὰν διὰ τοῦ εω διαιροῦντες, τοξότου, τοξότεω λέγοντες. καὶ ἀτρείδου, ἀτρείδεω. λαέρτου, λαέρτεω. καὶ κατὰ παράθεσιν. πηληϊάδεω. λαερτιάδεω, καὶ τὰ ὅμοια.

Τὰς δὲ εἰς ους ληγούσας γενικὰς εἰς τὸ ε καὶ ο διαιροῦσι. σωκράτους, σωκράτεος, διομήδεος, δημοσθένεος.

Καὶ τὰς δοτικὰς δὲ ὁμοίως διαιροῦσι, σωκράτεϊ λέγοντες καὶ διομήδεϊ, καὶ πηλέϊ. ἀντὶ τοῦ σωκράτει, καὶ διομήδει, καὶ πηλεῖ. τὸ δ' αὐτὸ, καὶ ἐπὶ οὐδετέρων, ἔγχεϊ. τείχεϊ, ξίφεϊ.

Καὶ τὰ εἰς αι πληθυντικὰ ὀνόματα, ὧν ἡ γενικὴ παρ' ἡμῖν καταλήγει εἰς ων περισπωμένως, ἐκεῖνοι διὰ τοῦ αων προφέρονται παροξυτόνως. κρῆναι κρηνῶν κρηνάων. πυλῶν πυλάων. μουσῶν μουσάων.

Καὶ ἐπὶ τῶν ῥημάτων δὲ κατὰ τὸν ἐνεστῶτα καὶ παρεληλυθότα χρόνον καὶ διὰ τῶν αὐτῶν στοιχείων ἐκφέρουσι τὴν κλίσιν. ἄγω ἄγον. φέρω φέρον. ἐλαύνω ἔλαυνον. ὀρχοῦμαι ὀρχούμην. βρέχω βρέχον. λέγω λέγον, ἔχω ἔχον.

Χρῶνται δὲ καὶ τοῖς ἀπαρεμφάτοις ἀντὶ προστακτικῶν, τανύσαι, τάνυσον. κεῖσαι, κεῖσον.

Καὶ τοὺς σχηματισμοὺς δὲ τῆς ἑρμηνείας τοιούτους, τετραμμένοι εἰσὶ, τετράφαται. τεταγμένοι εἰσὶ, τετάχαται. κέκλινται, κεκλίαται.

Καὶ τὰ ῥήματα δὲ τὰ εἰς ω ληγούσῃ περισπώμενα, διαιροῦσι. φρονῶ, φρονέω. λαλῶ, λαλέω. νοῶ νοέω. χρυσῶ χρυσόω. ἀργυρῶ ἀργυρόω.

Καὶ τὰς μετοχὰς αὐτῶν ὁμοίως διαιροῦσι. φρονέων. λαλέων. ποιέων.

Ἡ δὲ τῶν δυϊκῶν ἀκρίβεια παρ' αὐτοῖς φυλάσσεται. ἡ μὲν οὖν ἀρχαία ἰὰς μετέπεσε παρὰ τὴν τῶν κατοικούντων παρατροπὴν, διέμεινε δὲ ἕως ἐκείνων τῶν χρόνων. ὅτι ἐποιήσαντο ἴωνες τὰς ἀποικίας καὶ διεσπάρησαν εἰς πλείστους τόπους.

Λέγεται δὲ παρ' αὐτοῖς, ὁ μὲν κλέπτης, φηλήτης, ἡ δὲ δύναμις, κράτος. ὁ δὲ λόγος, μῦθος. τὸ ὑπαίνειν, ὑλᾶν. ὅθεν καὶ τὰ ὑπὸ τῶν θαυμάτων, οὐλὰς λέγομεν ἔτι καὶ νῦν. τὸ δὲ αὐτῶν καὶ αὐτοῖς, σφῶν καὶ σφέων. τὸ δὲ σῶν, ἑῶν. τὸ δὲ αὐτὸς ωὐτός. τὰς δὲ ἀντωνυμίας διαιροῦσιν, οὕτως. σφῶν σφέων. καὶ κατὰ παρένθεσιν τοῦ ι σφείων. ἡμέων, ἡμείων. ὑμέων, ὑμείων, καὶ τὰ ὅμοια.

Περὶ δωρίδος.

Ἡ δωρὶς τῷ α ἀντὶ τοῦ η χρῆται. τὸν γὰρ ἥλιον, ἅλιον λέγει. καὶ τὴν ἡμέραν, ἁμέραν. καὶ τὴν μητέρα ματέρα. καὶ τὰ ὅμοια.

Τῷ α ἀντὶ τοῦ ω χρῆται ἐπὶ τῶν γενικῶν πληθυντικῶν πτώσεων. μουσᾶν γὰρ λέγει καὶ θυρᾶν καὶ θεᾶν. ἀντὶ τοῦ μουσῶν, θυρῶν, θεῶν.

Τὰς εἰς ους ληγούσας γενικὰς τὰς ἀπὸ τῶν εἰς ης εὐθειῶν γινομένας, εἰς ευς τρέπει. οἷον διογένης διογένευς, ἀντὶ τοῦ διογένους.

Τῷ ω στοιχείῳ ἀντὶ τῆς ου διφθόγγου χρῆται. τὰς γὰρ μούσας, μώσας λέγει.

Τῷ η, ἀντὶ τῆς ει διφθόγγου χρῆται. ὡς ὅταν λέγῃ ἰδῆν ἀντὶ τοῦ ἰδεῖν.

Τῷ σ, ἀντὶ τοῦ θ χρῆται. τοὺς γὰρ θεοὺς, σιοὺς λέγει. καὶ σιὸν τὸν θεόν.

Τῶν λέξεων αἰεὶ τὸ ι ὑπεξαιρεῖται. λαβῆν γὰρ καὶ ἐλθῆν λέγει, ἀντὶ τοῦ λαβεῖν, καὶ ἐλθεῖν.

Ἔτι διπλασιασμοῖς τῶν αὐτῶν συμφώνων χρῆται οἷον ὅττι, ὅπποθι, καὶ ὅσσον. ἀντὶ τοῦ ὅτι καὶ ὅποθι, καὶ ὅσον, καὶ ἡ αἰολὶς δὲ χρῆται τούτοις.

Αἱ ἐκτάσεις τῶν διχρόνων στοιχείων ἴδιαι τῆς δωρίδος. οἷον ἶσος, ἄλιον.

Τῷ α ἀντὶ τοῦ ε πολλάκις χρῶνται, ἕτερος ἅτερος λέγοντες. καὶ ἄρτεμις ἄρταμις.

Αἱ ἀποκοπαὶ δωριέων εἰσὶν ἴδιαι. γίγνονται δὲ κατὰ τὸ τέλος. ἁμέτερον δῶ ἀντὶ τοῦ δῶμα.

Αἱ προσθέσεις τῆς με συλλαβῆς ἐπὶ τῶν παρ' ἡμῖν εἰς ναι ληγόντων ἀπαρεμφάτων, δωριέων εἰσίν. οἷον βήμεναι, ἀντὶ τοῦ βῆναι.

Αἱ ἐξαιρέσεις τοῦ δ καὶ τ τῶν πλαγίων ἑνικῶν πτώσεων, δωριέων εἰσὶ, πόλιος ἀντὶ τοῦ πόλιδος. ὁμοίως κέραος ἀντὶ τοῦ κέρατος. τῆς δωρίδος πολλαὶ εἰσὶν ὑποδιαιρέσεις τοπικαί. ἄλλως γὰρ κρῆτες διαλέγονται, ἄλλως ῥόδιοι, καὶ ἄλλως ἀργεῖοι καὶ λακεδαιμόνιοι. καθολικὰ δέ ἐστιν αὐτῶν ἰδιώματα. ἀντὶ μὲν τοῦ η τὸ α τιθέασι. πύλην πύλαν. ἀντὶ δὲ τῶν εἰς ων ληγουσῶν παρ' ἡμῖν γενικῶν πτώσεων περισπωμένων, διὰ τοῦ αν ἐκφέρουσι τηροῦντες τὸν τόνον. πυλῶν πυλᾶν, καλῶν καλᾶν, σιμῶν σιμᾶν. καὶ ἐπὶ τῶν μετοχῶν ὁμοίως. γελῶν, γελᾶν. ἐλῶν, ἐλᾶν. καὶ τὴν ναῦν νᾶν καλοῦσι. κλῆδας κλᾶδας. καὶ νίκην νίκαν.

Καὶ τὰ μονοσύλλαβα ὀνόματα βαρυτονοῦσιν οἱ δωριεῖς. ὁμοίως δὲ καὶ τὰ ποιότητος δηλωτικὰ ἐπιρρήματα, κάλως σόφως, κόμψως, ἅπλως.

Τὰ δὲ ὑφ' ἡμῶν βαρύτονα περισπῶσιν. οὑτῶς, παντῶς, αὐτοματῶς.

Καὶ τὰ εἰς οι λήγοντα πληθυντικὰ ὀνόματα κατὰ τὴν παραλήγουσαν ποιοῦσι τὸν τόνον. φιλοσόφοι. τὸ δ' αὐτὸ καὶ ἐπὶ τῶν μετοχῶν. πωλουμένοι, καλουμένοι.

Ὁμοίως δὲ καὶ τὰ εἰς ες λήγοντα θηλυκὰ ὀνόματα πληθυντικὰ ὀρθῆς πτώσεως παροξυτονοῦσι.

ποιοῦσι. γυναίκας, χείρας, νάας, ὄρνιθας.

Ἔτι δὲ καὶ τὰ εἰς αι λήγοντα ῥήματα παροξυτονοῦσι. ἱστάσαι, ἐφάσαι, ἐλῦσαι, ἐλεῖψαι, ἐκρέξαι.

Καὶ τὰ εἰς ον λήγοντα παροξυτονοῦσι, ἐλάβον, ἐφάγον, ἐλέγον, ἐβρέχον. περισπῶσι δὲ τὰ τοιαῦτα, παιδῶν, φωτῶν, πάντων.

Καὶ τὰ εἰς ω λήγοντα ῥήματα βαρύτονα ἐπὶ τοῦ μέλλοντος χρόνου περισπῶσι. δωσῶ, θεραπευσῶ, νοησῶ, λαλησῶ, μενησῶ.

Καὶ ἐπὶ τρίτου προσώπου βαρύτονα ῥήματα εἰς ει λήγοντα μέλλοντος χρόνου, περισπῶσι. δωσεῖ, πισεῖ, θεραπευσεῖ, λαλησεῖ.

Λέγουσι καὶ τὸ δώσουσι, δωσεῦντι. καὶ τὸ λέξουσι, λεξεῦντι, καὶ τὸ ποιήσουσι, ποιησεῦντι. Συστέλλουσι δὲ καὶ τὰς εἰς ας πληθυντικὰς αἰτιατικάς, καὶ τὰς προσηγορίας δὲ καὶ μετοχὰς ὁμοίως, νύμφας, κρίνας, ἰοῦσας, πλέξας.

Καὶ τὰ διὰ τοῦ ειν ἐκφερόμενα ἀπαρέμφατα καθ᾽ ὑπεξαίρεσιν τοῦ ι λέγουσι. φρονεῖν, φρονὲν, ἰδεῖν, ἰδὲν. φαγεῖν, φαγέν.

Λέγουσι δὲ καὶ τὰς εἰς ου γενικὰς διὰ τοῦ ω. οἴκου οἴκω, σοφοῦ σοφῶ, καλοῦ καλῶ.

Καὶ τὰς αἰτιατικὰς πληθυντικὰς ἀρσενικὰς εἰς ους ἐκφερομένας, διὰ τοῦ ως. τὼς καλὼς, σοφὼς, ἀνθρώπως, ἵππως. ἀντὶ τοὺς καλοὺς, σοφοὺς, ἀνθρώπους, ἵππους.

Καὶ τὰ προστακτικὰ ῥήματα ἐκφερόμενα διὰ τοῦ ε, διὰ τοῦ ον ἐκφέρουσι. λάβε, λάβον. θίγε, θίγον. δράμε δράμον.

Σκαλοῦσι δὲ τὴν χύτραν, κύθραν λέγουσι. καὶ τὸν χιτῶνα, κιτῶνα. τὴν μητέρα, δελφύαν. καὶ τὴν γυναῖκα, γαννώ.

Κρῆτες δὲ τὸ διαπαντὸς, αἰεί. τὸ αὐτοῦ, αὐτεῖ. βέλτιον, βέλτειν. ἦλθον, ἦνθον. ἐχορεῖν, ἐγχορεῖν. εἰς τὴν ἀγοράν, ἐς τὰν ἀγοράν. τὸ ἔα ἔβα. τὸ ἔασον, ἔβασον. τὸ ἦν, ἦς. τὸ εἴωθα, ἤθω. τὸ δὲ θεο χεῖσθαι, θιῶ. θουκυδίδης, θιυκράτης, θιύφραστος. ἀντὶ τοῦ θουκυδίδης, θεοκράτης, θεόφραστος. τὰ δὲ κρέα, κρῆ. τὸ ἄκρατον, ἄκρητον. κείκον, κίρκον. τὸ καλεῖ, καλέεται, τὸ καταβαλεῖν, καββαλεῖν. στροφοὺς ἀχύρων, μύχωνας. ἀγκάλη, ἀγκάλη. ὄρνιθες, ὄρνιχες. χεῖρες, χῆρες. στάδιον, σπάδιον. κεῖνος, κῆνος. σύ, τύ. καὶ ἀντὶ τοῦ λέγουσι καὶ φέρουσι, λέγοντι καὶ φέροντι. τὸ μὲν ταύτας, τούτας. καὶ τὸ πρὸς, ποτί. καὶ πότε, πόκα. τῆμος, τᾶμος. δῆμος, δᾶμος. θεόν, σιόν. βουλήν, βωλάν.

Διαφέρει δὲ ἡ τῶν Κρητῶν διάλεκτος, ἧ καὶ κέχρηται κυψέλας, καὶ ἡ τῶν λακώνων, ἧ κέχρηται Ἀλκμάν, Σώφρων. ἡ μέντοι πινδάρου καὶ ἰβύκου, καὶ σιμωνίδου, καὶ βακχυλίδου, παντελῶς αἱρεῖται διὰ τὸ μὴ συνεχῶς εἶναι τῇ φύσει τοὺς ποιητὰς, χρῆσθαι δὲ μόνῃ τῇ διαλέξει.

Περὶ τῆς αἰολίδος.

Τὸ β, τῷ ρ προστίθεσθαι εἴωθε· προσφέρει ὅταν τῷ ρ ἐπιφέρηται κ ἢ τ ἢ δ. βρυτὴρ ἀντὶ τοῦ ῥυτήρ. βράκος ἀντὶ τοῦ ῥάκος. βρόδον ἀντὶ τοῦ ῥόδον.

Ἡ αἰολὶς τὰς ἀπὸ τῶν εἰς αι θηλυκῶν γενικὰς διαιρεῖ, καὶ διὰ τοῦ α προφέρεται. οἷον νύμφαι νυμφάων, θύραι θυράων, μελισσάων, ἀρχομενάων, πυλάων. καὶ τὰ ὅμοια.

Αἱ συγκοπαὶ αἰολέων εἰσὶν ἴδιαι. γίνονται δὲ κατὰ μέσον. οἷον ὦρσεν, ἀντὶ τοῦ ὥρμησεν.

Αἱ προσθέσεις τῆς θα συλλαβῆς ἐπὶ τῶν ὑποτακτικῶν ῥημάτων δευτέρων προσώπων εἰς σ ληγόντων, αἰολέων εἰσίν. εἴπησθα, ἀντὶ τοῦ εἴπῃς. καὶ ἔλθησθα, ἀντὶ τοῦ ἔλθῃς.

Αἱ προσθέσεις τοῦ υ τῷ ι ἐπιφερομένου φωνήεντος, αἰολέων εἰσίν. οἷον χεύαντες, ἀντὶ τοῦ χέαντες.

Τὰ εἰς αις μονοσύλλαβα ὀνόματα διαιρεῖ, πάϊς, δάϊς. ἀντὶ τοῦ παῖς, δαῖς.

Τῷ ω στοιχείῳ, ἀντὶ τῆς ου διφθόγγου χρῆται. μῶσαι, ἀντὶ τοῦ μοῦσαι. λιπῶσαι ἀντὶ τοῦ λιποῦσαι.

Τῷ υ ἀντὶ τοῦ ο στοιχείῳ χρῆται. τὸ γὰρ ὅμοιον ὕμοιον λέγει.

Τῷ η ἀντὶ τῆς ει διφθόγγου χρῆται. ἐλθῆν γὰρ λέγει, ἀντὶ τοῦ ἐλθεῖν.

Τὰ ἀμετάβολα διπλασιάζει, καὶ τὸ σ μόνον. οἷον ἐκείρω, ἐγέρρω. ἐγένατο, ἐγέννατο. πενθήσῃς, πενθήσσῃς. τόσον, τόσσον. τοσοῦτον, τοσσοῦτον.

Τὸ ὅπη καὶ ὅπως κοινόν ἐστιν. ἡ γὰρ κοινὴ τὰ ἀναφορικὰ διπλασιάζει. οἷον, ὁποῖος ὁπποῖος. ὅσος, ὅσσος.

Αἱ τῆς αι διφθόγγου τὸ ι ἐκβάλλει, ὅταν αὐτῇ ἐπιφέρηται σύμφωνον. οἷον ἀλκαῖος, ἄλκαος.

Τῷ π ἀντὶ τοῦ μ χρῆται. τὰ γὰρ ὄμματα, ὄππατα λέγει.

Τῆς δευτέρας συζυγίας τῶν περισπωμένων, τὸ ι ἐπὶ δευτέρου καὶ τρίτου προσώπου ἀνεκφώνητον ὂν παρὰ ταῖς ἄλλαις διαλέκτοις, ἐκφωνεῖται. οἷον, βοάϊς, βοάϊ.

Τὰς κλητικὰς τῶν εἰς ων ληγόντων ὀνομάτων συστέλλει. χελιδών, χελιδόν. μακεδών, μακεδόν. ἀπόλλων, ἄπολλον.

Οἱ αἰολεῖς ἔθος ἔχουσιν, ἀντὶ μὲν α, τὸ ο τιθέναι. βραχέως, βροχέως, στράτος, στροτός, ἄνω ὄνω. ἀνέλυται, ὀνέλυται. ἀνεχώρησεν, ὀνεχώρησεν. σταλεὶς, στολείς.

Ποτὲ δὲ τὸ α εἰς ε. κράτος, κρέτος, πρίαμαι πρίεμαι. γαλήνη, γελάνα. ἀὴρ, ἀήρ.

Ποτὲ δὲ προστιθέασι τῷ α τὸ υ. ναόν, ναυόν. ἀὴρ, αὐήρ. ἄως, αὔως.

Ἀντὶ δὲ τοῦ δ, τὸ ζ. διαβάλλειν, ζαβάλλειν. διαυκτὸς, ζαυκτός.

Ἀντὶ δὲ τοῦ ι, καὶ α, τὸ υ. κρίαν, κρῦς.

Δεῖ δὲ γινώσκειν ὅτι ἐπί τινων τοῦτο ποιοῦσι, καὶ οὐκ ἐπὶ πάντων, ἀδύνατον γάρ.

Ἀντὶ δὲ τοῦ ζ, τιθέασι σ καὶ δ. ζεὺς, σδεύς. ζυγὸν, σδυγόν. μελίζειν, μελίσδειν.

Ἀντὶ δὲ τοῦ η τὸ ε ἢ τὸ α, κοινῶς τοῖς Δωριεῦσι· καὶ τὸ μὲν ἀρῆς, ἄρης· ἀρήϊον, ἀρέϊον. τὸ δὲ η, ἐκρίβην, ἐκρίβαν· πόλην, πόλαν· ἥρην, ἥραν· νόημα, νόαμα· ἠώς, ἀώς· ἀπάτην, ἀπάταν· ἀδικῆσαι, ἀδικέσαι.

Ἀντὶ δὲ τοῦ θ, τὸ φ· θλᾶται, φλᾶται.

Ἀντὶ δὲ τοῦ μ, τὸ π· μετεμοῦ, πετεμοῦ· ὄμματα, ὄππατα.

Ἀντὶ δὲ τοῦ ξ, τιθέασι κ καὶ σ· ξένος, κσένος, ἱέραξ, ἱέρακς.

Ἀντὶ δὲ τοῦ ο, τὸ υ· ὀμφαλός, ὐμφαλός· μόγις, μύγις· ὅμοιον, ὔμοιον.

Ποτὲ δὲ καὶ τὸ ι· πρὸς σέ, πρὶς σέ. εἰς α, ὄασα, ἄασα.

Ἀντὶ δὲ τοῦ π τὸ μ· πατεῖς, ματεῖς· πατοῦσα, ματοῦσα.

Ἀντὶ δὲ τοῦ ππ, δύο σσ· ἐμπέπτεν, ἐμπέσσεν.

Ἀντὶ δὲ τοῦ σ, τὸ τ· σύ, τύ· εἰς σέ, εἰς τέ.

Ἀντὶ τοῦ τ, τὸ π· στολήν, σπολήν· στολάς, σπολάς· τέφραπται, πέφραπται.

Ἀντὶ δὲ τοῦ υ, τὸ ι· ὑψηλόν, ἰψηλόν· ὑψόθεν, ἰψόθεν· ὕπαρ, ἴπαρ.

Ἀντὶ δὲ τοῦ χ τὸ φ· αὐχένα, αὐφένα.

Ἀντὶ δὲ τοῦ ψ, τὸ π καὶ σ· σκόλοψ, σκόλοπς· ἄραψ, ἄραπς.

Ἀντὶ δὲ τοῦ ω, τὸ ο· ὥρα, ὄρα· ὠτειλή, ὀτειλή.

Ὅσα δὲ διὰ τῆς ει διφθόγγου παρ' ἡμῖν λέγεται, αὐτοὶ διὰ μόνου τοῦ ε πολυπλασιαζομένου προφέρονται· ποιοῦσι δὲ ἐκ τοῦ μόνου δύο σύμφωνα. χεῖρες, χέρρες· ἱμείρων, ἱμέρρων· ὠτειλάς, ὀτελλάς· εἵματα, ἔμματα· ἡμῖν, ἄμμιν· ὑμᾶς, ὔμμες· κτεῖναι, κτένναι· ἄπειρον, ἄπερρον.

Καὶ ἔτι τὴν ει δίφθογγον πολλάκις εἰς τὴν οι ποιοῦσιν· ὄνειρον, ὄνοιρον· τὸν δὲ οἶνον Ϝοῖνον.

Ἔθος δὲ ἐστὶν αὐτοῖς τῶν φωνηέντων προτιθέναι τὸ δίγαμμα. λέγουσι δὲ τὰ πλεῖστα διπλασιάζοντες· οἵτινες, ὅττινες· σελήνη, σελλάνα· πρόσωπα, προσώππατα· κατέπεσον, κάππεσον· ὁπόθεν, ὁππόθεν· κατὰ δέ, κὰδ δέ· ὅτι, ὅττι.

Τὰ δὲ ἀρχόμενα παρ' ἡμῖν ἀπὸ τοῦ ρ, αὐτοὶ προστιθέασι τὸ β, ἵνα ψιλὸν γένηται· ῥόδα, βρόδα· ῥαδάμανθυς, βραδάμανθυς· ῥυτῆρες, βρυτῆρες.

Ἰδίως δὲ οὗτοι ὅσα παρ' ἡμῖν δασύνεται ἢ ὀξύνεται, ψιλῶς λέγουσι καὶ βαρυτόνως· ὅσιος, οὗτος, ὅρω, ἕρμος.

Τηροῦσι δὲ καὶ τὴν ψιλότητα ἐν ταῖς συναλοιφαῖς· καθήκει, κατήκει· ἀφῆκεν, ἀπῆκεν· ἀφείλκυσεν, ἀπείλκυσεν.

Βαρυτονοῦσι δὲ οὐ μόνον τὰ ὀνόματα, ἀλλὰ καὶ τὰ ἄρθρα, ὅταν ὀνομάτων τάξιν ἐπέχῃ· ὁ σός, ὄσος· ποσόν, πόσον· ἡ σή, ἤσα· τῆς σῆς, τήσης.

Ὅταν δὲ ἀντωνυμικῶς ἐκφέρωσι, περισπῶσιν· ἐμῶν.

Περισπῶσι δὲ ὡς ἐπίπαν τὰ μονοσύλλαβα, ἢ εἰς ωξ λήγοντα, ῥώξ, πρώξ, δρώξ· ἢ εἰς ους, ῥοῦς, θροῦς, βοῦς, νοῦς, χῶν, ζῶς.

Τὰ δὲ δισύλλαβα ὀξυτόνως παρ' ἡμῖν λεγόμενα, αὐτοὶ βαρυτονοῦσι· σόφος, κάλος, λεῦκος, ὄξυς, κόπις· θύεις, ἄκις, ἄπις, βρῶμος· βράχυς, θῦμος, σκλῆρος, χῶλος.

Ἔθος δὲ ἔχουσι καὶ τὰ προσηγορικὰ βαρύνειν· εἰρήνη, ὥρα, ἡμέρα· καὶ τὰ κύρια, Ἀφροδίτα, Ἥρα, Ἑλένα.

Ὅσα δὲ ἡμεῖς εἰς ις θηλυκὰ διὰ τοῦ δ κλίνομεν· ἀρτέμιδος, θέτιδος, μήνιδος, αὐτοὶ χωρὶς τοῦ δ λέγουσιν· ἀρτέμιος, θέτιος, μήνιος. τῶν δὲ εἰς ης ὀνομάτων, ὧν ἡ κλητικὴ εἰς ες, δίχα τοῦ σ λέγουσι· Σώκρατη, Ἀριστόφανη, Δημόσθενη.

Καὶ τῶν γενικῶν τὸ σ ἀφαιροῦσι· Σωκράτου, Διομήδου, Σοφοκλέου, λέγοντες.

Ἀντὶ δὲ αἰτιατικῆς δοτικὴν παραλαμβάνουσιν ἐν τοῖς παθητικοῖς· τοῖς θεοῖς, ἀντὶ τοῦ τοὺς θεούς· τοῖς ἀνθρώποις, ἀντὶ τοῦ τοὺς ἀνθρώπους. τοῦτο δὲ ποιοῦσι διὰ τὸ χωρίζειν αὐτοὺς τῷ ι ἀντὶ τοῦ υ.

Τὴν δὲ αἰτιατικὴν διὰ τοῦ ως· τῶς ἵππως, ἀντὶ τοὺς ἵππους, ὅ, τι καὶ Δωριέων.

Τὴν δὲ δοτικὴν τῶν πληθυντικῶν σὺν τῷ ι ποιοῦσι· τοῖσι θεοῖσι, σοφοῖσι· ὁμοίως τοῖς Δωριεῦσι.

Τὰ δὲ ἀπαρέμφατα ῥήματα ποιοῦσιν ἀπὸ τῶν εἰς ων ληγόντων μετοχῶν τὰ καταλήγοντα εἰς ειν, αὐτοὶ εἰς εις μεταβάλλουσι· νοῶν, νοεῖν, νόεις· φρονῶν, φρονεῖν, φρόνεις· καλῶν, καλεῖν, κάλεις.

Ὅταν δὲ ἀπαρέμφατα παρ' ἡμῖν λήγει εἰς αν, αὐτοὶ εἰς αις μεταβάλλουσι· γελᾶν, γέλαις· πεινᾶν, πείναις.

Τὰ δὲ εἰς ουν καταλήγοντα ἀπαρέμφατα, αὐτοὶ διὰ τῆς οις ἐκφέρονται· ὀρθοῦν, ὄρθοις· γυψοῦν, γύψοις· χρυσοῦν, χρύσοις. ταῦτα δὲ πάντα βαρυτόνως προφέρονται.

Τάσσουσι δὲ καὶ τὸ η, ἀντὶ τῆς ει ἐπὶ τῶν ἀπαρεμφάτων· φιλεῖν, φίλην· καλεῖν, κάλην· φρονεῖν, φρόνην.

Τὰ δὲ εἰς ω καταλήγοντα παρ' ἡμῖν ῥήματα, ἀντὶ ὁριστικῶν, εὐκτικὰ ποιοῦσιν· οἷον νοῶ, νόημι· φιλῶ, φίλημι.

Ὅσαι δὲ μετοχαὶ ὀξύτονοι εἰς ως καταλήγουσι, διὰ τοῦ ν παρ' ἐκείνοις λέγονται· εἰρηκώς, εἰρήκων· νενοηκώς, νενοήκων.

Φυλάττουσι δὲ καὶ τὰς ἀπὸ τούτων κλίσεις ἀναλόγως τῇ προθέσει. λέγεται δὲ παρ' αὐτοῖς τὸ χρυσίον, χρύσιον· τὸ δὲ ταυρῷ, ταύρῳ· ὁ δὲ πούς, πέζα· ὁ παῖς, πάϊς· τὸν ἱδρῶτα, ἴδρων· τὸν γέλωτα, γέλων· ὁ πταρμός, πτόρμος· τὸ ἐπαινῶ, αἴνημι· τὸ χείρονα, χέρρονα· τὸ δάπεδον, ζάπεδον· τὸ ἔστρωται, ἐστρόται· τὸ αἰθήρ, δρίκων· ὁ δὲ θήρ, δράκων.

Τὰ ἱμάτια, ἔμματα· ἡ μία, ἴα· ἡ ψῆφος, ψάφαξ· ὁ ἰσχνὸς καὶ ἀσθενής, ἀκέρα· τὸ ἐγώ, ἐγών· τὸ σύ, τύ· τὸ ἡμῖν, ἄμμιν· τὸ ὑμεῖς, ἄμμες· τὸ ἐνθάδε, τίδε· τὸ ἄλλοσε, ἑτέρωσε. κέχρηνται δὲ αὐτῇ Ἀλκαῖος καὶ Σαπφώ.

ΕΥΣΤΑΘΙΟΥ ΠΕΡΙ ΤΩΝ ΠΑΡΑ ΟΜΗΡΩ ΔΙΑΛΕΚΤΩΝ. ΔΩΡΙΣ.

Λέξει ποικίλῃ κεχρημένος ὅμηρος τῇ ἀπὸ πάσης διαλέκτου τὴν ἑπταγλωττίδα χαρακτῆρα συγκατέμιξεν. ἐξ ὧν δῆλός ἐστιν ἀπελθὼν πᾶσαν μὲν ἑλλάδα καὶ πᾶν ἔθνος. καὶ δωριέων μὲν τῇ συνηθείᾳ τῆς βραχυλογίας ἐλλείψει κέχρηται τὸ δῶμα λέγων δῶ. ἀλλὰ τὲ ἐν δῶ ἀφνειὸν πέλεται. καὶ τὸ ὅτε δ', ὅ μοι αἶψ' ἐξείκτατο κῆρ, ἀδ. καὶ τὸ ὀπίσω, ἄψ, μεταβάλλει τὸ μὲν ο, εἰς α. τὸ δὲ π, καὶ σ, εἰς τὸ συγγενὲς αὐτοῖς φημὶ τὸ ψ. καὶ τὸ ἄλλοτε, ἄλλο. ἤδη γάρ με καὶ ἄλλοτε σὴ ἐπίνυσσεν ἐφετμή. καὶ τὰ τοιαῦτα.

Ὁμοίως δὲ καὶ τὰ μέσα συντέμνων λέγει τὸν ὁμότειχος καὶ ὁμοιτεῖς, ὁ τεῖχος ἐπεπλάσ. καὶ τὸν ὁμοπάτριον ὅπατρον. καὶ τὸ φέρειν, φέρεν. καὶ τὸ τιμαῶ, τίω. τῶν αὐτῶν δ' ἐστι καὶ τὸ ὑποβιβάζειν τὰ στοιχεῖα ὡς ἐν τῷ κάρτιστοι, ἀντὶ τοῦ κράτιστοι.

Αἰολίς.

Αἰολέων δὲ χρῆται ἐν τοῖς συνθέτοις τῇ συγκοπῇ. καὶ διαδραθέτην λέγων, ἀντὶ τοῦ καταδραθεῖν. καὶ ὑββάλλειν ἀντὶ τοῦ ὑποβάλλειν. καὶ τὸ τοῦ παρατατικοῦ χρόνου τὰ τρίτα προσώπα λέγονται παρὰ τοῖς ἄλλοις εἰς τὸ ε, διὰ τοῦ η παρὰ τοῖς αἰολεῦσιν ἐκφέρεται, ὡς ἐφίλη, ἐνόη. οὕτω καὶ ὅμηρος ἐποίησε. δῖδη μόχθοι, λέγουσιν ἀντὶ τοῦ ἔδει δ' ἐστιν ἰδέσμεν. καὶ τὸν μὴ, ὅρ' οὔτ' ἀνέμων διαήμενος ὑγρὸν ἀέντων.

Καὶ τὸ ἐναλλάσσειν ἐνίοτε τὸ σ εἰς τὸ δ, ὡς ἐν τῷ λέγειν ὀδμὴ. καὶ ἴδμεν.

Καὶ τὸ πλεονάζειν ἐν τισιν ὡς τὸ ἔκκελος, ἀντὶ τοῦ ἴκελος. καὶ αὐτὰρ, ἀντὶ τοῦ ἀτὰρ, καὶ τὸ κεκληγότες, ἀντὶ τοῦ κεκληγότες.

Καὶ τὸ προστιθέναι τῷ δευτέρῳ προσώπῳ τῶν ῥημάτων τὸ θα, ὡς τὸ φῆς, φῆσθα. καὶ εἴπῃς εἴπῃσθα.

Τὸν δὲ διπλασιασμὸν τῶν συμφώνων οἱ μὲν δωριεῦσιν, οἱ δὲ αἰολεῦσι προσνέμουσιν, δὴ ἔλλαβε πορφύρεος θάνατος καὶ ὁ ππότερος τάδε ἔργα.

Ἰάς.

Ἰώνων δὲ ἴδιον ἔχει, τὸ ἀφαιρέσει χρῆσθαι ἐν τοῖς παρῳχηκόσι χρόνοις τῶν ῥημάτων, ὡς τὸ βῆ καὶ τὸ δῶκεν. ἔθος γὰρ ἔχουσιν οὗτοι τῶν παρῳχημένων χρόνων ἀπὸ τῶν αὐτῶν στοιχείων ἄρχεσθαι, ἀφ' ὧν ἐστι καὶ ὁ ἐνεστώς.

Καὶ τὸ ὑφαιρεῖν τὸ ε ἐν τῷ ἱερὸς, ἱρὸς.

Καὶ τὸ προστιθέναι τοῖς τρίτοις προσώποις τῶν ὑποτακτικῶν τὸ σι. οἷον τὸ ἔλθῃσι, καὶ τὸ λάβῃσι, καὶ λέγῃσι. καὶ ταῖς δοτικαῖς. θήρῃσι, καὶ ὕλῃσι.

Καὶ τὸ λέγειν οὔνομα καὶ νοῦσον, τοῦ μ προσθεῖν.

Καὶ κενὸν καὶ μέλαν, ἀντὶ τοῦ κενὸν καὶ μέλαν.

Καὶ τὸ μεταβάλλειν τὸ α, ἐπειδὰν ἐκτείνηται εἰς τὸ η. ὡς τὸ, ἥρη τ' ἀργείη καὶ ἀθηναίη ἀλαλκομενηΐς.

Ἔστι δ' ὅτε καὶ ἐκ τοῦ ἐναντίου, τὸ η εἰς τὸ α, ὡς τὸ λελασμένος ἀντὶ τοῦ λελησμένος.

Καὶ τὸ διαιρεῖν τὰ περισπώμενα ῥήματα φρονέων, ἐνοέων. καὶ τὰς γενικὰς τὰς εἰς ους ληγούσας ὡς τὸ Διομήδεος.

Καὶ τῶν θηλυκῶν τὰς γενικὰς τὰς εἰς ων ληγούσας. ὡς τὸ πυλῶν νυμφῶν, πυλέων νυμφέων.

Καὶ τῶν οὐδετέρων τὰς πληθυντικὰς εὐθείας τὰς εἰς τὸ η ληγούσας, ὡς τὰ στήθη, στήθεα, βέλη, βέλεα.

Καὶ τὰς γενικὰς αὐτῶν ὁμοίως. ἰδίως δὲ λέγουσι καὶ τὸ τετράφαται, καὶ τὰ τοιαῦτα.

Μάλιστα δὲ τῇ ἀτθίδι διαλέκτῳ κατακέχρηται. καὶ γὰρ ἐπίμικτος ἦν. καὶ ἐπιλέγεται παρ' αὐτοῖς ἀττικοῖς λεὼς ὁ λαός. καὶ τὰ ταύτην τὴν συνήθειαν ἐστι παρ' αὐτῷ, ὁ πτόλεως καὶ τὸ χρέως. ἔστι δὲ αὐτοῖς συνήθες καὶ τὸ συναλοιφεῖν ἐνίοτε. καὶ ἀντὶ δύο ποιεῖν μίαν συλλαβὴν, τὸ ἔπος, τοὔπος. καὶ τὸ ἱμάτιον, θοιμάτιον. οἷς ἐστιν ὅμοιον. δῶες δὲ προύκυψαν ἀολλέες, καὶ πεδία λωτεῦντα ἀντὶ τοῦ λωτεύοντα. καὶ τὸ ὑφαιρεῖν τὸ η τῶν τοιούτων εὐκτικῶν. δοκοίης, δοκοῖς. τιμῴης, τιμῷς, ἔστιν ἀττικὸν, ᾧ ἀκολούθως εἴρηται. ἄλλοις δὲ διακεῖσθαι τάχιστα.

Ὁμοίως δὲ καὶ τοῦτο ἀττικὸν, οἱ πλέονες κακίους, παῦροι δέ τε πατρὸς ἀρείους. ὃ λέγομεν κακίονες, καὶ ἀρείονες.

Καὶ τὸ, τὰς αἰτιατικὰς τῶν τοιούτων μὴ διαιρεῖν. τὸν βοῦς. τὸν ἰχθῦς. βοῦς περιταμνομένους. καὶ ἰχθῦς ὄρνιθάς τε.

Κἀκεῖνο δὲ εἴρηται ἀττικῶς. οὐδέ τί μιν δίνει ῥύγνυσι ῥέοντες ὡς ζεύγνυσι καὶ ὄμνυσι.

Καὶ τὸ ἐξαιρεῖν τὰ βραχέα τῶν τοιούτων, ἀττικόν. λούεται, λοῦται. δέομαι, δεῦμαι. ὥσπερ οὖν καὶ τὸ λῦεν ἀντὶ τοῦ ἔλυεν.

Τῶν αὐτῶν ἐστι καὶ τὸ ἑώρων καὶ ἑωνησάμην ἐκ περισσοῦ προστιθέντων τὸ ε.

Ὅθεν ἐστὶ καὶ τὸ ἑῶν. χρέω. καὶ τὸ συναιρεῖν τὸ ι ἐπὶ τῶν τοιούτων. ὥσπερ νηρῆδες, οὕτω καὶ, τὸ σπεῖος δὲ μάλιστ' ἐθέλεσκεν.

Καὶ ἐπὶ τῆς εἰς ι καθαρὸν ληγούσης δοτικῆς παρατελευτῶντος τοῦ α. κέραϊ, κέρᾳ. γήραϊ, γήρᾳ. σέλαϊ, σέλᾳ.

Ἔτι καὶ τοῦτο ἀττικὸν τὸ λέγειν. ἔστων ἀντὶ τοῦ ἔστωσαν. καὶ ἐπέσθων, ἀντὶ τοῦ ἐπέσθωσαν.

Ἔστι δὲ καὶ ἡ τῶν δυϊκῶν χρῆσις τῆς συνηθείας. καὶ ὅμηρος χρῆται συνεχῶς. καὶ τὸ, τοῖς θηλυκοῖς ἄρθρα ἀρσενικὰ ἢ μετοχὰς ἐπιθεῖναι συντάσσων. ὡς τὸ, τὼ χεῖρε. τὼ γυναῖκε. καὶ παρὰ πλάτωνι δὲ ἄγονται καὶ φέρονται ἡ σοφὸς γυνὴ καὶ ἡ δίκαιος. οὕτως οὖν καὶ ὅμηρος ἐπὶ ἥρας καὶ ἀθηνᾶς ἔφη. οὐκ ἂν

ὑφ' ἡμετέρων ὀχέων πληγεῖσα κεραυνῷ. καὶ ἤτοι ἀθηναίη ἀκέων ἦν, καὶ κλυτὸς ἱπποδάμεια.

Καὶ περὶ τὴν σύνταξιν πολλὰ ἰδιώματα ἔχουσαν τὴν διάλεκτον ὅταν εἴπῃ ὁ ποιητής. ἀλλ' ἄγ' ὀΐστευσον Μενελάου κυδαλίμοιο. αἰτιατικὴν δείκνυσι συνήθειαν. ὅταν δὲ εἴπῃ δέξατό οἱ. καὶ θέμιστι δὲ καλλιπαρῄῳ δέκτο δέπας, ἐν τούτοις γνωρίζει ὅπως τὰς ἁπάντων φωνὰς ἀθροίζων ποικίλον ἀπεργάζεται τὸν λόγον. καὶ χρῆται ποτὲ μὲν ταῖς ξέναις. ὡς πεποίηνται αἱ προειρημέναι. ποτὲ δὲ ταῖς ἀρχαίαις, ὡς ὅταν λέγῃ ἄορ. καὶ σάκος, ποτὲ δὲ ταῖς κοιναῖς, καὶ συνήθεσιν. ὡς ὅταν λέγῃ ξίφος καὶ ἀσπίδα.

Κοινή.

Καὶ θαυμάσειέ τις ὅτι καὶ κοιναὶ λέξεις παρ' αὐτῷ σώζουσι τὸ σεμνὸν τοῦ λόγου. τοιοῦτον γὰρ τὸ ἵππους τε ξανθὰς ἑκατὸν καὶ πεντήκοντα.

Ἐπεὶ δὲ ὁ ἐγκατάσκευος λόγος φιλεῖ τὴν τῆς συνήθους ἐξαλλαγὴν ὑφ' ἧς ἐναργέστερος ἢ σεμνότερος ἢ πάντως τερπνότερος γίνεται.

Καὶ ἡ μὲν τῆς λέξεως ἐκτροπὴ, καλεῖται τρόπος.

Ἡ δὲ τῆς συνθέσεως, σχῆμα. καὶ ἔστι τὰ εἴδη τούτων ἐν τῇ τεχνολογίᾳ, ἀλλὰ γεγραμμένα θεασώμεθα τί τούτων ὁμήρῳ παραλέλειπται. ἔτι ἕτερον ὑπὸ τῶν μετ' αὐτὸν εὕρηται, ὃ ἐκεῖνος οὐκ εἶπε πρῶτος.

ΠΕΡΙ ΔΙΑΛΕΚΤΩΝ ΤΩΝ ΠΑΡΑ ΚΟΡΙΝΘΟΥ ΠΑΡΕΚΒΛΗΘΕΙΣΩΝ.

ἰ Δοῦσι καὶ τὰς διαλέκτους ἐγχειρίζω νέων μοι πάντων φιλολογώτατε. περὶ ὧν ὅ, τι φιλοπόνως ἰωάννης ἐπόνησε. καὶ τρύφων ὁ γραμματικὸς. καὶ ἄλλοι πολλοὶ οἷς ἱκανὴ περὶ τὰ βιβλία διατριβὴ, καὶ ἄσκησις γέγονεν. οὔπω δέ τις μέχρι καὶ τήμερον τὸ πᾶν ἱκανῶς τῶν διαλέκτων ἐγνώρισε. καὶ μὴ νομίσῃς ἡμᾶς ἐκ τοῦ λέγειν ταῦτα οἴεσθαί τι μέγα περὶ αὐτῶν. ἡ γὰρ γλῶσσα κατὰ λυσίαν τὸν ῥήτορα νοῦν οὔτε πολὺν, οὔτε μικρὸν ἔχει. ὁ δὲ νοῦς ᾧ μὲν πολὺ, πολύς. ᾧ δὲ μικρὸν, μικρός. οὐκοῦν περιαυτολογοῦντες τὴν ἀνδρῶν περὶ τοῦτο τὸ μέρος κατηγορήσομεν. ἀλλὰ φίλων ὄντων προτιμῶντες αὐτῶν τὴν ἀλήθειαν, ὥσπερ καὶ πλάτων ὁ φιλοσοφώτατος ἔφησε, αὐτοὶ τοίνυν ἀττικῆς μὲν φράσεως κανόνα τὸν κωμικὸν ἀριστοφάνην προθέμενοι καὶ Θουκυδίδην τὸν συγγραφέα καὶ ῥήτορα. ἰάδος δὲ τὸν Ἱπποκράτην τὸν Ἴωνα καὶ ἁλικαρνασσέα Ἡρόδοτον. δωρίδος δὲ τὸν ταραντῖνον Ἀρχύταν, καὶ Θεόκριτον τὸν τὰ βουκολικὰ συγγραψάμενον. καὶ τῆς αἰολίδος Ἀλκαῖον. ἴσως οὖν περὶ τῶν διαλέκτων ἱκανῶς διαλάβοιμεν. εἰ δέ τι καὶ ἡμῖν κατὰ λήθην παραλειφθήσεται οὐ τῆς ἴσης ἐστὶ καταγνώσεως ἄξιον παρὰ τοῖς εὐγνώμοσι. τοῖς μὲν γὰρ τὰ πλεῖω παρείθησαν. ἡμῖν δὲ ὀλίγα τυχὸν οὐχ εἰρήσεται.

Περὶ διαλέκτων.

Διάλεκτός ἐστιν ἰδίωμα γλώσσης. ἢ διάλεκτός ἐστι λέξις ἴδιον χαρακτῆρα τόπου ἐμφαίνουσα.

Ἰὰς ἐκλήθη ἀπὸ ἴωνος υἱοῦ τοῦ ἀπόλλωνος, καὶ κρεούσης τῆς ἐρεχθέως θυγατρὸς ᾗ ἔγραψεν ὅμηρος.

Ἀτθὶς δὲ ἀπὸ ἀτθίδος τῆς κραναοῦ θυγατρὸς, ᾗ ἔγραψεν ἀριστοφάνης.

Δωρὶς ἀπὸ δώρου τοῦ ἕλληνος, ᾗ ἔγραψε θεόκριτος.

Αἰολὶς ἀπὸ αἰόλου τοῦ ἕλληνος. ᾗ ἔγραψεν Ἀλκαῖος.

Κοινὴ δὲ, ᾗ πάντες χρώμεθα, ἀλλὰ καὶ πίνδαρος ταύτῃ ἐχρήσατο.

Περὶ ἀτθίδος.

Ἆρ' οὖν ληρεῖς, ἀττικὴ ἡ φράσις καὶ τὸ σχῆμα ὡς τὸ μανίαν μαίνῃ. ἔστι γὰρ τῆς ἀττικῆς ἰδίωμα φράσεως τὸ εἰπόντα πρᾶγμα ἐπαγαγεῖν ῥῆμα τὸ ἀπὸ τοῦ πράγματος παραγόμενον, ὡς τὸ ὕβριν ὑβρίζεις, καὶ φυγὴν φεύγεις.

Χρῶνται τοῖς προστακτικοῖς οἱ ἀττικοὶ ἀντὶ ὑποτακτικῶν ἀπαγορευτικῶν, καὶ τοῖς προστακτικοῖς ἀντὶ ὁριστικῶν. καὶ ἐκείνου μὲν τὸ ἀριστοφάνους ἐν θεσμοφοριαζούσαις παράδειγμα, μὴ ψεῦσον ὦ ζεῦ τῆς ἐπιούσης ἐλπίδος. τοῦ δευτέρου δὲ μένανδρος. οἶσθ' ὅτι ποίησον. ἀντὶ τοῦ ποιήσεις. ἀλλὰ καὶ εὐριπίδης ἐν τῷ πολυΐδου δράματι. οἶσθ' οὖν ὃ δράσον. ἀντὶ τοῦ δράσεις εἴρηκε.

Τροπαῖον παρὰ θουκυδίδῃ προπερισπωμένως παρείληπται. καὶ παρ' ἀριστοφάνει ἐν θεσμοφοριαζούσαις. ὦ γυναῖκες οὐκ ἀρύξετ' οὐ πολλὴν βοὴν στήσετε καὶ τροπαῖον. καὶ εἴρηται κατ' ἀναλογίαν ἐστὶ μᾶλλον παρὰ σφίσιν οὕτω προφέρεσθαι. ὡς ἀπὸ τοῦ τεῖχος τὸ τειχαῖον. καὶ ἀπὸ τοῦ οὖρα τὸ οὐραῖον. οὕτω καὶ ἀπὸ τοῦ τροπὴ τροπαῖον.

Καὶ τὸ ὅμοιος προπερισπωμένως ἐκφέρουσιν ὡς καὶ παρ' ὁμήρῳ. ὡς αἰεὶ τὸν ὁμοῖον ἄγει θεὸς ἐς τὸν ὁμοῖον. καὶ ἔστιν ἀνάλογον. τὰ γὰρ διὰ τοῦ οιος ὑπὲρ δύο συλλαβὰς μὴ ὄντα προσηγορικὰ ἅπαντα προπερισπᾶται. γελοῖος. ἀλλοῖος. ἑταιροῖος. παντοῖος. οὕτω καὶ τὸ ὁμοῖος. τὸ μέντοι ὑπὲρ δύο συλλαβὰς εἴρηται

διὰ

διὰ τὸ γλοιὸς, φλοιός. προστίθεται δὲ μὴ προσηγορικὰ, διὰ τὸ κολοιὸς ὄνομα ὀρνέου. τὸ δὲ ὅμοιος προπαροξύνεται κατὰ κοινὴν συνήθειαν.

Τ ρέπει ἡ ἀτθὶς τὸ σ τῇ μὲν εἰς τ, τῇ δὲ εἰς ξ. τὴν γὰρ θάλασσαν θάλατταν λέγει. καὶ τὸ σεῦτλον τεῦτλον. καὶ τὴν συμφορὰν ξυμφοράν. τρέπει δὲ τὸ σ εἰς ξ ἐνθάδε τῶν ἀπὸ τῆς συν προθέσεως ἀρχομένων καὶ συντεθειμένων λέξεων μόνον. καὶ αὐτὴ δὲ ἡ συν καθ' ἑαυτὴν εἰς ξ τρέπεται. ὡς τὸ ἀρτέμιδι ξὺν ταῦτ' ἄρα ἀττικὸν ἀντὶ τοῦ διὰ ταῦτα. λείπουσι γὰρ αἱ προθέσεις παρὰ τοῖς ἀττικοῖς ὡς καὶ παρ' ὁμήρῳ. ὡς οἱ μὲν μάρναντο, δέμας πυρὸς αἰθομένοιο, ἀντὶ τοῦ κατὰ πῦρ ἐμάχοντο ἤγουν ὡς πῦρ ἐπινέμοντο ἅπαντα. καὶ παρ' ἀριστοφάνει, γνώμην ἐμήν. ἀντὶ τοῦ κατὰ γνώμην ἐμήν. καὶ Θουκυδίδης ἐν τῷ τρίτῳ τῆς συγγραφῆς. καὶ τὸν πλεῖστον ὅμιλον τῶν ψιλῶν εἶργον τὸ μὴ προεξιόντας τῶν ὅπλων τὰ ἐγγὺς τῆς πόλεως κακουργεῖν. ἀντὶ τοῦ διὰ τὸ μὴ κακουργεῖν. ἁπλῶς δὲ αἱ ἐλλείψεις τῶν ἀττικῶν εἰσι. οἷον καθ' ἑκάστην, λείπει τὴν ἡμέραν. καὶ ἐν βραχεῖ, λείπει γὰρ καιρῷ ἢ λόγῳ. καὶ τὸ ἐν ἀκαρεῖ δὲ τοιοῦτόν ἐστι. καὶ εἰ δ' ἄγε μὴν πείρησαι ἵνα γνώωσι καὶ οἵδε, λείπει γὰρ τὸ βούλει. εἰ βούλει γάρ φησι, πειράθητι. καὶ κόπτων ἀμφοτέρῃσι. λείπει ταῖς χερσί. καὶ παρ' ἀριστοφάνει. πόθεν βροτός με προσέβαλεν ὦ 'ναξ Ἡράκλεις. λείπει γὰρ τὸ φωνὴ ἢ ὀσμή.

Α ττικῶν δὲ καὶ τὸ ἀθεῖαν ἀντὶ γενικῆς λαμβάνεσθαι. ὡς παρ' ἀριστοφάνει ἐν λυσιστράτῃ. τηρουμένων δὲ τοὺς ἀπαντῶν ἐνθάδε βουλευσομένας, οὐ περὶ πράγματος φαύλου εὕδουσι, καὶ οὐχ ἥκουσιν. ἀντὶ τοῦ ἐνεθέντος. καὶ Θουκυδίδης ἐν τῷ τετάρτῳ. κυρωθὲν δὲ οὐδὲν ἐκ τῆς διαφορᾶς ὁπηνίκα χρὴ ὁρμᾶσθαι. νυκτός τ' ἐπιγενομένης, ἐχώρησαν ἐπ' οἴκου. ἀντὶ τοῦ κυρωθέντος.

Β λήχωνα διὰ τοῦ β, οὐ διὰ τοῦ γ, προφέρουσιν οἱ ἀττικοί. ἔχει δὲ δύναμιν αὕτη τοιαύτην. ἵσταται τοὺς ἀπὸ ὀπώρας τινὸς βαρυνομένους. εἰ γὰρ εἰς ὕδωρ βρέξαντες βλήχωνα πίνοιεν τοὺς πόνους τῶν καρδιῶν θεραπεύουσιν. ἵν' οὖν ἡ δριμύτης τῆς ὀπώρας ἀποσυφθῇ ὄπιον ἐλάμβανον βλήχωνος.

Ξ ὁ λαὸς, καὶ ναὸς, καὶ τὰ διὰ αὐτῶν, Μενέλαος, Πρωτεσίλαος, καὶ ἁπλῶς πάντα τὰ διὰ τοῦ αος διὰ τοῦ εως προφέρουσι. Μενέλεως, Πρωτεσίλεως, νεὼς, λεώς. κλίνουσι δὲ πάντα κατὰ ἀποβολὴν τοῦ ς, τοῦ Μενέλεω. τοῦ Νικόλεω.

Β λέπος λέγουσι τὸ βλέμμα. ὡς παρ' ἀριστοφάνει. ὡς ἔστι τοῦτο ἀττικὸν βλέπος.

Κ αὶ τοῦτο ἀττικὸν τὸ προσλαμβάνειν πολλάκις ἐν τῷ αὐτῷ κώλῳ τὸν ἄν σύνδεσμον ὡς ἔστιν εὑρεῖν παρὰ πλάτωνι, καὶ παρ' ἀριστοφάνει ὡς ἐν ὄρνισιν. οὐδὲ ἔλλας ἂν ἐξερημωθεῖς ἂν ἡμᾶς ἔλαθεν.

Α ττικῶν δὲ καὶ τὸ τὴν ἐν πρόθεσιν καὶ εἰς συντάττειν μετὰ γενικῆς. οἷον ἐν ᾅδου καὶ εἰς ᾅδου. καὶ οἶμαι ἐνταῦθα ἐλλιπεῖς εἶναι τὰς προθέσεις τῶν ὀνομάτων ὅπερ ἐστὶ καὶ τὸ ἐν ᾅδου. ἀττικῶν ἐστὶ καὶ τὸ ἀναπόδοτον ὡς Θουκυδίδης ἐν τῇ τρίτῃ τῆς συγγραφῆς κατ' ἀρχάς. καὶ εἰ μὲν συμβῇ ἡ πεῖρα· εἰ δὲ μὴ μιτυληναίοις εἰπεῖν ναῦς τε παραδοῦναι, καὶ τείχη καθελεῖν. μὴ πειθομένοις δὲ πολεμεῖν. καὶ ὅμηρος, ἀλλ' εἰ μὲν δώσουσι γέρας μεγάθυμοι ἀχαιοί. λείπει τὸ παύσομαι ἢ ἡσυχάσω. τὴν πρεσβείαν πρέσβευσιν. καὶ τὴν καταβολὴν καταβόησιν. καὶ τὴν ἀγάπην ἀγάπησιν. καὶ μάλιστα ὁ Θουκυδίδης. καὶ τοῦτο κενοπρεπῶς καθόλου, καὶ ἀττικὸν ὡς παρὰ Δημοσθένει. ὑμεῖς δὲ ὁ δῆμος καθῆσθε ἐκκεκλεισμένοι. καὶ ὅμηρος, ὡς φάσαν ἡ πληθύς.

Κ αὶ τὸ διαιρεῖν τὸ οὐδὲν ἀττικῶν ἐστιν. ὡς ὁ Θουκυδίδης ἐν τῇ δευτέρᾳ. ἔθνησκον δὲ, οἱ μὲν ἀμελείᾳ, οἱ δὲ καὶ πάνυ θεραπευόμενοι. ἕν τε οὐδὲ ἓν κατέστη ἴαμα ὡς εἰπεῖν, ὅτι χρὴ προσφέροντας ὠφελεῖν. ἀντὶ τοῦ οὐδέν.

Κ ενοπρεπῶς δὲ καὶ τοῦτο λεγέσθωσαν τὸ λέγειν εὐκτικὰ ἀντὶ ὁριστικῶν, ὅπερ ἐστὶν ἀττικόν. ὡς ὁ Θουκυδίδης τὰ σκάφη μὲν οὐχ εἷλκον ἀναδούμενοι τῶν νεῶν ἃς καταδύσειαν ἀντὶ τοῦ κατέδυσαν.

Κ αὶ τὸ χρῆσθαι τὸ οὐδὲν μᾶλλον ἀντὶ οὐ, τῆς ἀττικῆς διαλέκτου χαρακτήρ. αὐτίκα γοῦν ὁ συγγραφεὺς ἐν τῇ δευτέρᾳ, ἀλλ' αἵ τε ἐσβολαὶ εἰς τὴν ἀττικὴν πελοποννησίων οὐδὲν μᾶλλον τοὺς ἀθηναίους ἀπανίστασαν, ἀντὶ τοῦ οὐκ ἀπανίστασαν. ἔτι τὸ δένδρος λέγεται παρ' αὐτοῖς, ὡς ὁ Θουκυδίδης. καὶ πρῶτα μὲν προσεσταύρωσαν αὐτοὺς τοῖς δένδρεσιν. ἃ ἔκοψαν τοῦ μηδένα ἔτι ἐξιέναι. καὶ ὅμηρος. δένδρεω ἐφεζόμενοι. τούτου γὰρ ἡ εὐθεῖα τὸ δένδρος, καὶ κλίνεται τοῦ δένδρεος. ἡ δοτικὴ τῷ δένδρει, καὶ κατὰ μεταπλασμὸν, δενδρέῳ.

Κ αὶ ἀντὶ τῶν θηλυκῶν, ἀρσενικῶν ὀνομάτων κέχρηνται λέξεσι. καὶ ὅμηρος κλυτὸς ἱπποδάμεια. καὶ παρὰ εὐριπίδῃ ἐν ἑκάβῃ. τὸ δ' αὖ λίαν παρεῖλες ἀγγελθεῖσά μοι γενναῖος. ἀντὶ τοῦ γενναία.

Τ ὸ ὅσαι ἡμέραι ὁσημέραι λέγουσι. καὶ μόλις μόγις.

Α ντὶ δοτικῆς ἠγαπήκασι τὴν αἰτιατικὴν ὡς ὁ Θουκυδίδης. ἐν ὧν τισι τούτων ἀρέσκει τὴν

τὸ ἀνδραπιστὸν ἀντὶ τοῦ ἐκλαπῆναι. καὶ σοφοκλῆς· οὐ γάρ μ' ἀρέσκει γλῶσσά σου τεθηγμένη, ἀντὶ τοῦ οὐ γάρ μοι. καὶ ἄλλα εὕροις ἂν μυρία τῶν λεγομένων παραδείγματα καὶ παρ' Ὁμήρῳ καὶ πᾶσι τοῖς ἀττικισταῖς. τῆς νηός, ἐς εὐθεῖαν ἢ ναῦς, τὸ η εἰς ε τρέποντες, καὶ τὸ ο μικρὸν εἰς ω μέγα ἐκτείνοντες, νεὼς γράφουσί τε καὶ φθέγγονται.

Τῶν ἀπὸ τῶν εἰς ευς εὐθειῶν γινομένων διὰ τοῦ εος γενικῶν, τὸ ος ἐκτείνουσιν ἀττικοὶ πηλέως, καὶ οἰνέως λέγοντες, τὸ δὲ, ὦ ἀχιλλεῦ πηλέος υἱὲ μέγα φέρτατ' ἀχαιῶν, παρὰ τοῖς ποιηταῖς ἐκφερόμενον, τῆς κοινῆς ἐστι διαλέκτου.

Τὸ αὔειν καὶ αὔτειν Θουκυδίδης φησὶν ὡς Ἀριστοφάνης ἐν ὄρνισι, μάτην ἄρα τὴν ὁδὸν αὔτομεν, καὶ ἔτι ἄλλο αὔτειν μέλλει ἐπιβαλλόμενον. ἐν τῇ τρίτῃ τῆς συγγραφῆς.

Τὸ ι, ἔστιν ὅτε τῶν λέξεων προστιθέασιν, οἷον τουτοί, οὑτοσί, τουτονί, νυνί.

Καὶ τὸ εἶναι παρέλκειν παρ' αὐτοῖς ἐγνωρίσαμεν, ὡς καὶ παρὰ Θουκυδίδῃ ἐν τῇ ὀγδόῃ, καὶ τὸ μὲν ἐπ' ἐκείνοις εἶναι, καὶ ἐκεῖνοι καὶ βιαιότεροι ἀποθνήσκοιεν.

Αἱ ἐξαιρέσεις τοῦ ι τῶν ἀττικῶν εἰσιν ἴδιαι. ἑτάρων γάρ φασιν ἀντὶ ἑταίρων. εὕροι δ' ἄν τις ὅτι καὶ δωριέων, καὶ αἰολέων εἰσίν, καὶ ἀντὶ τοῦ κλαίειν κλάειν λέγουσι, καὶ τὸ ποιεῖν, ποεῖν, καὶ τὸ ποίημα πόημα.

Καὶ τὸ ὡς παρ' αὐτοῖς παρέλκειν νενόμισται, ὡς ἐν τῇ ὀγδόῃ πεποιηκὼς Θουκυδίδης εὑρίσκεται, καὶ γὰρ ὡς αὐτοῖς οὐδὲν ἔμελλε χρήσασθαι ἀντὶ τοῦ αὐτοῖς.

Ἴωνες πρόθεσιν ες λέγουσιν, ἐς χρύσαν, ἐς πατρίδα προφέροντες, καὶ ἀντὶ τῆς πρὸς, τῷ ὡς χρῶνται, ὡς τὸν θεὸν λέγοντες, καὶ ὡς τὸν διδάσκαλον, ἀντὶ τοῦ πρὸς τὸν θεὸν καὶ πρὸς τὸν διδάσκαλον.

Τὸ δὲ ἀντὶ τοῦ δὴ πολλάκις κέχρηνται, ὡς ἐν τῇ ὀγδόῃ κεφαλαιοῦντες, μάλιστα δὲ ὡς ἐξ ἣν αὐτοῖς τὸν ἀλκιβιάδην κατάγουσι, καὶ μὴ τὸν αὐτὸν τρόπον δημοκρατουμένοις βασιλέα τε ξύμμαχον ἔχειν, καὶ πελοποννησίων δὲ περιγίνεσθαι, ἐνταῦθα γὰρ τὸ μάλιστα δὲ, καὶ πελοποννησίων δὲ, ἀντὶ τοῦ δὴ παρελήφθησαν ἐν τῷ Θουκυδίδῃ.

Οὗτοι καὶ τῇ αἰτιατικῇ καὶ τῇ εὐθείᾳ χρῶνται ἀντὶ πλαγίας συντάξεως, ὡς ἐν τῇ ὀγδόῃ Θουκυδίδης, ἀλλήλοις γοῦν ἅπαντες οἱ τοῦ δήμου ὑπόπτως προσῄεσαν ὡς μετέχοντά τινα τῶν γιγνομένων. ἀντὶ τοῦ ὡς μετέχοντός τινος τῶν γιγνομένων, ἐν δὲ τῇ τρίτῃ τῇ εὐθείᾳ ἀντὶ γενικῆς οὕτως ἐχρήσατο, οἱ δὲ ἀθηναῖοι οὐ πολὺ ὕστερον καταπλεύσαντες ὡς ἑώρων ἀπήγγειλαν οἱ στρατηγοί, ἀντὶ τοῦ τῶν ἀθηναίων καταπλευσάντων. Ὅμηρος, ἐν δὲ δύο σκόπελοι ὁ μὲν οὐρανὸν ἀμφὶς ἱκάνει, καὶ ὁ φιλόστρατος ἐν τοῖς βίοις τῶν σοφιστῶν, ὁ πρεσβὺς ὁ φάειος τὸ θαῦμα τὸ ἑλληνικόν, πολλαὶ μὲν αὐτοῦ καὶ πολυειδεῖς αἱ μορφαί, δαίμονες δὲ μετέωροι ἡμέρας ἀντὶ τῷ πόλει τοῦ ἱεροῦ πειθοῦσιν, ἀντὶ τοῦ τῶν δὲ μετεώρων δαιμόνων.

Καὶ ἀντὶ τῶν μετοχῶν ἀττικοὶ τοῖς ῥήμασι κέχρηνται, καὶ ἀντὶ ῥημάτων ἐναλλὰξ μετοχαῖς, ὡς Θουκυδίδης, ὁ δὲ χρηματίσαιτο ἀφείς, ἀντὶ τοῦ ὁ δὲ ἀφῆκε χρηματισάμενος. καὶ τὸ ἡ παρέλκει ἐν τοῖς ἀττικοῖς. ὡς ἐν τῇ ὀγδόῃ Θουκυδίδου εὑρίσκεται, ὡς τοῦ ἰδίου πολέμου μείζονες, ἢ ἀπὸ τῶν πολεμίων οὐχ ἧσσον, ἀλλὰ πρὸς τῷ λιμένι ὄντος. τὸ ἀλλὰ ἀντὶ παρακελευσματικοῦ πολλάκις τιθέασιν, ὡς καὶ παρ' Ὁμήρῳ, ἀλλά γε μηκέτι ταῦτα λεγώμεθα.

Τὸ παραλαμβάνειν τὰς αἰτιατικὰς πτώσεις ἀντὶ γενικῶν, ἀττικῶν ἐστιν ἴδιον, οἷον μήτε σὺ τόνδ' ἀγαθός περ ἐὼν ἀποαίρεο κούρην ἀντὶ τοῦ ἀπὸ τούτου.

Καὶ ἐκφέρειν τὰς κλητικὰς ἀντὶ εὐθειῶν, νεφεληγερέτα Ζεύς, ἀντὶ τοῦ νεφεληγερέτης.

Τὸ λαμβάνειν τὰς δύο ἀποφάσεις ἀντὶ μιᾶς καταφάσεως, ἀττικῶν ἐστι, Θουκυδίδης ἐν τῇ τρίτῃ τῆς συγγραφῆς, ξύμμαχοι μέντοι ἐγενόμεθα οὐκ ἐπὶ καταδουλώσει τῶν ἑλλήνων, ἀντὶ τοῦ ἐλευθερίᾳ, εἰ γὰρ, καὶ μία ἐστὶν ἡ ἀπόφασις ἡ ου, ἀλλὰ ἡ καταδούλωσις τρόπον τινὰ ἀπόφασίς ἐστι, στέρησις τῆς ἐλευθερίας τυγχάνουσα, καὶ ἐναντιούμενον τῷ τῆς ἐλευθερίας ἀξιώματι, ὡς Ὅμηρος, ἐπεὶ οὔ μιν ἀφαυρότατος βάλ' ἀχαιῶν, ἀντὶ τοῦ ἀνδρεῖος.

Καὶ θηλυκῶς τι λέγειν εἰώθασιν, εἶτα ἐπάγειν οὐδέτερον οὐ πρὸς τὴν φωνὴν ἀποδιδόντες, ἀλλὰ πρὸς τὸ σημαινόμενον, ὡς Ὅμηρος, νεφέλη δέ μιν ἀμφιβέβηκε κυανέη, τὸ μὲν οὔποτε λήγει, ὡς πρὸς νέφος γὰρ ἀπήντησε. καὶ ὁ Θουκυδίδης. ἡ νόσος πρῶτον ἤρξατο γενέσθαι τοῖς ἀθηναίοις, λεγόμενον μὲν πρότερον πολλαχόσε ἐγκατασκῆψαι καὶ περὶ λῆμνον καὶ ἐν ἄλλοις χωρίοις, λεγόμενον γὰρ εἶπεν ἀπαντητικῶς πρὸς τὸ νόσημα.

Τῶν ἀπὸ τῶν εἰς ευς εὐθειῶν εἰς εις πληθυντικὰς διὰ τοῦ η γράφουσι, βασιλῆς, ἱππῆς, καὶ τρέπουσι τῆς ει διφθόγγου τὸ ε εἰς η ἐνίοτε καὶ τὸ ι προσγράφουσι, κλεῖδα κλῇδα, ποσειδάων ποσηΐδαον.

Καὶ τὴν ου ἀπόφασιν περιττὴν πολλάκις λαμβάνουσιν, ὡς Θουκυδίδης ἐν τῇ τρίτῃ τῆς συγγραφῆς, ὁ μὲν τὸ βούλημα καὶ μέγα

πόλιν

πόλιν ὅλην διαφθεῖραι, ἢ οὐ τοὺς αἰτίους, ἀντὶ τοῦ παρὰ τοὺς αἰτίους, καὶ Ὅμηρος, οὐ μὲν γάρ ἀπόλλωνα διὶ φίλον, καὶ μὴ νύτοι σὺ χραίσμῃ σκῆπτρον, κἀν τῇ συνηθείᾳ ἡ πολλάκις ἀποφάσεσι χρώμεθα, ὡς τὸ ἀπαγορεύουσι μὴ ποιεῖν, ἀντὶ τοῦ ἀπαγορεύουσι ποιεῖν. καὶ ὁ θεολόγος, καὶ δὴ οὐ προδώσομεν οὐδὲ καθυβρισόμεθα, οὐ μὰ τοὺς ὑπὲρ ἀρετῆς τοῦ ἀνδρὸς ἀγῶνας, καὶ τὰ παλαίσματα.

Κ αὶ ἡ πρὸς παρέλκειν τούτοις τιθέμεναι, ὡς ὁ θουκυδίδης, καὶ πρὸς αὐτὴν τὴν ἀθηναίων ἐγένετο, ἀντὶ τοῦ αὐτὴν τὴν ἀθηναίων. καὶ ὁ ἀφθόνιος. τοιαῦται γὰρ αἱ πᾶσαι πρὸς βίαν ἔχουσι κτώμεναι, ἀντὶ τοῦ βίαν.

Ρ ειτὸς δὲ καὶ ὁ καὶ σύνδεσμος παράσημον, καὶ τούτου μνείᾳ παραδείγματα ἔστιν εὑρεῖν, αὐτίκα ἐν τῷ τρίτῳ τῆς συγγραφῆς ἔστιν ἰδεῖν τούτῳ χρώμενον, φησὶ γὰρ εἰ δὲ φόβῳ πολλῷ καὶ περιβοησίαι, τά τε ἐν τῇ πόλει, καὶ τὸν ἀπόστολον παρεσκεύαζον τό τε ἅμα ἑξήκοντα νῆες.

Α ττικῶν καὶ τὰ κτητικὰ λαμβάνειν ἀντὶ πρωτοτύπων, ὡς τὸ, παρθενικὴ ἡ παρθένος, καὶ αὐτὰ τὰ πρωτότυπα ἀντὶ κτητικῶν, ὡς τὸ, γυναῖκα τε θήσατο μαζὸν, ἀντὶ τοῦ γυναικεῖον ἐθήλαζε μαζόν.

Κ αὶ τὸ τὰς αἰτιατικὰς παραλαμβάνειν ἀντὶ γενικῶν, ὡς Ἡσίοδος, ὅν τε διά, ἀντὶ τοῦ δι' οὗ, καὶ ὁ θεολόγος, ὃ θυμὸς ἔσωσε καταμόνου τοῦ ὄφεως, δι' ὃν ὕβρισεν, ἀντὶ τοῦ, δι' οὗ τινος ὕβρισεν.

Ε ἰώθασι καὶ ἐν ταῖς αὐξήσεσι, καὶ ἑτέρας αὐξήσεις ἐπεισάγειν, οἷον ἐβουλόμην, ἠβουλόμην. ἐδυνάμην, ἠδυνάμην. παρῴνηκα, πεπαρῴνηκα.

Τ ὰ συγκριτικὰ ἀντὶ ἁπλῶν παραλαμβάνουσιν, ὡς ὁ θουκυδίδης ἐν τῷ τρίτῳ τῆς συγγραφῆς, τοὺς γὰρ ἥκιστα μεθόνους ἐν τοῖς πολεμίοις καὶ ξυμμαχίαν τὴν πρὶν ἀπολιπόντας, οἱ δεξάμενοι καθ' ὅσον μὲν ὠφελοῦνται ἐν ἡδονῇ ἔχουσι, νομίζοντες δὲ εἶναι προδότας τῶν πρὸ τοῦ φίλων χείρους ἡγοῦνται, ἐνταῦθα γὰρ τὸ χείρους ἀντὶ τοῦ κακοὺς, καὶ ὅμηρος, ζεῦ πάτερ οὔτοι σεῖο θεῶν ὀλοώτερος ἄλλος. καὶ ὁ θεολόγος ἐν τῷ εἰς τὴν τοῦ χριστοῦ γέννησιν λόγῳ, καὶ ὡς περ ἐκ τῶν χρηστοτέρων ἦλθε τὰ λυπηρὰ οὕτω καὶ ἐκ τῶν λυπηρῶν ἐπανελθεῖν τὰ χρηστότερα, ἀπὸ γὰρ τῶν χρηστῶν ἦλθε τὰ λυπηρά. χρῶνται δὲ καὶ ὑπερθετικῷ ἀντὶ συγκριτικοῦ πολλάκις, ἀντὶ γὰρ τοῦ εἰπεῖν θηριωδέστερον πάντων θηριωδέστατον λέγουσι.

Τ ῷ σῦν ἀντὶ τοῦ σὺ χρῶνται, ὡς ὅταν λέγωσι, τοὔνειμα, τοὔγκλημα, τοὔμπαλιν.

Τ ὰς εὐθείας καὶ τὰς κλητικὰς ἐπίσης ἐκφέρουσιν, οἷον ὦ οὗτος αἴας δεύτερον σε προσφωνῶ.

Α ττικῶν καὶ τὸ λέγειν, ὧν ἔπαθεν ὀργὴν ἔχει ἀντὶ τοῦ ὑπὲρ ὧν ἔπαθεν, ἐξωθεν λαμβανομένης τῆς ὑπὲρ προθέσεως.

Α ττικῶς ἐκφέρεται διὰ τῆς ει διφθόγγου τῶν παθητικῶν τὰ δεύτερα πρόσωπα ὡς τὸ ζηλωτὸς ἔσει, ἀντὶ τοῦ ἔσῃ, καὶ τὸ λάβει ἀντὶ τοῦ λάβῃ.

Α ττικῶν ἔτι καὶ τὸ ἤλαυν ἀντὶ τοῦ ἤλαυνε, καὶ ἐτετύφειν ἀντὶ τοῦ ἐτετύφει, χρῶνται γὰρ ἐνίοτε ὑπερσυντελίκων τοῖς πρώτοις προσώποις ἀντὶ τρίτων.

Α ντὶ αἰτιατικῆς γενικὴν παραλαμβάνουσιν ὡς Ἀριστοφάνης, ἕως συνέτριβε τῆς κεφαλῆς ἀντὶ τοῦ τὴν κεφαλήν.

Κ αὶ τὸ ἐπὶ κεφαλὴν πεσεῖν κατὰ κάρα λέγουσιν ἀττικοὶ, οὐ διῃρημένως ἀλλ' ἐφ' ἕν, ὡς πίνδαρος, οἱ μὴ κατακάρα δεσμοῖσι δέδενται, ἀντὶ τοῦ ἐπὶ κεφαλήν.

Α ττικῶν δὲ καὶ τὰ πληθυντικὰ ἑνικῶς ἐκφέρειν, οἷον ἀντὶ τοῦ εἰπεῖν τοὺς λακεδαιμονίους λέγειν τὸν λακεδαιμόνιον, ὡς ὁ ῥήτωρ ἐν τοῖς φιλιππικοῖς, ἀλλὰ μὴν τόνγε παιόνα, ἀντὶ τοῦ τοὺς παίονας.

Α ττικῶν καὶ τὸ λέγειν βαδιστέα, ἀνυστέα, ἀντὶ τοῦ βαδιστέον καὶ ἀνυστέον.

Κ αὶ τὰ προστακτικὰ παρ' αὐτοῖς λείπει, ὡς παρ' ἀριστοφάνει, ὦ ζεῦ διόπτα καὶ κατόπτα πανταχῇ σκευάσασθαι μὲ τὸν ἀθλιώτατον λείπει γὰρ τὸ ποίησον.

Β όλιτον ἀττικοὶ λέγουσι χωρὶς τοῦ β. ὅπερ ἡμεῖς βόλβιτον λέγομεν ἤγουν τὴν κόπρον.

Α ττικὸν καὶ τὸ θέλει ἀντὶ τοῦ δύναται, ὡς ὁ πλάτων, τὰ χωρία οὐδέν μ' ἐθέλει διδάσκειν.

Κ αὶ τὸ ἀντὶ εὐθείας αἰτιατικὴν παραλαμβάνειν, ὡς Ἀριστοφάνης ἐν ὄρνισιν, ὡς τὸ δεινόν γε τὸν κήρυκα τὸν παρὰ βροτοὺς οἰχόμενον, εἰ μὴ δέ ποτε νοστήσει πάλιν, ἀντὶ τοῦ δεινόν γε εἰ μὴ νοστήσει πάλιν ὁ κήρυξ ὁ παρὰ βροτοὺς οἰχόμενος.

Τ ὴν κράμβην κοράμβην λέγουσιν, τοῦτο δὲ εἰκότως, φασὶ γὰρ ἐκ ταύτης τὰς κόρας ἀμβλυώσσεσθαι.

Α ττικῶν καὶ τὸ λέγειν τοῦ θράσους, τῆς ἀναιδείας ἀντὶ τοῦ ὢ τοῦ θράσους, φεῦ τῆς ἀναιδείας καὶ παρ' ἀριστοφάνει, ὦ ζεῦ τῆς λεπτότητος τῶν φρενῶν.

Κ αὶ τὸ χρῆσθαι ταῖς μετοχαῖς ἀντὶ ὀνομάτων, ὡς ἐν βατράχοις ἀριστοφάνης, εἴπου τι τῶν εἰωθότων ὦ δέσποτα, ἀντὶ τοῦ τῶν ἐθίμων, καὶ Ὅμηρος, τὸν δ' αὖ τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα, ἀντὶ τοῦ πινυτός.

Ἀττικῶν καὶ τὸ εἰπεῖν τοδὶ τουδὶ, εἶτα σχηματίζειν οὕτως, εἶτα τονδὶ ἀντὶ τοῦδι, καὶ Ἀριστοφάνης ἐν Ἀχαρνεῦσιν, ἀλλὰ ναὶ λέγε ἔσοι δοκεῖ τὸν Λακεδαιμόνιον αὐτὸν ὅτῳ φέρω σοῦ φίλον, ἤγουν τοδὶ τῶν Λακεδαιμονίων αὐτῶν.

Ἀττικῶν καὶ τὸ πλεῖν ἀντὶ τοῦ πλέον, καὶ τὸ κάτταιτος καὶ πώμαλα καὶ τὸ ἤδ᾽ ἔς.

Καὶ τὸ τιθέναι τὸ ἢ πλεοναστὸν, ὡς Ἀριστοφάνης ἐν Βατράχοις, ἢ χρήματα ταῖς τῶν ἀντιπάλων ναυσὶν παρέχειν τινὰ πείθει ἢ κατατιλᾷ τῶν Ἑκαταίων κυκλίοισι χοροῖσιν ὑπᾴδων, ἢ τοὺς μισθοὺς τῶν ποιητῶν ῥήτωρ ὢν εἶτ᾽ ἀποφάγει.

Καὶ τὸ ληρεῖς ἔχων καὶ τὸ παίζεις ἔχων Ἀττικόν.

Τὸν πυθμένα πυλθμένα λέγουσι, καὶ τὸ νίφειν λίφειν, καὶ τὴν σπογγίαν σπογγιάν.

Ἀττικῶν καὶ τὸ ἐκθλίβειν ἅμα καὶ κιρνᾶν, ὡς τὸ, οὐ γάρ μοὔστιν, ἀντὶ τοῦ οὐ γάρ μοί ἐστιν, ἐκθλίβει γὰρ τὸ ι, καὶ κιρνᾷ τὸ ο καὶ ε εἰς τὴν ου δίφθογγον, ὡς τὸ ἐχρύσοες ἐχρύσους, ὡσαύτως τὸ ποῦ ἐστι, ποῦστι λέγουσι.

Καὶ τὸ ἤνεγκα διχῶς λέγουσι, καὶ ἤνεγκον, καὶ τὸ ἐλλειπτικῶς ὀμνύειν, οἷον μὰ τὸν, μὴ προστιθέντες τὸν θεόν.

Καὶ τὸ προσλαμβάνειν δὲ ἔξωθεν τὸ ἐστι, καὶ Ὅμηρος, οἱ δ᾽ ἤδη τεθνᾶσι, καὶ ἐν Ἀΐδαο δόμοισι, λείπει γὰρ τὸ ἔσι.

Τὰς μυῤῥίνας μυρσίνας λέγουσι, καὶ τὸ συρίζειν, συρίττειν. καὶ τὴν ἐνδελέχειαν ἐντελέχειαν, καὶ κολόκυνται κολόκυνθαι.

Τὸ κναφεῖον γναφεῖον λέγουσι, καὶ τὴν κεφαλαργίαν κεφαλαλγίαν.

Ἀττικὸν καὶ ἀντὶ πλαγίας χρῆσθαι τῇ εὐθείᾳ ὡς Ἀριστοφάνης ἐν Βατράχοις, ἔστις πτερώσας Κλεόκριτον Κινησία, ἀντὶ τοῦ τινὸς πτερώσαντος.

Τὰ εἰς ως ἐπιῤῥήματα τῆς μεσότητος εἰς ον περατοῦσι, δέον λέγοντες καὶ πρέπον, ἀντὶ τοῦ δεόντως καὶ πρεπόντως.

Τὰς εἰς ες λεγούσας εὐθείας τῶν πληθυντικῶν συγκριτικῶν ὀνομάτων εἰς ους περατοῦσιν, οἷον μείζους, χείρους, καλλίους, ἀντὶ τοῦ μείζονες, καλλίονες. ἴδιον δὲ αὐτῶν καὶ τὰς εἰς α καθαρὸν ληγούσας αἰτιατικὰς ἀρσενικὰς τὰς ἀπὸ τῶν εἰς ευς εὐθειῶν γινομένας, διὰ τοῦ η προφέρεσθαι, Εὐρυσθέα, Εὐρυσθῆ, Τυδέα Τυδῆ. Ἀττικῶν δὲ καὶ ἀντὶ τοῦ εὐφυᾶ, ὑγιᾶ, εὐφυῆ καὶ ὑγιῆ λέγειν, ἀντὶ καὶ τοῦ Εὐβοέα Πειραιέα, Εὐβοᾶ, καὶ Πειραιᾶ λέγειν. φιλοῦσι δ᾽ ὡς τὰ πολλὰ καὶ τὰς συγκοπὰς, Ἀπόλλω τὸν Ἀπόλλωνα λέγοντες, καὶ ἀμείνω τὸν ἀμείνονα, καὶ κρείττω τὸν κρείττονα, καὶ τὰ ὅμοια.

Τῶν αὐτῶν δὲ καὶ τὸ εἰς Ἀθήνας Ἀθήναζε πορεύομαι λέγειν, καὶ ἐν Ἀθήναις Ἀθήνησι σοφιστεύω, καὶ τὸ ἐξ Ἀθηνῶν Ἀθήνηθεν ἔρχομαι, καὶ τὸ εἰς οἶκον οἴκαδε, ἐξ οἴκου οἴκοθεν, ἐν οἴκῳ οἴκοι.

Ταῖς συναλοιφαῖς κατὰ κόρον χρῶνται, τὸ γὰρ ἱμάτιον θοἰμάτιον λέγουσι, καὶ ὦναξ ὦ ἄναξ καὶ ὤνθρωπος ἀντὶ τοῦ ὦ ἄνθρωπος.

Τῷ σ ἀντὶ τοῦ ρ χρῶνται, τὸ θαῤῥαλέον, θαρσαλέον, καὶ ἄῤῥεν, ἄρσεν.

Τοῖς παθητικοῖς ἀντὶ ἐνεργητικοῖς χρῶνται, ἀντὶ τοῦ γράφω γράφομαι λέγοντες, καὶ ποιοῦμαι ἀντὶ τοῦ ποιῶ, καὶ ποιείσθω ἀντὶ τοῦ ποιείτω.

Καὶ ποιείσθων, καὶ νοείσθων, ἀντὶ τοῦ ποιείσθωσαν, καὶ νοείσθωσαν.

Τοὺς παρὰ τὸ ἵζω μέλλοντας ἐκβάλλοντες τὸ σ περισπῶσι. ὀνειδιῶ γὰρ λέγουσι, ἀντὶ τοῦ ὀνειδίσω, καὶ βαδιῶ, ἀντὶ τοῦ βαδίσω, καὶ τὰ παραπλήσια.

Ταῖς γενικαῖς τῶν πληθυντικῶν μετοχῶν ἀντὶ πληθυντικῶν τρίτων προσώπων προστακτικῶν ῥημάτων χρῶνται, οἷον ποιούντων καὶ λεγόντων, ἀντὶ τοῦ ποιείτωσαν καὶ λεγέτωσαν.

Τὰ εἰς ις προσηγορικὰ διὰ τοῦ ιος κλινόμενα διὰ τοῦ εως προφέρουσι, τρέποντες τὸ ο εἰς ω, καὶ τὰ παραλήγοντα τῶν φωνηέντων εἰς ε μεταβάλλοντες, οἷον ὄφις ὄφιος κοινῶς, καὶ ὄφεως ἀττικῶς.

Περὶ δωρίδος.

Οἱ δὲ Δωριεῖς τὸ ε καὶ ο εἰς τὴν ευ δίφθογγον κιρνῶσιν, ὡς παρὰ Θεοκρίτῳ, πηλέος πηλεῦς, ἰδομενέος ἰδομενεῦς, καὶ Ὅμηρος, ἰδομενεῦς κύσε χεῖρ᾽ ἐπὶ καρπῷ, ὅπερ καὶ ἰωνικόν.

Τὰ πρῶτα τῶν πληθυντικῶν, οἷον τύπτομεν καὶ ποιοῦμεν, τύπτομες καὶ ποιοῦμες λέγουσι.

Τῶν παρατατικῶν παθητικῶν ὁριστικῶν καὶ τῶν ἐνεστώτων τὰ πρῶτα πρόσωπα. οἷον τὸ ἐποιούμεθα καὶ ποιούμεθα, ἐποιούμεσθα καὶ ποιούμεσθα λέγουσι. καὶ Θεόκριτος, αἰ θεται τοὶ πιλόμεσθα, τὸ δ᾽ αὔριον οὐκ ἐσορῶμες, τοῦτό ἐστι καὶ ἰωνικόν.

Τὸ η εἰς α μακρὸν τρέπουσι καὶ τὴν σελήνην σελάναν λέγουσι καὶ τὸ ἥλιον ἅλιον.

Τὸ ποτὲ πόκα λέγουσι. ὡς Θεόκριτος, πῆ πόκ᾽ ἄρ᾽ ἦσθ᾽ ὅκα Δάφνις ἐτάκετο.

Αἱ ἐπαναδιπλώσεις τῶν δευτέρων ἀορίστων τῶν Δωριέων εἰσὶν, ὡς Θεόκριτος, τὰν γὰρ ἀοιδὰν, οὔτι πω εἰς Ἀΐδαν γε τὸν ἐκλελαθόντα φυλαξεῖς, ἀντὶ τοῦ λήθην ποιοῦντα.

Ἀντὶ

Α ντὶ γενικῆς τῆς ἑνικῆς τῆς εἰς ου ληγούσης ἀπὸ τῆς εἰς ος εὐθείας τῇ δοτικῇ ἀντ' αὐτῆς χρῶνται οἱ δωριεῖς, ὡς θεόκριτος, ἢ κατὰ πτιαῷ κηλὰ τὰ μῆλα, ἢ κατὰ τὠπίσω.

Τ ὸ κιρνᾶν τὸ ὁ ἄρθρον μεθ' ἑτέρου φωνήεντος ἤγουν τοῦ α ἢ τοῦ ε εἰς ω μέγα, καὶ τῶν ἰώνων καὶ τῶν δωριέων ἐστίν. ὡς θεόκριτος, θύρσις ὅδ' ὡξ αἴτνας καὶ θύρσιδος ἁδέα φωνά.

Τ ὸ πρόσαγε, καὶ πρόσαχε, πόταγε, καὶ πόταχε λέγουσι, θεόκριτος, τὸ ξυνὸν πόταγ' ὧδε.

Τ ὸ πρῶτος, πρᾶτος, καὶ τὸ πρώτιστον, πράτιστον, καὶ τὸ ἦλθον, ἦνθον, καὶ θεόκριτος, ἦνθον τοὶ βοῦται, τοὶ ποιμένες, ᾡπόλοι ἦνθον.

Τ ὸ οἱ ἄρθρον τῶν πληθυντικῶν ἔχον τὴν ἑξῆς λέξιν ἀπὸ φωνήεντος ἀρχομένην, διὰ τοῦ ω μεγάλου προφέρουσιν, ἐκθλίβοντες πρῶτον τὸ ι τοῦ οι ἄρθρου, οἷον ᾡπόλοι, ἀντὶ τοῦ οἱ αἰπόλοι, ἐκθλίβουσι γὰρ τὸ ι, καὶ κιρνῶσι τὸ ο καὶ α εἰς ω μέγα, προσγράφουσι δὲ καὶ τὸ ι τῆς αι διφθόγγου.

Η ν δὲ ὁ διπλασιασμὸς οὐ μόνον τῶν ἰώνων ὡς εὕρηται, ἀλλὰ καὶ τῶν δωριέων. ἔστι δὲ διπλασιασμὸς τοῦ αὐτοῦ συμφώνου προσθήκη κατὰ τὸ μέσον οὐκ ἀκολουθοῦντος συλλαβῆς, οἷον μέσον μέσσον, τόσον τόσσον.

Τ ὸ καὶ εἶπα κῆφα λέγουσι, τῆς ει διφθόγγου τὸ ι ἐκθλίβοντες, καὶ κιρνῶντες τὸ α καὶ ε εἰς η. τὸ δὲ ψιλὸν εἰς δασὺ τρέποντες, καὶ θεόκριτος, κῆφα δ' ἀέξει τάλαν, τί τὺ τάκεαι, ἁδέ τε κώρα πάσας ἀνὰ κράνας πάντ' ἄλσεα ποσσὶ φορεῖται.

Τ ὸ ἔγεντο λέγουσι, συγκόπτοντες τῆς νε συλλαβῆς τὸ ε, ὡς θεόκριτος, ὡπόλος ὅκκ' ἐσορῇ τὰς μηκάδας οἷα βατεῦνται, τάκεται ὀφθαλμὼς, ὅτι οὐ τράγος αὐτὸς ἔγεντο. ἀντὶ τοῦ ἐγένετο.

Ε πὶ τῆς δευτέρας συζυγίας τῶν περισπωμένων τὰ τρίτα πρόσωπα τῶν πληθυντικῶν ἐνεργητικῶν τὸ βοῶσι καὶ γελῶσι, βοῶντι καὶ γελῶντι λέγουσιν, ὁμοίως τῇ δοτικῇ τῶν ἑνικῶν τῶν ἰδίων μετοχῶν. πίνδαρος, ὑπὲρ τὸν ἀλαθῆ λόγον δεδαιδαλμένοι ψεύδεσι ἐξαπατῶντι μῦθοι.

Τ ὸ εἶναι ἔμμεναι λέγουσι, προτιθέντες τὸ με, καὶ ἀντὶ τοῦ ι ἀντιθέντες τὸ μ.

Τ ὴν ἀνὰ ἀντὶ τῆς σὺν λαμβάνουσι, καὶ ὅμηρος, χρυσέῳ ἀνὰ σκήπτρῳ, καὶ πίνδαρος χρυσέαις ἂν ἵπποις.

Κ αὶ τὴν σοῦ γενικὴν σέθεν λέγουσι, πίνδαρος, τραπέζαισι τ' ἀμφὶ δεύτατα κρεῶν σέθεν διεδάσαντο, καὶ φάγον.

Τ ὴν παρὰ πρόθεσιν συγκόπτουσι συμφώνου ἐπιφερομένου. καὶ ὅμηρος, οἱ δὲ θεοὶ πὰρ ζηνὶ καθήμενοι ἠγορόωντο.

Τ ὴν κλητικὴν τοῦ ποσειδῶνος οἱ μὲν αἰολεῖς πόσειδον λέγουσιν, οἱ δὲ δωριεῖς ποσείδαον.

Τ ὸ δίδου δίδοι, καὶ τὰ ἄλλα ὁμοίως τοῖς τρίτοις προσώποις τῶν εὐκτικῶν ἐκφέρουσι. καὶ πίνδαρος, τὺ δὲ πρᾶξιν φίλαν δίδοι.

Τ ὸ ἐσθλὸν ἐσλὸν λέγουσι, πίνδαρος, ἐσλῶν γὰρ ὑπὸ χαρμάτων πῆμα θνάσκει παλίγκοτον δαμασθέν.

Τ ὸ πάντη περισπῶσι πάντᾶ λέγοντες, καὶ πίνδαρος, πρόφαντον σοφίᾳ καθ' ἕλλανας ἐόντα πάντᾶ.

Α ἱμακουρίας εἰώθασι λέγειν τὰ τῶν νεκρῶν ἐνταφιάσματα, ἐκφέρουσι δὲ καὶ τὰ τρίτα πρόσωπα τῶν πληθυντικῶν ὁμοίως ταῖς δοτικαῖς τῶν ἰδίων μετοχῶν, πίνδαρος, ὅρμοισι τῶν χέρας ἀναπλέκοντι καὶ στεφάνοις, ἀντὶ τοῦ ἀναπλέκουσι.

Τ ὸν ὄρνιθα ὄρνιχα λέγουσι, καὶ πίνδαρος πρὸς διὸς ὄρνιχα θεῖον.

Τ ὰ πληθυντικὰ πολλάκις ὁμοφώνως τοῖς δυϊκοῖς ἐκφέρουσι, πίνδαρος, μαθόντες δὲ λάβροι παγγλωσσίᾳ κόρακες ὣς ἄκραντα γαρύετον διὸς πρὸς ὄρνιχα θεῖον.

Τ αῖς μετοχαῖς τῶν ἀορίστων προστιθέασι τὸ ι, πίνδαρος, ἐπεὶ τρεῖς τε καὶ δέκα ἄνδρας ὀλέσαις μναστῆρας.

Τ ὸ τί τὰ λέγουσι, πίνδαρος, τά κέ τις ἀνώνυμον γῆρας.

Α λτις εἰώθασι λέγειν τὸ τέμενος, πίνδαρος, διὸς αἰτεῖ πανδόκῳ ἄλσει τῷ ἐν ἄλτει τεμένει.

Τ ὸ ἐπιτιθέναι τὸ ι τῷ ε, τῶν δωριέων ἐστίν, τὴν πνοὴν γὰρ τὴν πνοιὰν φασὶ, καὶ τὴν χροὰν χροιὰν, καὶ τὴν πόαν, ποίαν· πίνδαρος πνοιᾶς ὄπιθεν βορέας.

Η ν ἄρα καὶ τῶν δωριέων ἡ ἄρσις ἡ ἐναντία τῷ ἀναδιπλώσει, πίνδαρος, ὀλύμπια μὲν γὰρ αὐτὸς γέρας ἔδεκτο, ἀντὶ τοῦ ἐδέδεκτο.

Α ἱ ἐπεκτάσεις καὶ τῶν δωριέων εἰσὶ, κενὸς κενεός.

Τ ὸ ὄπισθεν ὄπιθεν λέγουσι, ἐκθλίβοντες τὸ σ.

Τ ὰς γενικὰς τῶν πληθυντικῶν τὰς εἰς ων ληγούσας καὶ περισπωμένας διὰ τοῦ αν προφέρουσι. καὶ ἀντὶ τοῦ λέγειν μουσῶν μουσᾶν λέγουσι.

Τ ὸ μὴ ἐστὶν, μῆστι λέγουσι κιρνῶντες τὸ η καὶ ε εἰς η, ὥσπερ καὶ ἀριστοφάνης, μῆστιν οὗτος χοῖρος.

Ο ἱ δωριεῖς ἀντὶ τοῦ εἰπεῖν αὐτὸν, νιν λέγουσι.

Τ ὸ εἶναι, ἦμεναι.

Τ ὸ χρὴ χρῆσθαι.

Τ ὸ σιγᾶν σιγῆν. ὡς ἀριστοφάνης οὐ χρῆσθαι σιγῆν. οὕτω καὶ τὸ διψᾶν, διψῆν. καὶ τὸ πεινᾶν, πεινῆν.

Τὸ εἰκάδε, εἰκαδίς φασι, καὶ τὸ σύ, τύ, ὡς τὸ τὺ δ' ἀκρισοῦ, ἀντὶ τοῦ σὺ ἀκροκομίσω.

Τὸ πρὸς ποτὶ λέγουσιν, εἶτα καὶ τὸ ι ἀποκόπτουσι, ποτὰν ματέρα φησὶν ἀριστοφάνης.

Τὸ καὶ ἐκ τοῦ αὐτοῦ, κἠκ τοῦ αὐτοῦ φασιν, ἐκθλίβοντες τὸ ι. εἶτα τὸ α καὶ ε εἰς η κιρνῶντες. ὡς ἔζαε ἔζη, ἐκήρυσε ἐκίρυε, καὶ τὰ παραπλήσια, τοῦτο δὲ ἀττικοὶ καὶ ἰωνικοὶ ἐῶσι.

Τὸ αὐτοῦ ταὐτοῦ λέγουσι, τὸ κρέας κρῆς ὀνομάζουσι.

Περισπῶσι τοὺς μέλλοντας, ἀποίσω ἀποισῶ λέγοντες.

Τὸ τιμῶ τιμαῖ λέγουσι.

Τὸ παρ' ἡμᾶς παρ' ἁμᾶς.

Ἀντὶ τοῦ ὑμεῖς ὕμες ἐκφέρουσι.

Τῷ οἱ ἄρθρῳ τῆς εὐθείας τῶν πληθυντικῶν τὸ τ προστιθέασι, τοὶ θεοὶ λέγοντες, καὶ ταὶ μοῦσαι.

Πάσσακα τὸν πάσσαλον λέγουσι.

Τὸ ὄκκα ἀντὶ τοῦ ὁπηνίκα καὶ ὁπότε καὶ ὅπου χρῶνται.

Ἀγλῖθας λέγουσι τὰς κεφαλὰς τῶν σκορόδων.

Τὸ ὥς πως λέγουσι, καὶ παρ' ἀριστοφάνει ἐν ἀχαρνεῦσιν, ὕμες ὦν ὄκκ' ἐκβάλητέ πως ἀρουραίοις παίσασαι τὰς ἀγλῖθας ἐξορύσσετε.

Τὴν ου δίφθογγον εἰς ω τρέπουσι, τὰς μούσας, μώσας, λέγοντες, καὶ τὸν οὐρανόν, ὠρανόν, καὶ τὸν κοῦρον κῶρον.

Τὸ φασὶ φατὶ λέγουσι, καὶ τὸ ἐγὼ ἐγών, καὶ τὸ γῆ γᾶ, ὡς παρ' ἀριστοφάνει, καὶ γίνεται γᾶ.

Τὸ λῆς ἀντὶ τοῦ θέλεις διὰ τοῦ η. ὡς τό, αἰ λῆς αὐγάσδεο. καὶ ἀριστοφάνης, αἴτειον αἰ λῆς ὡς παχεῖα καὶ καλά. τὴν ἀνὰ συγκόπτουσι καὶ ἐπὶ τῶν συνθέτων, ὡς τό, ἀκτείνειν ἀντείνειν. καὶ ἐπὶ τῶν κατὰ παράθεσιν λεγομένων, ἀν τὴν ἀγοράν, ἀντὶ τοῦ ἀνὰ τὴν ἀγοράν.

Τὸ σφᾶς ψὲ λέγουσι, θεόκριτος, ἔπει ψὲ κρύβδαν τὰ ποθέσπερα παίσας ἀμέλγεις, τουτέστιν ἔπου αὐτὰς τὰς ὄϊας ἐφ' ἑσπέρα παίσας ἀμέλγεις.

Τὸ τίθησι καὶ ὑφίησι, τίθητι καὶ ὑφίητι λέγουσι. θεόκριτος. ἀλλ' ὁ γέρων ὑφίητι τὰ μοσχία κἠμὲ φυλάσσει.

Τοῦ ὑποτακτικοῦ τὰ τρίτα πρόσωπα διὰ τοῦ ι γράφουσιν ὡς θεόκριτος, καὶ πόκα τῆνος ἔλαιον ἐν ὀφθαλμοῖσιν ὀπώπῃ.

Ἡ δάμαλις οὐ λέγουσιν, ἀλλὰ δαμάλη. θεόκριτος, ταὶ δαμάλαι δ' αὐτὸν μυκώμεναι ὧδε ποθεῦνται.

Τὸ ἄλλοτε ἄλλοκα λέγουσι.

Τὸ μὴ ἔξωθεν λαμβάνουσι. οὐ γᾶν φασι θεόκριτος, ἀντὶ τοῦ, οὐ μὰ τὴν γῆν.

Τὸ ἦν, ἧς φασὶ θεόκριτος, οὐδὲ γὰρ ἁμαρτά τῷ διαπότη ἧς τοι ἀοιδᾶν, οὐκ ἦν φησὶν οὐδὲ τῷ διαπότη σου ἐγκωμιασθαι, ἧς ἁμαρτά ἀντὶ τοῦ ἦν ἁμαρτά.

Τὸ κείσομαι, κεισοῦμαι λέγουσιν, εἶτα τρέπουσι τὴν ου δίφθογγον εἰς τὴν ευ. κεισεῦμαι δὲ πεσών. καὶ τοὶ λύκοι ὧδε μ' ἔδοντι. τοὺς μέλλοντας τῶν εἰς ζω ῥημάτων διὰ τοῦ ξ προφέρουσι, καθίξας ἀντὶ τοῦ καθίσας, καὶ λυγιξεῖν, ἀντὶ τοῦ λυγίσειν. καὶ τὰ ὅμοια.

Τὸ θήσαι θᾶσαι λέγουσι, θεόκριτος, θᾶσαι φίλος ὡς καλὸν ὄσδει. καὶ πάλιν θᾶσαι μαὶ θυμαλγὲς ἐμὶν ἄχος.

Ὀρημαλίδες λέγονται παρ' αὐτοῖς τὰ ὄρεια (μῆλα.

Τὸ ὁμοῦ ἀμᾶ λέγουσιν.

Ἀντὶ τοῦ ἔμπροσθεν ἔμποσθεν λέγουσιν, θεόκριτος. ἦ μὰν δὲ τὺ βουκολιάσδευ ἔμποσθεν. ἔνιοι δὲ ἀντὶ τοῦ ποθὲν ἐλάβοντο τὴν λέξιν ταύτην, ἢ ἐν πρὸς ἐν ᾠδεῖον, τουτέστιν ἀμοιβαδόν.

Ὅταν ὦσι δύο ηη ἀλλεπάλληλα, καὶ ταῦτα εἰς α τρέπουσιν, ὡς θεόκριτος. νίκη μὰν οὐδ' ἄλλος, ἀνάσσατοι δ' ἐγένοντο, ἀντὶ τοῦ ἀνίσητοι.

Καὶ τὸ ἐβόασε καὶ ἐγελᾶτο καὶ ἐκλᾶτο εἰς η τρέπουσι, τὸ σοὶ καὶ ἐμοί, τὶν καὶ ἐμὶν λέγουσιν.

Καὶ ἀντὶ τοῦ εἰπεῖν τὸν πλησίον, τὸν πλατίον λέγουσι.

Τὸ πρῴην πρᾶν. θεόκριτος. ἔγνων πρᾶν.

Τὸ ο ἄρθρον μετὰ φωνήεντος ἑτέρου ἐπαγομένου κιρνώμενον εἰς ω μέγα παρὰ δωριεῦσιν, οὕτως ἐκφέρεται ὡς παρ' ἴωσιν, ὡς καὶ θεόκριτος, οὐχ οὕτως ὤδωνις ἐπὶ πλεῖον ἄγαγε λύσσας.

Τὸ ἕτερος ἅτερος λέγουσι.

Τὸ τεφρᾶς τὰς τέφρας λέγουσι, θεόκριτος. τεφράοντο δὲ πάντα ἀπολύετο κρατὸς ἄλειφαρ.

Τὸ σύ, τύ. τὸ πλὴν, πλὰν λέγουσι.

Τὸ ἡμέραν, ἁμέραν. τὴν πληγὴν, πλαγάν.

Τὸ ἥκουσι ἥκοντι, θεόκριτος, φεῦ φεῦ λέκων τοὶ ταλάρως χ' ὧδ' ἥκοντι πλήρεις τυρῶν.

Ὁμοίως τοῖς ἀττικοῖς καὶ αὐτοὶ τὰ ἀπὸ βαρυτόνων περισπώμενα ἐκτείνουσιν, οἷον στρέφω στρωφῶ. νέμω, νωμῶ. πέτω ποτῶ. θεόκριτος. ποτῆν τοξευθαὶ παρὰ παῖδας ἀμφὶ μελίσσαι.

Χρῶνται καὶ τῷ ὦν ἀντὶ τοῦ οὖν, ὥσπερ οἱ ἴωνες, χρήσδεις ὦν εἰσιδεῖν; χρήσδεις καταθεῖναι ἄεθλον;

Τῆς πρώτης συζυγίας τῶν περισπωμένων τοὺς παθητικοὺς ἀορίστους συστέλλουσιν ἐπὶ τῆς παραληγούσης. θεόκριτος, οὔπω καὶ νύμφα γαμεθεὶς ἀνεχάζετο.

Τὴν σταγόνα τῆς δρόσου πρῶκα λέγουσιν οἱ δωριεῖς.

Τὸ βρονθύεται φριμάσσεται φασί.

Τὸ ἐκάθηρον ἀντὶ τοῦ ἐμάστιξε λαμβάνουσι.

Τὸ κιγκλίζειν ἀντὶ τοῦ κινεῖν τὴν ὀσφύν, ὥσπερ παρὰ τὸ γνῶ γιγνώσκω, οὕτω καὶ παρὰ τὸ κλῶ κίκλω καὶ κικλίζω.

Τοὺς μέσους μέλλοντας πρώτους προπερισπῶσι, ἀντὶ τῶν ὑποτακτικῶν διὰ διφθόγγου γράφουσι, Θεόκριτος· μὴ μὰν λωβασεῖσθε τὰς ἀμπέλους.

Τὸ μικρὸν μικκὸν λέγουσι. Θεόκριτος· ἴδ᾽ ὦ ξένε μικκὸν ἄκουσον τῇδ᾽ ἐνθών.

Τὸ βωστρήσομες ἀντὶ τοῦ καλεσόμεθα λαμβάνουσι, τὸν κυρτὸν ὑβὸν καλοῦσι.

Τὸ ἰδοὺ ἠνίδε φασί, καὶ Σαυίσιος, ἠνίδε ἀντὶ τοῦ αὐτοῦ τάττει. Θεόκριτος. ἠνίδ᾽ ἔχοι τὸ δέπας.

Τὸ ἐντὶ καὶ ἀντὶ τοῦ εἰσὶ λαμβάνουσι. Θεόκριτος. ἀντὶ γὰρ αὗται. τὴν διφθέραν βαίτην λέγουσι.

Ὄλπις λέγεται παρ᾽ αὐτοῖς, ὁ ἁλιεὺς, ὁ τοὺς λεπιδωτοὺς ἰχθῦς ἀγρεύων, ἀπὸ τοῦ λέπω λεπὶς καὶ ὑπερθέσει τοῦ ε ἔλπις, καὶ τροπῇ τοῦ βραχέος ε εἰς βραχὺ ο, ὄλπις.

Πέλαν τὴν πορφυρᾶν ὄϊν φασίν, τὴν μέλαιναν· γὰρ τοῦ σώματος ἀλλοιώσας, ἡνίκα ἂν διέκδρομεν ὕδατος μελαίνεται, πελίαν καλοῦσι.

Πύῤῥιχος λέγεται παρ᾽ αὐτοῖς ὁ πυῤῥὸς, καὶ κακοχρώμων, ὁ δύστροπος.

Τὸ ὁστίχον ἀντὶ τοῦ ὅσον, Θεόκριτος, ὁστίχον ἐστὶ τὸ τύμμα, καὶ ἁλίκον αἷμα διαμάσδει.

Τὸ ἐγνόησα λέγουσι ἐγνοίησα, τὸ δυροῦμαι δυρύττομαι.

Εἰδέναι δεῖ ὅτι τῆς δωρίδος πολλαί εἰσιν ὑποδιαιρέσεις τοπικαὶ, ἄλλως γὰρ κρῆτες διαλέγονται, καὶ ἄλλως ῥόδιοι, καὶ ἄλλως ἀργεῖοι, καὶ ἄλλως λακεδαιμόνιοι, ἑτέρως δὲ συρακούσιοι καὶ σικελοί, καθολικαὶ δὲ ὅμως αὗται ἰδιότητες αἱ προειρημέναι, εἰ καὶ μὴ πᾶσαι.

Ὅτι αὗται τὸ τρέπειν τὰς εἰς ους ληγούσας γενικὰς τὰς ἀπὸ τῶν εἰς ης ὀξυτόνων γινομένας εἰς ευς ἴδιον ἔχουσιν· διογένης, διογένευς ἀντὶ τοῦ διογένους.

Τὸ η ἀντὶ τῆς ει διφθόγγου χρῶνται, τὸ ἐλθεῖν ἐλθῆν λέγοντες, ὑπεξαιροῦσι δὲ καὶ τῶν ἀπαρεμφάτων τὸ ι, λαβὲν γὰρ ἀντὶ τοῦ λαβεῖν καὶ ἐλθὲν ἀντὶ τοῦ ἐλθεῖν, καὶ εὕδεν ἀντὶ τοῦ εὕδειν, χρῶνται δὲ καὶ διπλασιασμῷ τῶν τελικῶν συμφώνων ὡς οἱ αἰολεῖς ὅττι. ὁππόθεν, ὅσσον.

Τοὺς θεοὺς, σιοὺς λέγουσιν ὡς οἱ λακεδαιμόνιοι τοὺς διοσκόρους ὀμνύοντες, νὴ τὼ σιὼ φασὶν, τουτέστι μὰ τοὺς θεούς.

Αἱ ἐκτάσεις τῶν διχρόνων ἴδιαι τῆς δωρίδος, οἷον ἶσος ἐϊκελίω.

Τῷ α ἀντὶ τοῦ ε πολλάκις χρῶνται, τὸ ἕτερος ἅτερος λέγοντες, καὶ τὸ ἄρτεμις, ἄρταμις.

Αἱ ἀποκοπαὶ ἴδιαι αὐτῶν εἰσὶ, οἷον ποσειδῶνα ποσειδῶ. δῶμα, δῶ. κρίμνον, κρί.

Αἱ προσθέσεις τῆς με συλλαβῆς ἀντὶ τῶν παρ᾽ ἡμῖν εἰς ναι ληγόντων ἀπαρεμφάτων τῶν δωριέων εἰσὶν, οἷον βάμεναι ἀντὶ τοῦ βῆναι.

Αἱ ὑπεξαιρέσεις τοῦ δ ἐκ τῶν γενικῶν διὰ τοῦ δ κλινομένων παῖδος, παῖος, καὶ τὸ κέραος ἀντὶ τοῦ κέρατος, τῶν ἰώνων εἰσὶν ἰδιώματα καὶ τῶν δωριέων.

Βαρυτονοῦσι οἱ δωριεῖς καὶ τὰ ποιότητος δηλωτικὰ ἐπιῤῥήματα, καλῶς σόφως κόμψως ἄπλως λέγοντες, τὰ δὲ ὑφ᾽ ἡμῶν βαρυνόμενα περισπῶσιν, οὑτῶς, παντῶς, καὶ τὰ εἰς οι ὀνόματα, ὁμοίως δὲ καὶ τὰς μετοχὰς ὅταν προπαροξύνωνται αὐτοὶ παροξύνουσιν οἷον φιλοσόφοι, Μενελάοι, ποθουμένοι, δηλομένοι.

Καὶ τὰς μετοχὰς εἰς αν ληγούσας τῶν περισπωμένων εἰς αν ποιοῦσι λέγειν, γελῶν, ἐλῶν, γελᾶν ἐλᾶν.

Τὴν ναῦν ναῶ καλοῦσι, καὶ τὰς κλεῖδας κλᾶδας.

Παροξυτονοῦσι δὲ καὶ τὰ τρίτα πρόσωπα τὰ εἰς αν λήγοντα τῶν ἀορίστων. ἐστάζαν ἐφάζαν, καὶ τὰ εἰς εν δὲ λήγοντα παροξύνουσι, ἐλάβεν ἐβρέχον ἐλέγον ἐφάγον.

Περισπῶσι καὶ τὰ τοιαῦτα παιδῶν, φρενῶν, παντῶν.

Καὶ τοὺς μέλλοντας τὸ δώσουσι, δωσοῦντι, καὶ τὸ λέξουσι λεξοῦντι προπερισπωμένως.

Προπερισπῶσι καὶ αὐτοὶ τὸ ὅμοιος, ὡς οἱ ἀττικοί.

Τὰς αἰτιατικὰς πληθυντικὰς ἀρσενικὰς τὰς εἰς ους ληγούσας διὰ τοῦ ος ἐκφέρουσι, τὼς καλὸς, τὼς σοφὸς, τὼς ἀνθρώπος, τὼς ἵππος.

Τὰ διὰ τοῦ ε ἐκφερόμενα προστακτικὰ ῥήματα διὰ τοῦ ει ἐκφέρουσι, λάβε, λάβει. θίγε, θίγει.

Τὸν πατέρα ἀπφὰν ὀνομάζουσι, τὰς κουρὰς κουράδας, τὸ ἴδες ἰωνικῶς καὶ αὐτοὶ συστέλλουσι, Θεόκριτος ἐν ἀδωνιαζούσαις, ὧν εἶδες χ᾽ ὧν εἶπας, ἰδοῖσα τύ τῷ μὴ ἰδόντι.

Τὸν ἀργὸν κατ᾽ ἐπένθεσιν ἀεργὸν λέγουσι.

Καὶ τὸ δαψιλὲς ἀδὲς φασι. τὴν παῖδα παῦ δέφασι.

Τοῖς ὑποτακτικοῖς χρῶνται ἀντὶ ὁριστικῶν, Θεόκριτος, ἵππον καὶ τὸν ψυχρὸν ὄφιν τὰ μάλιστα δεδοίκω, ἀντὶ τοῦ δέδοικα.

Τὸ ἵσασιν ἴσαντι λέγουσι, καὶ τὸ ἑστήκασιν ἑστήκαντι. Θεόκριτος, ὡς ἔτυμ᾽ ἑστήκαντι. καὶ ὡς ἔτυμ᾽ ἐνδινεῦντι ἔμψυχ᾽ οὐκ ἐνυφαντὰ σοφόν τι χρῆμ᾽ ἄνθρωπος.

Τῶν μετουσιαστικῶν καὶ αὐτοὶ τὸ ι ἐκβάλλουσιν, ἀργύρεος καὶ χρύσεος λέγοντες, τοῦ δὲ ὑποτακτικοῦ ἄρθρου τὸ σ ἐκβάλλουσι, Θεόκριτος, ὁ τριφίλητος ἄδωνις ὃ κἠν ἀχέροντι φιλεῖται.

Τὸ κλείσω κλᾳξῶ λέγουσι. Θεόκριτος τὰν αὔλειαν ἀπόκλαξον.

Ταὶ ἐλλειπτικαὶ καὶ παρ' αὐτοῖς εἰσί, παύσασθ' ὦ δύστανοι ἀνάνυτα κωτίλλοισαι τρυγόνες ἐκκναισεῦντι πλατειάσδοισαι ἅπαντα.

Τὸ πεπλεονήκασι πεπλεονάκαντι λέγουσι.

Τὰς δοτικὰς τῶν πληθυντικῶν τὰς ἀπὸ τῶν εἰς ευς εὐθειῶν γινομένας οὐχ οὕτως ἐκφέρουσιν ὥσπερ ἡμεῖς πηλεῦσι καὶ βασιλεῦσιν, ἀλλ' ἐπ' ἴσης τῷ δημεθῆναι καὶ τοῖς ὁμοίοις, ὥσπερ ἐκεῖ γὰρ ἡ δημεθεῖσα δοτικὴ τῶν πληθυντικῶν, οὕτω καὶ ταῦθα, Θεόκριτος, δωριέσδεν δ' ἔξεστι δοκῶ τοῖς δωριέεσσι.

Τὴν φύσιν φυλὰν λέγουσι.

Τὸ βράδιστα βάρδιστα φασί, Θεόκριτος βάρδισται μακάρων ὧραι φίλαι, ἀλλὰ ποθειναὶ ἔρχονται πάντεσσι βροτοῖς αἰεί τι φέροισαι.

Π λάθανον λέγουσιν εἶδος ἀγγείου τινὸς ἐν ᾧ σκευάζουσι πόπανα.

Συστέλλουσι καὶ τὰς εἰς ας αἰτιατικάς, οἷον νύμφας κρήνας, καὶ τὰς μετοχὰς νοήσας τρέξας.

Καὶ τὰ προστακτικὰ ῥήματα ἐκφερόμενα διὰ τοῦ ψιλοῦ διὰ τοῦ ει ἐκφέρουσι, θῆγε, θῆγον.

Ἰδίως δὲ λέγουσιν οἱ σικελοὶ τὴν χύτραν κύθραν, καὶ τὸν χιτῶνα κιτῶνα, καὶ τὴν μητέρα δελφίαν, τὴν γυναῖκα γύναν. κρῆτες δὲ τὸ διαπαντὸς αἰές, τὸ αὐτοῦ αὐτεῖ, τὸ ἔα, εὔα, τὸ βέλτιον βέντιον λέγουσι, τὸ ἑαυτὸν αὑσόν, τρέπουσιν οἱ αὐτοὶ καὶ τῆς εἰς προθέσεως τὸ σ εἰς ν, οἷον ἐς χορόν, ἐν χορὸν, ἐς τὴν ἀγορὰν ἐν τὴν ἀγορὰν λέγουσι.

Καὶ τὸ εἴωθα ἤθω, καὶ τὸ εὐωχεῖσθαι εὐῶ.

Τὸ θουκυδίδης, θευκυδίδης, τὸ θεοκράτης, θουκράτης, τὸ θεόφραστος θούφραστος.

Καὶ τὸ κρέα κρῆ, τὸ ἄκρατον ἄκρητον.

Τὸ κρίκον κίρκον, τὸ καλεῖται κέλεται.

Τὸ καταβαλεῖν καββαλεῖν.

Τοὺς σωροὺς τῶν ἀχύρων μύχωνας λέγουσι.

Καὶ ἀντὶ τοῦ πότε πόκα, καὶ ἀντὶ τοῦ τῆμος ἦμος λέγουσι.

Τὸ οἴκαδε οἴκαδις, τὸ στάδιον, σπάδιον.

Τὸ μήν, μάν. καὶ ἀντὶ τοῦ εἰπεῖν ταύτας τὰς λέγουσι, καὶ τὸ εἶδον εἴδδον, τὸ κρανίον κράνιον.

Α δέματον ψυχὰν τὴν νεκρὰν ἤγουν τὴν ἔξω τοῦ σώματος, καὶ ταῦτα περὶ τῆς δωρίδος, διαφέρει δὲ ἡ τῶν κρητῶν διάλεκτος, ᾗ περ κυψέλλας ἐχρήσατο, καὶ ἡ λακώνων, ᾗ περ ἀλκμὰν καὶ σώφρων, ἡ μέντοι πινδάρου καὶ σιμωνίδου καὶ βακχυλίδου παντελῶς ἀγνοεῖται διὰ τὸ μὴ δωρικῶς εἶναι φύσει τοὺς ποιητάς, ἔχειν δὲ μόνην αὐτῶν τὴν διάλεξιν.

ΠΕΡΙ ΤΗΣ ΙΩΝΩΝ ΔΙΑΛΕΚΟΥ.

Τὰς εἰς ας ληγούσας εὐθείας τὰς ὑπὲρ δύο συλλαβὰς εἰς ης ἐκφέρουσιν οἱ ἴωνες, ἡρόδοτος, ὁ δὲ ἀρχίης καὶ λυκώπης μοῦνοι συμπεσόντες.

Ταῖς δοτικαῖς τῶν πληθυντικῶν ταῖς ληγούσαις εἰς αις προστιθέασι τὸ ι, ἡρόδοτος, τοῖσι σημείοισι.

Τὸ κλεισθέντες κληϊσθέντες λέγουσι, καὶ τὸ πηλειάδεω πηληϊάδεω, διαλύουσι γὰρ τὴν δίφθογγον εἰς ε καὶ ι, εἶτα ἐκτείνουσι τὸ ε εἰς τὸ η συλλαβὴν, ὥσπερ τὸ ἱρεῖον ἱρήϊον λέγουσι.

Τὰς εἰς αι ληγούσας γενικὰς τῶν πληθυντικῶν θηλυκῶν, οἷον ὡρῶν, θηβῶν, πυλῶν, ὡρέων καὶ πυλέων λέγουσιν, ὅμηρος, ὡς εἴπων πυλέων ἐξέσσυτο, καὶ ἱπποκράτης, αἱ μεταβολαὶ τῶν ὡρέων τίκτουσι νοσήματα.

Ἀλλὰ καὶ τὰς τῶν ἀρσενικῶν ὁμοίως γενικὰς τὰς ἐκ τῶν εἰς ης εὐθειῶν γινομένας διὰ τοῦ εων προφέρουσι περσέων λέγοντες, καὶ νησιωτέων. ἡρόδοτος ἐν τῇ τρίτῃ κατ' ἀρχὰς, νησιωτέων μάλιστα ἐπλούτησε.

Ταῖς δοτικαῖς τῶν πληθυντικῶν τῶν θηλυκῶν ὀνομάτων οὐ μόνον τὸ ι προστιθέναι εἰώθασιν ὡς ἐν ταῖς δοτικαῖς τῶν πληθυντικῶν ἀρσενικῶν ὀνομάτων, ἀλλὰ καὶ τῆς αι διφθόγγου τρέπειν τὸ α εἰς η εἰώθασιν, ὡς ἱπποκράτης, ἐν τῇσι χρονίῃσι λειεντερίῃσιν ὀξυρεγμίη ἐπιγενομένη πρόσθεν μὴ γενομένη σημεῖον ἀγαθόν.

Τὰς εἰς ου ληγούσας γενικὰς τὰς ἀπὸ τῶν εἰς ας ἢ εἰς ης εὐθειῶν γινομένας, διὰ τοῦ εω προφέρουσιν, ἀπὸ μὲν τῶν εἰς ας, ἡρόδοτος, φίλτῳ δὲ ἀπὸ ἀρχίεω γεγονότι, ἀντὶ τοῦ ἀπ' ἀρχίου. ἀπὸ δὲ τῶν εἰς ης, ἀτρείδεω δαΐφρονος.

Τοῖς ὑποτακτικοῖς ἄρθροις τοῖς ἀπὸ φωνήεντος ἀρχομένοις προστιθέασι τὸ τ οἱ ἴωνες ὡς παρ' ἡροδότῳ, αὐτὸς μὲν ἐνθὶ τοίους συνεγνωμένην δήμου τῆς τὴν, ἀντὶ τοῦ ἐν ἣν, καὶ ἀλκαίου τοῖς ἀντέλλετο ἔχουσιν, ἀντὶ τοῦ οἷς.

Τῷ ε προστιθέασι τὸ ι, ὡς τὸ χρὴ ξεῖνον παρεόντα φιλεῖν, ἐθέλοντα δὲ πέμπειν καὶ εἴ μοι ξείνια δοίη, εἰνάλιος θὴρ, ἀντὶ τοῦ ἐνάλιος.

Τῷ ο ἐμβάλλουσι τὸ υ, κόρη, κούρη, νόσος, νοῦσος, ὄρος, οὖρος, μόνος, μοῦνος, ἐπεί τις οὕτω πῶς τὸ πόνος καὶ φόνος οὐ προσλαμβάνει τὸ υ, οὐ γὰρ λέγουσι ποῦνος, φοῦνος; λέγομεν οὖν ὅτι ἀπὸ ῥημάτων τοῦ πονῶ καὶ φονῶ παρήχθησαν, τὸ δὲ μόνος καίτοι ἀπὸ ῥήματος παραχθὲν, ἐπεὶ τριγενές ἐστι προσλαμβάνει τὸ υ.

Τὸ α εἰς η τρέπουσιν. ἥρα, ἥρη, σφαῖρα, σφαίρη, δημοσία, δημοσίη, πρᾶγμα πρῆγμα.

Τὰς εἰς ους ληγούσας γενικὰς διὰ τοῦ εος προφέρουσιν, ὡσαύτως καὶ τὰς ἄλλας πτώσεις οὐ συναιρουμένας, ἀλλ' ἐντελεῖς ποιοῦσι, πολυκράτεα καὶ δημοσθένεα λέγοντες.

Τὸ πολλὸν λέγουσιν, οὐχὶ τὸ πολὺ, καὶ ὁ πολλὸς οὐχὶ πολύς. τὴν εἰς πρόθεσιν ἐς λέγουσιν ὁμοίως τοῖς ἀττικοῖς.

Τοῖς ἐνεστῶσιν ὁμοίως καὶ τοῖς παρατατικοῖς καὶ ταῖς μετοχαῖς τῶν περισπωμένων, καὶ ἁπλῶς εἰπεῖν πάσαις ἐγκλίσεσιν ἐντελῶς κέχρηνται, ὡς ἐν τοῖς ἀνακρεοντείοις οἷον δοκέω, κλύειν γὰρ ἤδη λαλέειν τις ἐν θελήσει, καὶ ἐν τῷ χρησμῷ, καὶ οὐ λαλέοντος ἀκούω.

Τὸ ὁράω ὁρέω λέγουσι, τὸ α εἰς ε τρέποντες, καὶ τὸ ἐχρᾶτο ἐχρέετο.

Τὸ ὦν ἀντὶ τοῦ οὖν λέγουσιν, ἡρόδοτος, καὶ ὦν φασι πολέες.

Τὸ ἕω δὲ σημαίνει τὸ ὑπάρχω, ἔω λέγουσι, καὶ ὅμηρος, ὃς ἤδη τά τ' ἐόντα, τά τ' ἐσσόμενα πρό τ' ἐόντα.

Τὰ ψιλὰ ἀντὶ δασειῶν ἀσπάζονται, ἀπιγμένοι λέγοντες καὶ ἀπίκοντο, οὐ μὴν δὲ ἐν ταῖς συνθέσεσι μόνον, ἀλλὰ καὶ ἐν ταῖς συναλοιφαῖς, ἡρόδοτος, οὐκ οἶδα τί ἔχειν.

Τὰς νῆας νέας λέγουσι.

Τὰς εἰς ος γενικὰς τὰς ἀπὸ τῶν εἰς ευς εὐθειῶν γινομένας, διὰ τοῦ ηος προφέρουσι, βασιλῆος λέγοντες καὶ πηλῆος.

Τὰς εἰς ου ληγούσας γενικὰς τὰς ἀπὸ τῶν εἰς ος εὐθειῶν γινομένας, διὰ τοῦ οιο προφέρουσι, μενελάου μενελάοιο. θείου, θείοιο.

Τὰς εἰς ος ληγούσας γενικὰς τὰς ἀπὸ τῶν εἰς ις εὐθειῶν γινομένας, διὰ τοῦ ιος προφέρουσιν, ὄφιος ὄφεος λέγοντες διὰ τοῦ ε μικροῦ πρέσβις πρέσβεος, μάντις, μάντεος, καὶ πόλις πόλεος, ὡς ἐν ὀρέστῃ εὐριπίδης, ὃς οὐ δύναται πόλεος ἐν τ' ἀρχαίοισιν ἦ, καὶ ἔστιν ὁ φίτος ποὺς δάκτυλος, καὶ πάλιν ἐν ἄλλῳ δράματι, ἔπειρ' ὄφεις ἐν ταῖς θύραις.

Εἰώθασι συναρχομένους ποιεῖν τοὺς παρῳχημένους τοῖς ἰδίοις ἐνεστῶσιν, ἐξ ὧν καὶ ἐγένοντο, οἷον τύπτε δ' ἐπιστροφάδην ἄορι θεῖνε, βῆ δ' ὁ γέρων, θῆκε δ' ἐνὶ φρεσὶ θεὰ λευκώλενος ἥρη, ξανθὰς δ' ἐκ κεφαλῆς ἕλε τρίχας, καὶ τὸ καλὸν δ' οὕτω ἐγὼν οὔπω ἴδον ὀφθαλμοῖσιν, οὐδ' οὕτω γεραρόν. καὶ τὸ, τοιοῦτοι εἴπερ μοι ἐείκοσιν ἀντεβόλησαν πάντες κ' αὐτόθ' ὄλοντο, πρὸς δὲ καὶ νῆμα δεξάμενος πηλῆος φέρεν ἐνδυκέως. καὶ σὺν θεράποντ' ὀνόμηνε. καὶ τὸ, οὐδ' ὀδυνασθαι ἐγὼν ἰδόμην, καὶ ξεινία δῶκε. καὶ καθόλου εἰπεῖν αἱ συστολαὶ τῶν ἰώνων εἰσὶν, ὡς τὸ νέας ἐυσσέλμους ἀντὶ τοῦ νῆας, καὶ ὅτεος καὶ πόλεος. ὥσπερ αἱ ἐπεκτάσεις τῶν ἀττικῶν, ὡς τὸ πωλεῖταί τις δεῦρο γέρων ἅλιος νημερτής. καὶ οὐδέποτ' εἰς ἀγορὴν πωλέσκετο κυδιάνειραν. οἶμαι δ' ὅτι καὶ τὸ ἀρχαία ἀττικῶς

ἐκτείνεται καὶ γράφεται διὰ τοῦ ω μεγάλου, ἐχὼ γὰρ λέγεται ἡ τροφὴ, καὶ ἀλωχία ἡ δὲ ἔχουσα τὸ σῶμα καὶ συγκρατοῦσα.

Καὶ τὰ δεύτερα πρόσωπα τῶν ἑνικῶν παθητικῶν ποιοῦσιν ἐκ τοῦ τρίτου προσώπου τῶν ἑνικῶν, καθ' ἀποβολὴν τοῦ τ.

Ὅμηρος, γνώσεαι ἀτρείδην ἀγαμέμνονα τὸν περὶ πάντων Ζεὺς ἐνέηκε πόνοισι διαμπερὲς, καὶ αὖθις, τέο μέχρις ὀδυρόμενος καὶ ἀχεύων τὴν σὴν ἔδεαι κραδίην.

Οὕτως καὶ τὰς ἀπὸ τῶν εἰς ας εὐθειῶν οὐδετέρων ὀνομάτων διὰ τοῦ τος κλινομένων, καθ' ἀποβολὴν τοῦ τ κρέαος γέραος λέγοντες.

Τό τε πλεονάζει παρ' αὐτοῖς καὶ παρέλκει, ὡς ἡρόδοτος, ἐπεί τε ἐγένετο ταῦτα· ἀντὶ τοῦ ἐπεί.

Τὰς εἰς ους ληγούσας γενικὰς τῶν οὐδετέρων διὰ τοῦ εος προφέρουσι.

Καὶ πᾶσαν δὲ πτῶσιν τῶν τοιούτων ἐντελῶς προφέρουσιν, οἷον πήχεος, βέλεος, καὶ ἕκτορα δ' ἐκ βελέων ὕπαγε Ζεύς.

Τῷ κ ἀντὶ τοῦ π ἔν τε τοῖς ἐρωτηματικοῖς καὶ ἀναφορικοῖς κεχρῆσθαι εἰώθασιν, οἷον πόσα κόσα, ὅπως, ὅκως, ὁπόσα, ὁκόσα. οὐ μὴν καὶ ἐν τοῖς ἄλλοις.

Τρέπουσι δὲ καὶ τὰ δασέα εἰς ψιλὰ καὶ τὰ ψιλὰ εἰς δασέα, οἷον χιτὼν κιθὼν, ἐνθαῦτα, ἀχάντιον καὶ βάτραχος βάθρακος, καὶ τὰ ὅμοια.

Τὸ ω ἀντὶ τοῦ α ἐσθ' ὅτε χρῆσθαι αὐτοὺς, λέγουσι ὤνθρωποι ἀντὶ οἱ ἄνθρωποι· καὶ τὸ ἄριστον, ὤριστον. ἔστι δὲ οἶμαι ἐκ συναλοιφῆς ἐπὶ μόνων τῶν εὐθειῶν τοῦτο ποιεῖν αὐτοὺς καὶ ἐπὶ τῶν κλητικῶν, ὥσπερ καὶ οἱ ἀττικοὶ ποιοῦσιν αὐτίκα, ἡρόδοτος ἐπὶ τῆς κλητικῆς οὕτω φησὶν, ὤνθρωπε μὴ κτεῖνε κροῖσον, καὶ αὖ ἀλλαχοῦ, ὦναξ ἡράκλεις, ἀντὶ τοῦ ὦ ἄναξ, καὶ σοφοκλῆς, ἀλλὰ γὰρ ὦναξ οὐδ' ὅς ἂν βλαστῇ μόνον τοῖς κοινοῖς προσέπτουσιν ἀλλ' ἐξίσταται, καὶ ὅμηρος, λοισθὸς ἀνὴρ ὤριστος ἐλαύνει μώνυχας ἵππους, ἀντὶ τοῦ ὁ ἄριστος, τὸ γὰρ ω καὶ α εἰς ω μέγα κιρνᾶται ἢ συναλείφεται.

Καὶ τὸ ο καὶ α εἰς ω μέγα κιρνῶσιν ὡς τὸ βόαξ βῶξ.

Καὶ τὸ αο εἰς ω μέγα κιρνᾶται, οἷον τὰ ὅπλα θ' ὤπλα.

Καὶ ἐπειδὴ τὸ ὅπλα δασύνεται, τρέπεται τὸ τ εἰς θ. τοῦτο δὲ ἀττικόν ἐστιν, οὐ γὰρ ἂν ἰωνικὸν οὐκ ἂν τρέπη, ἐπεὶ τοῖς ψιλοῖς χαίρουσιν ἴωνες.

Τὸ ω ἀντὶ τοῦ α ἐν τῇ διφθόγγῳ χρῶνται, ὡυτὸς λέγοντες ἀντὶ τοῦ αὐτὸς, καὶ θωυμάσας ἀντὶ τοῦ θαυμάσας. ἐντεῦθεν οἶμαι καὶ τὸ φωριαμὸς ἰωνικῶς οὕτω λέγεσθαι φαριαμὸς ὢν ἀπὸ τῆς ἐτυμολογίας ἡ τὰ φάρεα περιέχουσα κιβωτός.

Τὸ τέμνειν καὶ διαιρεῖν τὰς λέξεις ἰώνων ἴδιον, ἀντὶ γὰρ τοῦ εἰπεῖν πελοπόννησος πέλοπος νῆσος λέγουσι, καὶ ἀντὶ τοῦ εἰπεῖν αἰγάγριον, αἶγα ἄγριον.

Αἱ παραλήψεις τῶν ἀπαρεμφάτων ἀντὶ προστακτικῶν ἰώνων εἰσὶν, ὅμηρος πάντα μάλ' ἀτρεκέως ἀγορευέμεν ἀντὶ τοῦ ἀγόρευε, καὶ πειρᾶν δ' ὥς κεν φῶτας ἀποκρύψαντας ἀχαιοὺς, ἀντὶ τοῦ πειρῶ, καὶ μυρία ἄλλα τοιαῦτα παρ' ὁμήρῳ καὶ ἡσιόδῳ εὑρήσομεν.

Αἱ παραλήψεις τῶν ἀρσενικῶν ἀντὶ θηλυκῶν, ἰώνων εἰσὶν, ὥς τοῖσι, δὲ τερπομένοισι μέλας ἐπὶ ἕσπερος ἦλθεν, ἀντὶ τοῦ ἑσπέρα.

Αἱ διαιρέσεις τῶν εἰς ει ληγόντων ἑνικῶν δοτικῶν ἰώνων εἰσὶν ἴδιαι, βέλει βέλεϊ καὶ ἔγχει ἔγχεϊ.

Τὰ εἰς ω λήγοντα θηλυκὰ ἐπὶ αἰτιατικῆς εἰς ουν περατοῦσιν, οἷον λητὼ λητοῦν, σαπφὼ σαπφοῦν.

Τὸ ι ἐξαιροῦσιν οἱ ἴωνες ἐνίοτε τῶν λέξεων, τὸ γὰρ ποιεῖσθαι ποιέεσθαι φασίν.

Φθίσας μὲν εἴποι τις ὅτι τῶν ἰώνων ἐστὶ γράφειν καὶ τὸ λέγειν ὄρεος καὶ πόλεος, νῦν δὲ φαμὲν ὅτι καὶ ταῖς κοιναῖς αὐτῶν γενικαῖς χρῶνται οἱ ἴωνες καὶ μάλιστα ὅμηρος, ἐξ ἀγροῦ νόσφι πόλιος, καὶ ἱπποκράτης, ἀπὸ φθίσιος ἐχομένῳ διάρροια ἐπιγενομένη θανάσιμος.

Αἱ ἐπαναδιπλώσεις τῶν δευτέρων ἀορίστων ἰώνων εἰσὶν, ὥς τὸ, πεπίκοιτό τι δαῖται.

Τῇ μεταθέσει τῶν στοιχείων ἰδίως χρῶνται, οἷον κραδίην ἀντὶ τοῦ καρδίαν, ἀταρπὸς, ἀντὶ τοῦ ἀταρπιτός.

Τὸ δὲ διπλοῦν σσ εἰς ξ τρέπουσιν ἴωνες, τὰ δισσὰ γοῦν διξὰ, καὶ τὰ τρισσὰ τριξὰ λέγουσι.

Τὸ ι ὑπεξαιροῦσι πολλάκις τῶν λέξεων αὐτίκα, ἡροδότου ἁλικαρνασῆος ἱστορίης ἀπόδεξις, ἀντὶ τοῦ ἀπόδειξις.

Ἀλλὰ καὶ τὸ ὑπεξαιρεῖν τῶν κτητικῶν τὸ ι, τῶν ἰώνων ἐστὶν, οἷον ἀργύρεος χρύσεος, ὅμηρος, ἑκτόρεόν τε χιτῶνα περὶ στήθεσσι δαΐξαι.

Τὰς εἰς ες ληγούσας εὐθείας τῶν πληθυντικῶν, εἰ μὲν ἀπὸ τῶν εἰς ευς εὐθειῶν γίνονται διὰ τοῦ ηες ἐκφέρουσι, βασιλῆες ἱππῆες, διότι καὶ τὴν γενικὴν οὕτω προφέρουσιν, εἰ δὲ ἀπὸ τῶν εἰς ης ἢ εἰς υς διὰ τοῦ ε, οἷον ἀληθέες.

Αἱ εὐθεῖαι τῶν πληθυντικῶν παρ' ἡμῖν μὲν ἀληθεῖς διὰ τῆς ει διφθόγγου, ἰωνικῶς δὲ ἀληθέες, καὶ πάλιν πολὺς πολέες, ὡς τὸ, πολέες δέ μιν ἠρίζοντο φθῆναι, καὶ ὀξέες ἦλοι.

Διαπορήσειε δ' ἄν τις, πῶς τὰς γενικὰς τὰς ἀπὸ τῶν εἰς υς εὐθειῶν οὐ προφέρουσι διὰ τοῦ ηος, οἷον ἡδῆος, ὀξῆος, ὥσπερ βασιλῆος καὶ ἱππῆος. ἔστιν οὖν εἰπεῖν, ὅτι οὐδέποτε ἡ παραλήγουσα τῆς γενικῆς μείζων θέλει εἶναι τῆς ληγούσης τῆς εὐθείας ἐπὶ τῶν περιττοσυλλ-

λάβρως κλινομένων, οἷον αἴας, ἡ εὐθεῖα τὸ α εἰς ἔχει φύσει μακρὸν, ἡ δὲ αἴαντος γενικὴ θέσει μακρὰν ἔχει τὴν παραλήγουσαν, ἀλλὰ καὶ ἡ λάχητος φύσει μακρὰν τὴν παραλήγουσαν, ἡ οὖν ἴση ὀφείλει εἶναι ἡ παραλήγουσα τῆς γενικῆς τῇ ληγούσῃ τῆς εὐθείας, ἢ ἐλάττων, ὡς ἐπὶ τοῦ αἴαντος καὶ χαρίεντος, καὶ λέων λέοντος, οὐδέποτε δὲ μείζων. ἐπεὶ οὖν ὁ πηλεὺς καὶ τὰ ὅμοια εἶχον τὴν λήγουσαν μακρὰν ἐποίησαν καὶ οἱ ἴωνες τὴν παραλήγουσαν μακρὰν τῆς γενικῆς, ἵν' ᾖ ἴση τῇ ληγούσῃ τῆς εὐθείας μὴ οὔσης ἐντεῦθεν τοῦ κανόνος παραβάσεως. ἐπὶ δὲ τοῦ ἡδὺς οὐκ ἠδυνήθησαν τρέψαι τὴν γενικὴν τοῦ ἡδέος εἰς η, οὕτω γὰρ ἂν εὑρίσκετο μείζων ἡ παραλήγουσα τῆς γενικῆς τῆς ληγούσης τῆς εὐθείας, ἐπεὶ ὁ ἡδὺς βραχεῖαν ἔχει τὴν λήγουσαν καὶ ὀξὺς καὶ τὰ ὅμοια. τὰ γὰρ εἰς σ λήγοντα μετὰ διχρόνου ἀποβολῇ τοῦ σ τὸ οὐδέτερον ποιοῦντα, συνεσταλμένον ἔχει τὸ δίχρονον, ὁ μέγας, τὸ μέγα, ὁ ἡδὺς, τὸ ἡδύ.

Τῆς θηλείας τὸ ι ἐξαιροῦσι καὶ ἐπὶ πάσης πτώσεως τοῦτο ποιοῦσιν, ἡρόδοτος, τῶν θηλέων ἵππων μίαν τὴν ὀδυρεῖος ἐς τὰ μάλιστα ἔστεργε, καὶ πάλιν ἐγχρίμπτων τῇ θηλέῃ.

Τὸ μὴ ἐκφωνούμενον ι ἐκφωνεῖν εἰώθασιν, ὅμηρος, ὑπηώϊοι εἶσιν ἀβᾶσαι καὶ παρῷοι ἦσαν ἑταῖροι, καὶ ἡσίοδος, χοΐζειν ἀπιόντος.

Αἱ προσθέσεις τοῦ ι τῷ ε ἐπιφερομένου φωνήεντος ἴδιος τῶν ἀμεταβόλων ἰώνων εἰσὶν, οἷον ἕως εἵως, κεινὴ ἀντὶ τοῦ κενὴ, καὶ ξεῖνος ἀντὶ τοῦ ξένος.

Τὸ μεταλλάττειν τὴν ει δίφθογγον εἰς τὴν ε ἐν συλλαβῇ ἰώνων ἐστὶν, ὅμηρος, ὀρίνεθεν ἑταῖροι ἀντὶ τοῦ ὀρίνειαι, ὀρισθέρματες ἵπποι ἀντὶ τοῦ ἐριθέρματοι.

Αἱ ἐναλλαγαὶ τοῦ η εἰς α βραχὺ ἰώνων εἰσὶ, μεμακυῖα ἀντὶ τοῦ μεμηκυῖα, καὶ λελασμένος ἀντὶ τοῦ λελησμένος, καὶ ἄλαστος, ἀντὶ τοῦ ἄληστος. εἰ δέ τις λέγει, πῶς ποτὲ μὲν τὸ α εἰς η τρέπουσιν, ὡς ἥρα ἥρη, πιτὰν πιτήν. ποτὲ δὲ τὸ η εἰς α, ἴστω ὡς τὸ μὲν α εἰς η τρέπουσιν, ὅτε ἐστὶ τὸ α μακρὸν, τὸ δὲ η εἰς α, οὐχ ἁπλῶς, ἀλλ' ὅτε ἐστὶ τὸ α βραχὺ, αἱ δὲ ἐναλλαγαὶ τοῦ βραχέος α εἰς η μεταγενεστέρων ἰώνων εἰσὶν, ὡς παιδὶ δηὲς τὴν ἀληθείην ἤκουσεν.

Αἱ ἀφαιρέσεις τῶν κατ' ἀρχὴν συμφώνων ἰώνων εἰσὶν, οἷον λείβειν εἴβειν, γαῖα αἶα, δεινὸς, εἰνός.

Αἰ τὴν αυ συλλαβὴν προστιθέασι μεταξὺ τῶν προθέσεων ὡς ἀνέλεν καὶ ἀπὲν ἴδοντο.

Τὰ προσῶτα φωνήεντα στοιχεῖα τῶν λέξεων ἀφαιροῦσιν οἱ ἴωνες, ἐκεῖνος κεῖνος, ἑορτὴ ὀρτή.

Τὰ συνθέτα ῥήματα διαλύουσι, καὶ μεταξὺ τιθέασι τὰ ὀνόματα, οἷον λέων κατὰ ταῦρον ἐδηδὼς, ἀντὶ τοῦ κατεδηδὼς, κατὰ δ' ἔκτανον ἐσπίωνα ἀντὶ τοῦ κατέκτανον.

Τὸ ἀναστρέφειν τὰς λέξεις ἰώνων ἐστὶν ἴδιον οἷον ὄρνιθες ὡς, καὶ ᾧ ἔπι πόλλ' ἐμόγησα.

Καὶ τὰ ὑπερβατὰ ἰώνων εἰσὶν, οἷον αὐτὰρ ἐπεὶ διά τε σκόλοπας καὶ τάφρον ἔβησαν ἤγουν διέβησαν.

Αἱ διαιρέσεις τῶν εἰς ως ληγόντων ἐπιρρημάτων τῶν ἀπὸ τῆς γενικῆς τῶν πληθυντικῶν γινομένων, ὧν ἡ εὐθεῖα τῶν ἑνικῶν εἰς ης περατοῦται, καὶ εἰς ους ἔχει τὴν γενικὴν τῶν ἑνικῶν, οἷον εὐσεβὴς εὐσεβοῦς, ἡ γενικὴ τῶν πληθυντικῶν εὐσεβῶν καὶ τροπῇ τοῦ ν εἰς σ, εὐσεβῶς. ἀληθὴς, ἀληθοῦς, ἡ γενικὴ τῶν πληθυντικῶν ἀληθῶν, καὶ τροπῇ τοῦ ν εἰς σ, ἀληθῶς, καὶ τἄλλα ὁμοίως. ταῦτα οὖν καὶ τὰ τοιαῦτα διαιροῦσιν οἱ ἴωνες ὁμοίως τοῖς ὀνόμασι, ἀληθέως λέγοντες καὶ ἀφνεέως καὶ εὐσεβέως. ἐπὶ μέντοι τῶν ὁσίων ὁσίως καὶ δικαίων δικαίως, καὶ θαυμαστῶν θαυμαστῶς οὐκ ἔτι. τούτων γὰρ αἱ γενικαὶ οὐκ εἰς ους λήγουσιν, ἵνα ὦσι διηρημέναι καὶ κατὰ τὰ ὀνόματα καὶ τὰ ἐπιρρήματα.

Οἱ μὲν δωριεῖς, ὡς εἴρηται, ἐκτεταμένῳ χρῶνται τῷ α, τρέποντες τὸ η εἰς αὐτό. οἷον ἥλιος ἅλιος. νῆσος, νᾶσος. σελήνη, σελάνα.

Οἱ δὲ ἴωνες συνεσταλμένῳ χρῶνται αὐτῷ. καὶ ἁπλῶς εἰπεῖν, καὶ προσθέσει καὶ ἀφαιρέσει καὶ ἐπεκτάσει κέχρηνται καὶ συγκοπῇ.

Ἔστι δὲ ἡ μὲν πρόσθεσις τῇ ἀφαιρέσει ἐναντία ἡ δὲ ἐπέκτασις τῇ συγκοπῇ.

Καὶ πρόσθεσις μέν ἐστιν, ὅταν ἐν τῇ πρώτῃ συλλαβῇ τοῦ ὀνόματος παραληφθῇ τι στοιχεῖον. οἷον εἵνεκα ἕνεκα, καὶ ἴλιον εἴσω ἀντὶ τοῦ ἔσω. μόνος μοῦνος. ὅλος οὖλος.

Ταῦτα δέ τινες προσθέσεις οὐ λέγουσιν ἀλλὰ παρενθέσεις. ὡς καὶ ἐκεῖνα, ἄνακτος εἴνακτος. πνέοντες πνείοντες. ὡς ὅμηρος, οἱ δ' ἴσαν σιγῇ μένεα πνείοντες ἀχαιοί. καὶ ἡμῖν δ' εἴνατός ἐστι περιφοιτέων ἐνιαυτός.

Πρόσθεσις δὲ λέγεται ὅταν ἐν ἀρχῇ τοῦ λόγου ἔξωθεν παραληφθῇ στοιχεῖον. οἷον σταφὶς, ἀσταφίς. πᾶς ἅπας. ἔστι δὲ τοῦτο καὶ ἀττικὸν, κἄντε γοῦν πρόσθεσις, κἄντε παρένθεσις τῶν ἰώνων ἐστὶν, ἀλλὰ καὶ τὰ ἐναντία τούτοις.

Ἔστι δὲ ἐναντία μὲν, ὡς εἴρηται, ἡ πρόσθεσις τῇ ἀφαιρέσει, ἡ δὲ παρένθεσις τῇ ἐλλείψει.

Ἔστι δὲ ἀφαίρεσις ἡ κατ' ἀρχὰς ἄρσις. ἐκεῖνος, κεῖνος. ἐκεῖσε. κεῖσε. ἑορτὴ, ὀρτή.

Ἔλλειψις δὲ ἀποβολὴ φωνήεντος κατὰ τὸ μέσον οὐ ποιοῦντος συλλαβήν. οἷον ἀμύξαι, ἀμύξαι, ἔστι δὲ τοῦτο καὶ ἀττικόν. ταῦτα μὲν ἴδια ἰώνων εἰσὶν. ἔτι πρόσθεσις λέγω καὶ ἡ ἔλλειψις, καὶ ἡ παρένθεσις, καὶ ἀφαίρεσις, καὶ ἔτι συγκοπὴ, ἥτις ἐστὶν ἐναντία τῇ ἐπεκτάσει.

Ἔστι δὲ συγκοπὴ μὲν ἔνδεια μιᾶς συλλαβῆς κατὰ τὸ μέσον τῆς λέξεως. οἷον οἴμημα, οἶμα. κακόμορος κάμμορος. ἐξαίρετος, ἔξαιτος.

Παρέκτασις δὲ πλεονασμὸς μιᾶς συλλαβῆς κατὰ τὸ μέσον. οἷον ἀδελφὸς, ἀδελφεός. ἔτυμος, ἐτήτυμος.

Ἔστιν ὅτε γίνεται συγκοπὴ καὶ δύο συλλαβῶν. οἷον δευκαλιωνίδης, δευκαλίδης. ταύτῃ δὲ τῇ συγκοπῇ χρῶνται καὶ οἱ αἰολεῖς.

Χρῶνται δὲ καὶ ταῖς διαιρέσεσιν. ἤδεε γὰρ κατὰ θυμὸν ἀδελφεὸν ὡς ἐπονεῖτο.

Διαίρεσις δὲ τῇ συναλοιφῇ ἐναντία.

Ἔστι δὲ συναλοιφὴ δύο φωνηέντων διῃρημένων εἰς μίαν συλλαβὴν ἕνωσις. οἷον τὸ ὄνομα, τοὔνομα. καὶ ἔστιν ἴδιον τοῦτο τῶν ἀττικῶν.

Ἡ δὲ ἀναδίπλωσις, ὡς ἔφαμεν, ἰδία τῶν ἰώνων, οἷον λάχωσι λελάχωσιν.

Ἀλλὰ καὶ ἡ ἄρσις αὐτῆς, βεβλημένος, βλημένος.

Ἔστι δὲ ἡ ἀναδίπλωσις ἐναντία τῇ ἄρσει.

Πάλιν ἡ συστολὴ τῶν ἰώνων ἐστίν. οἷον ῥόχθει δὲ μέγα κῦμα ποτὶ ξηρὸν ἠπείροιο.

Ἡ δ' ἔκτασις, οἷον τιθέμεναι τιθήμεναι, ἀττικῶν.

Πάλιν ὁ λεγόμενος προσχηματισμὸς, πλεονασμὸς συλλαβῆς κατὰ τὸ τέλος. οἷον θεοῖς, θεοῖσι. σοφοῖς, σοφοῖσι. μούσαις, μούσαισιν. οὗτος δὲ ἐναντίος ἐστὶ τῇ ἀποκοπῇ. ἔστι δὲ αὕτη τῶν δωριέων. οἷον ἱδρῶτα ἱδρῶ. ὅμηρος, ἱδρῶ ἀπεψύχοντο. κυκεῶνα κυκεῶ.

Πάλιν ἡ παρέμπτωσις ἥτις ἐστὶν ἐναντία τῇ ἐκθλίψει, τῶν ἰώνων ἐστίν. οἷον λεγόμεθα λεγόμεσθα.

Ἡ δὲ ἔκθλιψις μόνων τῶν δωριέων ἐστίν. οἷον σκῆπτρον, σκᾶπτον.

Πάλιν τὸ διπλασιάζειν τῶν ἰώνων ἐστίν, ἤτοι ὁ διπλασιασμὸς, ὡς ἐστὶν ἐναντίος τῇ παρελλείψει.

Ἔστι δὲ ὁ διπλασιασμὸς ὅταν ἔν τινι τῶν συμφώνων τὸ αὐτὸ σύμφωνον προστεθῇ. οἷον ὅτι, ὅττι, ὅττι κεν εἴπω. ὅσον, ὅσσον. ὅμηρος, τόσσον ἐχώσατο φοῖβος ἀπόλλων.

Παρέλλειψις δέ ἐστιν ὅταν ἔν τινι τῶν διπλασιαζομένων συμφώνων παραλίπηται, οἷον κάλλιον, κάλιον. καὶ ἔστι τῶν δωριέων.

Ἔστι δὲ τῶν ἰώνων ἴδιον καὶ τὸ ἀποβάλλειν τῆς ει διφθόγγου τὸ ι. οἷον μείζων, μέζων. κρείσσων, κρέσσων. ἔστι δὲ τοῦτο ἔλλειψις.

Ἔλλειψις δέ ἐστιν, ὡς προείρηται, ἀποβολὴ φωνήεντος κατὰ τὸ μέσον, οἷόν ἐστι καὶ τὸ αἰμύξαι, ἀμύξαι.

Οὗτοι καὶ τὸ ἐπειδὰν ἐπεὰν λέγουσιν. ἡρόδοτος, ἐπεὰν ἐκβῇ εἰς τὴν γῆν ἐκ τοῦ ὕδατος ὁ κροκόδειλος.

Ὁμοίως καὶ τὸ ἐνταῦθα ἐνθαῦτα φασὶν ἐναλλαγμένως. ἡρόδοτος. ἐνθαῦτα ὁ τροχίλος ἐσδύων, ὡς ἀπὸ τοῦ ἔνθα.

Ζωὴν λέγουσι καὶ τὴν ζῶσαν γυναῖκα, ὡς ἀπὸ τοῦ ζωός.

Τὸ λίαν κάρτα λέγουσι.

Τὸ μέγεθος μέγαθος λέγουσιν. ἡρόδοτος ἐν τῇ δευτέρᾳ τῶν ἱστοριῶν. πρόσωπον δὲ ἐς τὰ μάλιστα ἐπίγρυπον μέγαθος ὅσον κρίξ.

Τὸ ε καὶ ο εἰς τὴν ου δίφθογγον μετατρέπουσι παρ' αὐτοῖς, ἡρόδοτος, ἐς τὸν ὀρέων πῖνέ τε καὶ τέρπευ. ἔσεαι δὲ ἀποθανὼν τοιοῦτος. καὶ πλώοντας τοὺς πλέονας μὲν τὴν ἑλένης ἁρπαγὴν ἑλλήνων στρατιὴν πολλὴν βοηθέουσαν μενελάῳ.

Τὸ σοφίαν σοφίην λέγουσι.

Τὸ μὴ ἀπαγορευτικὸν σύνδεσμον ἀντὶ τοῦ μὴ παρακελευσματικοῦ λαμβάνουσιν, ὡς παρ' ἡροδότῳ, μὴ ἔχειν ἑλένην.

Τὸ ἕως οὗ, ἐς ὃ λέγουσιν. ἡρόδοτος, ἐς ὃ ἐξέβαλον τὸ πάλιν. αὖτις δὲ λέγουσι καὶ οὐκ αὖθις.

Τὸ ἐπιτήδειος τὸ ι ὑπεξαιροῦσι καὶ ἐπιτήδεος λέγουσιν. ἡρόδοτος, ἵνα πυνθάνοιτο ἐσβατηρία ἐπιτηδεέστης.

Ἡ κρᾶσις τοῦ ι καὶ ε εἰς ι μακρὸν τῶν ἰώνων ἐστίν. ἱεροὺς ἱρούς, ἱέραξ, ἵρηξ.

Καὶ τροπῇ τοῦ α εἰς η, ἵρηξ κατὰ τὴν αὐτὴν διάλεκτον. Ἡσίοδος, ὧδ' ἵρηξ προσέειπεν ἀηδόνα ποικιλόδειρον. καὶ ὄρνιθα, ὄρνις ἰωνικῶς.

Τὸ τέμνειν τάμνειν λέγουσι. ἡρόδοτος ἐν δευτέρᾳ. τοὺς ἱρέας τοὺς ἐν αἰγύπτῳ συλλέξαντας πάντας μέσους διατάμνειν. καὶ ἱπποκράτης, φλέβα τάμνειν.

Τὸ ἐνεγκεῖν ἀφαιροῦνται τὸ γ, καὶ ἀντ' αὐτοῦ ἐπιτιθέμενοι τὸ ι, ἐνεῖκαι λέγουσιν. ἡρόδοτος μυριαχοῦ τούτῳ χρῆται.

Τὸ ἐκπλεύσας ἐκπλώσας λέγουσιν. ἡρόδοτος, κατὰ λήϊον ἐκπλώσαντες.

Τὸ σφεῖς σφᾶς καὶ σφῶν διαιροῦσι καὶ οὕτω προφέρουσι, σφέες καὶ σφέας καὶ σφέων. ὅμηρος. ἀλλὰ σφέας κρατερὸς διομήδης ἐξενάριξε.

Τὸ νοῦν καὶ τὸν ῥοῦν καὶ τὴν χροῦν διαλύουσι, νόον καὶ ῥόον καὶ χρόα λέγοντες. ὅμηρος, ταμεσίχροα χαλκὸν ἧμεν. ἡρόδοτος, οἱ ἐκ τοῦ νόου φέρουσι.

Τῇ εἰπὼν οὐ χρῶνται μετοχῇ ἀλλὰ τῇ εἴπας.

Εἰρώτα διὰ διφθόγγου γράφουσι, καὶ εἴρομαι διὰ τοῦτο ἐπεὶ συνεχομένους ποιοῦσι τοὺς παρῳχημένους τοῖς ἰδίοις ἐνεστῶσι.

Ἔστι γὰρ παρ' αὐτοῖς ὁ παρατατικὸς ἠρώτα, εἶτα ἐπιθέσει τοῦ ι, γίνεται εἰρώτα. οὕτω καὶ τὸ ἐπανείρετο παρ' αὐτοῖς διὰ τῆς ει διφθόγγου γραφόμενον, ἢ ἀπὸ τοῦ θέματος προσλαμβάνει τὴν ει δίφθογγον. ἔστι γὰρ τῷ ἐρωτῶ καὶ ἔρω, καὶ γίνεται παραθέσει τοῦ ι εἴρω εἴρομαι εἰρόμην εἴρου εἴρετο. Ἔτι οἱ ἴωνες τὰ τρίτα πρόσωπα τῶν πληθυντικῶν οὕτω ποιοῦσιν ἐν τοῖς τελείοις προσώποις τῶν ἐνικῶν τοῖς ἔχουσι πρὸ τοῦ τ ψιλόν, τρέπουσι τὸ ψιλὸν εἰς τὸ ἀντίστοιχον δασύ, καὶ ποιοῦσι προσθήκην τοῦ α. τέτυπται τετύφαται, λέλεκται λελέχαται. εἰ μέντοι εἴη τὸ κοινὸν διὰ τοῦ σ βαρύτονον, τότε καὶ τὸ ἰωνικὸν ἔχει

πρὸ τοῦ

πρὸ τοῦ α, τοῦ δὲ χαρακτηριστικοῦ τοῦ μέσου παρακειμένου, πέφρασαι πέφρασται, ὅτι πέφρασαι. εἰ μέντοι ἀπὸ περισπωμένων φύσει μακρᾷ παραληγομένων ταύτην συστέλλουσι πρὸ τοῦ α καὶ εἰς τὴν ὀφειλομένην συστολήν, πεποίηται, πεποιέαται.

Ἔτι στοιχοῦσιν Ἴωνες ἐπὶ τῶν εἰς δου ληγόντων παρωνυμικῶν ταῖς ἐπεκτάσεσι πυλειάδου λέγοντες καὶ λαερτιάδου. ὤφειλε γὰρ εἶναι ἡ γενικὴ λαερτίδου.

Ἐπεὶ τὰ εἰς δης παρωνυμικὰ μιᾷ συλλαβῇ πλεονάζουσι τῆς γενικῆς τοῦ πρωτοτύπου οἷον πηλέως, πηλείδου, πριάμου, πριαμίδου, οὕτω καὶ λαέρτου, λαερτίδου ὤφειλεν εἶναι τὸ παρωνυμικόν, ἀλλ' οἱ Ἴωνες ποιοῦσιν ἐπέκτασιν, καὶ οὕτω προφέρουσι, λαερτιάδης λέγοντες, πηλειάδης, εἶτα κατ' ἐπέκτασιν ἀττικὴν πηληϊάδης.

Χρῶνται δὲ καὶ ταῖς μεταθέσεσι.

Ἔστι δὲ μετάθεσις ὅταν ἢ τὸ πρῶτον στοιχεῖον τῆς ἰδίας γένηται συλλαβῆς, δεύτερον οἷον ἀτραπιτὸς ἀταρπιτός, ἐκ γὰρ τοῦ τρέπεσθαι γέγονε καὶ τοῦ α στερητικοῦ μορίου, καὶ ἔστιν ἡ εὐθεῖα ἡ ἀτραπιτὸς ἤγουν ἡ ὁδός. εἶτα γέγονε μετάθεσις τοῦ στοιχείου καὶ λέγεται ἀταρπιτός. ἢ τὸ δεύτερον πρότερον, οἷον καρδία, κραδία. καρτερός, κρατερός. τέταρτον, τέτρατον. ὅμηρος, τέτρατον ἦμαρ ἔην καὶ τῷ τετέλεστο ἅπαντα.

Ἰστέον δὲ ὡς διαφέρει μετάθεσις ὑπερθέσεως, ἡ μὲν γὰρ μετάθεσις ἐν τῇ αὐτῇ συλλαβῇ γίνεται. ἡ δὲ ὑπέρθεσις ἐν ὑστέρᾳ ὡς τὸ ὀθνεῖος· ἦν γὰρ νόθος, νοθεῖος καὶ καθ' ὑπέρθεσιν, ὀθνεῖος, καὶ πάλιν γόνυ γόνυος καὶ δόρυ δόρυος. καὶ καθ' ὑπέρθεσιν γουνὸς καὶ δουρός. χρῶνται δὲ καὶ τούτῳ τῷ πάθει οἱ Ἴωνες.

Εἰδέναι δὲ χρὴ ὡς ἡ μὲν ἀρχαία Ἰὰς μετέπεσε περὶ τὴν τῶν κατοικούντων περιτροπήν. καὶ διέμεινεν ἕως ἐκείνου τοῦ καιροῦ ἐφ' ᾧ ἐποιήσαντο οἱ Ἴωνες τὰς ἀποικίας καὶ διεσπάρησαν εἰς τόπους πλείονας. λέγεται δὲ παρ' αὐτοῖς τὸ μὲν ὑγιαίνειν οὐλεῖν. ὅθεν καὶ τὰ ὑγιῆ τῶν τραυμάτων οὐλὰς λέγομεν.

Οἶ δὲ λέγος μῆθος.

Τὸ μαντεύεσθαι ἀπλεῖν. καὶ τοὺς τόπους ἐν οἷς ἀνεστρέφοντο ἤθη.

Καὶ τὸ ἐπιμελῶς ἀοκνῶς.

Ἀντὶ τοῦ ξενίαν ἐδωρήσατο, ξενίαν συνεθήκατο.

Καὶ τὸ ἀπαρτητικῶς ἢ ἐπιμελῶς ἐπιστρεφέως.

Καὶ τὸ ἐχούσης ἰσχούσης.

Καὶ τὸ θυμωθεὶς, καὶ ταραχθεὶς, συνεχθείς.

Καὶ ὁ ἔποικος ἐπίστιος.

Καὶ ὁ δυσπραγῶν ἠμεκτέων.

Καὶ ἀντὶ τοῦ ἕτεροι δὲ, μετεξέτεροι λέγουσιν.

Καὶ ἀντὶ τοῦ ἡσυχάζων, ἐλινύων.

Λέγουσι δὲ καὶ τοὺς κατὰ δήμους καὶ ἀριθμοὺς τῶν τριάκοντα ἀνδρῶν λάπτα.

Καὶ τὸν διασκεδασθέντα ἐνδόσαντα.

Καὶ τὸ ἀπείπασθαι ἢ ἐδίδαξεν ἀέγνωσι.

Καὶ τὰς βαφὰς, φάρμακα.

Καὶ τὰ ἀναλώματα, τέλη.

Καὶ λαύρας λέγουσι τὰς ῥύμας τὰς ἀμφόδους.

Σαγάρεις δὲ τοὺς πελέκεις ἢ τὰ ἐκ χειρὸς ὅπλα.

Ἄρδεις τὰς φαρέτρας.

Φάλαρα τὰ περὶ τὰς γνάθους σκεπάσματα.

Ὕνας δὲ τὰ ἐν τοῖς ὀλύνθοις γινόμενα ζωΰφια.

Σχοινοτενὲς τὸ μακρὸν καὶ ὀρθόν.

Συμψήσας δὲ λαμβάνουσι ἀντὶ τοῦ συντρίψας.

Αἱμασιαὶ δὲ τὸ ἐκ χαλίκων ᾠκοδομημένων καὶ ἄνευ πηλοῦ τοιχίον.

Φέρσος τὸ κλάσμα, τὸ φύφος τὸ ἀκρωτήριον.

Καὶ ταρσοὺς δὲ καλάμους τὴν πλατεῖαν οὐ ὑφέρειν τὴν πλίνθον.

Ἔμβολον δὲ τὸ χάλκωμα τὸ προστιθέμενον κατὰ τὰς πρῴρας ταῖς ναυσίν.

Ἐναγίζειν δὲ τὸ χοὰς ἐπιφέρειν. ἢ θύειν τοῖς κατοιχομένοις.

Ῥέχθειν δὲ τὸ ἀποσπεῖσαι.

Ἔπαλα τὴν μὴ βεβαίαν κτῆσιν ἀλλ' ἐξεπιπολῆς.

Ἄνκην δὲ καλοῦσι πάθος τι περὶ ὅλον τὸ σῶμα. κνυζήματα δὲ τὰ λεπτὰ ἀποφθέγματα.

Γεωπείνας δὲ τοὺς ἐπὶ γῆς πεινῶντας καὶ ἀπορουμένους.

Τὸ δὲ ἱκανώσας ἀπώσας ὡς καὶ ἱδρύσαντες ἐν τῇ δευτέρᾳ.

Τὸ δὲ μέτριον καὶ καλῶς ἔχον ἐπιεικέστατον. τὸ δὲ ἐκτρεχόμενοι κάμπτοντες φασί. κορύνην δὲ λέγουσιν ἐπιτηδευματώδες τι ξύλον, ἁμαρτίαν δὲ τὴν ἀπόπατον.

Τὰ δὲ ὀπτώμενα πεσσόμενα. βάρεις δὲ τὰς ναῦς.

Ὀρεῖν δὲ καλοῦσι τὸν διόνυσον.

Τὰς δὲ ἀλύσεις ἀφιδέας. οἱ δὲ τὰ ψέλλια. τὸ δὲ καθαίρειν πόμα ἐκ ζειᾶς καὶ ὕδατος, συρμαΐζειν.

Λῖνον δὲ ᾠδῆς ὄνομα ἢ λύρας χορδήν.

Φονέας δὲ τοὺς κρατοῦντας. ἀποφορὰν δὲ τὴν τελουμένην παρὰ τῶν δούλων τοῖς δεσπόταις.

Λάσιν δὲ τὴν πορείαν καὶ ἔφοδον.

Συρτὴ δὲ παρ' αὐτοῖς ὀνομάζεται λαχαινόντι

Τὴν δὲ εἰς ες κλητικὴν τῶν εἰς ης ὀνομάτων δίχα τοῦ ς προφέρουσι· Σώκρατες, Σώκρατε. Ἀριστόφανες, Ἀριστόφανε. Δημόσθενες Δημόσθενε. καὶ τῆς γενικῆς δὲ πτώσεως τὸ σ ἀφαιροῦσι. Σωκράτου, Διομήδου, Σοφοκλέου λέγοντες.

Ἀντὶ αἰτιατικῆς τὴν δοτικὴν παραλαμβάνουσιν ἐν τοῖς πληθυντικοῖς. τοῖς ἀνθρώποις ἀντὶ τοῦ τοὺς ἀνθρώπους. τοῦτο δὲ ποιοῦσι διὰ τὸ χρῆσθαι αὐτοὺς τὸ ι ἀντὶ τοῦ υ.

Τὴν δὲ αἰτιατικὴν τῶν πληθυντικῶν προφέρουσι τὸ ως ἀντὶ τοῦ ους λαμβάνοντες. τὼς ἀνθρώπως τὼς ἵππως.

Τὰ ἀπαρέμφατα ῥήματα τὰ εἰς ειν καταλήγοντα, αὐτοὶ διὰ τοῦ ην ἐκφέρουσι βαρυτονοῦντες, φιλεῖν, φίλην. καλεῖν, κάλην, φρονεῖν, φρόνην.

Τὰ δὲ παρ' ἡμῖν λέγοντα εἰς αν, αὐτοὶ εἰς αις μεταβάλλουσι. γελᾶν, γελαῖς. πεινᾶν, πειναῖς.

Τὰ δὲ εἰς ουν καταλήγοντα ἀπαρέμφατα αὐτοὶ διὰ τοῦ οις ἐκφέρουσιν. ὑψοῦν, ὑψοῖς. ὀρθοῦν, ὀρθοῖς. χρυσοῦν, χρυσοῖς.

Τὰ δὲ εἰς ω καταλήγοντα παρ' ἡμῖν, εἰς μι ποιοῦσιν. οἷον νοῶ, νόημι. φιλῶ, φίλημι.

Ὅσαι δὲ μετοχαὶ ὀξύτονοι εἰς ως καταλήγουσι διὰ τοῦ ν παρ' ἐκείνοις ἐκφέρονται, καὶ βαρυτονοῦνται. εἰρηκώς, εἰρήκων. νενοηκώς, νενοήκων. φυλάττουσι δὲ καὶ τὰς ἀπὸ τούτων κλίσεις ἀναλόγως τῇ καταλήξει. λέγεται δὲ παρ' αὐτοῖς ὁ ἔρως, ἔρος. καὶ ὁ γέλως, γέλος. καὶ κλίνουσιν αὐτὰ ὁμοίως τοῖς εἰς ος λήγουσι κυρίοις ὀνόμασι.

Τὸ ἐγὼ [illegible] ἐγὼν λέγοντες. καὶ ἐμοῦ, ἐμοῦν.

Τὸ σὺ τύ, ὁμοίως τοῖς Δωριεῦσι λέγουσι. καὶ τὸ ἡμῖν, ἄμμιν. ἡμεῖς, ἄμμες.

Τὸ ἐνθάδε τῆδε. τὸ ἄλλοσε, ἑτέρωσε.

Τὰ χείρονα, χέρρονα.

Τὸ ἐπαινῶ, αἴνημι.

Τὰ ἱμάτια, ἕμματα.

Ἡ μία ἴα. Ἡ ψῆφος, ψάφαξ.

Τὸ ἔστρωται, ἐστόρηται.

Οὗτοι μέσον δύο φωνηέντων τιθέασι τὸ υ. ἀὴρ γὰρ αὔηρ λέγουσι.

Καὶ ἕως ἄως.

Ὅτι δὲ σύμφωνον ἓν μεταξὺ οὐκ ἐπι[illegible]

Καὶ ταῦτα μὲν περὶ τῆς διαλέκτου λέλεκταί μοι κατὰ τὸ δυνατόν. ἴσως δὲ καὶ ἕτερά τις σκοπῶν ἀκριβῶς εὑρήσει διαφέροντα ταύταις.

ΤΕΛΟΣ.

ΠΕΡΙ

ΠΕΡΙ ΑΝΩΜΑΛΩΝ ΡΗΜΑΤΩΝ.

ΚΑΤΑ ΣΤΟΙΧΕΙΟΝ.

ΑΡΧΗ ΤΟΥ Α.

Ἄζω ἅζω ἥσθην. ἀόρ. πρῶτος ἄσθην καὶ ἥσθην.

Ἄ γαμαι μέλλων ἀγάσομαι. ἀόρ. πρῶτος ἠγάσθην. μέσ. ἀόρ. ἠγασάμην.

Ἄ γω, μέλλων ἄξω. ἀόρ. β. ἤγαγον καὶ ἀττικῶς ἤγαγον. π. ἦχα, καὶ ἀττικῶς ἀγήοχα.

Ἄ γνυμι, μέλλων ἄξω. μέσ. παρακ. ἀττικῶς ἔαγα. ὅθεν τὸ κατέαγα. ἀόρ. πρῶτος ἔαξα. ὅθεν τὸ κατέαξα.

Ἀ γορεύω μέλ. ἀγορεύσω. ἀόρ. ἠγόρευσα. π. εἴρηκα. ἀπὸ τοῦ ἔρω.

Ἄ δω μέλ. ᾄσω. ἀόρ. ᾖσα.

Αἱ ροῦμαι μέλ. αἱρήσομαι. π. ᾕρημαι. ἀόρ. ᾑρέθην. μέσος ἀόρ. β. εἱλόμην, ἀπὸ τοῦ ἕλομαι.

Αἱ ρέω. ῶ. μέλλων αἱρήσω. ἀόρ. β. εἷλον ἀπὸ τοῦ ἕλω ὅπερ ἄχρηστον.

Αἰ σθάνομαι, μέλ. αἰσθήσομαι. π. ᾔσθημαι. μέσ. β. ἀόρ. ᾐσθόμην ἀπὸ τοῦ αἰσθέομαι, αἰσθοῦμαι ἀχρήστου.

Ἀ λέξω. μέλλων ἀλεξήσω ἀπὸ τοῦ ἀλεξέω ἀχρήστου.

Ἀ μαρτάνω παρατ. ἡμάρτανον. μέλλων ἁμαρτήσομαι. π. ἡμάρτηκα. ἀόρ. β. ἥμαρτον. ἀπὸ τοῦ ἁμαρτέω, ἁμαρτῶ ἀχρήστου.

Ἀ νοίγω. μ. ἀνοίξω. ἀόρ. ἀνέῳξα ἀττικῶς. μέσ. π. ἀνέῳγα. ὁ παθητικὸς παρακ. ἀνέῳγμαι. ὁ ἀόρ. α. ἀνεῴχθην.

Ἀ πεχθάνομαι, μέλ. ἀπεχθήσομαι. π. ἀπήχθημαι. μέσ. β. ἀόρ. ἀπηχθόμην, ἀπὸ τοῦ ἀπεχθέομαι. οῦμαι, ἀχρήστου.

Ἀ υξάνω, καὶ αὔξω. μέλ. αὐξήσω. ὡς ἀπὸ τοῦ παλαιοῦ θέματος αὐξέω, ῶ. ἀόρ. πρῶτος ηὔξησα. παρατ. ηὔξανεν.

Ἀ λόω. ῶ. ἀόρ. β. εἷλον ἀπὸ τοῦ ἕλω. μετοχὴ ὁ ἁλοὺς ἁλόντος.

Ἀ μφιέννυμι καὶ ἀμφιέννυμι μέλ. ἀμφιέσω παθητικὸς. π. ἠμφίεσμαι.

Ἀ ναγινώσκω παρατ. ἀνεγίνωσκεν, μέλλων ἀναγνώσομαι. παρακ. ἀνέγνωκα. ἀόρ. β. ἀνέγνων ἀπὸ τοῦ ἀναγνόω. ῶ. ἀνάγνωμι ἀχρήστου.

Ἀ ναζωννύω μέλλων ἀναζώσω.

Ἀ νακράζω, μέλ. ἀνακράξω. μέσος. π. ἀνακέκραγα. ἀόρ. β. ἀνέκραγον.

Ἀ ναπνέω. μ. ἀναπνεύσω. ἀόρ. ἀνέπνευσα. ἀπὸ τοῦ ἀναπνεύω παλαιοῦ.

Ἀ ναρρηγνύω καὶ ἀναρρήγνυμι. μέλλων ἀναρρήξω ἀπὸ τοῦ ἀναρρήσσω.

Ἀ ναπαύω. ῶ. μέλλων ἀναπαύσω.

Ἁλίσκομαι. μ. ἁλωθήσομαι ἀπὸ τοῦ λήβομαι λήψομαι ἐλήφθην. ἢ μέλ. ἁλώσομαι. ἀόρ. β. ἧλων. καὶ ἑάλων ἀττικῶς. ἀπὸ τοῦ ἁλόω. ῶ. ἅλωμι. ἡ μετοχὴ ἁλοὺς ἁλόντος.

Ἀ παναίνομαι. ἀόρ. ἀπηνηνάμην.

Ἀ πόχρη. μ. ἀποχρήσει. ἀόρ. ἀπέχρησε ἀπὸ τοῦ ἀποχρέω παλαιοῦ.

Ἀ ποδιδράσκω. μ. ἀποδράσω. ἀόρ. α. ἀπέδρα. ἀπὸ τοῦ ἀποδράω ἀχρήστου. ὁμοίως δὲ καὶ τὸ ἀποδιδράσκω.

Ἀ φίημι. μ. ἀφήσω. ἀόρ. ἀφῆκα.

Ἀ ντιστρέφω. μ. ἀντιστρέψω. μέσος. π. ἀντέστροφα.

Ἀ νεπεταννύω. καὶ ἀναπετάννυμι. μ. ἀναπετάσω ἀπὸ τοῦ ἀναπετάω. ῶ.

Ἀ πέχω. μ. ἀφέξω, διότι τὸ ἕξω δασύνεται φέρεται τὸ. π. εἰς φ. π. ἀπέσχηκα. ἀόρ. β. ἀπέσχον. ἀπὸ τοῦ ἀποσχέω ἀποσχῶ παλαιοῦ.

Ἀ ποδράω. ῶ. ὅθεν ἀόρ. α. ἀπέδρα.

Ἀ ποδεικνύω καὶ ἀποδείκνυμι. μ. ἀποδείξω. ἀπὸ τοῦ ἀποδείκω.

Ἀ πολέω. ῶ. μ. ἀπολέσω. μέσος ἀπώλεκα. καὶ ἀττικῶς ἀπολώλεκα. καὶ ἀπόλλω. μ. ἀπολῶ. καὶ ἀπολέσω. ὁ μέσ. π. ἀπώλα. καὶ ἀττικῶς ἀπόλωλα. ὁ μέσος. β. ἀόρ. ἀπολόμην ἀπὸ τοῦ ἀπόλλω ἀχρήστου ἀπολλύω καὶ ἀπόλλυμι.

Ἀ ποσβεννύω καὶ ἀποσβέννυμι. μ. ἀποσβέσω. ἀόρ. β. ἀπέσβην.

Ἀ ποτέμνω. μ. ἀποτεμῶ. καὶ ἀποτμήσω. ἀόρ. β. ἀπέτεμον.

Ἀ ποτανύω. μ. ἀποτανύσω.

Ἀ πουράω. ῶ. ἀόρ. ἀπηύρα.

Ἀ ποσυφελίζω. μ. ἀποσυφελίξω.

Ἀ ποκλαίω. μ. ἀποκλαύσω ἀπὸ τοῦ κλαύω παλαιοῦ.

Ἀ ναμιμνήσκω. μ. ἀναμνήσω. ἀόρ. ἐμνήσθην ἀπὸ τοῦ ἀναμνάω παλαιοῦ.

Ἀ ναίνομαι. ὅθεν τὸ ἀπαναίνομαι. ὁ μέσος ἀόρ. α. ἠνηνάμην.

Ἀ ρέσκω. μ. ἀρέσω. ἀπὸ τοῦ ἀρέω παλαιοῦ.

Ἀ ρέσκομαι. μ. ἀρέσομαι, καὶ τὸ ἀπρόσωπον ἀρέσκει. παρατ. ἤρεσκε.

Ἀ τίζω. μ. ἀτίξω.

Ἀ φικνοῦμαι. μ. ἀφίξομαι. π. ἀφῖγμαι. μέσος. β. ἀόρ. ἀφικόμην. ἀπὸ τοῦ ἀφίκομαι ἀχρήστου.

Ἀ φίπταμαι. μ. ἀποπτήσομαι. ἀόρ. ἀπέπτην μέσ. ἀόρ. ἐπεπτάμην. ἀπὸ τοῦ ἀφιπτάω ἀχρήστου.

Ἄ χθομαι. μ. ἀχθέσομαι. ἀόρ. α. ἠχθέσθην, ἀπὸ τοῦ ἀχθέομαι ἀχρήστου.

τι αὔδρα πιστὸν ἤδη ἐχλάτἴαι. ἡ σοφοκλῆς· οὐ γάρ μ᾽ ἀρέσκει γλῶσσά σου τεθηγμένη. ἀντὶ τοῦ οὐ γάρ μοι. καὶ ἄλλα εὕροις ἂν μυρία τῶν λεγομένων παραδείγματα καὶ παρ᾽ Ὁμήρῳ καὶ πᾶσι τοῖς ἀττικοῖς. τὰς νῆας, τὰς εὐθείας ἡ ναῦς, τὸ η εἰς ε τρέποντες, καὶ τὸ ο μικρὸν εἰς ω μέγα ἐκτείνοντες, νέως γράφουσί τε καὶ φθέγγονται.

Τῶν ἀπὸ τῶν εἰς ευς εὐθειῶν γινομένων διὰ τοῦ εως γενικῶν, τὸ ος ἐκτείνουσιν ἀττικοὶ τελέως, καὶ ἱππέως λέγοντες, τὸ δὲ, ὦ ἀχιλλεῦ πηλέος υἱὲ μέγα φέρτατ᾽ ἀχαιῶν, παρὰ τοῖς ποιηταῖς ἐκφερόμενον, τῆς κοινῆς ἐστι διαλέκτου.

Τὸ αὔειν καὶ αὔτἴειν θουκυδίδης φασὶν ὡς ἀριστοφάνης ἐν ὄρνισι, μάτην ἄρα τὴν ὁδὸν αὔτἴομεν, καὶ ἔτι ἄλλο αὔτἴειν μέλλει ἐπιβαλλόμενος. ἐν τῇ τρίτῃ τῆς συγγραφῆς.

Τὸ ι, ἔστι τῶν λέξεων προστιθέασιν, οἷον τουτοί, οὑτοσί, τουτονί, νυνί.

Καὶ τὸ εἶναι παρέλκειν παρ᾽ αὐτοῖς ἐγνωρίσαμεν, ὡς καὶ παρὰ θουκυδίδῃ ἐν τῇ ὀγδόῃ, καὶ τὸ μὲν ἐπ᾽ ἐκείνοις εἶναι, καὶ ἄκοντες καὶ βιαιότεροι ἀποθνήσκοιεν.

Αἱ ἐξαιρέσεις τοῦ ι τῶν ἀττικῶν εἰσιν ἴδιαι. ἑτάρων γάρ φασιν ἀντὶ ἑταίρων. εὗρον δ᾽ ἐγὼ ὅτι καὶ δωριέων, καὶ αἰολέων εἰσὶν, καὶ ἀντὶ τοῦ κλαίειν κλάειν λέγουσι, καὶ τὸ ποιεῖν, ποεῖν, καὶ τὸ ποίημα πόημα.

Καὶ τὸ ὡς παρ᾽ αὐτοῖς παρέλκειν, νενόμισται, ὡς ἐν τῇ ὀγδόῃ πεποίηκως θουκυδίδης εὑρίσκεται, καὶ γὰρ ὡς αὐτοῖς οὐδὲν ἔμελλε χρήσεσθαι ἀντὶ τοῦ αὐτοῖς.

Τὴν εἰς πρόθεσιν ες λέγουσιν, ἐς χρύσαν, ἐς πατρίδα προφέροντες, καὶ ἀντὶ τῆς πρὸς, τῷ ὡς χρῶνται, ὡς τὸν θεὸν λέγοντες, καὶ ὡς τὸν διδάσκαλον, ἀντὶ τοῦ πρὸς τὸν θεὸν καὶ πρὸς τὸν διδάσκαλον.

Τὸ δὲ ἀντὶ τοῦ δὴ πολλάκις κέχρηνται ὡς ἐν τῇ ὀγδόῃ κεφαλαιοῦντες, μάλιστα δὲ ὡς ἐξῆν αὐτοῖς τὸν ἀλκιβιάδην κατάγουσι, καὶ μὴ τὸν αὐτὸν τρόπον δημοκρατουμένοις βασιλέα τε ξύμμαχον ἔχειν, καὶ πελοποννησίων δὲ περιγίνεσθαι, ἐνταῦθα γὰρ τὸ μάλιστα δὲ, καὶ πελοποννησίων δὲ, ἀντὶ τοῦ δὴ παρελήφθησαν ἐν τῷ θουκυδίδῃ.

Οὗτοι καὶ τῇ αἰτιατικῇ καὶ τῇ εὐθείᾳ χρῶνται ἀντὶ γενικῆς συντάξεως, ὡς ἐν τῇ ὀγδόῃ θουκυδίδης ἀλλήλοις γὰρ ἅπαντες οἱ τοῦ δήμου ὑπόπτως προσῄεσαν ὡς μετέχοντά τινα τῶν γιγνομένων. ἀντὶ τοῦ ὡς μετέχοντός τινος τῶν γιγνομένων, ἐν δὲ τῇ τρίτῃ τῇ εὐθείᾳ ἀντὶ γενικῆς οὕτως ἐχρήσατο, οἱ δὲ ἀθηναῖοι οὐ πολὺ ὕστερον καταπλεύσαντες ὡς ἑώρων ἀπηγγελμένοι στρατηγοὶ, ἀντὶ τοῦ τῶν ἀθηναίων καταπλευσάντων. Ὅμηρος, οἱ δὲ δύο σκόπελοι ὁ μὲν οὐρανὸν ἀμφὶς ἱκάνει, καὶ ὁ φιλόστρατος ἐν τοῖς βίοις τῶν σοφιστῶν, ὁ προτεύς ὁ φάριος τὸ θαῦμα τὸ ἑλληνικὸν, πολλαὶ μὲν αὐτοῦ καὶ πολυειδεῖς αἱ μορφαὶ, δαίμονες, δὲ μετέωροι ὑμέρας ἤδη τῇ πόλει τοῦ ἡμῶν πειθοῦσαι, ἀντὶ τοῦ τῶν δὲ μετεώρων δαιμόνων.

Καὶ ἀντὶ τῶν μετοχῶν ἀττικοὶ τοῖς ῥήμασι κέχρηνται, καὶ ἀντὶ ῥημάτων ἐναλλὰξ μετοχαῖς, ὡς θουκυδίδης, ὁ δὲ χρηματίσαιτο ἀφεὶς, ἀντὶ τοῦ ὁ δὲ ἀφῆκε χρηματισάμενος. καὶ τὸ ἢ παρέλκει ἐν τοῖς ἀττικοῖς. ὡς ἐν τῇ ὀγδόῃ θουκυδίδου εὑρίσκεται, ὡς τοῦ ἰδίου πολέμου μείζονος, ἢ ἀπὸ τῶν πολεμίων οὐχ ἑκὰς, ἀλλὰ πρὸς τῷ λιμένι ὄντος. τὸ ἀλλὰ ἀντὶ παρακελευσματατικοῦ πολλάκις τιθέασιν, ὡς καὶ παρ᾽ ὁμήρῳ, ἀλλά γε μηκέτι ταῦτα λεγώμεθα.

Τὸ παραλαμβάνειν τὰς αἰτιατικὰς πτώσεις ἀντὶ γενικῶν, ἀττικῶν ἐστιν ἴδιον, οἷ μήτε σύ τὸν ἀγαθός περ ἐὼν ἀποαίρεο κούρην ἀντὶ τοῦ ἀπὸ τούτου.

Καὶ ἐκφέρειν τὰς κλητικὰς ἀντὶ εὐθειῶν, νεφεληγερέτα ζεὺς, ἀντὶ τοῦ νεφεληγερέτης.

Τὸ λαμβάνειν τὰς δύο ἀποφάσεις ἀντὶ μιᾶς καταφάσεως, ἀττικῶν ἐστι, θουκυδίδης ἐν τῇ τρίτῃ τῆς συγγραφῆς, ξύμμαχοι μέντοι ἐγενόμεθα οὐκ ἤδη καταδουλώσει τῶν ἑλλήνων, ἀντὶ τοῦ ἐλευθερίᾳ, ἐν γὰρ, καὶ μία ἐστὶν ἡ ἀπόφασις ἡ ου, ἀλλὰ ἡ καταδούλωσις τρόπον τινὰ ἀπόφασίς ἐστι, στέρησις τῆς ἐλευθερίας τυγχάνουσα, καὶ ἐναντιούμενον τῷ τῆς ἐλευθερίας ἀξιώματι, ὡς ὅμηρος, ἐπεὶ οὔ μιν ἀφαυρότατος βάλ᾽ ἀχαιῶν, ἀντὶ τοῦ ἀνδρεῖος.

Καὶ θηλυκῶς τι λέγειν εἰώθασιν, εἶτα ἐπάγειν οὐδέτερον οὐ πρὸς τὴν φωνὴν ἀποδιδόντες, ἀλλὰ πρὸς τὸ σημαινόμενον, ὡς ὅμηρος, νεφέλη δέ μιν ἀμφιβέβηκε κυανέη, τὸ μὲν οὔποτε λήγει, ὡς πρὸς νέφος γὰρ ἀπήντησε. καὶ ὁ θουκυδίδης. ἡ νόσος πρῶτον ἤρξατο γενέσθαι τοῖς ἀθηναίοις, λεγόμενον μὲν πρότερον πολλαχόσε ἐγκατασκῆψαι καὶ περὶ λῆμνον καὶ ἐν ἄλλοις χωρίοις, λεγόμενον γὰρ εἶπεν ἀπηντηκὼς πρὸς τὸ νόσημα.

Τὰς ἀπὸ τῶν εἰς ευς εὐθειῶν εἰς εις πληθυντικὰς διὰ τοῦ η γράφουσι, βασιλῆς, ἱππῆς, καὶ τρέπουσι τῆς ει διφθόγγου τὸ ε εἰς η ἔνιοτε καὶ τὸ ι προσγράφουσι, κλεῖδα κλῇδα, ποσειδῶνι ποσιδῶνι.

Καὶ τὴν ου ἀπόφασιν ἀντὶ τῆς μὴ πολλάκις λαμβάνουσιν, ὡς θουκυδίδης ἐν τῇ τρίτῃ τῆς συγγραφῆς, ὁ μὲν τὸ βούλευμα καὶ μέγα

πόλιν

πόλιν ὅλην διαφθεῖραι, ἢ οὐ τοὺς αἰτίους, ἀντὶ τοῦ παρὰ τοὺς αἰτίους, καὶ Ὅμηρος, οὐ μὲν γὰρ Ἀπόλλωνα διῒ φίλον, καὶ μή τοι οὐ χραίσμῃ σκῆπτρον, καὶ ἐν τῇ συνηθείᾳ ἡ πολλάκις ἀποφάσεσι χρώμεθα, ὡς τὸ ἀπαγορεύωσι μὴ ποιεῖν, ἀντὶ τοῦ ἀπαγορεύωσι ποιεῖν. καὶ ὁ θεολόγος, καὶ δὴ οὐ προδώσομεν οὐδὲ καθυβρίσομεν, οὐ μὰ τοὺς ὑπὲρ ἀρετῆς τοῦ ἀνδρὸς ἀγῶνας, καὶ τὰ παλαίσματα.

Καὶ ἐπὶ πρὸς παρέλκειν τούτοις νενόμισται, ὡς ὁ Θουκυδίδης, καὶ πρὸς αὐτὴν τὴν Ἀθηναίων ἐγένετο, ἀντὶ τοῦ αὐτὴν τὴν Ἀθηναίων. καὶ ὁ Ἀφθόνιος. τοιαῦται γὰρ αἱρεταὶ πρὸς βίαν ἔχουσι κτώμεναι, ἀντὶ τοῦ βίαν.

Περιττὸς δὲ καὶ ὁ καὶ σύνδεσμος παρὰ σφίσιν, καὶ τούτου μυρία παραδείγματα ἔστιν εὑρεῖν, αὐτίκα ἐν τῷ τρίτῳ τὸν συγγραφέα ἔστιν ἰδεῖν τούτῳ χρώμενον, φησὶ γὰρ οἱ δὲ φόβῳ πολλῷ καὶ προθυμίᾳ, τά τε ἐν τῇ πόλει, καὶ τὸν ἀπόστολον παρεσκευάζοντό τε ἅμα ἑξήκοντα νῆες.

Ἀττικῶν καὶ τὰ κτητικὰ λαμβάνειν ἀντὶ πρωτοτύπων, ὡς τὸ, παρθενικὴ ἡ παρθένος, καὶ αὐτὰ τὰ πρωτότυπα ἀντὶ κτητικῶν, ὡς τὸ, γυναῖκα τε θήσατο μαζὸν, ἀντὶ τοῦ γυναικεῖον ἐθήλαζε μαζόν.

Καὶ τὸ τὰς αἰτιατικὰς παραλαμβάνειν ἀντὶ γενικῶν, ὡς Ἡσίοδος, ὅν τε διὰ, ἀντὶ τοῦ δι᾽ οὗ, καὶ ὁ θεολόγος, ὁ θυμὸς ἔσωσεν κατὰ μόνου τοῦ ὄφεως, δι᾽ ὃν ἐξέπεσες, ἀντὶ τοῦ, δι᾽ οὗτινος ἐξέπεσες.

Εἰώθασι καὶ ἐν ταῖς αὐξήσεσι, καὶ ἑτέρας αὐξήσεις ἐπεισάγειν, οἷον ἐβουλόμην, ἠβουλόμην. ἐδυνάμην, ἠδυνάμην. παρῴνηκα, πεπαρῴνηκα.

Τὰ συγκριτικὰ ἀντὶ ἁπλῶν παραλαμβάνουσιν, ὡς ὁ Θουκυδίδης ἐν τῷ τρίτῳ τῆς συγγραφῆς, τοὺς γὰρ ἀφισταμένους ἐν τοῖς πολέμοις καὶ ξυμμαχίαν τὴν πρὶν ἀπολιπόντας, οἱ δεξάμενοι καθ᾽ ὅσον μὲν ὠφελοῦνται ἐν ἡδονῇ ἔχουσι, νομίζοντες δὲ εἶναι προδότας τῶν πρὸ τοῦ φίλων χείρους ἡγοῦνται, ἐνταῦθα γὰρ τὸ χείρους ἀντὶ τοῦ κακοὺς, καὶ Ὅμηρος, Ζεῦ πάτερ οὔτις σεῖο θεῶν ὀλοώτερος ἄλλος. καὶ ὁ θεολόγος ἐν τῷ εἰς τὴν τοῦ Χριστοῦ γέννησιν λόγῳ, καὶ ὥσπερ ἐκ τῶν χρηστοτέρων ἦλθε τὰ λυπηρὰ, οὕτω καὶ ἐκ τῶν λυπηρῶν ἐπανελθεῖν τὰ χρηστότερα, ἀπὸ γὰρ τῶν χρηστῶν ἦλθε τὰ λυπηρά. χρῶνται δὲ καὶ ὑπερθετικῷ ἀντὶ συγκριτικοῦ πολλάκις, ἀντὶ γὰρ τοῦ εἰπεῖν θηριωδέστερον πάντων θηριωδέστατον λέγουσι.

Τῷ ου ἀντὶ τοῦ ο χρῶνται, ὡς ὅταν λέγωσι, τοὔνομα, τοὔγκλημα, τοὔμπαλιν.

Τὰς εὐθείας καὶ τὰς κλητικὰς ἐπίσης ἐκφέρουσιν, οἷον ὦ οὗτος Αἴας δεύτερόν σε προσφωνῶ.

Ἀττικῶν καὶ τὸ λέγειν, ὧν ἔπαθεν ὀργὴν ἔχει, ἀντὶ τοῦ ὑπὲρ ὧν ἔπαθεν, ἔξωθεν λαμβανομένης τῆς ὑπὲρ προθέσεως.

Ἀττικῶς ἐκφέρεται διὰ τῆς ει διφθόγγου τῶν παθητικῶν τὰ δεύτερα πρόσωπα ὡς τὸ ζηλωτὸς ἔσει, ἀντὶ τοῦ ἔσῃ, καὶ τὸ λαβεῖ ἀντὶ τοῦ λάβε.

Ἀττικῶν ἔστι καὶ τὸ ἤδειν ἀντὶ τοῦ ᾔδει, καὶ ἐτετύφειν ἀντὶ τοῦ ἐτετύφει, χρῶνται γὰρ ἤδη ὑπερσυντελίκων τοῖς πρώτοις προσώποις ἀντὶ τρίτων.

Ἀντὶ αἰτιατικῆς γενικὴν παραλαμβάνουσιν ὡς Ἀριστοφάνης, ἕως συντρίβῃ τῆς κεφαλῆς ἀντὶ τοῦ τὴν κεφαλήν.

Καὶ τὸ εὐθὺ κεφαλὴν πεσεῖν κατὰ κάρα λέγουσιν Ἀττικοὶ, οὐ διῃρημένως ἀλλ᾽ ἐφ᾽ ἓν, ὡς Πίνδαρος, οἱ μὴ κατακάρα δεσμοῖσι δέδενται, ἀντὶ τοῦ εὐθὺ κεφαλήν.

Ἀττικῶν δὲ καὶ τὰ πληθυντικὰ ἑνικῶς ἐκφέρειν, οἷον ἀντὶ τοῦ εἰπεῖν τοὺς Λακεδαιμονίους λέγειν τὸν Λακεδαιμόνιον, ὡς ὁ ῥήτωρ ἐν τοῖς Φιλιππικοῖς, ἀλλὰ μὴν τόν γε Παίονα, ἀντὶ τοῦ τοὺς Παίονας.

Ἀττικῶν καὶ τὸ λέγειν βαδιστέα, ἀνυστέα, ἀντὶ τοῦ βαδιστέον καὶ ἀνυστέον.

Καὶ τὰ προστακτικὰ παρ᾽ αὐτοῖς λείπει, ὡς παρ᾽ Ἀριστοφάνει, ὦ Ζεῦ διόπτα καὶ κατόπτα πανταχῇ σκευάσασθαί μ᾽ ὅπως ἀθλιώτατον· λείπει γὰρ τὸ ποίησον.

Βόλιτον Ἀττικοὶ λέγουσι χωρὶς τοῦ β. ὅπερ ἡμεῖς βόλβιτον λέγομεν ἤγουν τὴν κόπρον.

Ἀττικὸν καὶ τὸ θέλει ἀντὶ τοῦ δύναται, ὡς ὁ Πλάτων, τὰ χωρία οὐδέν μ᾽ ἐθέλει διδάσκειν.

Καὶ τὸ ἀντὶ εὐθείας αἰτιατικὴν παραλαμβάνειν, ὡς Ἀριστοφάνης ἐν Ὄρνισιν, ὡς τὸ δεινόν γε τὸν κήρυκα τὸν παρὰ βροτοὺς οἰχόμενον, εἰ μὴ δέ ποτε νοστήσει πάλιν, ἀντὶ τοῦ δεινόν γε εἰ μὴ νοστήσει πάλιν ὁ κῆρυξ ὁ παρὰ βροτοὺς οἰχόμενος.

Τὴν κράμβην κοράμβην λέγουσιν, ὄντως δὲ εἰκότως, φασὶ γὰρ ἐκ ταύτης τὰς κόρας ἀμβλυώττεσθαι.

Ἀττικῶν καὶ τὸ λέγειν τοῦ θράσους, τῆς ἀναιδείας ἀντὶ τοῦ ὦ τοῦ θράσους, φεῦ τῆς ἀναιδείας καὶ παρ᾽ Ἀριστοφάνει, ὦ Ζεῦ τῆς λεπτότητος τῶν φρενῶν.

Καὶ τὸ χρῆσθαι ταῖς μετοχαῖς ἀντὶ ὀνομάτων, ὡς ἐν Βατράχοις Ἀριστοφάνης εἶπεν τι τῶν εἰωθότων ὦ δέσποτα, ἀντὶ τοῦ τῶν ἐθίμων, καὶ Ὅμηρος, τὸν δ᾽ αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα, ἀντὶ τοῦ πινυτός.

Ἀττικῶν καὶ τὸ εἰπεῖν τοδὶ τουδὶ εἰπὲ σχηματίζειν οὕτως, εἰπὲ τὶν δὲ ἀντὶ τοῦδε, καὶ Ἀριστοφάνης ἐν Ἀχαρνεῦσιν, ἀλλὰ νῦν λέγε ἔσαι δοκεῖ τὸν Λακεδαιμόνια αὐτὸν ὅτῳ φρένῳ σοῦ φίλει, ἤγουν τοδὶ τῶν Λακεδαιμονίων αὐτῶν.

Ἀττικῶν καὶ τὸ πλεῖν ἀντὶ τοῦ πλέον, καὶ τὸ κάταιτες καὶ πύμπαλα καὶ τὸ ἤδεες.

Καὶ τὸ πιθέναι τὸ ἢ πολλαστὸν, ὡς Ἀριστοφάνης ἐν Βατράχοις, ἢ χρήματα τοῖς τῶν ἀντιπάλων ναυσὶν παρέχειν τινὰ πείθει ἢ κατατιλᾷ τῶν Ἑκαταίων κυκλίοισι χοροῖσιν ὑπάδων, ἢ τοὺς μισθοὺς τῶν ποιητῶν ῥήτωρ ὢν εἶτ᾽ ἀποτρώγει.

Καὶ τὸ λῃρεῖς ἔχων καὶ τὸ παίζεις ἔχων ἀττικόν.

Τὸν πυθμένα πλυθμένα λέγουσι, καὶ τὸ νίφειν λίφειν, καὶ τὴν σπογγίαν σπογγιάν.

Ἀττικῶν καὶ τὸ ἐκθλίβειν ἅμα καὶ κιρνᾶν, ὡς τὸ, οὐ γὰρ μοὖστιν, ἀντὶ τοῦ οὐ γάρ μοί ἐστιν, ἐκθλίβει γὰρ τὸ ι, καὶ κιρνᾷ τὸ ο καὶ ε εἰς τὴν ου δίφθογγον, ὡς τὸ ἐχρύσοες ἐχρύσους, ὡσαύτως τὸ ποῦ ἐστι, ποῦστι λέγουσι.

Καὶ τὸ ἤνεγκα διχῶς λέγουσι, καὶ ἤνεγκον, καὶ τὸ ἐλλειπτικῶς ὀμνύειν, οἷον μὰ τὸν, μὴ προστιθέντες τὸν θεόν.

Καὶ τὸ προσλαμβάνειν δὲ ἔξωθεν τό ἐστι, καὶ ὅμηρος, εἰ δ᾽ ἤδη τεθνᾶσι, καὶ εἰν ἀΐδαο δόμοισι, λείπει γὰρ τὸ εἰσί.

Τὰς μυῤῥίνας μυρσίνας λέγουσι, καὶ τὸ συρίζειν, συρίττειν. καὶ τὴν ἐνδελέχειαν ἐντελέχειαν, καὶ κολόκυνταν κολόκυνθαν.

Τὸ κναφεῖον γναφεῖον λέγουσι, καὶ τὴν κεφαλαργίαν κεφαλαλγίαν.

Ἀττικοὶ καὶ ἀντὶ πλαγίας χρῶνται τῇ εὐθείᾳ ὡς Ἀριστοφάνης ἐν Βατράχοις, εἴτις πτερώσας Κλεόκριτον κινησίᾳ, ἀντὶ τοῦ τινὸς πτερώσαντος.

Τὰ εἰς ως ἐπιῤῥήματα τῆς μεσότητος εἰς ον περατοῦσι, δέον λέγοντες καὶ πρέπον, ἀντὶ τοῦ δεόντως καὶ πρεπόντως.

Τὰς εἰς ες ληγούσας εὐθείας τῶν πληθυντικῶν συγκριτικῶν ὀνομάτων εἰς ους περατοῦσιν, οἷον μείζους, χείρους, καλλίους, ἀντὶ τοῦ μείζονες, καλλίονες. ἴδιον δὲ αὐτῶν καὶ τὰς εἰς α καθαρὸν ληγούσας αἰτιατικὰς ἀρσενικὰς τὰς ἀπὸ τῶν εἰς ευς εὐθειῶν γινομένας, διὰ τοῦ η προφέρεσθαι, εὐρυσθέα, εὐρυσθῆ, τυδέα τυδῆ. Ἀττικῶν δὲ καὶ ἀντὶ τοῦ εὐφυῆ, ὑγιῆ, εὐφυᾶ καὶ ὑγιᾶ λέγειν, ἀντὶ καὶ τοῦ εὐβοέα πειραιέα, εὐβοᾶ, καὶ πειραιᾶ λέγειν. φιλοῦσι δ᾽ ὡς τὰ πολλὰ καὶ ταῖς συγκοπαῖς, ἀπόλλω τὸν ἀπόλλωνα λέγοντες, καὶ ἀμείνω τὸν ἀμείνονα, καὶ κρείττω τὸν κρείττονα, καὶ τὰ ὅμοια.

Τῶν αὐτῶν δὲ καὶ τὸ εἰς ἀθήνας ἀθήναζε πορεύομαι λέγειν, καὶ ἐν ἀθήναις ἀθήνησι σοφιστεύω, καὶ τὸ ἐξ ἀθηνῶν ἀθήνηθεν ἔρχομαι, καὶ τὸ εἰς οἶκον οἴκαδε, ἐξ οἴκου οἴκοθεν, ἐν οἴκῳ οἴκοι.

Ταῖς συναλοιφαῖς κατακόρως χρῶνται, τὸ γὰρ ἱμάτιον θοἰμάτιον λέγουσι, καὶ ὦναξ ὦ ἄναξ καὶ ὤνθρωπος ἀντὶ τοῦ ὦ ἄνθρωπος.

Τῷ σ ἀντὶ τοῦ ρ χρῶνται, τὸ θαῤῥαλέον, θαρσαλέον, καὶ ἄῤῥεν, ἄρσεν.

Τοῖς παθητικοῖς ἀντὶ ἐνεργητικοῖς χρῶνται, ἀντὶ τοῦ γράφω γράφομαι λέγοντες, καὶ ποιοῦμαι ἀντὶ τοῦ ποιῶ, καὶ ποιείσθω ἀντὶ τοῦ ποιείτω.

Καὶ ποιείσθων, καὶ νοείσθων, ἀντὶ τοῦ ποιείσθωσαν, καὶ νοείσθωσαν.

Τοὺς παρὰ τὸ ἴζω μέλλοντας ἐκβάλλοντες τὸ σ περισπῶσι. ὀνειδιῶ γὰρ λέγουσι, ἀντὶ τοῦ ὀνειδίσω, καὶ βαδιῶ, ἀντὶ τοῦ βαδίσω, καὶ τὰ παραπλήσια.

Ταῖς γενικαῖς τῶν πληθυντικῶν μετοχῶν ἀντὶ τῶν πληθυντικῶν τρίτων προσώπων προστακτικῶν ῥημάτων χρῶνται, οἷον ποιούντων καὶ λεγόντων, ἀντὶ τοῦ ποιείτωσαν καὶ λεγέτωσαν.

Τὰ εἰς ις προσηγορικὰ διὰ τοῦ ιος κλινόμενα διὰ τοῦ εως προφέρουσι, τρέποντες τὸ ο εἰς ω, καὶ τὰ παραλήγοντα τῶν φωνηέντων εἰς ε μεταβάλλοντες, οἷον ὄφις ὄφιος κοινῶς, καὶ ὄφεως ἀττικῶς.

Περὶ δωρίδος.

Οἱ δὲ δωριεῖς τὸ ε καὶ ο εἰς τὴν ευ δίφθογγον κιρνῶσιν, ὡς παρὰ θεοκρίτῳ, πηλέος πηλεῦς, ἰδομενέος ἰδομενεῦς, καὶ ὅμηρος, ἰδομενεῦς κύσε χεῖρ᾽ ἐνὶ καρπῷ, ἔστι καὶ ἰωνικόν.

Τὰ πρῶτα τῶν πληθυντικῶν, οἷον τύπτομεν καὶ ποιοῦμεν, τύπτομες καὶ ποιοῦμες λέγουσι.

Τῶν παρατατικῶν παθητικῶν ὁριστικῶν καὶ τῶν ἐνεστώτων τὰ πρῶτα πρόσωπα. οἷον τὸ ἐποιούμεθα καὶ ποιούμεθα, ἐποιούμεσθα καὶ ποιούμεσθα λέγουσι. καὶ θεόκριτος, οἱ θνατοὶ πελόμεσθα, τὸ δ᾽ αὔριον οὐκ ἐσορῶμες, τοῦτο ἐστὶ καὶ ἰωνικόν.

Τὸ η εἰς α μακρὸν τρέπουσι καὶ τὴν σελήνην σελάναν λέγουσι καὶ τὸ ἥλιον ἅλιον.

Τὸ ποτὲ πόκα λέγουσι. ὡς θεόκριτος, πῆ ποκ᾽ ἄρ᾽ ἦσθ᾽ ὅκα Δάφνις ἐτάκετο.

Αἱ ἐπαναδιπλώσεις τῶν δευτέρων ἀορίστων τῆς δωρίδος εἰσίν, ὡς θεόκριτος, τὰν γὰρ ἀοιδὰν οὔτι πω ἐς ἀΐδαν γε τὸν ἐκλελαθεῦντα φυλαξεῖς, ἀντὶ τοῦ λήθην ποιοῦντα.

Ἀντὶ γενικῆς τῶν ἑνικῶν τὰς εἰς ου ληγούσης ἀπὸ τῆς εἰς ος εὐθείας τῇ δοτικῇ αὐτῶν χρῶνται οἱ δωριεῖς, ὡς θεόκριτος, ἢ κατὰ πηνειῶ καλὰ τέμπεα, ἢ κατὰ πίνδω.

Τὸ κιρνᾶν τὸ ὁ ἄρθρον μεθ' ἑτέρου φωνήεντος ἤγουν τοῦ α ἢ τοῦ ι εἰς ω μέγα, καὶ τῶν ἰώνων καὶ τῶν δωριέων ἐστίν. ὡς θεόκριτος, θύρας δ' ὤϊξ' αἴπασας καὶ θύρσοδος ἅδια φωνά.

Τὸ πρόσαγε, καὶ πρόσεχε, πόταγε, καὶ πότεχε λέγουσι, θεόκριτος, πλάξινόα πόταγ' ὧδε.

Τὸ πρῶτος, πρᾶτος, καὶ τὸ πρώτιστον, πράτιστον, καὶ τὸ ἦλθον, ἦνθον, καὶ θεόκριτος, ἦνθον τοὶ βοῦται, τοὶ ποιμένες, ᾡπόλοι ἦνθον.

Τὸ δὲ ἄρθρον τῶν πληθυντικῶν ἔχον τὴν ἑξῆς λέξιν ἀπὸ φωνήεντος ἀρχομένην, διὰ τοῦ ω μεγάλου προφέρουσιν. ἐκθλίβοντες πρῶτον τὸ ι τοῦ οι ἄρθρου, οἷον ᾡπόλοι, ἀντὶ τοῦ οἱ αἰπόλοι, ἐκθλίβουσι γὰρ τὸ ι, καὶ κιρνῶσι τὸ ο καὶ α εἰς ω μέγα, προσγράφουσι δὲ καὶ τὸ ι τῆς αι διφθόγγου.

Ἦν δὲ ὁ διπλασιασμὸς οὐ μόνον τῶν ἰώνων ὡς εἴρηται, ἀλλὰ καὶ τῶν δωριέων. ἔστι δὲ διπλασιασμὸς τοῦ αὐτοῦ συμφώνου προσθήκη κατὰ τὸ μέσον οὐκ ἀποτελοῦντος συλλαβήν, οἷον μέσον μέσσον, τόσον τόσσον.

Τὸ καὶ εἶπα κῆφα λέγουσι, τῆς αι διφθόγγου τὸ ι ἐκθλίβοντες, καὶ κιρνῶντες τὸ α καὶ ε εἰς η. τὸ δὲ ψιλὸν εἰς δασὺ τρέποντες, καὶ θεόκριτος, κῆφα δάφνι τάλαν, τί τὺ τάκεαι, ἁ δέ τυ κώρα πάσας ἀνὰ κράνας πάντ' ἄλσεα ποσσὶ φορεῖται.

Τὸ ἐγένετο λέγουσι, συγκόπτοντες τῆς εν συλλαβῆς τὸ ε. ὡς θεόκριτος, ὠπόλος ὅκκ' ἐσορῇ τὰς μηκάδας οἷα βατεῦνται, τάκεται ὀφθαλμώς, ὅτι οὐ τράγος αὐτὸς ἔγεντο. ἀντὶ τοῦ ἐγένετο.

Ἐπὶ τῆς δευτέρας συζυγίας τῶν περισπωμένων τὰ τρίτα πρόσωπα τῶν πληθυντικῶν ἐνεργητικῶν τὸ βοῶσι καὶ γελῶσι, βοῶντι καὶ γελῶντι λέγουσιν, ὁμοίως τῇ δοτικῇ τῶν ἑνικῶν τῶν ἰδίων μετοχῶν. πίνδαρος, ὑπὲρ τὸν ἀληθῆ λόγον δεδαιδαλμένοι ψεύδεσιν ἐξαπατῶντι μῦθοι.

Τὸ εἶναι ἔμμεναι λέγουσι, πρὸ τῆς ναι τιθέντες τὸ με, καὶ ἀντὶ τοῦ ι ἐντιθέντες τὸ μ.

Τὴν ἀνὰ ἀντὶ τῆς σὺν λαμβάνουσι, καὶ ὅμηρος, χρυσέῳ ἀνὰ σκήπτρῳ, καὶ πίνδαρος χρυσέαις ἀν' ἵπποις.

Καὶ τὴν σοῦ γενικὴν σέθεν λέγουσι, πίνδαρος τραπέζαισί τ' ἀμφὶ δεύτατα κρεῶν σέθεν διεδάσαντο, καὶ φάγον.

Τὴν παρὰ πρόθεσιν συγκόπτουσι συμφώνου ἐπιφερομένου. καὶ ὅμηρος, οἱ δὲ θεοὶ πὰρ Ζηνὶ καθήμενοι ἠγορόωντο.

Τὴν κλητικὴν τοῦ ποσειδῶνος οἱ μὲν αἰολεῖς πόσειδον λέγουσιν, οἱ δὲ δωριεῖς ποσείδαον.

Τὸ δίδου δίδοι, καὶ τὰ ἄλλα ὁμοίως τοῖς τρίτοις προσώποις τῶν εὐκτικῶν ἐκφέρουσι. καὶ πίνδαρος, τὺ δὲ πρᾶξιν φίλαν δίδοι.

Τὸ ἐσθλὸν ἐσλὸν λέγουσι, πίνδαρος, ἐσλῶν γὰρ ὑπὸ χαρμάτων πῆμα θνάσκει παλίγκοτον δαμασθέν.

Τὸ πάντη περισπῶσι παντᾶ λέγοντες, καὶ πίνδαρος, πρόφαντον σοφίᾳ καθ' ἕλλανας ἐόντα παντᾶ.

Αἱ μακεδονίαι εἰώθασι λέγειν τὰ τῶν νεκρῶν ἐνάρσματα, ἐκφέρουσι δὲ καὶ τὰ τρίτα πρόσωπα τῶν πληθυντικῶν ὁμοίως ταῖς δοτικαῖς τῶν ἰδίων μετοχῶν, πίνδαρος, ὅρμοισι τῶν χεῖρας ἀναπλέκοντι καὶ στεφάνοις, ἀντὶ τοῦ ἀναπλέκουσι.

Τὸ ὄρνιθα ὄρνιχα λέγουσι, καὶ πίνδαρος πρὸς διὸς ὄρνιχα θεῖον.

Τὰ πληθυντικὰ πολλάκις ὁμοφώνως τοῖς δυϊκοῖς ἐκφέρουσι. πίνδαρος, μαθόντες δὲ λάβροι παγγλωσσίᾳ κόρακες ὣς ἄκραντα γαρύετον διὸς πρὸς ὄρνιχα θεῖον.

Ταῖς μετοχαῖς τῶν ἀορίστων προστιθέασι τὸ ι, πίνδαρος, ἐπεὶ τρεῖς τε καὶ δέκα ἄνδρας ὀλέσαις μνηστῆρας.

Τὸ τί τὰ λέγουσι, πίνδαρος, τά κε τις ἀνώνυμον γῆρας.

Ἄλτος εἰώθασι λέγειν τὸ τέμενος, πίνδαρος διὸς ἄλτει πανδόκῳ ἕζοι τῷ ἐσλαι τάματι.

Τὸ ἐπιτιθέναι τὸ ι τῷ ε, τῶν δωριέων ἐστίν, τὴν πνοὰν γὰρ τὴν πνοιὰν φασί, καὶ τὴν χροὰν χροιάν, καὶ τὴν πόαν, ποίαν, πίνδαρος πνοιῆς ὄπιθεν βορέας.

Ἡ ἄρα καὶ τῶν δωριέων ἡ ἄρσις ἡ ἐναντία τῇ ἀναδιπλώσει, πίνδαρος, ὀλύμπια μὲν γὰρ αὐτὸς γέρας ἔδεκτο. ἀντὶ τοῦ ἐδέδεκτο.

Αἱ ἐπεκτάσεις καὶ τῶν δωριέων εἰσί, κενὸς κενεός.

Τὸ ὄπισθεν ὄπιθεν λέγουσιν, ἐκθλίβοντες τὸ σ.

Τὰς γενικὰς τῶν πληθυντικῶν τὰς εἰς ων ληγούσας καὶ περισπωμένας διὰ τοῦ αν προφέρουσι. καὶ ἀντὶ τοῦ λέγειν μουσῶν μουσᾶν λέγουσι.

Τὸ μὴ ἐστιν, μῆστι λέγουσι κιρνῶντες τὸ η καὶ ε εἰς η, ὥσπερ καὶ ἀριστοφάνης, μῆστιν οὗτος χοῖρος.

Οἱ δωριεῖς ἀντὶ τοῦ εἰπεῖν αὐτόν, τὶν λέγουσι.

Τὸ εἶναι. ἤμεναι.

Τὸ χρῇ χρῆσθαι.

Τὸ σιγᾶν σιγῆν. ὡς ἀριστοφάνης οὐ χρῆσθαι σιγῆν. οὕτω καὶ τὸ διψᾶν, διψῆν. καὶ τὸ πεινᾶν, πεινῆν.

Τὸ σίγαλε, σίγαλές φασι, καὶ τὸ σὺ, τὺ, ὡς τὸ τὺ δ' ἀχαριστῶ, ἀντὶ τοῦ σὺ ἀχαριστομίσω.

Τὴν πρὸς ποτὶ λέγουσιν, εἶτα καὶ τὸ ι ἀποκόπτουσι, ποτὰν μακτρὰν φησὶν ἀριστοφάνης.

Τὸ καὶ ἐκ τοῦ αὐτοῦ, κὴκ τοῦ αὐτοῦ φασιν, ἐκθλίβοντες τὸ ι. εἶτα τὸ α καὶ ι εἰς η κιρνῶντες. ὡς ἔζεα ἔζη, ἐκίρνα ἐκίρνη, καὶ τὰ παραπλήσια, τοῦτο δὲ ἀττικὸν καὶ ἰωνικόν ἐστι.

Τὸ αὐτοῦ τ' αὐτοῦ λέγουσι, τὸ κρέας κρῆς ὀνομάζουσι.

Περισπῶσι τοὺς μέλλοντας, ἀποίσω ἀποισῶ λέγοντες.

Τὸ τιμῶ τιμαῖ λέγουσι.

Τὸ παρ' ἡμᾶς παρ' ἁμᾶς.

Ἀντὶ τοῦ ὑμεῖς ὑμὲς ἐκφέρουσι.

Τῷ οἱ ἄρθρῳ τῆς εὐθείας τῶν πληθυντικῶν τὸ τ προστιθέασι, τοὶ θεοὶ λέγοντες, καὶ ταὶ μοῦσαι.

Πάσσακα τὸν πάσσαλον λέγουσι.

Τὸ ὅκκα ἀντὶ τοῦ ὁπηνίκα καὶ ὁπότε καὶ ὅπου χρῶνται.

Ἀγλίθας λέγουσι τὰς κεφαλὰς τῶν σκορόδων.

Τὸ ὡς πῶς λέγουσι, καὶ παρ' ἀριστοφάνει ἐν ἀχαρνεῦσιν, ὑμὲς ὧν ὀκκ' ἐκβάλητε πως ἄρου ῥαχίοι μοὲς παίσασκε τὰς ἀγλίθας ἐξαρύσσετε.

Τὴν ου δίφθογγον εἰς ω τρέπουσι, τὰς μούσας, μώσας, λέγοντες, καὶ τὸν οὐρανὸν, ὠρανὸν, καὶ τὸν κοῦρον κῶρον.

Τὸ φασὶ φατὶ λέγουσι, καὶ τὸ ἐγὼ ἐγών, καὶ τὸ γῆ γᾶ, ὡς παρ' ἀριστοφάνει, καὶ γᾶ ποτι γᾶ.

Τὸ λῆς ἀντὶ τοῦ θέλεις διὰ τοῦ η. ὡς τὸ, αἰ λῆς αὐγάσδεο. καὶ ἀριστοφάνης, αἴτεινον αἰ λῆς ὡς παχεῖα καὶ καλά. τὴν αἰεὶ συγκόπτουσι καὶ ἐπὶ τῶν συνθέτων, ὡς τὸ, αἰχτεινεν αἴτεινεν. καὶ ἐπὶ τῶν κατὰ παράθεσιν λεγομένων, αἰ τὰν ἀγορὰν, ἀντὶ τοῦ αἰεὶ τὰν ἀγοράν.

Τὸ σφᾶς ψὲ λέγουσι, θεόκριτος, ἦ πα ψὲ κρύβδαν τὰ ποθέσπερα παίσας ἀμέλγεις, τουτέστιν ἦ που αὐτὰς τὰς βόας ἐφ' ἑσπέρα παίσας ἀμέλγεις.

Τὸ τίθησι καὶ ὑφίησι, τίθητι καὶ ὑφίητι λέγουσι. θεόκριτος. ἀλλ' ὁ γέρων ὑφίητι τὰ μοσχία κἠμὲ φυλάσσει.

Τοῦ ὑποτακτικοῦ τελικοῦ τὰ τρίτα πρόσωπα διὰ τοῦ ι γράφουσιν ὡς θεόκριτος, καὶ πόκα τήνας ἔλαιον ἐν ὀφθαλμοῖσιν ὀπώπη.

Ἡ δάμαλις οὐ λέγουσιν, ἀλλὰ δαμάλη. θεόκριτος, ταὶ δαμάλαι δ' αὐτὸν μυκώμεναι ὧδε ποθῶνται.

Τὸ ἄλλοτε ἄλλοκα λέγουσι.

Τὸ μὰ ἔξωθεν λαμβάνουσιν. οὐ γᾶν φησι θεόκριτος, ἀντὶ τοῦ, οὐ μὰ τὰν γᾶν.

Τὸ ἦν, ἧς φασὶ θεόκριτος, οὐδὲ γὰρ ἁμέρα τῷ διαπύστης ἧς τοι εἰδῶδεν, οὐκ ἦν φησὶν οὐδὲ τῷ διαπύστῃ σου ἐγκειμένῃ ἦν, ἧς ἁμέρα ἀντὶ τοῦ ἦν ἁμέρα.

Τὸ κείσομαι, κεισοῦμαι λέγουσιν, εἶτα τρέπουσι τὴν ου δίφθογγον εἰς τὴν ευ. κεισεῦμαι δὲ πεσών. καὶ τοὶ λύκοι ὧδε μ' ἔδονται. τοὺς μέλλοντας τῶν εἰς ζω ῥημάτων διὰ τοῦ ξ προφέρουσι, καθίξας ἀντὶ τοῦ καθίσας, καὶ λυγιξεῖν, ἀντὶ τοῦ λυγίσειν. καὶ τὰ ὅμοια.

Τὸ θέασαι θᾶσαι λέγουσι, θεόκριτος, θᾶσαι φίλος ὡς καλὸν ἔσδει. καὶ πάλιν θᾶσαι μὰν θυμαλγὲς ἐμὸν ἄχος.

Ὀρμαλίδες λέγονται παρ' αὐτοῖς τὰ ὄρεια (μῆλα.

Τὸ ὁμοῦ ἀμᾶ λέγουσιν.

Ἀντὶ τοῦ ἔμπροσθεν ἔμποδον λέγουσιν, θεόκριτος. ἁμὲν δὲ τὺ βουκολιάσδευ ἔμποδον ἔνιοι δὲ ἀντὶ τοῦ ποθὲν ἐλάβοντο τὴν λέξιν ταύτην, ἢ ἓν πρὸς ἓν ᾠδαίειν, τουτέστιν ἀμοιβαδόν.

Ὅταν ὦσι δύο ν ἀλλεπάλληλα, καὶ ταῦτα εἰς α τρέπουσιν, ὡς θεόκριτος. νίκη μὰν οὐδ' ἄλλος, ἀλάστορι δ' ἐγλύσατο, ἀντὶ τοῦ ἀνίκητοι.

Καὶ τὸ ἐβοᾶτο καὶ ἐγελᾶτο καὶ ἐκλᾶτο εἰς η τρέπουσι, τὸ σοὶ καὶ ἐμοὶ, τὶν καὶ ἐμὶν λέγουσιν.

Καὶ ἀντὶ τοῦ εἰπεῖν τὸν πλησίον, τὸν πλατίον λέγουσι.

Τὸ πρῴην πρᾶν. θεόκριτος. ἔγνων πρᾶν.

Τὸ ὁ ἄρθρον μετὰ φωνήεντος ἑτέρου ἐπαγομένου κιρνώμενον εἰς ω μέγα παρὰ δωριεῦσιν, οὕτως ἐκφέρεται ὡς παρ' ἴωσιν, ὡς καὶ θεόκριτος, οὐχ οὕτως ὤδωνις ὠτωπολέων ἄγαγε λύσσας.

Τὸ ἕτερος ἅτερος λέγουσι.

Τὸ τετράκις τετράκες λέγουσι, θεόκριτος. τετράκες δὲ πίθω ἀπελύετο κρατὸς ἄλειφαρ.

Τὸ σὺ, τύ. τὸ πλῶ, πλαῖ λέγουσι.

Τὸ ἡμέρας ἁμέρας. τὴν πηγὴν, παγάν.

Τὸ εἴκοσι εἴκατι, θεόκριτος, φεῦ φεῦ λάκων τοὶ ταλάρως σχεδὸν εἴκατι πληροῖ τυρῶ.

Ὁμοίως τοῖς ἀττικοῖς καὶ αὐτοὶ τὰ ἀπὸ βαρυτόνων παρασχηματιζόμενα ἐκτείνουσιν, οἷον στρέφω στρωφῶ. νέμω, νωμῶ. πέτω ποτῶ. θεόκριτος. ποτῶντο ξουθαὶ παρὰ πίδακας ἀμφὶ μέλισσαι.

Χρῶνται καὶ τῷ ὦν ἀντὶ τοῦ οὖν, ὥσπερ οἱ ἴωνες, χρήσδεις ὦν ἐσιδεῖν; χρήσδεις καταθεῖναι ἄεθλον;

Τῆς πρώτης συζυγίας τῶν περισπωμένων τοὺς παθητικοὺς ἀορίστους συστέλλουσιν ἐπὶ τῆς παραληγούσης. θεόκριτος, οὕτω καὶ νύμφα γαμεθεῖσ' ἀγάλλετο.

Τὴν σταγόνα τῆς δρόσου πρῶκα λέγουσιν οἱ δωριεῖς.

Τὸ βραδύνεται φραμίσδεται φασί.

Τὸ ἐκρέμασε ἀντὶ τοῦ ἐμάστιξε λαμβάνουσι.

Τὸ κιγκλίζειν ἀντὶ τοῦ κινεῖν τὴν ὀσφύν, ὥσπερ παρὰ τῷ γνῶ γίγνω, οὕτω καὶ παρὰ τὸ κλῶ κίκλω καὶ κικλίζω.

Τοὺς μέσους μέλλοντας πρώτους προπερισπῶσι, ἀντὶ τῶν ὑποτακτικῶν διὰ διφθόγγου γράφουσι, Θεόκριτος· μέμβλωκα βασεῦμαι τὰς ἀμπέλους.

Τὸ μικρὸν μικκὸν λέγουσι. Θεόκριτος· ἴθ' ὦ ξένε μικκὸν ἄκουσον τᾷ δ' ἐνθών.

Τὸ βωστρήσομεν ἀντὶ τοῦ καλεσόμεθα λαμβάνουσι, τὸν κυρτὸν ὑβὸν καλοῦσι.

Τὸ ἰδοὺ ἠνίδε φασί, καὶ Συρακούσιοι, ἠνίδ' ἀντὶ τοῦ αὐτοῦ τάττει. Θεόκριτος· ἠνίδε τοι τὸ δέπας.

Τὸ ἀντὶ καὶ ἀντὶ τοῦ εἰσὶ λαμβάνουσι. Θεόκριτος· ἀντὶ γὰρ αὖαι. τὴν διφθέραν βαίταν λέγουσι.

Ὅλπις λέγεται παρ' αὐτοῖς, ὁ ἁλιεύς, ὁ τοὺς λεπιδωτοὺς ἰχθῦς ἀγρεύων, ἀπὸ τοῦ λέπω λεπὶς καὶ ὑπερθέσει τοῦ ε ἐλπὶς, καὶ τροπῇ τοῦ βραχέος ε εἰς βραχὺ ο, ὄλπις.

Γλαῦκον τὴν πορφυρᾶν οἶν φασίν, τὴν μέλαιναν γὰρ τοῦ σώματος ἀντιφαίνουσαν, ὑγίαν ἀεὶ διεκφερομένην ὕδατος μελαίνηται πελίαν καλοῦσι.

Γύρριχος λέγεται παρ' αὐτοῖς ὁ πυῤῥὸς, καὶ κακοχράσμων, ὁ δύστροπος.

Τὸ ὅσσιχον ἀντὶ τοῦ ὅσον, Θεόκριτος, ὅσσιχον οὐδὲ τὸ τύμμα, καὶ ἁλίκον ἄνδρα δαμάσδει.

Τὸ ἐγνώκεσαν λέγουσι ἐγνώκεν, τὸ δυροῦμαι δυρεύσομαι.

Ἰστέον δὲ ὅτι τῆς δωρίδος πολλαί εἰσιν ὑποδιαιρέσεις τοπικαὶ, ἄλλως γὰρ κρῆτες διαλέγονται, καὶ ἄλλως ῥόδιοι, καὶ ἄλλως ἀργεῖοι, καὶ ἄλλως λακεδαιμόνιοι, ἑτέρως δὲ συρακούσιοι καὶ σικελοί, καθολικαὶ δὲ ὅμως αὐτῶν ἰδιότητές εἰσιν αἱ προειρημέναι, εἰ καὶ μὴ πᾶσαι.

Ὅτι αὗται τὸ φέρειν τὰς εἰς ους ληγούσας γενικὰς τὰς ἀπὸ τῶν εἰς ης εὐθειῶν γινομένας εἰς ευς ἴδιον ἔχουσιν. οἷον διογένευς, διογένεος ἀντὶ τοῦ διογένους.

Τὸ η ἀντὶ τῆς ει διφθόγγου χρῶνται, τὸ ἐλθεῖν ἐλθῆν λέγοντες, ὑπεξαιροῦσι δὲ καὶ τῶν ἀπαρεμφάτων τὸ ι, λαβὲν γὰρ ἀντὶ τοῦ λαβεῖν καὶ ἐλθὲν ἀντὶ τοῦ ἐλθεῖν, καὶ ἐνδόμεν ἀντὶ τοῦ ἐνδόμεν, χρῶνται δὲ καὶ διπλασιασμῷ τῶν τελικῶν συμφώνων ὡς οἱ αἰολεῖς ὅττι. ὁππόθεν, ὅσσον.

Τοὺς θεοὺς, σιοὺς λέγουσιν ὡς οἱ λακεδαιμόνιοι τοὺς διοσκόρους ὀμνύοντες, ναὶ τὼ σιὼ φασίν, τουτέστι μὰ τοὺς θεούς.

Αἱ ἐκτάσεις τῶν διχρόνων ἴδιαι τῆς δωρίδος, οἷον ἶσος εὐναλίῳ.

Τὸ ω α ἀντὶ τοῦ ε πολλάκις χρῶνται, στ' ἕτερος ἅτερος λέγοντες, καὶ τὸ ἄρτεμις, ἄρταμις.

Αἱ ἀποκοπαὶ ἴδιαι αὐτῶν εἰσὶ, οἷον ποσειδῶνα ποσειδῶ. δῶμα, δῶ. κεῖμαι, κεῖ.

Αἱ προσθέσεις τῆς με συλλαβῆς ἀντὶ τῶν παρ' ἡμῖν εἰς ναι ληγόντων ἀπαρεμφάτων τῶν δωρικῶν εἰσὶν, οἷον βόμεναι ἀντὶ τοῦ βῆναι.

Αἱ ὑπεξαιρέσεις τοῦ δ ἐκ τῶν γενικῶν διὰ τοῦ δ κλινομένων παιδὸς, παῖος, καὶ τὸ κέρεος ἀντὶ τοῦ κέρατος, τῶν ἰώνων εἰσὶν ἰδιώματα καὶ τῶν δωριέων.

Βαρυτονοῦσιν οἱ δωριεῖς καὶ τὰ ποιότητος δηλωτικὰ ἐπιῤῥήματα, καλῶς σοφῶς κόμψως ἁπλῶς λέγοντες, τὰ δὲ ὑφ' ἡμῶν βαρυνόμενα περισπῶσιν, οὕτως, πάντως, καὶ τὰ εἰς οι ὀνόματα, ὁμοίως δὲ καὶ τὰς μετοχὰς ὅταν προπαροξύνωνται αὐτοὶ παροξύνουσιν οἷον φιλοσόφοι, μαινολάοι, ποθουμένοι, δηλομένοι.

Καὶ τὰς μετοχὰς εἰς ων ληγούσας τῶν περισπωμένων εἰς ων ποιοῦσι λέγειν, γελῶν, ἐλῶν, γελᾶν ἐλᾶν.

Τὸν ναῶν ναῶ καλοῦσι, καὶ τὰς κλεῖδας κλᾶδας.

Παροξυτονοῦσι δὲ καὶ τὰ τρίτα πρόσωπα τὰ εἰς αν λήγοντα τῶν ἀορίστων. ἐστάξαν ἐφάξαν, καὶ τὰ εἰς ον δὲ λήγοντα παροξύνουσι, ἔλαβον ἔβρεχον ἔλεγον ἔφαγον.

Περισπῶσι καὶ τὰ τοιαῦτα παιδῶν, φρασῶν, παντῶν.

Καὶ τοὺς μέλλοντας τὸ δώσουσι, δωσοῦντι, καὶ τὸ λέξουσι λεξοῦντι προπερισπωμένως.

Προπερισπῶσι καὶ αὐτοὶ τὸ ὅμοιος, ὡς οἱ ἀττικοί.

Τὰς αἰτιατικὰς πληθυντικὰς ἀρσενικὰς τὰς εἰς ους ληγούσας διὰ τοῦ ος ἐκφέρουσι, τὼς καλὸς, τὼς σοφὸς, τὼς ἀνθρώπος, τὼς ἵππος.

Τὰ διὰ τοῦ ε ἐκφερόμενα προστακτικὰ ῥήματα διὰ τοῦ ει ἐκφέρουσι, λάβε, λάβει. θίγε, θίγει.

Τὸν πατέρα ἀπφῦν ὀνομάζουσι, τὰς κουρὰς κωρίδας, τὸ ἴδες ἰωνικῶς καὶ αὐτοὶ συστέλλουσι, Θεόκριτος ἐν ἀδωνιαζούσαις, ὢν εἴδες χ' ὢν εἶπας, ἰδοῖσα τὺ τῷ μὴ ἰδόντι.

Τὸν ἀφρὸν κατ' ἐπένθεσιν ἀφρὸν λέγουσι.

Καὶ τὸ ἀδελφὸς ἀδελφὸς φασι. τὴν παῖδα παῖ δὲ φασι.

Τοῖς ὑποτακτικοῖς χρῶνται ἀντὶ ὁριστικῶν, Θεόκριτος, ἵππον καὶ τὸν ψυχρὸν ὄφιν τὰ μάλιστα δεδοίκω, ἀντὶ τοῦ δέδοικα.

Τὸ ἵστασιν ἵσαντι λέγουσι, καὶ τὸ ἑστήκασιν ἑστήκαντι. Θεόκριτος, ὡς ἔτυμ' ἑστήκαντι. καὶ ὡς ἔτυμ' ἐνδινεῦντι ἔμψυχ' οὐκ ἐνυφαντὰ σοφόν τι χρῆμ' ἄνθρωπος.

Τῶν μετουσιαστικῶν καὶ αὐτοὶ τὸ ι ἀποβάλλουσιν, ἀργύρεος καὶ χρύσεος λέγοντες, τοῦ δὲ ὑποτακτικοῦ ἄρθρου τὸ σ ἀποβάλλουσι, Θεόκριτος, ὁ τριφίλητος ἄδωνις ὃκ' ἐν ἀχέροντι φιλεῖται.

Τὸ κλείσω κλαξῶ λέγουσι. Θεόκριτος· τὰν αὐλείαν ἀπόκλαξον.

Ταὶ λλειπτικαὶ καὶ παρ' αὐτοῖς εἰσί, παύσασθ' ὦ δύστανοι ἀνάνυτα κωτίλλοισαι τρυγόνες ἐκκναισεῦντι πλατειάσδοισαι ἅπαντα.

Τὸ πελοποννησιστὶ πελοποννασιστὶ λέγουσι.

Τὰς δοτικὰς τῶν πληθυντικῶν τὰς ἀπὸ τῶν εἰς ευς εὐθειῶν γινομένας οὐχ οὕτως ἐκφέρουσιν ὥσπερ ἡμεῖς πηλεῦσι καὶ βασιλεῦσιν, ἀλλ' ἐπ' ἴσης τῷ δημοσθένει καὶ τοῖς ὁμοίοις, ὡς ἐκεῖ γὰρ ἡ δημοσθένεσι δοτικὴ τῶν πληθυντικῶν, οὕτω καὶ ταῦτα, Θεόκριτος, δωρίσδεν δ' ἔξεστι δοκῶ τοῖς δωριέεσσι.

Τὴν φύσιν φυλὰν λέγουσι.

Τὸ βράδιστα βάρδιστα φασί, Θεόκριτος· βάρδισται μακάρων ὧραι φίλαι, ἀλλὰ ποθειναὶ ἔρχονται πάντεσσι βροτοῖσιν ἀεί τι φέροισαι.

Πλάθανον λέγουσιν εἶδος ἀγγείου τινὸς ἐν ᾧ σκευάζουσι πόπανα.

Συστέλλουσι καὶ τὰς εἰς ας αἰτιατικάς, οἷον νύμφας κρήνας, καὶ τὰς μετοχὰς νοήσας πλέξας.

Καὶ τὰ προστακτικὰ ῥήματα ἐκφερόμενα διὰ τοῦ ι ψιλοῦ διὰ τοῦ ει ἐκφέρουσι, θίγε, θίγεν.

Ἰδίως δὲ λέγουσιν οἱ σικελοὶ τὴν χύτραν κύθραν, καὶ τὸν χιτῶνα κιτῶνα, καὶ τὴν μητέρα δελφίαν, τὴν γυναῖκα γύναν. κρῆτες δὲ τὸ διαπαντὸς αἰές, τὸ αὐτοῦ αὐτεῖ, τὸ ἔα, εἶα, τὸ βέλτιον βέντιον λέγουσι, τὸ ἑαυτὸν ἑασὸν, τρέπουσι δὲ αὐτοὶ καὶ τῆς εἰς προθέσεως τὸ σ εἰς ν, οἷον ἐς χορὸν, ἐν χορὸν, ἐς τὴν ἀγορὰν ἐν τὴν ἀγορὰν λέγουσι.

Καὶ τὸ εἴωθα ἔθω, καὶ τὸ θωχεῖσθαι θύω.

Τὸ θουκυδίδης, θευκυδίδης, τὸ θεοκράτης, θευκράτης, τὸ θεόφραστος θεύφραστος.

Καὶ τὸ κρέα κρῆ, τὸ ἄκρατον ἄκρητον.

Τὸ κεῖνον κῆνον, τὸ κελεύεται κέλεται.

Τὸ καταβαλεῖν καββαλεῖν.

Τοὺς σωροὺς τῶν ἀχύρων μύχωνας λέγουσι.

Καὶ ἀντὶ τοῦ τότε τόκα, καὶ ἀντὶ τοῦ τῆμος ἆμος λέγουσι.

Τὸ οἴκαδε οἴκαδις, τὸ στάδιον, σπάδιον.

Τὸ μὴν, μής. καὶ ἀντὶ τοῦ εἰπεῖν ταύτας τούτας λέγουσι, καὶ τὸ ἔνδον ἔνδοι, τὸ κρανίον κράνιον.

Δέματον ψυχὰν τὴν νεκρὰν ἤγουν τὴν ἔξω τοῦ σώματος, καὶ ταῦτα περὶ τῆς δωρίδος, διαφέρει δὲ ἡ τῶν κρητῶν διάλεκτος, ᾗπερ κυψέλλας ἐχρήσατο, καὶ ἡ λακώνων, ᾗπερ ἀλκμὰν καὶ σώφρων, ἡ μέντοι πινδάρου καὶ σιμωνίδου καὶ βακχυλίδου παντελῶς ἀγνοεῖται διὰ τὸ μὴ δωριεῖς εἶναι φύσει τοὺς ποιητὰς, ἔχειν δὲ μόνον αὐτῶν τὴν διάλεξιν.

ΔΙΑΛΕΚΟΥ.

Τὰς εἰς ας ληγούσας εὐθείας τὰς ὑπὲρ δύο συλλαβὰς εἰς ης ἐκφέρουσιν οἱ ἴωνες, ἡρόδοτος, ὁ δὲ ἀρχίης καὶ λυκώπης μοῦνοι συμπεσόντες.

Ταῖς δοτικαῖς τῶν πληθυντικῶν ταῖς ληγούσαις εἰς οις προστιθέασι τὸ ι, ἡρόδοτος, τοῖσι σημείοισι.

Τὸ κληισθέντες κληϊσθέντες λέγουσι, καὶ τὸ πληιάδες πληϊάδες, διαλύουσι γὰρ τὴν δίφθογγον εἰς ε καὶ ι, εἶτα ἐκτείνουσι τὸ ε εἰς τὴν η συλλαβήν, ὥσπερ τὸ ἱρεῖον ἱρήϊον λέγουσι.

Τὰς εἰς ων ληγούσας γενικὰς τῶν πληθυντικῶν θηλυκῶν, οἷον ὡρῶν, θηβῶν, πυλῶν, ὡρέων καὶ πυλέων λέγουσιν, ὅμηρος, ὡς εἰπὼν πυλέων ἐξέσσυτο, καὶ ἱπποκράτης, αἱ μεταβολαὶ τῶν ὡρέων τίκτουσι νοσήματα.

Ἀλλὰ καὶ τὰς τῶν ἀρσενικῶν ὁμοίως γενικὰς τὰς ἐκ τῶν εἰς ης εὐθειῶν γινομένας διὰ τοῦ εων προφέρουσι περσέων λέγοντες, καὶ νησιωτέων. ἡρόδοτος ἐν τῇ τρίτῃ κατ' ἀρχάς, νησιωτέων μάλιστα ἐπλούτεον.

Ταῖς δοτικαῖς τῶν πληθυντικῶν τῶν θηλυκῶν ὀνομάτων οὐ μόνον τὸ ι προστιθέναι εἰώθασιν ὡς ἐν ταῖς δοτικαῖς τῶν πληθυντικῶν ἀρσενικῶν ὀνομάτων, ἀλλὰ καὶ τῆς αι διφθόγγου τρέπειν τὸ α εἰς η εἰώθασιν, ὡς ἱπποκράτης, ἐν τῇσι χρονίῃσι λειεντερίῃσιν ὀξυρεγμίη ἐπιγενομένη πρόσθεν μὴ γενομένη σημεῖον ἀγαθόν.

Τὰς εἰς ου ληγούσας γενικὰς τὰς ἀπὸ τῶν εἰς ας καὶ εἰς ης εὐθειῶν γινομένας, διὰ τοῦ εω προφέρουσιν, ἀπὸ μὲν τῶν εἰς ας, ἡρόδοτος, φίτῳ δ' ἀπὸ ἀρχέω γεγονότι, ἀντὶ τοῦ ἀπ' ἀρχίου. ἀπὸ δὲ τῶν εἰς ης, ἀτρείδεω δαΐφρονος.

Τοῖς ὑποτακτικοῖς ἄρθροις τοῖς ἀπὸ φωνήεντος ἀρχομένοις προστιθέασι τὸ τ οἱ ἴωνες ὡς παρ' ἡροδότῳ, αὐτὸς μὲν ἐνθῆ τούτους συνεγινόμην δήμου τῶ ἦν, ἀντὶ τοῦ οὗ ἦν, καὶ ἀλλαχοῦ τοῖς ἐνετέλλετο ἔχουσιν, ἀντὶ τοῦ οἷς.

Τῷ ε προστιθέασι τὸ ι, ὡς τὸ χρὴ ξεῖνον παρεόντα φιλεῖν, ἐθέλοντα δὲ πέμπειν καὶ εἴ μοι ξείνια δοίη, εἰνάλιος θὴρ, ἀντὶ τοῦ ἐνάλιος.

Τῷ ο ἐπιβάλλουσι τὸ υ, κόρη, κούρη, νόσος, νοῦσος, ὄρος, οὖρος, μόνος, μοῦνος, εἴποι τις δὲ πῶς τὸ πόνος καὶ φόνος οὐ προσλαμβάνει τὸ υ, οὐ γὰρ λέγουσι ποῦνος, φοῦνος; λέγομεν οὖν ὅτι ἀπὸ ῥημάτων τοῦ πονῶ καὶ φονῶ παρήχθησαν, τὸ δὲ μόνος καίτοι ἀπὸ ῥήματος παραχθὲν, ἐπεὶ τελείως ἐστὶ προσλαμβάνει τὸ υ.

Τὸ α εἰς η τρέπουσιν. ἥρα ἥρη, σφαῖρα, σφαίρη, δημοσία, δημοσίη, πρᾶγμα πρῆγμα.

Τὰς εἰς ους ληγούσας γενικὰς διὰ τοῦ εος προ-

φέρουσιν, ὡσαύτως καὶ τὰς ἄλλας πτώσεις οὐ συνῃρημένας, ἀλλ' ἐντελεῖς ποιοῦσι, πολυκράτεα καὶ δημοσθένεα λέγοντες.

Τὸ πολλὸν λέγουσιν, οὐχὶ τὸ πολύ, καὶ ὁ πολλὸς οὐχὶ πολύς. τὴν εἰς πρόθεσιν ες λέγουσιν ὁμοίως τοῖς ἀττικοῖς.

Τοῖς ἐνεστῶσιν ὁμοίως καὶ τοῖς παρατατικοῖς καὶ ταῖς μετοχαῖς τῶν περισπωμένων, καὶ ἁπλῶς εἰπεῖν πάσαις ἐγκλίσεσιν ἐντελῶς κέχρηνται, ὡς ἐν τοῖς ἀνακρεοντείοις οἷον δοκέω, κλύειν γὰρ ἤδη λαλέειν τις ἐθελήσει, καὶ ἐν τῷ χρησμῷ, καὶ οὐ λαλέοντος ἀκούω.

Τὸ ὁρῶ ὁρέω λέγουσι, τὸ α εἰς ε τρέποντες, καὶ τὸ ἐχρῶντο ἐχρέοντο.

Τὸ ὧν ἀντὶ τοῦ οὖν λέγουσιν, ἡρόδοτος, καὶ ὧν φασι πολέες.

Τὸ ὦ ὃ σημαίνει τὸ ὑπάρχω, ἔω λέγουσι, καὶ ὅμηρος, ὃς ᾔδη τά τ' ἐόντα, τά τ' ἐσσόμενα πρό τ' ἐόντα.

Τὰ ψιλὰ ἀντὶ δασέων ἀσπάζονται, ἀπιγμένοι λέγοντες καὶ ἀπίκοντο, οὐ μὴν δὲ ἐν ταῖς συνθέσεσι μόνον, ἀλλὰ καὶ ἐν ταῖς συναλοιφαῖς, ἡρόδοτος, οὐκ οἷοί τε ἦσαν.

Τὰς νῆας νέας λέγουσι.

Τὰς εἰς ος γενικὰς τὰς ἀπὸ τῶν εἰς ευς εὐθειῶν γινομένας, διὰ τοῦ ηος προφέρουσι, βασιλῆος λέγοντες καὶ πηλῆος.

Τὰς εἰς ου ληγούσας γενικὰς τὰς ἀπὸ τῶν εἰς ος εὐθειῶν γινομένας, διὰ τοῦ οιο προφέρουσι, μενελάου μενελάοιο, θείου, θείοιο.

Τὰς εἰς ος ληγούσας γενικὰς τὰς ἀπὸ τῶν εἰς ις εὐθειῶν γινομένας, διὰ τοῦ ιος προφέρουσιν, ὄφις ὄφιος λέγοντες διὰ τοῦ ο μικροῦ, πρέσβις πρέσβιος, μάντις, μάντιος, καὶ πόλις πόλιος, ὡς ἐν ὀρέστῃ εὐριπίδης, ὃς οὐ δύναται πόλεος ἐν τ' ἀρχαῖσιν ἦ, καὶ ἔστιν ὁ στίχος ποὺς δάκτυλος, καὶ πάλιν ἐν ἄλλῳ δράματι, ὥσπερ ὄφιες ἐν ταμίᾳ θέρος.

Εἰώθασι συναιρουμένους ποιεῖν τοὺς παρῳχημένους τοῖς ἰδίοις ἐνεστῶσιν, ἐξ ὧν καὶ ἐγένοντο, οἷον τύπτε δ' ἐπιστροφάδην ἄορι θείνε, βῆ δ' ὁ γέρων, θῆκε δ' ἐπὶ φρεσὶ θεὰ λευκώλενος ἥρη, ξανθὰς δ' ἐκ κεφαλῆς ἔλε τρίχας, καὶ τὸ καλὸν δ' οὔπω ἐγὼν οὔπω ἴδον ὀφθαλμοῖσιν, οὐδ' οὕτω γεραρόν. καὶ τὸ, τοιοῦτοι ἐν σπέρμοι ἐείκοσιν αὐτε βόλησαν πάντες καὐτοὶ ἕλοντο, πρὸς δὲ καὶ νῆμα δεξάμενος πηλεὺς τρέφεν ἐνδυκέως. καὶ σὺν θεράποντ' ὀνόμηνε. καὶ τὸ, οὔθ' ὀδυνηφάτ' ἐπὸν ἴδομεν, καὶ ξεινία δῶκε. καὶ καθόλου εἰπεῖν αἱ συστολαὶ τῶν ἰώνων εἰσίν, ὡς τὸ νέας ἀμφιελίσσας ἀντὶ τοῦ νῆας, καὶ ὄρεος καὶ πόλεος ὥσπερ αἱ ἐκτάσεις τῶν ἀττικῶν, ὡς τὸ πωλεῖταί τις δεῦρο γέρων ἅλιος νημερτής. καὶ οὐδέποτ' ἐς ἀγορὴν πωλέσκετο κυδιάνειραν. οἶμαι δ' ὅτι καὶ τὸ ἀδολέσχα ἀττικῶς

ἐκτείνεται καὶ γράφεται διὰ τοῦ ω μεγάλου, ἐπεὶ γὰρ λέγεται ἡ ῥαφὴ, καὶ ἡ ὠχεία ἡ δὴ ἔχουσα τὸ σῶμα καὶ συγκρατοῦσα.

Καὶ τὰ δεύτερα πρόσωπα τῶν ἑνικῶν παθητικῶν ποιοῦσιν ἐκ τοῦ τρίτου προσώπου τῶν ἑνικῶν, κατ' ἀποβολὴν τοῦ τ.

Ὅμηρος, γνώσεαι Ἀτρείδην Ἀγαμέμνονα τὸν περὶ πάντων Ζεὺς ἐνέηκε πόνοισι διαμπερὲς, καὶ αὖθις, τέο μέχρις ὀδυρόμενος καὶ ἀχεύων σὴν ἔδεαι κραδίην.

Ὡσαύτως καὶ τὰς ἀπὸ τῶν εἰς ας εὐθειῶν οὐδετέρων ὀνομάτων διὰ τοῦ τος κλινομένων, κατ' ἀποβολὴν τοῦ τ κρέαος γέραος λέγοντες.

Τὸ τε πλεονάζει παρ' αὐτοῖς καὶ παρέλκει, ὡς Ἡρόδοτος, ἐπεί τε ἐγένετο ταῦτα, ἀντὶ τοῦ ἐπεί.

Τὰς εἰς ους ληγούσας γενικὰς τῶν οὐδετέρων διὰ τοῦ εος προφέρουσι.

Καὶ πᾶσαν δὲ πτῶσιν τῶν τοιούτων ἐντελῶς προφέρουσιν, οἷον τείχεος, βέλεος, καὶ ἕκτορα δ' ἐκ βελέων ὕπαγε Ζεύς.

Τῷ κ ἀντὶ τοῦ π ἐν τοῖς ἐρωτηματικοῖς καὶ ἀναφορικοῖς κεχρῆσθαι εἰώθασιν, οἷον πόσα κόσα, ὅπως, ὅκως, ὁπόσα, ὁκόσα. οὐ μὴν καὶ ἐν τοῖς ἄλλοις.

Τρέπουσι δὲ καὶ τὰ δασέα εἰς ψιλὰ καὶ τὰ ψιλὰ εἰς δασέα, οἷον χιτὼν κιθὼν, ὀκνί θιν, ἀχάντιον, καὶ βάτραχος βάθρακος, καὶ τὰ ὅμοια.

Τὸ ω ἀντὶ τοῦ α ἔσθ' ὅτε χρῆσθαι αὐτοὺς, λέγουσιν ὤνθρωπον τὸν ἄνθρωπον, καὶ τὸ ἄριστον, ὤριστον. ἐπεὶ δὲ οἶμαι ἐκ συναλοιφῆς ἐπὶ μόνων τῶν εὐθειῶν τοῦτο ποιεῖν αὐτοὺς καὶ ἐπὶ τῶν κλητικῶν, ὥσπερ καὶ οἱ ἀττικοὶ ποιοῦσιν αὐτίκα, Ἡρόδοτος ἐπὶ τῆς κλητικῆς οὕτω φησὶν, ὤνθρωπε μὴ κτεῖνε Κροῖσον, καὶ αὖ ἀλλαχοῦ, ὦναξ Ἡράκλεις, ἀντὶ τοῦ ὦ ἄναξ, καὶ Σοφοκλῆς, ἀλλὰ γὰρ ὦναξ οὐδ' ὃς ἂν βλαστῇ μένει νοῦς τοῖς κακῶς πράττουσιν ἀλλ' ἐξίσταται, καὶ Ὅμηρος, λοιθὸς ἀνὴρ ὤριστος ἐλαύνει μώνυχας ἵππους, ἀντὶ τοῦ ὁ ἄριστος, τὸ γὰρ ω καὶ α εἰς ω μέγα κιρνᾶται ἢ συναλείφεται.

Καὶ τὸ ο καὶ α εἰς ω μέγα κιρνῶσιν ὡς τὸ βόαξ βῶξ.

Καὶ τὸ αο εἰς ω μέγα κιρνᾶται, οἷον τὰ ὅπλα θ' ὦπλα.

Καὶ ἐπειδὴ τὸ ὅπλον δασύνεται, τρέπεται τὸ τ εἰς θ. τοῦτο δὲ ἀττικόν ἐστιν, εἰ γὰρ ἦν ἰωνικὸν οὐκ ἂν τρέπῃ, ἐπεὶ τοῖς ψιλοῖς χαίρουσιν Ἴωνες.

Τὸ ω ἀντὶ τοῦ α ἐν τῇ διφθόγγῳ χρῶνται, ὠυτὸς λέγοντες ἀντὶ τοῦ αὐτὸς, καὶ θωυμάσας ἀντὶ τοῦ θαυμάσας. ἐντεῦθεν οἶμαι καὶ τὸ φωριαμὸς ἰωνικῶς οὕτω λέγεσθαι, φαριαμὸς ὢν ἀπὸ τῆς ἐτυμολογίας ἡ τὰ φάρεα περιέχουσα κιβωτός.

Τέμνουσι καὶ διαιροῦσι τὰς λέξεις Ἴωνες ἴδιον, ἀντὶ γὰρ τοῦ εἰπεῖν Πελοπόννησος Πέλοπος νῆσος λέγουσι, καὶ ἀντὶ τοῦ εἰπεῖν αἴγαγρον, αἶγα ἄγριον.

Αἱ παραλήψεις τῶν ἀπαρεμφάτων ἀντὶ προστακτικῶν Ἰώνων εἰσὶν, Ὅμηρος πάντα μάλ' ἀτρεκέως ἀγορευέμεν ἀντὶ τοῦ ἀγόρευε, καὶ πειρᾶν δ' ὥς κεν Τρῶας ὑπερκύδαντας Ἀχαιοὺς, ἀντὶ τοῦ πειρῶ, καὶ μυρία ἄλλα τοιαῦτα παρ' Ὁμήρῳ, καὶ Ἡσιόδῳ εὑρήσομεν.

Αἱ παραλήψεις τῶν ἀρσενικῶν ἀντὶ θηλυκῶν, Ἰώνων εἰσὶν, τὸ ὡς τοῖσι δὲ τερπομένοισι μέλας ἐπὶ ἕσπερος ἦλθεν, ἀντὶ τοῦ ἑσπέρα.

Αἱ διαιρέσεις τῶν εἰς ει ληγόντων ἑνικῶν δοτικῶν Ἰώνων εἰσὶν ἴδιαι, βέλει. βέλεϊ καὶ ἔγχει ἔγχεϊ.

Τὰ εἰς ω λήγοντα θηλυκὰ ἐπὶ τῆς αἰτιατικῆς εἰς ουν περατοῦσιν, οἷον λητὼ λητοῦν, σαπφὼ σαπφοῦν.

Τὸ ι ἐξαιροῦσιν οἱ Ἴωνες ἐνίοτε τῶν λέξεων, τὸ γὰρ πονεῖσθαι πονέεσθαι φασίν.

Ἐφθάσαμεν εἰπόντες ὅτι τῶν Ἰώνων ἐστὶ τὸ γράφειν καὶ τὸ λέγειν ὄρεος καὶ πόλεος, νῦν δὲ φαμὲν ὅτι καὶ ταῖς κοιναῖς αὐτῶν γενικαῖς χρῶνται οἱ Ἴωνες καὶ μάλιστα Ὅμηρος, οὐ ἀγροῦ νόσφι πόλιος, καὶ Ἱπποκράτης, ὑπὸ φθίσιος ἐχομένῳ διάρροια ἐπιγενομένη θανάσιμος.

Αἱ ἐπαναδιπλώσεις τῶν δευτέρων ἀορίστων Ἰώνων εἰσὶν, ὡς τὸ, τετύκοντό τε δαῖτα.

Τῇ μεταθέσει τῶν στοιχείων ἰδίως χρῶνται, οἷον κραδίην ἀντὶ τοῦ καρδίαν, ἀτραπιτὸς, ἀντὶ τοῦ ἀταρπιτός.

Τὸ δὲ διπλοῦν σσ εἰς ξ τρέπουσιν Ἴωνες, τὰ δισσὰ γοῦν διξὰ, καὶ τὰ τρισσὰ τριξὰ λέγουσι.

Τὸ ι ὑπεξαιροῦσι πολλάκις τῶν λέξεων αὐτίκα, Ἡροδότου Ἁλικαρνασσῆος ἱστορίης ἀπόδεξις, ἀντὶ τοῦ ἀπόδειξις.

Ἀλλὰ καὶ τὸ ὑπεξαιρεῖν τῶν κτητικῶν τὸ ι, τῶν Ἰώνων ἐστὶν, οἷον ἀργύρεος χρύσεος, Ὅμηρος, Ἑκτόρεον τε χιτῶνα περὶ στήθεσσι δαΐξαι.

Τὰς εἰς ες ληγούσας εὐθείας τῶν πληθυντικῶν, εἰ μὲν ἀπὸ τῶν εἰς ευς εὐθειῶν γίνονται, διὰ τοῦ ηες ἐκφέρουσι, βασιλῆες ἱππῆες, διότι καὶ τὴν γενικὴν οὕτω προφέρουσιν, εἰ δὲ ἀπὸ τῶν εἰς ης ἢ εἰς υς διὰ τοῦ ε, οἷον ἀληθέες.

Ἡ εὐθεῖα τῶν πληθυντικῶν παρ' ἡμῖν μὲν ἀληθεῖς διὰ τῆς ει διφθόγγου, ἰωνικῶς δὲ ἀληθέες, καὶ πάλιν πολὺς πολέες, ὡς τὸ, πολέες δ' ἤμιν ἐρύσαντο φθέρειν, καὶ ὀξέες ἦλοι.

Διαπορήσειε δ' ἄν τις, πῶς τὰς γενικὰς τὰς ἀπὸ τῶν εἰς υς εὐθειῶν οὐ προφέρουσι διὰ τοῦ ηος, οἷον ἡδέος, ὀξέος, ὥσπερ βασιλῆος καὶ ἱππῆος. ἔστιν οὖν εἰπεῖν, ὅτι οὐδέποτε ἡ παραλήγουσα τῆς γενικῆς μείζων θέλει εἶναι τῆς ληγούσης τῆς εὐθείας ἐπὶ τῶν περιττοσυλ-

λέβως κλινομένων, οἷον αἴας, ἡ εὐθεῖα τὸ ας ἔχει φύσει μακρὸν, ἡ δὲ αἴαντος γενικὴ θέσει μακρὰν ἔχει τὴν παραλήγουσαν, ἀλλὰ καὶ ἡ λάχητος φύσει μακρὰν τὴν παραλήγουσαν, ἡ οὖν ἴση ὀφείλει εἶναι ἡ παραλήγουσα τοῖς γενικῆς τῇ ληγούσῃ τῆς εὐθείας, ἢ ἐλάττων, ὡς ἐπὶ τοῦ αἴαντος καὶ χαρίεντος, καὶ λέων λέοντος, οὐδέποτε δὲ μείζων. ἐπεὶ οὖν τὸ πηλεὺς καὶ τὰ ὅμοια εἶχον τὴν λήγουσαν μακρὰν ἐποίησαν καὶ οἱ ἴωνες τὴν παραλήγουσαν μακρὰν τῆς γενικῆς, ἵν᾽ ᾖ ἴση τῇ ληγούσῃ τῆς εὐθείας μὴ οὔσης ἐντεῦθεν τοῦ κανόνος παραβάσεως. ἐπὶ δὲ τοῦ ἡδὺς οὐκ ἠδυνάσαντο τρέψαι τὴν γενικὴν τοῦ ἡδέος εἰς η, οὕτω γὰρ ἂν εὑρίσκετο μείζων ἡ παραλήγουσα τῆς γενικῆς τῆς ληγούσης τῆς εὐθείας, ἐπεὶ ὁ ἡδὺς βραχεῖαν ἔχει τὴν λήγουσαν καὶ ὀξὺς καὶ τὰ ὅμοια. τὰ γὰρ εἰς σ λήγοντα μετὰ διχρόνου ἀποβολῇ τοῦ σ τὸ οὐδέτερον ποιοῦντα, συνεσταλμένον ἔχει τὸ δίχρονον, ὁ μέγας, τὸ μέγα, ὁ ἡδὺς, τὸ ἡδύ.

Τ τῆς θηλείας τὸ ι ἐξαιροῦσι καὶ ἐπὶ πάσης πτώσεως τοῦτο ποιοῦσιν, ἡρόδοτος, τὴν θηλέαν ἵππον μίαν τὴν ὁ δαρεῖος ἐς τὰ μάλιστα ἔστεργε, καὶ πάλιν ἐγχρίμπτων τῇ θηλέῃ.

Τ ὁ μὴ ἐκφωνούμενον ι ἐκφωνεῖν εἰώθασιν, ὅμηρος, ὑπὸ δ᾽ ἀοιδοὶ εἰσανέβαινον καὶ πατρῷος ἐστὶν ἑταῖρος, καὶ ἠσκηθὴς, χρηΐζων ἀπιόντος.

Δ ἡ προσθέσεις τοῦ ι τῷ ε ἐπιφερομένου φωνήεντος ἢ ἐνὸς τῶν ἀμεταβόλων ἰώνων εἰσὶν, οἷον ἕως εἷος, κενὴ ἀντὶ τοῦ κενὴ, καὶ ξεῖνος ἀντὶ τοῦ ξένος.

Τ ὁ μεταλλάττειν τὴν ει δίφθογγον εἰς τὴν ις συλλαβὴν ἰώνων ἐστὶν, ὅμηρος, ὀρίηρες ἑταῖροι ἀντὶ τοῦ ὀρίηρες, ὀριστομέματις ἵπποι ἀντὶ τοῦ ἐρισθενέματοι.

Δ ἡ ἐκλλάξεις τοῦ η εἰς α βραχὺ ἰώνων εἰσὶν, μεμακυῖα ἀντὶ τοῦ μεμηκυῖα, καὶ λελασμένος ἀντὶ τοῦ λελησμένος, καὶ ἄλαστος, ἀντὶ τοῦ ἄληστος. εἰ δέ τις λέγει, πῶς πῆ μὲν τὸ α εἰς η τρέπουσιν, ὡς ἥρα ἥρη, πιτὰν πιτήν. πῆ δὲ τὸ η εἰς α, ἴστω ὡς τὸ μὲν α εἰς η τρέπουσιν, ὅτε ἐστὶ τὸ α μακρὸν, τὸ δὲ η εἰς α, οὐχ ἁπλῶς, ἀλλ᾽ ὅτε ἐστὶ τὸ α βραχὺ, αἱ δὲ ἐναλλαγαὶ τοῦ βραχέος α εἰς η μεταγενεστέρων ἰώνων εἰσὶν, ὡς ταῦτα δηλοῖ τὴν ἀληθείαν ἔχουσιν.

Δ ἡ ἀφαιρέσεις τῶν κατ᾽ ἀρχὴν συμφώνων ἰώνων εἰσὶν, οἷον λείβειν εἴβειν, γαῖα αἶα, δεινὸς, εἰνός.

Δ ἐν τῇ αι συλλαβῇ πολλάκις τιθέασι μεταξὺ τῶν προθέσεων ὧν εἶλον καὶ ἐπ᾽ ὧν ἔδοντο.

Τ τὰ πρῶτα φωνήεντα στοιχεῖα τῶν λέξεων ἀφαιροῦσιν οἱ ἴωνες, ἐκεῖνος, κεῖνος, ἑορτὴ, ὁρτή.

Τ τὰ συνθέτα ῥήματα διαλύουσι, καὶ μεταξὺ τιθέασι τὰ ὀνόματα, οἷον λίαν κατὰ ταῦρον ἰδηδώς, ἀντὶ τοῦ κατεδηδώς, κατὰ δ᾽ ἔκταμον ἰστία ἀντὶ τοῦ κατέκτεινε.

Τ ὁ ἀναστρέφειν τὰς λέξεις ἰώνων ἐστὶν ἴδιον οἷον ὄρνιθες ὣς, καὶ ὣς ἔπι πολλ᾽ ἐμόγησα.

Κ αἱ τὰ ἐπὶ σύνθετα ἰώνων εἰσὶν, οἷον αὐτὰρ ἐπεὶ διάτε σκόλοπας καὶ τάφρον ἔβησαν ἤγουν διέβησαν.

Δ ἡ διαιρέσεις τῶν εἰς ως ληγόντων ἐπιρρημάτων τῶν ἀπὸ τῆς γενικῆς τῶν πληθυντικῶν γινομένων, ἧς ἡ εὐθεῖα τῶν ἑνικῶν εἰς ης περατοῦται, καὶ εἰς ους ἔχει τὴν γενικὴν τῶν ἑνικῶν, οἷον εὐσεβὴς εὐσεβοῦς, ἡ γενικὴ τῶν πληθυντικῶν εὐσεβῶν καὶ τροπῇ τοῦ ν εἰς σ, εὐσεβῶς. ἀληθὴς, ἀληθοῦς, ἡ γενικὴ τῶν πληθυντικῶν ἀληθῶν, καὶ τροπῇ τοῦ ν εἰς σ, ἀληθῶς, καὶ τἄλλα ὁμοίως. ταῦτα οὖν καὶ τὰ τοιαῦτα διαιροῦσιν οἱ ἴωνες ὁμοίως τοῖς ὀνόμασι, ἀληθέως λέγοντες καὶ ἀσφαλέως καὶ εὐσεβέως. ἐπὶ μέντοι τῶν ὁσίων ὁσίως καὶ δικαίων δικαίως. καὶ θαυμαστῶν θαυμαστῶς οὐκ ἔτι. τούτων γὰρ αἱ γενικαὶ οὐκ εἰς ους λήγουσιν, ἵνα ὦσι διῃρημέναι καὶ κατὰ τὰ ὀνόματα καὶ τὰ ἐπιρρήματα.

Ο ἡ μὲν δωριεῖς, ὡς εἴρηται, ἐκτεινομένου χρῶνται τῷ α, τρέποντες τὸ η εἰς αὐτό. οἷον ἥλιος ἅλιος. νῆσος, νᾶσος σελήνη, σελάνα.

Ο ἡ δὲ ἴωνες συστελλομένῳ χρῶνται αὐτῷ. καὶ ἁπλῶς εἰπεῖν, καὶ προσθέσει καὶ ἀφαιρέσει καὶ ἐπεκτάσει κέχρηνται καὶ συγκοπῇ.

Ε ἔστι δὲ ἡ μὲν πρόσθεσις τῇ ἀφαιρέσει ἐναντία ἡ δὲ ἐπέκτασις τῇ συγκοπῇ.

Κ αἱ πρόσθεσις μὲν ἐστὶν, ὅταν ἐν τῇ πρώτῃ συλλαβῇ τοῦ ὀνόματος παραληφθῇ τι στοιχεῖον. οἷον ἕνεκα εἵνεκα, καὶ ἴλιον εἴσω ἀντὶ τοῦ ἔσω. μόνος μοῦνος. ὅλος οὖλος.

Τ αὗται δ᾽ ἐγὼ προσθέσεις οὐ λέγω ἀλλὰ παρενθέσεις. ὡς καὶ ἐκεῖνα, ἄνακτος εἴνακτος. πνέοντες πνείοντες. ὡς ὅμηρος, οἱ δ᾽ ἴσαν σιγῇ μένεα πνείοντες ἀχαιοί. καὶ ἡ μὲν δ᾽ εἴνακτός ἐστι περιφοιτώων ἐνιαυτός.

Γ πρόσθεσις δὲ λέγεται ὅταν ἐν ἀρχῇ τοῦ λόγου ἔξωθεν παραληφθῇ στοιχεῖον. οἷον σταφὶς, ἀσταφίς. πᾶς ἅπας. ἔστι δὲ τοῦτο καὶ ἀττικὸν, καὶ ἔστι γοῦν πρόσθεσις, καὶ ἔστι παρένθεσις τῶν ἰώνων ἐστὶν, ἀλλὰ καὶ τὰ ἐναντία τούτοις.

Ε ἔστι δὲ ἐναντία μὲν, ὡς εἴρηται, ἡ πρόσθεσις τῇ ἀφαιρέσει, ἡ δὲ παρένθεσις τῇ ἐλλείψει.

Ε ἔστι δὲ ἀφαίρεσις ἡ κατ᾽ ἀρχὰς αὔξησις. ἐκεῖνος, κεῖνος. ἐκεῖσε. κεῖσε. ἑορτὴ, ὁρτή.

Ε ἔλλειψις δὲ ἀποβολὴ φωνήεντος κατὰ τὸ μέσον οὐ ποιοῦντος συλλαβήν. οἷον ἀμμύξαι, ἀμύξαι. ἔστι δὲ τοῦτο καὶ ἀττικόν. ταῦτα μὲν ἴδια ἰώνων εἰσὶν. ἥ τε πρόσθεσις λέγω καὶ ἡ ἔλλειψις, καὶ ἡ παρένθεσις, καὶ ἀφαίρεσις, καὶ ἔτι συγκοπὴ, ἥτις ἐστὶν ἐναντία τῇ ἐπεκτάσει.

Ἔστι δὲ συγκοπὴ μὲν ἔνδεια μιᾶς συλλαβῆς κατὰ τὸ μέσον τῆς λέξεως. οἷον εἵμαμα, εἷμα. κακόμορος, κάμμορος. ἐξαίρετος, ἔξαιτος.

Παρέκτασις δὲ πλεονασμὸς μιᾶς συλλαβῆς κατὰ τὸ μέσον. οἷον ἀδελφὸς, ἀδελφεός. ἔτυμος, ἐτήτυμος.

Ἔστιν ὅτε γίνεται συγκοπὴ καὶ δύο συλλαβῶν. οἷον Δευκαλιωνίδης, Δευκαλίδης. ταύτῃ δὲ τῇ συγκοπῇ χρῶνται καὶ οἱ αἰολεῖς.

Χρῶνται δὲ καὶ ταῖς διαφορήσεσι. ἤδει γὰρ κατὰ θυμὸν ἀδελφεὸν ὡς ἐπονεῖτο.

Διαίρεσις δὲ τῇ συναλοιφῇ ἐναντία.

Ἔστι δὲ συναλοιφὴ δύο φωνηέντων διῃρημένων εἰς μίαν συλλαβὴν ἕνωσις. οἷον τὸ ὄνομα, τοὔνομα. καὶ ἔστιν ἴδιον αὕτη τῶν ἀττικῶν.

Ἡ δὲ ἀναδίπλωσις, ὡς ἔφαμεν, ἰδία τῶν ἰώνων, οἷον λάχωσι λελάχωσιν.

Ἀλλὰ καὶ ἡ ἄρσις αὐτῆς, βεβλημένος, βλημένος.

Ἔστι δὲ ἡ ἀναδίπλωσις ἐναντία τῇ ἄρσει.

Πάλιν ἡ συστολὴ τῶν ἰώνων ἐστίν. οἷον ῥόχθει δὲ μέγα κῦμα ποτὶ ξερὸν ἠπείροιο.

Ἡ δὲ ἔκτασις. οἷον τιθέμεναι τιθήμεναι, ἀττικῶν.

Πάλιν ὁ λεγόμενος προσχηματισμὸς, πλεονασμὸς συλλαβῆς κατὰ τὸ τέλος. οἷον θεοῖς, θεοῖσι. σοφοῖς, σοφοῖσι. μούσαις, μούσαισιν. οὗτος δὲ ἐναντίος ἐστὶ τῇ ἀποκοπῇ. ἔστι δὲ αὕτη τῶν δωριέων. οἷον ἱδρῶτα ἱδρῶ. ὅμηρος, ἱδρῶ ἀπεψύχοντο. κυκεῶνα κυκεῶ.

Πάλιν ἡ παρέμπτωσις ἥτις ἦν ἐναντία τῇ ἐκθλίψει, τῶν ἰώνων ἐστίν. οἷον λεγόμεθα λεγόμεσθα.

Ἡ δὲ ἔκθλιψις μόνων τῶν δωριέων ἐστίν. οἷον σκῆπτρον, σκᾶπτον.

Πάλιν τὸ διπλασιάζειν τῶν ἰώνων ἐστίν, ἤτοι ὁ διπλασιασμὸς, ὡς ἐστὶν ἐναντίος τῇ παρελλείψει.

Ἔστι δὲ ὁ διπλασιασμὸς ὅταν ἔν τινι τῶν συμφώνων τὸ αὐτὸ σύμφωνον προστεθῇ. οἷον ὅτι, ὅττι, ὅττι κἂν ἄπω(?). ὅσον, ὅσσον. ὅμηρος, τόσσον ἐχώσατο φοῖβος ἀπόλλων.

Παρέλλειψις δέ ἐστιν ὅταν ἔν τινι τῶν διπλασιασμένων συμφώνων παραλίπηται, οἷον κάλλιον, κάλιον. καὶ ἔστι τῶν δωριέων.

Ἔστι δὲ τῶν ἰώνων ἴδιον καὶ τὸ ἀποβάλλειν τῆς ει διφθόγγου τὸ ι. οἷον μείζων, μέζων, κρείσσων, κρέσσων. ἔστι δὲ τοῦτο ἔλλειψις.

Ἔλλειψις δέ ἐστιν, ὡς προείρηται, ἀποβολὴ φωνήεντος κατὰ τὸ μέσον, οἷον ἐστὶ καὶ τὸ αἰμύξαι, ἀμύξαι.

Οὗτοι καὶ τὸ ἐπειδὰν ἐπεὰν λέγουσιν. ἡρόδοτος, ἐπεὰν ἐκβῇ εἰς τὴν γῆν ἐκ τοῦ ὕδατος ὁ κροκόδειλος.

Ὁμοίως καὶ τὸ ἐνταῦθα ἐνθαῦτα φασὶν ἐναλλαγμένως. ἡρόδοτος. ἐνθαῦτα ὁ τροχίλος ἐσδύνων, ὡς ἀπὸ τοῦ ἔνθα.

Ζωὴν λέγουσι καὶ τὴν ζῶσαν γυναῖκα, ὡς ἀπὸ τοῦ ζωός.

Τὸ λίαν κάρτα λέγουσι.

Τὸ μέγεθος μέγαθος λέγουσιν. ἡρόδοτος ἐν τῇ δευτέρᾳ τῶν ἱστοριῶν. πρόσωπον δὲ ἐς τὰ μάλιστα ἐπίγρυπον μέγαθος ὅσον κρέξ.

Τὸ ι καὶ ο εἰς τὴν ευ δίφθογγον μεταπίπτει(?) παρ' αὐτῷ, ἡρόδοτος, ἐς ὃ τὸν ἐρέων παῖνέ τε καὶ πέρπευ(?). ἔσεαι ἢ ἀποθανὼν τοιοῦτος καὶ πλεῦνας τοὺς πλείονας μετὰ τὴν ἑλένης ἁρπαγὴν ἑλλήνων στρατιὴν πολλὴν βοηθεῦσαν μενελέῳ.

Τὸ σοφίᾳ σοφίῃ λέγουσι.

Τὸ μὴ ἀπαγορευτικὸν σύνδεσμον ἀντὶ τοῦ μὴ παραπληρωματικοῦ λαμβάνουσιν, ὡς παρ' ἡροδότῳ, μὴ ἔχειν ἐλαίην.

Τὸ ἕως οὗ, ἐς ὃ λέγουσιν. ἡρόδοτος, ἐς ὃ ἐξήλασαν. τὸ πάλιν, αὖτις αἰεὶ λέγουσι καὶ οὐκ αὖθις.

Τὸ δὲ ἐπιτήδειος τὸ ι ὑπεξαιροῦσι καὶ ἐπιτήδεος λέγουσιν. ἡρόδοτος, ἵνα πυνθάνοιτο ἐκ βυτηρείας ἐπιτηδεότης.

Ἡ κρᾶσις τοῦ ι καὶ ε εἰς ι μακρὸν τῶν ἰώνων ἐστίν. ἱερεὺς ἱρεὺς, ἱέραξ, ἵραξ.

Καὶ τροπὴ τοῦ α εἰς η, ἵρηξ κατὰ τὴν αὐτὴν διάλεκτον. Ἡσίοδος, ὧδ' ἵρηξ προσέειπεν ἀηδόνα ποικιλόδειρον. καὶ ὀφιός, ὄφις ἰωνικόν.

Τὸ τέμνειν τάμνειν λέγουσι. ἡρόδοτος ἐν δευτέρᾳ. τοὺς ἴβιας τοὺς ἐν αἰγύπτῳ συλλέξαντας πάντας μέσους διατάμνειν. καὶ ἱπποκράτης, φλέβα τάμνειν.

Τοῦ ἐνέγκω ἀφαιροῦνται τὸ γ, καὶ ἀντ' αὐτοῦ ἐπιτιθέμενοι τὸ ι, ἐνείκω λέγουσιν. ἡρόδοτος πολλαχοῦ τούτῳ χρῆται.

Τὸ ἐκπλεύσας ἐκπλώσας λέγουσιν. ἡρόδοτος, κατὰ ληΐην ἐκπλώσαντες.

Τὸ σφεῖς σφᾶς καὶ σφῶν διαιροῦσι καὶ οὕτω προφέρουσι, σφέες καὶ σφέας καὶ σφέων. ὅμηρος. ἀλλὰ σφέας κρατερὸς διομήδης ἐξενάριξε.

Τὸν νοῦν καὶ τὸν ῥοῦν καὶ τὸν χροῦν διαλύουσι, νόον καὶ ῥόον καὶ χρόα λέγοντες. ὅμηρος, ταμεσίχροα χαλκὸν ὅμως, ἡρόδοτος, οἳ ἐκ τοῦ νόου τρέπουσι.

Τῇ εἰπὼν οὐ χρῶνται μετοχῇ ἀλλὰ τῇ εἴπας.

Εἰρώτα διὰ διφθόγγου γράφουσι, καὶ οἱ μὲν διὰ τοῦτο ἐπεὶ συναρχομένους ποιοῦσι τοὺς παρῳχημένους τοῖς ἰδίοις ἐνεστῶσι.

Ἔστι γὰρ παρ' αὐτοῖς ὁ παρατατικὸς ἐρώτα, εἶτα ἐπενθέσει τοῦ ι, γίνεται εἰρώτα. οὕτω καὶ τὸ ἐπειρέτο(?) παρ' αὐτοῖς διὰ τῆς ει διφθόγγου γραφόμενον. ἢ ἀπὸ τοῦ θέματος προσλαμβάνει τὴν ει δίφθογγον. ἔστι γὰρ τῷ ἐρωτῶ καὶ ἔρω, καὶ γίνεται παραθέσει τοῦ ι εἴρω εἴρομαι εἰρόμην εἴρου εἴρετο. Ἔτι οἱ ἴωνες τὰ τρίτα πρόσωπα τῶν πληθυντικῶν οὕτω ποιοῦσιν ἐν τοῖς τελείοις προσώποις τῶν ἐνικῶν τοῖς ἔχουσι πρὸ τοῦ τ ψιλόν, τρέπουσι τὸ ψιλὸν εἰς τὸ ἀντίστοιχον δασὺ, καὶ ποιοῦσι προσθήκῃ τοῦ α. νένιπται νενίφαται, λέλεκται λελέχαται. εἰ μέντοι ἔχει τὸ κοινὸν διὰ τοῦ ςι βαρύτονον, τότε καὶ τὸ ἰωνικὸν ἔχει

πρὸ τοῦ

πρὸ τοῦ α, τὸ δὲ χαρακτηριστικὸν τοῦ μέσου παρακειμένου, πέφρασμαι πεφράδαται, ὅτι πέφραδε. εἰ μέντοι ἀπὸ ἐσταλμένων φύσει μακρᾷ παραληγομένων ταύτην συστέλλουσι πρὸ τοῦ α ταῖς εἰς τὴν ὀφειλομένην συστολήν, πεποίηται, πεποιέαται.

Στοιχοῦσι Ἴωνες ἐπὶ τῶν εἰς δου ληγόντων πατρωνυμικῶν ταῖς ἐπεκτάσεσι πηληιάδου λέγοντες καὶ λαερτιάδου. ὤφειλε γὰρ εἶναι ἡ γενικὴ λαερτίδου.

Ἐπεὶ τὰ εἰς δης πατρωνυμικὰ μιᾷ συλλαβῇ πλεονάζουσι τῆς γενικῆς τοῦ πρωτοτύπου οἷον πηλέως, πηλείδου, πριάμου, πριαμίδου, οὕτω καὶ λαέρτου, λαερτίδου ὤφειλεν εἶναι τὸ πατρωνυμικόν, ἀλλ' οἱ Ἴωνες ποιοῦσιν ἐπέκτασιν, καὶ οὕτω προφέρουσι, λαερτιάδης λέγοντες, πηλειάδης, εἶτα κατ' ἐπέκτασιν ἀττικὴν πηληϊάδης.

Χρῶνται δὲ καὶ ταῖς μεταθέσεσιν.

Ἔστι δὲ μετάθεσις ὅταν ἢ τὸ πρῶτον στοιχεῖον τῆς ἰδίας γένηται συλλαβῆς, δεύτερον οἷον ἀτραπιτὸς ἀταρπιτός, ἐκ γὰρ τοῦ τρέπεσθαι γέγονε καὶ τοῦ α στερητικοῦ μορίου, καὶ ἔστιν ἡ εὐθεῖα ἡ ἀτραπιτὸς ἤγουν ἡ ὁδός. εἶτα γέγονε μετάθεσις τοῦ στοιχείου καὶ λέγεται ἀταρπιτός. ἢ τὸ δεύτερον πρότερον, οἷον καρδία, κραδία. καρτερός, κρατερός. τέταρτον, τέτρατον. ὅμηρος, τέτρατον ἦμαρ ἔην καὶ τῷ τετέλεστο ἅπαντα.

Ἰστέον δὲ ὡς διαφέρει μετάθεσις ὑπερθέσεως, ἡ μὲν γὰρ μετάθεσις ἐν τῇ αὐτῇ συλλαβῇ γίνεται. ἡ δὲ ὑπέρθεσις ἐν ὑστέρᾳ ὡς τὸ ὀθνεῖος ἦν γὰρ νέθος, νοθεῖος καὶ καθ' ὑπέρθεσιν, ὀθνεῖος· καὶ πάλιν γόνυ γόνυος καὶ δόρυ δόρυος. καὶ καθ' ὑπέρθεσιν γουνὸς καὶ δουρός. χρῶνται δὲ καὶ τούτῳ τῷ πάθει οἱ Ἴωνες.

Εἰδέναι δὲ χρὴ ὡς ἡ μὲν ἀρχαία Ἰὰς μετέπεσε πρὸς τὴν τῶν κατοικούντων πολυτροπίαν. καὶ διέμεινεν ἕως ἐκείνου τοῦ καιροῦ ἐφ' ᾧ ἐποίησαν οἱ Ἴωνες τὰς ἀποικίας καὶ διεσπάρησαν εἰς τόπους πλείονας. λέγεται δὲ παρ' αὐτοῖς τὸ μὲν ὑγιαίνειν οὐλεῖν. ὅθεν καὶ τὰ ὑγιῆ τῶν τραυμάτων οὐλὰς λέγομεν.

Ὁ δὲ λόγος μῦθος.

Τὸ μαντεύεσθαι ἀειλεῖν. καὶ τοὺς τόπους ἐν οἷς ἀνεστρέφοντο ἤθη.

Καὶ τὸ ἐπιμελῶς ἀνεκῶς.

Ἀντὶ τοῦ ξενίων ἐδωρήσατο, ξενίων συνεθήκατο.

Καὶ τὸ ἀπατητικῶς ἢ ἐπιμελῶς ἐπιστρεφέως.

Καὶ τὸ ἠχούσης ἐχυούσης.

Καὶ τὸ θυμωθεὶς, καὶ ταραχθεὶς, ἀπεχθείς.

Καὶ ὁ ἔμπορος ἐπίστιος.

Καὶ ὁ δυσπορῶν ἀμηχανέων.

Καὶ ἀντὶ τοῦ ἕτεροι δὲ, μετεξέτεροι λέγουσιν.

Καὶ ἀντὶ τοῦ ἡσυχάζων, ἐλινύων.

Λέγουσι δὲ καὶ τοὺς κατὰ δήμους καὶ ἀριθμὸν τῶν τεσσαράκοντα ἀνδρῶν λῆπτα.

Καὶ τὸ διακονηθέντα ἐνδόσαντα.

Καὶ τὸ ἀνέπεισαν ἢ ἐδίδαξαν ἀνέγνωσαν.

Καὶ τὰς βαφὰς, φαρμάκας.

Καὶ τὰ ἀναλώματα, τέλη.

Καὶ λαύρας λέγουσι τὰς ῥύμας τὰς ἀμφόδους.

Σαγάρεις δὲ τοὺς πελέκεις ἢ τὰ ἐκ χειρὸς ὅπλα.

Ἄρλεις τὰς φαρέτρας.

Φάλαρα τὰ περὶ τὰς γνάθους σκεπάσματα.

Ψῆνας δὲ τὰ ἐν τοῖς ὀλύνθοις γινόμενα ζωΰφια.

Σχοινοτενὲς τὸ μακρὸν καὶ ὀρθόν.

Συμψήσας δὲ λαμβάνουσι ἀντὶ τοῦ συντρίψας.

Αἱμασιαὶ δὲ τὸ ἐκ χαλίκων ᾠκοδομημένων καὶ ἄνευ πηλοῦ τοιχίον.

Φέρσος τὸ κλάσμα, τὸ ῥύφος τὸ ἀκρωτήριον.

Καὶ ταρσοὺς δὲ καλάμων τὴν πλεκτὴν οὐ ἐξήρανον τὴν πλίνθον.

Ἐμβόλιον δὲ τὸ χάλκωμα τὸ προτιθέμενον κατὰ πρώρας ταῖς ναυσί.

Ἐναγίζειν δὲ τὸ χοὰς ἐπιφέρειν. ἢ θύειν τοῖς κατοιχομένοις.

Γρόχησιν δὲ τὸ ἀποσπεῖσαι.

Ἐπίπολα τὴν μὴ βαθεῖαν κτῆσιν ἀλλ' ἐπιπολῆς.

Ἀβλικὴν δὲ καλοῦσι πάθος τι περὶ ὅλον τὸ σῶμα. κνυζήματα δὲ τὰ γοερὰ ἀποφθέγματα.

Γεωπείνας δὲ τοὺς ἐπὶ γῆς πεινῶντας καὶ ἀπορουμένους.

Τὸ δὲ ἱκανώσας ἀπώσας ὡς καὶ Ἡρόδοτος ἐν τῇ δευτέρᾳ.

Τὸ δὲ μέτριον καὶ καλῶς ἔχον ἐπιεικέστατον. τὸ δὲ ἐπιδεχόμενοι κάμπτοντες φασί. κορύνην δὲ λέγουσιν ἐπιεικῶς τι ξύλον, ἀμαρέλην δὲ τὴν ἀπόπατον.

Τὰ δὲ ὀπτώμενα πεσσόμενα. Βάρεις δὲ τὰς ναῦς.

Ὄσιριν δὲ καλοῦσι τὸν διόνυσον.

Τὰς δὲ ἀλύσεις ἀμαλλίας. οἱ δὲ τὰ ψέλλια. τὸ δὲ καθαίρειν πόμα ἐκ ζειῶν καὶ ὕδατος· συρμαΐζειν.

Λῖνον δὲ ᾠδῆς ὄνομα ἢ λύρας χορδήν.

Φ[illegible] δὲ τοὺς κρατοῦντας. ἀποφορὰν δὲ τὴν τελωνίαν παρὰ τῶν δούλων τοῖς δεσπόταις.

Λ[illegible] δὲ τὴν πορείαν καὶ ἔφοδον.

Συριγγὴ δὲ παρ' αὐτοῖς ὀνομάζεται λάχανόν τι

σιλίνῳ ἐοικὸς ἢ βρῶμα διὰ σήσαμος καὶ μέλιτος.

Ε ὑβατήρια δὲ τὰ ἀκοντήρια.

Τ ειφάσιοι δὲ παρ' αὐτοῖς λέγονται οἱ τετραπλάσιοι τείφασιοι.

Α πμακτοίσι ἡ τὸ ἱμωρέαν σημαίνει παρ' αὐτοῖς.

Α ποτιμωτέρους δὲ τοὺς ἐντιμοτέρους λέγουσι.

Α φιλικώτεροι δὲ τὸ πρεσβύτεροι.

Τ ὸν δὲ φανερὸν, ἔπαιστον.

Φ ρενήρη δὲ τὸν σώφρονα. λαμβάνουσι δὲ τοῦτο καὶ ἀντὶ τοῦ ἐναντίου.

Κ ατωπροΐζεσθαι δὲ λέγουσι τὸ προῖκα ποιῆσαι, καὶ τὸν καταφανῆ ἐπίλαμπον.

Α έξιν δὲ τὸν μερισμὸν ἢ τῶν κλήρων, τῶν καταπεποιημένων τεθυγμένων λέγουσι.

Τ ὸ πολεμεῖν αὐτιάζειν λέγουσι. τὰ αἰδοῖα μέζεα. Ἡσίοδος, οὐρὰς δ' ἀπὸ μέζε' ἔθεντο.

Τ ὸ καταπαυχθεὶς καὶ γελασθεὶς διαβεβλημένος λέγουσιν. Ἡρόδοτος, ὦ βασιλεῦ διαβεβλημένος ὑπὸ ἀμάσιος οὐ μανίης.

Τ ὸ καλλωπίσας ἀσκήσας λέγουσιν, ὃς ἐμέσοι κόσμῳ ἀσκήσας ἀπέπεμψεν ὡς ἑαυτοῦ θυγατέρα.

Ε ὐάελες οἱ ὁπλῖται διομάζονται παρ' αὐτοῖς.

Δ ιοσφάγες δὲ αἱ διεστῶσαι τάφραι, γνωσιμαχεῖν δὲ τὸ γνῶναι. τὴν ἑαυτοῦ ἀσθένειαν τοίτε τὴν ἐναντίαν ἰσχύν.

Σ ισύρα δὲ βαρβαρικὸς χιτών.

Ι βείζειν τὸ σκιρτᾶν.

Σ ινύπη δὲ τὸ τῶν ἐυπαρῶν προβάτων δέριον καὶ τὸ διαχώρημα τοῦ προβάτου.

Ν εοχμῶσαι δὲ τὸ νεωστὶ κινῆσαί τι.

Θ ριγγύες ὁ βεβαιωτής.

Ε φίαβες ὁ ἐπίκληρος.

Ε γματεύειν, τὸ διώκειν.

Τ ετραπτέλινες λέγονται παρὰ Ἴωσιν αἱ ἀκρίδες παρὰ τὸ τέσσαρα ἔχειν πτερὰ, δύο μὲν ἔξω μείζω, ἐλάσσω δὲ ἔντοσθεν ἕτερα δύω.

Τ ὸ οὐκ ἱκνουμένως ἀντὶ τοῦ προσηκόντως οὐ καθηκόντως παρ' αὐτοῖς λαμβάνεται. τὸ ἀπουπλίξατο ἀντὶ τοῦ ἀπέφυγε. πλὶξ γὰρ τὸ βῆμα ὅθεν οὐ πλίγματα τὰ πηδήματα. ἔνθα καὶ τὸ ποδὶ βάδην ἀμφιπλὶξ, παρὰ Σοφοκλεῖ ἐν τῷ Τριπτολέμῳ, καὶ Ὅμηρος, αἰὲν οὐ μὲν φέρον, οὐδ' ἐπλίσσοντο πόδεσσιν.

Κ αὶ τὸ ψώσαιν ἀντὶ τοῦ θάλπουσιν. ἔστι δὲ παρ' αὐτοῖς καὶ τὸ ψώ ἀγροικικὸν προσφώνημα. κόλλιξ δὲ ἐστιν εἶδος ἄρτου ποδαστερούς, ὅθεν καὶ τὰ παρ' ἡμῖν κολλίκια. σχοίνων δὲ συμβολεῖς οἱ ψαθοπλόκοι καὶ ἰθαγενεῖς οἱ γνήσιοι παῖδες.

Π ρόξενοι δὲ οἱ προστάται τῶν πόλεων καὶ οἱ φροντισταὶ καὶ ξενίας ὑποδεχόμενοι.

Σ παργᾷ δὲ τὸ ὀρέγεται, καὶ ἐπιθυμεῖ.

Κ ερδίνημα δὲ τὸ καρηβαρεῖν παρ' αὐτοῖς. λέγεται δὲ καὶ σκορδίνημα. ἔξις δὲ ἡ ἀθυμεία.

Ρ ικνὸν δὲ τὸ εἴσω νεῦον καὶ στραβὸν, ὃ καὶ ῥαιβὸν λέγεται.

Σ απρὸς δὲ τὸ σεσηπός.

Τ ὸ δὲ ἀντιπαλαίειν παλλαίειν φασί.

Τ ὰ δὲ πρόσφατα ποταίνια.

Β λακὸν δὲ τὸ ψυχρόν. τοὺς δὲ φρυγανώδεις. ἄνθρακας μαριλευτούς. μαρίλη δὲ ἡ θέρμη.

Η σποδιὰ δὲ μαρίλη λέγεται. μηλοσκαθέειν δὲ ἀντὶ τοῦ μεριμνῶν θεραπειῶν.

Μ ελαιδαίνειν γὰρ λέγεται τὸ μεριμνᾶν.

Μ ισύλλω τὸν κοῖλον ἄρτον λέγουσι. καὶ τὸ μυσδῶσα ἐκκρίνουσα.

Κ αὶ τὸν δημόσιον ἀντὶ δήμιον.

Κ αὶ τὸ ἐκθλίβειν βλιμάζειν.

Κ αὶ τὸ ἐστίαζεν ἔμυζε.

Κ αὶ τὰ τὴν κάτω κοιλίαν καθαίροντα φάρμακα, ἐλατήρια.

Τ ὸ εἰσέδησαν ἐνεκείνωσι.

Τ ὸ εἰς δύο διαιρεθῆναι, διχαιώθη φασί.

Κ αὶ ἡ ἀθυμότης ἀθυμεία. καὶ τὸ ἐτυλώθη ἐμυλώθη. τὸ ἐγχρίπτει ἐμπηδᾷ.

Τ ὸ ἐκτόπως καὶ παραδόξως ἐκτοπίως. τὸ ἀφορώτερον ἀντὶ στοχώτερον. τὸν μύλωνα ζώπειον. τὸ ἐμεσωμένον διαλφυσωμένον φασὶ, ὡς καὶ τὸν πυρετὸν θερμωλὴν, καὶ θαλάμους τὰς καταδύσεις, καὶ ἐξίστατο τὸ κατὰ ψυχὴν ἐξίστασθαι ἢ τὸ μαίνεσθαι.

Περὶ αἰολίδος.

Ο ἱ δὲ αἰολεῖς τὸ β τῷ ρ προστιθέασιν ὅταν τῷ ρ ἀντιφέρηται κ ἢ τ ἢ δ, βρυτὴρ ἀντὶ τοῦ ῥυτήρ. βράκος ἀντὶ τοῦ ῥάκος βρόδον ἀντὶ τοῦ ῥόδον. τὰς ἀπὸ τῶν εἰς αι θηλυκῶν γενικὰς διαιροῦσιν οἱ αἰολεῖς καὶ διὰ τοῦ αων προφέρουσι. νύμφαι, νυμφάων. παρθένοι καὶ παρθενικάων. αἱ κατὰ τὸ μέσον συγκοπαὶ τῶν αἰολέων εἰσίν. ὦρσαν ἀντὶ τοῦ ὥρμησαν. ὤλλος ὁ ἄλλος. τοὔλλο τὸ ἄλλο.

Τ ὸ ποῖον κοῖν λέγουσι.

Τ εθνεὼς καὶ τεθνηῶτα ἀντὶ τοῦ τεθνηκώς.

Α ἱ προσθέσεις τῆς ευ συλλαβῆς τῶν αἰολέων εἰσίν. οἷον εἴπαθα.

Τ ὰς εἰς αις μονοσύλλαβα ὀνόματα διαιροῦσι παῖς, πάϊς. δαῖς, δάϊς.

Τ ῷ ω στοιχείῳ ἀντὶ τοῦ ου χρῶνται. μῶσαι, μοῦσαι. λείπωσαι, λείπουσαι.

Τ ῷ υ ἀντὶ τοῦ ο χρῶνται. τὸ ὄνομα. ὄνυμα καὶ τὸ ὅμοιον, ὕμοιον λέγοντες. ἔστι τε καὶ ἀντὶ τοῦ ο τὸ ε. πρὸς σὲ πρὲς σέ. καὶ ἀντὶ τοῦ ε τὸ ω μεγάλου. ὄασε, ὤασε.

Τῷ η ἀντὶ τῆς ει διφθόγγου χρῶνται. ἐλθῆν γὰρ λέγουσι καὶ λαβῆν διὰ τοῦ η, ἀντὶ τοῦ ἐλθεῖν καὶ λαβεῖν.

Ὅσα διὰ τῆς ει διφθόγγου παρ' ἡμῖν λέγεται, διὰ μόνου τοῦ ε προφέρουσι, πολυπλασιάζοντες τὰ ἀμετάβολα. ἱμείρων ἱμέρρων. ὠτειλὰς, ὠτελλάς. εἵματα, ἔμματα. ὑμεῖς, ὔμμες. διπλασιάζουσι δὲ καὶ τὸ σ καὶ τὸ π. καὶ τὸ τ. τοσοῦτον, ὅππη, ὅππως, ὅττι. ὀσμὴν, ὀδμὴν καὶ λέγουσιν.

Τῷ ἱρὸν. ἱρὸν, τὰς γενικὰς εἰς εὐθείας μετάγοντες, ὁ μάρτυρος κλίνουσι τοῦ μαρτύρου καὶ ὁ φύλακος τοῦ φυλάκου.

Τῷ π ἀντὶ τοῦ μ χρῶνται, ὄππατα ἀντὶ τοῦ ὄμματα λέγοντες. καὶ μετ' ἐποῦ. ἀντὶ τοῦ μετ' ἐμοῦ.

Τὰς κλητικὰς τῶν εἰς ων ληγόντων εὐθειῶν συστέλλουσι. χελιδὼν, χελιδὸν, ἀηδὼν, ἀηδόν. σαρπηδὼν, σαρπηδόν.

Τὰς αι διφθόγγους τὸ ι ἐκβάλλουσιν, ὅταν αὐταῖς μὴ σύμφωνον ἐπιφέρηται. οἷον ἀλκαῖος ἀλκάος. καὶ ἀρχαῖος ἀρχάος.

Τὸ εἷμα γραφόμενον διὰ τῆς ει διφθόγγου. ἔμμα λέγουσι. καὶ τὴν ὀδύνην ἐδύνην. καὶ τοὺς ὀδόντας, ἐδόντας.

Τὸ μέλιτος διὰ τοῦ ι γραφόμενον, διὰ τοῦ α ἐκφέρουσι. μέλατος λέγοντες. πλανηθέντες δὲ κατά τινα προφορὰν λέγουσι, ζυγὸν σδυγόν. καὶ τὸ ξίφος, σκίφος. καὶ τὸ ψέλλιον, σπέλλιον. καὶ τὴν ψαλίδα, σπαλίδα.

Τὸ θύρας, θύραις λέγουσι. καὶ τὸ μέλας, μέλαις. καὶ τὸ τάλας, τάλαις. τὸ δὲ αἴας, αἴαις οὐ λέγουσι διὰ τὴν ἐπαλληλίαν τῶν φωνηέντων καὶ τῆς αι διφθόγγου. διότι ἔμελλε κακόφωνος εἶναι. καὶ διὰ τοῦτο ἐν τοῖς εἰς ας τοῖς ἔχουσι τὸ α μακρὸν προστιθέασι τὸ ι, ὡς ἐν τῷ θύρας καὶ τοῖς λοιποῖς. καὶ ἔστιν εἰπεῖν ὅτι τάσει χαίρουσιν. ἅμα δὲ καὶ ταῖς τῶν βραχυτέρων συλλαβαῖς, τὸ πηλεὺς, παλεὺς λέγουσι. τὸ φθείρω, φθέρρω. ἡ γὰρ θέσει μακρὰ ἐλάττων ἐστὶ τῆς φύσει μακρᾶς. ἐπεὶ καὶ τὸ α τὸ φύσει μακρὸν μεῖζόν ἐστι τῆς αι διφθόγγου τῆς ἐχούσης τὸ ι ἐκφωνούμενον. ὁ γὰρ ποιῶν ἔργον δύο στρατιωτῶν ἰσχυρότερός ἐστιν ἐκείνων.

Οἱ αὐτοὶ πολλάκις εἰς α ποιοῦσι τὰς εὐθείας, ἀρχύτα γὰρ λέγουσιν ἀντὶ τοῦ ἀρχύτης. ὁ ὑβραγόρα ἀντὶ τοῦ ὁ ὑβραγόρας. γέρων ἱππηλάτα πηλεὺς, ἀντὶ τοῦ ὁ ἱππηλάτης, παρ' ὁμήρῳ μὲν ἱππότα νέστωρ.

Τὰς εὐκτικὰς τοῦ πρώτου ἀορίστου ἐνεργητικοῦ διὰ τοῦ εια προφέρουσιν. οἷον τύψαιμι, τύψεια. ποιήσαιμι, ποιήσεια. καὶ τῷ μὲν πρώτῳ προσώπῳ οὗτοι μόνοι κέχρηνται. τῷ δὲ δευτέρῳ καὶ τρίτῳ οἱ ἀθηναῖοι. οἷον τύψειας, τύψειε, τύψειαν τὸ τρίτον τῶν πληθυντικῶν.

Τούτων εἰσὶ καὶ αἱ διαιρέσεις. ἀντὶ γὰρ τοῦ ἀργεῖοι ἀργέϊοι λέγουσι. καὶ αἱ συναιρέσεις τῶν αὐτῶν, βασιλῆϊ, βασιλεῖ.

Οὗτοι τρέπουσι τὴν ει δίφθογγον εἰς οι, ὡς ὄνειρος, ὄνοιρος.

Τοῖς δυϊκοῖς ἀριθμοῖς οὗτοι κέχρηνται οὐδαμῶς καθὰ δὴ καὶ οἱ ῥωμαῖοι τούτων ὄντες ἄποικοι.

Οὗτοι ταῖς εἰς ω ληγούσαις δοτικαῖς οὐ προσγράφουσι τὸ ι. ὡς τῶ ὁμήρω καὶ τῶ σοφῶ.

Ἄρεος τὸ ας διὰ τοῦ ο μακροῦ κλίνουσιν.

Αἱ διαιρέσεις τοῦ ι οὐ μόνον αἰολέων εἰσὶν ἀλλὰ καὶ ἀττικῶν καὶ δωριέων, ἀντὶ γὰρ ἑταίρων ἑταΐρων λέγουσιν.

Οὗτοι πάντα τὰ σύμφωνα διπλασιάζουσιν ἐπὶ τῶν βραχέων ὡς τὸ ἔννεπε καὶ τὸ ἔννα, καὶ τὰ ὅμοια.

Τὸ φρεσὶ καὶ γυναιξὶ κοινόν, οὗτοι φρένεσι καὶ γυναίκεσι γράφουσι. καὶ τὰ παραπλήσια τούτοις.

Τὰς εἰς ου ληγούσας γενικὰς διὰ τοῦ α ἐκφέρουσιν. αἰακίδαο γὰρ ἰωνικῶς καὶ αἰακίδεω ἀττικῶς. αἰακίδα δὲ οἱ αἰολεῖς γράφουσι. τὸ ἀνεκφώνητον ι ἐκφωνεῖν εἰώθασιν ἐπὶ δευτέρου καὶ τρίτου προσώπου. οἷον βοᾷς, βοάις. γελᾷ γελάι. ἀντὶ δὲ τοῦ ξ, κσ προφέρουσι ξένος, κσένος. καὶ ἀντὶ τοῦ ψ, πσ. πέλοψ, πέλοπς. ἐπὶ δὲ τοῦ η, ἐστὶν ὅτε τὸ α κοινῶς τοῖς δωριεῦσι.

Καὶ τὸ μὲν η εἰς ε τρέπουσιν ὡς τὸ ἄρης, ἄρες.

Τὸ δὲ η εἰς α ὡς τὸ ἐπέβην, ἐπέβαν. πύλην πύλαν. νόημα νόαμα. ἠὼς, ἀώς. ἀπάτην, ἀπάταν.

Ἀδικῆσαι, ἀδικέσαι.

Ἀντὶ δὲ τοῦ θ τὸ φ. θλᾶται φλᾶται.

Ἀντὶ δὲ τῶν δύο ππ δύο σσ. ἐμπίπτειν, ἐμπίσσειν.

Ἀντὶ δὲ τοῦ σ τὸ τ. σὺ, τύ. εἰς σε, εἰς τέ.

Ἀντὶ δὲ τοῦ τ τὸ π. στολὴν, σπολὴν, σταλεὶς, σπαλείς.

Ἀντὶ δὲ τοῦ ω μεγάλου τὸ ο μικρόν. ὥρα, ὄρα. ὠτειλὴ, ὀτειλή. συγκόπτουσι δὲ καὶ τὰ σύνθετα τῶν ὀνομάτων διπλασιάζοντες τὰ ἄφωνα ὡς τὸ κάππεσον ἀντὶ τοῦ κατέπεσον. καὶ κὰδ δὲ ἀντὶ τοῦ κατὰ δὲ, καὶ κάββαλον ἀντὶ τοῦ κατέβαλον.

Βαρυτονοῦσι δὲ οὐ μόνον τὰ ὀνόματα, ἀλλὰ καὶ τὰ ἄρθρα, ὅταν ὀνομάτων τάξιν ἐπέχωσιν. ὁ σὸς, ὅσος. ἡ σὴ, ἥση. τὸ σὸν, τόσον.

Ὡσαύτως δὲ καὶ τὰ δισύλλαβα ὀξύτονα παρ' ἡμῖν λεγόμενα αὐτοὶ βαρυτονοῦσι. σόφος, κάλος, ὄξυς, βράδυς, βάρυς, λεῦκος, βῶμος, θῦμος, τράχυς, σκλῆρος, χῶλος. καὶ τὰ ὅμοια.

Τὴν δὲ εἰς ες κλητικὴν τῶν εἰς ης ὀνομάτων δίχα τοῦ σ προφέρουσι. Σώκρατες, Σώκρατη. Ἀριστόφανες, Ἀριστόφανε. Δημόσθενες Δημόσθενε. καὶ τῶν γενικῶν δὲ πτώσεων τὸ σ ἀφαιροῦσι. Σωκράτου, Διομήδου, Σοφοκλέου λέγοντες.

Ἀντὶ αἰτιατικῆς τὴν δοτικὴν παραλαμβάνουσιν ἐν τοῖς πληθυντικοῖς. τοῖς ἀνθρώποις ἀντὶ τοῦ τοὺς ἀνθρώπους. τοῦτο δὲ ποιοῦσι διὰ τὸ χρῆσθαι αὐτοὺς τὸ ι ἀντὶ τοῦ υ.

Τὴν δὲ αἰτιατικὴν τῶν πληθυντικῶν προφέρουσι τὸ ος ἀντὶ τοῦ ους λαμβάνοντες. τοὺς ἀνθρώπος τὼς ἵππως.

Τὰ ἀπαρέμφατα ῥήματα τὰ εἰς ειν καταλήγοντα, αὐτοὶ διὰ τοῦ ην ἐκφέρουσι βαρυτονοῦντες, φιλεῖν, φίλην. καλεῖν, κάλην, φρονεῖν, φρόνην.

Τὰ δὲ παρ' ἡμῖν λήγοντα εἰς αν, αὐτοὶ εἰς αις μεταβάλλουσι. γελᾶν, γελαῖς. πεινᾶν, πειναῖς.

Τὰ δὲ εἰς ουν καταλήγοντα ἀπαρέμφατα αὐτοὶ διὰ τοῦ οις ἐκφέρουσιν. ὑψοῦν, ὑψοῖς. ὀρθοῦν, ὀρθοῖς. χρυσοῦν, χρυσοῖς.

Τὰ δὲ εἰς ω καταλήγοντα παρ' ἡμῖν, εἰς μι ποιοῦσιν. οἷον νοῶ, νόημι. φιλῶ, φίλημι.

Ὅσαι δὲ μετοχαὶ ὀξύτονοι εἰς ως καταλήγουσι διὰ τοῦ ν παρ' ἐκείνοις ἐκφέρονται, καὶ βαρυτονοῦνται. εἰρηκώς, εἰρήκων. νενοηκώς, νενοήκων. φυλάττουσι δὲ καὶ τὰς ἀπὸ τούτων κλίσεις ἀναλόγως τῇ καταλήξει. λέγεται δὲ παρ' αὐτοῖς ὁ ἔρως, ἔρος. καὶ ὁ γέλως, γέλος. καὶ κλίνουσιν αὐτὰ ὁμοίως τοῖς εἰς ος λήγουσι κυρίοις ὀνόμασι.

Τὸ ἐπὶ πολλαπλῶσιν ἐμῶν λέγοντες. καὶ ἐμεῦ, ἐμῶν.

Τὸ σὺ τὺ, ὁμοίως τοῖς Δωριεῦσι λέγουσι. καὶ τὸ ἡμῖν, ἄμμιν. ἡμεῖς, ἄμμες.

Τὸ ἐνθάδε τυῖδε. τὸ ἄλλοσε, ἑτέρωσε.

Τὰ χείρονα, χέρρονα.

Τὸ ἐπαινῶ, αἴνημι.

Τὰ ἱμάτια, ἔμματα.

Ἡ μία ἴα. Ἡ ψῆφος, ψάφαξ.

Τὸ ἔστρωται, ἐστόρηται.

Οὗτοι μέσον δύο φωνηέντων τιθέασι τὸ υ. ἀὴρ αὐὴρ λέγουσι.

Καὶ ἕως αὔως.

Ὅτι δὲ σύμφωνον δὶς μεταξὺ οὐκ ἔστι.

Καὶ ταῦτα μὲν περὶ τῶν διαλέκτων λέλεκταί μοι κατὰ τὸ δυνατόν. ἴσως δὲ καὶ ἕτερά τις σκοπῶν ἀκριβῶς εὑρήσει διαφέροντα ταύταις.

ΤΕΛΟΣ.

ΠΕΡΙ ΑΝΟΜΑΛΩΝ ΡΗΜΑΤΩΝ.

ΚΑΤΑ ΣΤΟΙΧΕΙΟΝ.

ΑΡΧΗ ΤΟΥ Α.

Ἄζω ὅθεν· ἀόρ. πρῶτος ἄσθην καὶ ἄζεσθην.

Ἄγαμαι μέλλων ἀγάσομαι· ἀόρ. πρῶτος ἠγάσθην. μέσ. ἀόρ. ἠγασάμην.

Ἄγω, μέλλων ἄξω. ἀόρ. β. ἦγον καὶ ἀττικῶς ἤγαγον. π. ἦχα, καὶ ἀττικῶς ἀγήοχα.

Ἄγνυμι, μέλλων ἄξω. μέσ. παρακ. ἀττικῶς ἔαγα. ἐξ οὗ τὸ κατέαγα. ἀόρ. πρῶτος ἔαξα. ὅθεν τὸ κατέαξα.

Ἀγορεύω μέλ. ἀγορεύσω. ἀόρ. ἠγόρευσα. π. εἴρηκα. ἀπὸ τοῦ εἴρω.

Ἄδω μέλ. ἄσω. ἀόρ. ᾖσα.

Αἰροῦμαι μέλ. αἱρήσομαι. π. ᾕρημαι. ἀόρ. ᾑρέθην. μέσος ἀόρ. β. εἱλόμην, ἀπὸ τοῦ ἕλομαι.

Αἱρέω. ῶ. μέλλων αἱρήσω. ἀόρ. β. εἷλον ἀπὸ τοῦ ἕλω ὄντος ἀχρήστου.

Αἰσθάνομαι, μέλ. αἰσθήσομαι. π. ᾔσθημαι. μέσ. β. ἀόρ. ᾐσθόμην ἀπὸ τοῦ αἰσθέομαι, αἰσθοῦμαι ἀχρήστου.

Ἀλέξω. μέλλων ἀλεξήσω ἀπὸ τοῦ ἀλεξέω ἀχρήστου.

Ἁμαρτάνω παρατ. ἡμάρτανον. μέλλων ἁμαρτήσομαι. π. ἡμάρτηκα. ἀόρ. β. ἥμαρτον. ἀπὸ τοῦ ἁμαρτέω, ἁμαρτῶ ἀχρήστου.

Ἀνοίγω. μ. ἀνοίξω. ἀόρ. ἀνέῳξα ἀττικῶς. μέσ. π. ἀνέῳγα. ὁ παθητικὸς παρακ. ἀνέῳγμαι. ὁ ἀόρ. α. ἀνεῴχθην.

Ἀπεχθάνομαι, μέλ. ἀπεχθήσομαι. π. ἀπήχθημαι. μέσ. β. ἀόρ. ἀπηχθόμην, ἀπὸ τοῦ ἀπεχθέομαι. οῦμαι, ἀχρήστου.

Αὐξάνω, καὶ αὔξω. μέλ. αὐξήσω. ὡς ἀπὸ τοῦ παλαιοῦ θέματος αὐξέω, ῶ. ἀόρ. πρῶτος ηὔξησα. παρατ. ηὔξανον.

Ἁλόω. ῶ. ἀόρ. β. ἑάλων ἀπὸ τοῦ ἕλω. μετοχὴ ὁ ἁλοὺς ἁλόντος.

Ἀμφιέννυμι καὶ ἀμφιεννύω μέλ. ἀμφιέσω παθητικός. π. ἠμφίεσμαι.

Ἀναγινώσκω παρατ. ἀνεγίνωσκον, μέλλων ἀναγνώσομαι. παρακ. ἀνέγνωκα. ἀόρ. β. ἀνέγνων ἀπὸ τοῦ ἀναγνόω. ῶ. ἀνάγνωμι ἀχρήστου.

Ἀναζωννύω μέλλων ἀναζώξω.

Ἀνακράζω, μέλ. ἀνακράξω. μέσος. π. ἀνακέκραγα. ἀόρ. β. ἀνέκραγον.

Ἀναπνέω. μ. ἀναπνεύσω. ἀόρ. ἀνέπνευσα. ἀπὸ τοῦ ἀναπνεύω παλαιοῦ.

Ἀναῤῥηγνύω καὶ ἀναῤῥήγνυμι. μέλλων ἀναῤῥήξω ἀπὸ τοῦ ἀναῤῥήσσω.

Ἀνασπάω. ῶ. μέλλων ἀνασπάσω.

Ἁλίσκομαι. μ. ἁληφθήσομαι ἀπὸ τοῦ λήβομαι λήψομαι ἐλήφθην. ὁ μέλ. ἁλώσομαι. ἀόρ. β. ἥλων. καὶ ἑάλων ἀττικῶς. ἀπὸ τοῦ ἁλόω. ῶ. ἅλωμι. ἡ μετοχὴ ἁλοὺς ἁλόντος.

Ἀπαναίνομαι. ἀόρ. ἀπηνηνάμην.

Ἀπόχρη. μ. ἀποχρήσει. ἀόρ. ἀπέχρησε ἀπὸ τοῦ ἀποχρέω παλαιοῦ.

Ἀποδιδράσκω. μ. ἀποδράσω. ἀόρ. α. ἀπέδρα. ἀπὸ τοῦ ἀποδράω ἀχρήστου. ὁμοίως δὲ καὶ τὸ ἀποδιδράσκω.

Ἀφίημι. μ. ἀφήσω. ἀόρ. ἀφῆκα.

Ἀντιστρέφω. μ. ἀντιστρέψω. μέσος. π. ἀντέστροφα.

Ἀναπεταννύω. καὶ ἀναπετάννυμι. μ. ἀναπετάσω ἀπὸ τοῦ ἀναπετάω. ῶ.

Ἀπέχω. μ. ἀφέξω, διότι τὸ ἕξω δασύνεται τρέπεται τὸ π. εἰς φ. π. ἀπέσχηκα. ἀόρ. β. ἀπέσχον. ἀπὸ τοῦ ἀποσχέω ἀποσχῶ παλαιοῦ.

Ἀποδράω. ῶ. ὅθεν ἀόρ. α. ἀπέδρα.

Ἀποδεικνύω καὶ ἀποδείκνυμι. μ. ἀποδείξω. ἀπὸ τοῦ ἀποδείκω.

Ἀπολέω. ῶ. μ. ἀπολέσω. μέσος ἀπώλεκα. καὶ ἀττικῶς ἀπολώλεκα. καὶ ἀπόλλω. μ. ἀπολῶ. καὶ ἀπολέσω. ὁ μέσ. π. ἀπώλα. καὶ ἀττικῶς ἀπόλωλα. ὁ μέσος. β. ἀόρ. ἀπωλόμην ἀπὸ τοῦ ἀπόλλω ἀχρήστου ἀπολλύω καὶ ἀπόλλυμι.

Ἀποσβεννύω καὶ ἀποσβέννυμι. μ. ἀποσβέσω. ἀόρ. β. ἀπέσβην.

Ἀποτέμνω. μ. ἀποτεμῶ. καὶ ἀποτμήσω. ἀόρ. β. ἀπέτεμον.

Ἀποτανύω. μ. ἀποτανύσω.

Ἀπαυράω. ῶ. ἀόρ. ἀπηῦρα.

Ἀποσυφελίζω. μ. ἀποσυφελίξω.

Ἀποκλαίω. μ. ἀποκλαύσω ἀπὸ τοῦ κλαύω παλαιοῦ.

Ἀναμιμνήσκω. μ. ἀναμνήσω. ἀόρ. ἐμνήσθην ἀπὸ τοῦ ἀναμνάω παλαιοῦ.

Ἀπαναίνομαι. ὅθεν τὸ ἀπαναίνομαι. ὁ μέσος ἀόρ. α. ἠνηνάμην.

Ἀρίσκω. μ. ἀρέσω. ἀπὸ τοῦ ἀρέω παλαιοῦ.

Ἀρέσκομαι. μ. ἀρέσομαι, καὶ τὸ ἀπρόσωπον ἀρέσκει. παρατ. ἤρεσκε.

Ἀτίζω. μ. ἀτίξω.

Ἀφικνοῦμαι. μ. ἀφίξομαι. π. ἀφῖγμαι. μέσος. β. ἀόρ. ἀφικόμην. ἀπὸ τοῦ ἀφίκομαι ἀχρήστου.

Ἀφίπταμαι. μ. ἀποπτήσομαι. ἀόρ. ἀπέπτην μέσ. ἀόρ. ἐπεπτάμην. ἀπὸ τοῦ ἀφιπτέω ἀχρήστου.

Ἄχθομαι. μ. ἀχθέσομαι. ἀόρ. α. ἠχθέσθην, ἀπὸ τοῦ ἀχθέομαι ἀχρήστου.

ΑΡΧΗ ΤΟΥ Β.

βάλλω. μ. βαλῶ. ἀόρ. ἔβαλον. π. βέβληκα. ἀπὸ τοῦ βέβλεκα κατὰ μετάθεσιν ἀπὸ τοῦ βλῶ βλήσω.

βλαστάνω. μ. βλαστήσω. ἀόρ. ἔβλαστον, ἀπὸ τοῦ βλαστέω. ῶ.

βοάω. ῶ. μ. βόσω.

βούλομαι. μ. βουλήσομαι. π. βεβούλημαι. ἐβεβουλήμην, ἐβουλήθην. ἀπὸ τοῦ βουλέομαι ἀχρήστου.

βαίνω. μ. βήσομαι. ἀόρ. α. ἔβην. ἀπὸ τοῦ βάω βῆμι ἀχρήστου.

βιόω. μ. βιώσω. ὁ β. ἀόρ. ἐβίων. ἐβίως. ἐβίω. ἡ μετοχὴ ὁ βιοὺς παρὰ τὸ βιόω βιῶμι ἀχρήστου.

βιβρώσκω, ὅθεν διαβιβρώσκω. μ. βρώσω. ἀπὸ τοῦ βρόω ἀχρήστου.

ΑΡΧΗ ΤΟΥ Γ.

Γαμέω. ῶ. μ. γαμήσω. ἀόρ. α. ἔγημα ἀπὸ τοῦ γήμω ἀχρήστου.

γείνομαι. μ. γενοῦμαι. μέσ. ἀόρ. α. ἐγειναμην.

γήθω. μ. γήσω. μέσ. π. γέγηθα, καὶ γηθέω. ῶ. γηθήσω.

γηράσκω καὶ γηράω. ῶ. ἄχρηστον. μ. γηράσω.

γρηγορέω. ῶ. μ. γρηγορήσω. μέσ. π. ἐγρήγορα. ὑπερ. ἐγρηγόρειν.

γίνομαι καὶ γίγνομαι. μ. γενήσομαι. ἀπὸ τοῦ γενέομαι. οῦμαι. π. γεγένημαι. μέσ. ἀόρ. α. ἐγενησάμην, μέσ. ἀόρ. β. ἐγενόμην μέσ. παρ. γέγονα ἀπὸ τοῦ γείνω γενῶ.

γινώσκω. ἐγίνωσκον καὶ πλεῖον οὔ. μ. γνώσομαι. π. ἔγνωκα. ἀόρ. β. ἔγνων, ἀπὸ τοῦ γνόω. ῶ. καὶ γνῶμι. ἡ μετοχὴ ὁ γνοὺς τοῦ γνόντος.

ΑΡΧΗ ΤΟΥ Δ.

Δαΐζω. μ. δαΐξω. καὶ δαΐω δαΐσω ὁ παθητικὸς παρακ. δέδασμαι καὶ δεδάημαι. ὁ β. ἀόρ. ἐδάην ἀπὸ τοῦ δαέω ἀχρήστου.

δάκνω ἔδακνον. μ. δήξω. ἀόρ. β. ἔδακον ἀπὸ τοῦ δήκω ἀχρήστου.

δαμάζω. μ. δαμάσω.

δαίω. μ. δαήσω. ἀόρ. ἐδάην.

δεῖ ἀντὶ τοῦ πρέπει καὶ χρεία ἐστι. μ. δεήσει. ἀόρ. ἐδέησε.

δεῖ παρατ. ἔδει. ἀπαρέμφατον δεῖν.

δείδω τὸ φοβοῦμαι ποιητικὸν ῥῆμα. μ. δείσω. π. δέδοικα. ὑπ. ἐδεδοίκειν. μέσ. π. δέδια. μέσ. ὑπ. ἐδεδίειν.

δέω. τὸ δεσμῶ. μ. δέσω. καὶ δήσω. ὁ παθητικὸς π. δέδεμαι. ὁ ἀόρ. α. ἐδέθην.

δέομαι. μ. δεήσομαι. π. δεδέημαι. ὁ ἀόρ. α. ἐδεήθην ἀπὸ τοῦ δεέομαι. οῦμαι.

δέχομαι. μ. δέξομαι. ὁ π. δέδεγμαι. μέσ. ἀόρ. α. ἐδεξάμην.

δέδηκα ἀπὸ τοῦ δαίω. μέσ. παρακ.

διαζωννύω καὶ διαζώννυμι. μ. διαζώσω ἀπὸ τοῦ διαζόω διαζῶ.

διαλαγχάνω ἀόρ. β. διέλαχον. ἀπὸ τοῦ διαλήχω.

διδάσκω. ἐδίδασκον. καὶ πλεῖον οὔ. μ. διδάξω ἀπὸ τοῦ διδάχω. ἀόρ. α. ἐδίδαξα.

διδράσκω ὅθεν διαδιδράσκω καὶ ἀποδιδράσκω. ὁ μ. διδράσω. ἀόρ. α. διέδρα καὶ ἀπέδρα. ἡ μετοχὴ ὁ διαδράς.

διαφθείρω. μ. διαφθερῶ. μέσ. π. διέφθορα.

δοκέω. ῶ. μ. δόξω. ἀπὸ τοῦ δόκω ἀχρήστου. ἀόρ. α. ἔδοξα. τὸ δὲ δεδόκηκα ἀπὸ τοῦ δοκέω δοκῶ.

δράω. ῶ. μ. δράσω. π. δέδρακα. ἀόρ. ἔδρασα.

δύνω, καὶ δύω καὶ δῦμι. μ. δύσω. ἀόρ. β. ἔδυν. ὅθεν τὸ κατέδυν, καὶ ἀπέδυν.

ΑΡΧΗ ΤΟΥ Ε.

Εάω. ῶ. μ. ἐάσω. ὁ ἀόρ. α. εἴασα.

ἔδραμον ἀπὸ τοῦ τρέχω, δραμοῦμαι. ἀόρ. β. ἔδραμον ἀπὸ τοῦ δρέμω.

ἐγκαλέω. ῶ. μ. ἐγκαλέσω. π. ἐγκέκληκα.

ἐγείρω. ὁ μ. ἐγερῶ. ὁ ἀόρ. α. ἤγειρα.

ἐγχέω. ὁ μ. ἐγχεύσω ἀπὸ τοῦ ἐγχεύω. ὁ ἀόρ. α. ἐνέχεα, καὶ ἐνέχευα αἰολικῶς.

ἔδω ἄχρηστον. μ. ἔσομαι καὶ ἐδήσω ἀπὸ τοῦ ἐδέω ἀχρήστου. μέσ. π. οἶδα. ὑπερσυντέλικος ᾔδειν. ὤφειλε δὲ εἶναι εἴδειν. τρέπεται δὲ τὸ ε εἰς η καὶ τὸ ι ἀποβάλλεται.

εἶπα. ἀόρ. α. ἀφ' οὗ μετοχὴ ὁ εἴπας, καὶ εἶπον. ἀόρ. β. ἀπὸ τοῦ ἔπω ἀχρήστου.

ἔδω τὸ ἐσθίω. ὁ π. ἐδήδοκα.

εἰσπλέω. μ. εἰσπλεύσω, ἀπὸ τοῦ πλεύω.

ἔρχομαι. μ. ἐλεύσομαι. μέσ. π. ἤλυθα, καὶ ἀττικῶς ἐλήλυθα. ἀόρ. β. ἤλυθον, καὶ ἦλθον ἦλθες ἦλθε κατὰ συγκοπήν. ἀπὸ τοῦ ἐλεύθω ἀχρήστου.

ἔρομαι. μ. ἐρήσομαι. ὁ β. ἀόρ. ἠρόμην.

ἕζω. μ. ἕσω. ἀόρ. β. εἷσα.

ἐκκαίω καὶ ἐκκάω ἀττικῶς. μ. ἐκκαύσω.

ἕλω, ὅθεν. ἀόρ. β. εἷλον.

ἔμμορα μέσ. π. ἀπὸ τοῦ μορέω. ῶ. μέμορα καὶ ἔμμορα. ἢ ἀπὸ τοῦ μείρω μερῶ μέμορα, καὶ ἔμμορα.

ἐμπίπτω. μ. ἐμπεσοῦμαι. π. ἐμπέπτωκα. ἀόρ. β. ἐνέπεσον.

ἐμπίπρημι. μ. ἐμπρήσω.

ἐμπαίζω. μ. ἐμπαίξω.

ἔολπα ἀπὸ τοῦ ἔλπω ἀχρήστου. μέσ. π. ἔλπα καὶ ἔολπα παρὰ ποιηταῖς.

ἐμπαυνέω. ῶ. μ. ἐμπαυνέσω. π. ἐπήνεκα. ἀόρ. ἐμπήνεσα.

ἔρω ἄχρηστον. μ. ἐρῶ. π. εἴρηκα ἀπὸ τοῦ ἐρέω ἀχρήστου.

εὑρίσκω. μ. εὑρήσω. π. εὕρηκα. ὁ παθητικὸς. π. εὕρημαι. ὁ ἀόρ. εὑρέθην. ἀόρ. β. εὗρον ἀπὸ τοῦ εὑρέω. ῶ. ἀχρήστου.

ἕω τὸ πορθίομαι ἀφ' οὗ ὁ μέσ. π. ἧα. ὁ. ὑπερσ. ἧειν ἐν χρήσει, ὅθεν διεξῄειν.

ἐῤῥω. ὁ. μ. ἐῤῥήσω ἀπὸ τοῦ ἐῤῥέω ἀχρήστου.

ἔχω. μ. ἕξω καὶ σχήσω. π. ἔσχηκα. ἀόρ. β. ἔσχον ἀπὸ τοῦ σχέω. ῶ. ἀχρήστου. τὸ προστακτικὸν σχές, καὶ ἐπίσχες, τὸ εὐκτικὸν σχοίην, ἀφ' οὗ τὸ κατέσχημαι. ὁ ἀόρ. κατεσχέθην. καὶ τὸ μὲν ἔχω ψιλοῦται, τὸ δὲ ἕξω δασύνεται εἰς διαφορὰν τοῦ ἔξω ἐπιῤῥήματος ψιλουμένου.

ΑΡΧΗ ΤΟΥ Ζ.

ζεύγνυμι καὶ ζευγνύω. μ. ζεύξω ἀπὸ τοῦ ζεύγω.

ζωννύω καὶ ζώννυμι. μ. ζώσω.

ΑΡΧΗ ΤΟΥ Η.

ἧα. ὁ. μέσ. π. ἧειν. ὁ ὑπερσ. ἧεις. ἧει. ἀπὸ τοῦ ἕω τὸ πορθίομαι ποιητικοῦ.

ἦχα. ἀπὸ τοῦ ἄγω.

ἡμύω. μ. ἡμύσω.

ᾔδειν ἀντὶ τοῦ ἐγίνωσκεν ἀπὸ τοῦ εἰδέω ἀχρήστου.

ΑΡΧΗ ΤΟΥ Θ.

θάπτω. μ. θάψω. ἀόρ. ἔθαψα. ὁ. β. ἐτάφην.

θέλω. μ. θελήσω. ἀόρ. ἐθέλησα. καὶ ἐθέλω ἐθελήσω. ἀόρ. ἠθέλησα.

θνήσκω ἔθνησκον. μ. θανοῦμαι, οὗ τὸ θέμα θανέω ἄχρηστον. π. τέθνηκα. ἀόρ. β. ἔθανεν ἀπὸ τοῦ θανέω ἀχρήστου. μέσ. π. τέθνεα. τὸ εὐκτικὸν τεθναίην. τὸ ἀπαρέμφατον τεθνάναι. ἡ μετοχὴ τεθνεώς.

ΑΡΧΗ ΤΟΥ Ι.

ἱκνοῦμαι ὅθεν ἀφικνοῦμαι. μ. ἵξομαι. ἀόρ. β. ἱκόμην. π. ἷγμαι. ἀπὸ τοῦ ἵκομαι ἀχρήστου.

ἱλάσκομαι. μ. ἱλάσομαι ἀπὸ τοῦ ἱλάω ἀχρήστου. μέσ. ἀόρ. πρῶτος ἱλασάμην.

ἵπταμαι ὅθεν τὸ ἀφίπταμαι, καθίπταμαι. ὁ μ. πτήσομαι. ὁ. β. ἀόρ. ἔπτην. ἀπὸ τοῦ ἱπτάω ἵπτημι ἀχρήστου. μέσ. ἀόρ. α. ἱπτάμην, ἵπτω, ἵπτατο.

ἴδον. ἀόρ. β. ποιητικὸς ἀπὸ τοῦ εἴδω. καὶ ἀπὸ τοῦ εἴδω εἶδον καθαρός.

ΑΡΧΗ ΤΟΥ Κ.

καίω καὶ κάω. ὁ μ. καύσω. ὁ β. ἀόρ. ἐκάην.

κλαίω καὶ κλάω. ὁ μ. ἀττικῶς, κλαύσω καὶ κλαιήσω ἀπὸ τοῦ κλαιέω ἀχρήστου.

καθέζω καθέζομαι. ὁ μ. β. καθεδοῦμαι.

κάθημαι. μ. καθήσομαι.

καθαιρέω, καθαιρῶ. ὁ. μ. καθαιρήσω. ἀόρ. β. καθεῖλον ἀπὸ τοῦ καθέλω ἀχρήστου.

καθαίρω. ἀόρ. β. ἐκάθηρα.

καθίημι. ἀόρ. α. καθῆκα.

κλάζω. ὁ μ. κλάγξω. ἀπὸ τοῦ κλάγγω ἀχρήστου. ὁ ἀόρ. α. ἔκλαγξα. π. κέκληγα.

κάμνω καὶ κάμω. ὁ μ. καμοῦμαι. ἀόρ. β. ἔκαμον. π. κέκμηκα. ἀπὸ τοῦ κμῶ. μ. κμήσω.

κείρω. μ. κερῶ. ἀόρ. α. ἔκειρα. π. κέκαρκα.

κορέω, κορῶ. καὶ κορέννυμι καὶ κορεννύω. μ. κορέσω.

κράζω. μ. κράξω. μέσ. π. κέκραγα. ἀόρ. β. ἔκραγον.

κρεμάζω καὶ κρεμάω. ῶ. καὶ κρέμαμαι. μ. κρεμάσω.

κρυβεὶς καὶ ἐκρύβην. ἀόρ. β. ἀπὸ τοῦ κρύπτομαι ἢ κρύβομαι παλαιοῦ. ὁ μ. κρύψομαι.

καταδαρθάνω. ὁ μ. καταδαρθήσομαι. ὁ β. ἀόρ. κατέδαρθον. ἀπὸ τοῦ καταδαρθέω ἀχρήστου.

καλέω. ὁ μ. καλέσω. ὁ π. κέκληκα. ἀπὸ τοῦ κεκάλεκα κέκαλκα κατὰ συγκοπὴν, καὶ μεταθέσει καὶ τροπῇ τοῦ α εἰς η κέκληκα.

κεραννύω καὶ κεράννυμι. ὁ μ. κεράσω. ὁ παθητικός. π. κεκέραμαι. καὶ κατὰ συγκοπὴν κέκραμαι.

κορεννύω καὶ κορέννυμι. ὁ μ. κορέσω. ἀπὸ τοῦ κορέω ἀχρήστου.

κρέμαμαι. ὁ μ. κρεμάσω.

ΑΡΧΗ ΤΟΥ Λ.

λαγχάνω. ὁ μ. ληξόμαι. ἀπὸ τοῦ ληχέω. ῶ. ἀόρ. β. ἔλαχον. μέσ. π. λέλογχα ἀπὸ τοῦ λήχω. μ. λήξω. ἀόρ. β. ἔλαχον. π. εἴληχα. ὁ β. ἀόρ. ἔλαχον.

λαμβάνω, ἐλάμβανον. μ. λήψομαι ἀπὸ τοῦ λήβω ἀχρήστου. ὅθεν. ἀόρ. β. ἔλαβον. π. λέληφα. καὶ ἀττικῶς εἴληφα. ὁ ὑπερσ. εἰλήφειν.

λανθάνω. ἐλάνθανον. μ. λήσομαι ἀπὸ τοῦ λήθω. μέσ. π. λέληθα. ἀόρ. β. ἔλαθον. π. λέλησμαι. μέσ. ἀόρ. δεύτερος ἐλαθόμην.

λείπω. μ. λείψω. ἀόρ. α. ἔλειψα. ἀόρ. β. ἔλιπον.

ΑΡΧΗ ΤΟΥ Μ.

Μαίνομαι. ὁ μ. μανοῦμαι. ὁ μέσ. π. μέμηνα. ὁ β. ἀόρ. ἐμάνην.

μανθάνω ἐμάνθανεν. ὁ μ. μαθήσομαι. ἀπὸ τοῦ μαθέω μαθῶ. ὁ π. μεμάθηκα. ὁ ἀόρ. β. ἔμαθον ἀπὸ τοῦ μάθω ἀχρήστου.

μάχομαι. ὁ μ. μαχοῦμαι καὶ μαχέσομαι ἀπὸ τοῦ μαχέομαι ἀχρήστου. ὁ μέσ. ἀόρ. α. ἐμαχεσάμην.

μείρω ἄχρηστον. μέσ. π. μέμορα καὶ ἔμμορα ποιητικόν. ὁ παθητικός. π. εἵμαρται.

μέλλω. ὁ μ. μελλήσω. ἀπὸ τοῦ μελλέω ἀχρήστου. ὁ μέσ. παρακ. μέμηλα ποιητικόν.

μέμνημαι ἀπὸ τοῦ μνάομαι. ὁ ὑπερσ. ἐμεμνήμην. ὁ ἀόρ. α. ἐμνήσθην. ὁ μ. α. μνησθήσομαι.

μένω. ὁ μ. μενῶ. ἀόρ. α. ἔμεινα. ὁ παρακείμενος μεμένηκα. ἀπὸ τοῦ μενέω ἀχρήστου.

μέμηλα. ὁ μέσ. π. ἀπὸ τοῦ μήλω.

μέμαα ἀπὸ τοῦ μάω. ῶ. μέσ. π.

μιγνύω καὶ μίγνυμι. ὁ μ. μίξω. ὁ β. ἀόρ. ἐμίγην. ἀπὸ τοῦ μίγω ἀχρήστου.
μοργνύω. ὁ μ. μόρξω.

ΑΡΧΗ ΤΟΥ Ν.

Νέω. μ. νεύσω.
νέμω. ὁ μ. νεμῶ. ὁ π. νενέμηκα· παρενθέσει τοῦ η διὰ τὸ ἀσυμφώνως τὸ μ καὶ κ. ἀόρ. α. ἔνειμα.

ΑΡΧΗ ΤΟΥ Ξ.

Ξυνίημι. ὁ μ. ξυνήσω. ὁ ἀόρ. ξυνῆκα καὶ ξυνέηκα.

ΑΡΧΗ ΤΟΥ Ο.

Ὄζω. μ. ὄσω. μέσος. παρ. ὦδα, καὶ ἀττικῶς ὄδωδα.
οἴχομαι. μ. οἰχήσομαι ἀπὸ τοῦ οἰχέομαι ἀχρήστου. μέσ. ἀόρ. β. ᾠχόμην.
οἴομαι καὶ κατὰ συγκοπὴν οἶμαι, οἴει. οἴεται. μ. οἰήσομαι, ἀπὸ τοῦ οἰέομαι ἀχρήστου. ἀόρ. α. ᾠήθην. ὁ παρατ. ᾠόμην, καὶ κατὰ συγκοπὴν ᾤμην.
οἶδα ἀπὸ τοῦ εἴδω, μέσ. π.
οἰμώζω. μ. οἰμώξω. ἀόρ. α. ᾤμωξα.
ὀμνύω καὶ ὄμνυμι καὶ ὀμόω. ῶ. ὁ μ. ὀμόσω καὶ ὀμοῦμαι. ὁ π. ὤμοκα. καὶ ἀττικῶς ὀμώμοκα.
ὀλολύζω. μ. ὀλολύξω.
ὀμόργνυμι. μ. ὀμόρξω.
ὀνέω. ῶ. μ. ὀνόσω.
ὀφείλω. μ. ὀφειλήσω ἀπὸ τοῦ ὀφειλέω ἀχρήστου. καὶ ὄφλω ὀφλήσω κατὰ συγκοπήν. π. ὤφληκα. ἀόρ. ὤφλησα. ὁ β. ἀόρ. ὦφελον. καὶ κατὰ συγκοπὴν ὦφλον.
ὅπτομαι. μ. ὄψομαι. ἀόρ. α. ὤφθην.
ὀρχέω. ῶ. παρατ. ἑώρακον, ἀττικῶς. π. ἑώρακα. ὁ ὑπερσυντέλικος ἑωράκειν.

ΑΡΧΗ ΤΟΥ Π.

Πάρειμι. ὁ παρατ. παρῆν.
πάρειμι. πάρει. πάρεισι.
πάσχω ἔπαθον. ὁ μ. πείσομαι ἀπὸ τοῦ πείθω. ὁ μέσ. π. πέπονθα ἀπὸ τοῦ πένθω ἀχρήστου. ἀόρ. β. ἔπαθον. ἀπὸ τοῦ πήθω ἀχρήστου.
πέμπω. ὁ μ. πέμψω. ὁ π. πέπομφα. ἀόρ. α. ἔπεμψα.
πετάννύω. ὁ μ. πετάσω. ὁ π. πεπέτακα. καὶ κατὰ συγκοπὴν πέπτακα. ὅθεν ὁ παθητικὸς παρ. πέπταμαι. ἀπὸ τοῦ πετάω ἀχρήστου.
πέτω καὶ πέτασω καὶ πίπτω ποιητικῶς. μ. πέμψω. πέτομαι. ῶμαι. μ. πτήσομαι. π. πέπταμαι. πείρω. μ. περῶ. ἀόρ. α. ἔπειρα.
πέφρικα ἀπὸ τοῦ φρίττω. μ. φρίξω. ὁ π. ἠμαρτημένος πέφρικα.
πηγνύω καὶ πήγνυμι. ὁ μ. πήξω. ὁ μέσ. ἀόρ. ἐπάγην ἀπὸ τοῦ πήγω.
πίνω ἔπιον. πίομαι ἀντὶ τοῦ μέλλοντος. καὶ τὸν μέλλοντος ἔχει σχηματισμόν. ὁ μ. πώσω. ὁ π. πέπωκα. ὁ παθητικὸς πέπομαι. ἀπὸ τοῦ πόω πῶμι ἀχρήστου. ὁ β. ἀόρ. ἔπιον.
πίπτω. ὁ μ. πεσοῦμαι. ὁ π. πέπτωκα ἀπὸ τοῦ πτόω ἀχρήστου. ὁ β. ἀόρ. ἔπεσον. ἀπὸ τοῦ πέτω ἀχρήστου.
πίπρημι. μ. πρήσω.
πλάττω. ττω. μ. πλάσω. ἀόρ. α. ἔπλασα.
πλέω. μ. πλεύσω. ἀπὸ τοῦ πλεύω. οὕτω καὶ πνέω. μ. πνεύσω.
πράττω τὸ πολῶ. μ. πράσω. ὁ π. πέπρακα.
πρίαμαι. πριάμην. μέσ. ἀόρ. α.
πτάω. ῶ. μ. πτάσω.
προστρέχω. μ. προσδραμοῦμαι. ἀόρ. β. προσέδραμον. ἀπὸ τοῦ προσδρέμω.
πέρθω. ἀόρ. β. ἔπραθον.
πτάω. ῶ. μέσ. ἀόρ. α. ἐπτάμην. πτήσσω. μ. πτήξω. πυνθάνομαι. μ. πεύσομαι ἀπὸ τοῦ πεύθομαι ἀχρήστου ἐν πεζῷ λόγῳ.

ΑΡΧΗ ΤΟΥ Ρ.

Ῥέζω. μ. ῥέξω. ῥέω. μ. ῥεύσω καὶ ῥυήσω, ὁ π. ἐρρύηκα. ὁ β. ἀόρ. ἐρρύην. ἀπὸ τοῦ ῥυέω ἀχρήστου.
ῥηγνύω καὶ ῥήγνυμι. ὁ μ. ῥήξω. ὁ μέσ. π. ἔρρωγα. ὁ β. ἀόρ. ἐρράγην.
ῥωννύω καὶ ῥώννυμι. ὁ μ. ῥώσω.
ῥώννυμαι. μ. ῥώσομαι. π. ἔρρωμαι. ἔρρωσαι. ἔρρωται, προστακτικὸν ἔρρωσο. ἐρρώσθω. ἔρρωσθε. ἐρρώσθωσαν.

ΑΡΧΗ ΤΟΥ Σ.

Σβεννύω καὶ σβέννυμι. ὁ μ. σβέσω καὶ σβήσομαι. ἀόρ. β. ἔσβην. ἀπὸ τοῦ σβέω σβῆμι ἀχρήστου.
σεύομαι. ἀόρ. α. ἐσύθην. ἀόρ. β. ἔσσυα.
σήπομαι. ὁ μ. σήψομαι. ὁ β. ἀόρ. ἐσάπην.
σπένδω. μ. σπείσω. ἀπὸ τοῦ σπείδω ἀχρήστου. ἀόρ. πρῶτος. ἔσπεισα.
στάζω καὶ σταλάζω. μ. στάξω. στένω καὶ στενάζω. μ. στενάξω. στίζω. μ. στίξω.
στορεννύω καὶ στορέννυμι. ὁ μ. στορέσω. ἀπὸ τοῦ στορέω ἀχρήστου. ἀόρ. α. ἐστόρεσα.
στρωννύω καὶ στρώννυμι. μ. στρώσω ἀπὸ τοῦ στρόω ἀχρήστου. ἀόρ. α. ἔστρωσα.
συγκερανύω. μ. συγκεράσω. π. συγκέκρακα.
συμβαίνω. μ. συμβήσομαι. π. συμβέβηκα. ἀόρ. β. συνέβην.
σχέω. ῶ. μ. σχήσω. ἀόρ. β. ἔσχον. ὅθεν προστακτικὸν σχές. σχέτω.

ΑΡΧΗ ΤΟΥ Τ.

Τέθνηκα καὶ τέθνακα. παρακ. ἀπὸ τοῦ θνήσκω.
τέμνω. μ. τμήσω. ἀόρ. β. ἔταμον.
τεύχω. ἀόρ. β. ἔτυχον.
τάζω. μ. τάξω. ἀόρ. β. ἔταγον. ὅθεν ὁ ταγών.
τήκω. μ. τήξω. π. τέτηκα.
τίκτω. μ. τέξω. ὁ μέσ. π. τέτοκα. ὁ ἀόρ. β. ἔτεκον. ἀπὸ τοῦ τέκω ἀχρήστου.

τιτρώσκω. ἐτίτρωσκον. μ. τρώσω. ἀόρ. α. ἔτρωσα. π. τέτρωκα. ἀπὸ τοῦ τρόω. ω. ἀ- (χρήστου.
πίνω καὶ πίω. μ. πίσω.
πλέω. ω. μ. πλεύσω. ἀόρ. β. ἔπλων ἀπὸ τοῦ πλῆμι.
τιτράω ὅθεν τὸ διατιτράω. ὁ μ. τρήσω. ἀπὸ τοῦ τράω.
τρέχω. ὁ μ. θρέξω καὶ δραμοῦμαι. ὁ π. δεδράμηκα ἀπὸ τοῦ δραμέω ἀχρήστου. ὁ β. ἀόρ. ἔδραμον ἀπὸ τοῦ δρέμω ἀχρήστου.
τρώγω καὶ αὐθὶ τοῦ μέλλοντος φάγομαι μὴ ἔχον τὸν τοῦ μέλλοντος σχηματισμόν. ὁ μ. φαγοῦμαι. ὁ β. ἀόρ. ἔφαγον ἀπὸ τοῦ φάγω ἀχρήστου.
τρέφω. μ. θρέψω. πρὸς ἀντιδιαστολὴν τοῦ τρέψω. ἀόρ. α. ἔθρεψα. ὁ μέσ. π. τέτροφα. ὁ π. παθητικὸς τέθραμμαι. ὁ β. ἀόρ. ἐτράφην.
τρέω. μ. τρέσω.
τυγχάνω ἐτύγχανον. μ. τεύξομαι. ἀπὸ τοῦ τεύχω ἀχρήστου ἐν τῷ λόγῳ. π. τετύχηκα. ἀπὸ τοῦ τυχέω. ω. ἀχρήστου. ὁ ἀόρ. δεύτερος ἔτυχον.

ΑΡΧΗ ΤΟΥ Υ.

Υπίσχω. ὁ μ. ὑφέξω. ὁ π. ὑπέσχηκα. ὁ ἀό. β. ὑπέσχον. ὑπισχνοῦμαι. ὁ μ. ὑποσχήσομαι ἢ ὑποσχέσομαι. ὁ π. ὑπέσχημαι. ὁ ἀό. πρῶτος. ὑπεσχέθην. ὁ μέσ. ἀόρ. β. ὑπεσχόμην ἀπὸ τοῦ ὑπέσχομαι ἀχρήστου.
Υποδύω. μ. ὑποδύσω. ὁ β. ἀόρ. ὑπέδυν ἀπὸ τοῦ ὑποδῦμι.
Υποσβρίσκω. μ. ὑποσβρίσω. ὑπνώττω. μ. ὑπνώσω. ὕει. μ. ὕσει. ἀόρ. β ὗσε.

ΑΡΧΗ ΤΟΥ Φ.

Φάσκω παρατ. ἔφασκον, καὶ πλέον οὐ.
Φεύγω. ὁ μ. φεύξομαι καὶ φευξοῦμαι. ὁ μέσ. π. πέφευγα. ἀόρ. β. ἔφυγον.
φέρω. μ. οἴσω ἀπὸ τοῦ οἴω ἀχρήστου. π. ἐνήνοχα. ἀόρ. α. ἤνεγκα. ἀόρ. β. ἤνεγκον ἀπὸ τοῦ ἐνέγκω ἀχρήστου.
Φημί. φής. φησί. φατόν. φατόν. φαμέν. φατέ. φασί. μ. φήσω. ἀόρ. α. ἔφησα. ἀόρ. β. ἔφην. τὸ ἀπαρέμφατον φάναι.
φθάνω ἔφθανον. μ. φθάσω. ἀπὸ τοῦ φθάω. ω. π. ἔφθακα. ἀόρ. α. ἔφθασα. ἀόρ. β. ἔφθην. ἀπὸ τοῦ φθῆμι. ἡ μετοχὴ ὁ φθάς.
φαίνω. ὁ μ. φανῶ. ὁ. μέσ. π. πέφηνα.
φρίττω. ὁ μ. φρίξω. ὁ μέσ. π. πέφρικα ἀπὸ τοῦ φρίκω ἀχρήστου.
φθείρω. μ. φθερῶ. π. ἔφθαρκα. μέσ. π. ἔφθορα.
φθίνω. μ. φθίσω. ἀπὸ τοῦ φθίω ἀχρήστου.
φιτύω καὶ φυτίζω. μ. φυτίξω. φύω. μ. φύσω. π. πέφυκα. ἀόρ. β. ἔφυν ἀπὸ τοῦ φῦμι.

ΑΡΧΗ ΤΟΥ Χ.

Χάσκω. ὁ μ. χανοῦμαι. ὁ μέσ. π κέχηνα. ὁ β. ἀόρ. ἔχανον ἀπὸ τοῦ χαίνω ἀχρήστου.
χαίρω. μ. χαιρήσομαι καὶ χαρήσομαι ἀπὸ τοῦ χαρέω ἀχρήστου. ὁ β. ἀόρ. ἐχάρην.
χαλεπαίνω. μ. χαλεπανῶ. ἀόρ. ἐχαλέπηνα.
χέω. μ. χεύσω ἀπὸ τοῦ χεύω. ἀόρ. α. ἔχεα. τὸ ἀπαρέμφατον χέαι.
χρωννύω καὶ χρώννυμι. μ. χρώσω. ὁ παθητικός. π. κέχρωσμαι ἀπὸ τοῦ χρώω ἀχρήστου.
χύω καὶ χύνω. μ. χύσω. χωννύω καὶ χώννυμι. μ. χώσω ἀπὸ τοῦ χόω ἀχρήστου.

ΑΡΧΗ ΤΟΥ Ψ.

Ψάλλω. μ. ψαλῶ. π. ἔψαλκα. ἀόρ. α. ἔψηλα.

ΑΡΧΗ ΤΟΥ Ω.

Ωθῶ καὶ ὠθέω. ω. μ. ὤσω καὶ ὠθήσω. ὁ ἀόρ. α. ἔωσα. ὅθεν τὸ ἀπέωσα. ὁ παθητικός. π. ἔωσμαι. ὠνέομαι. ὠνοῦμαι. ὁ παρατ. ἐωνούμην. ὁ μ. ὠνήσομαι. ὁ π. ὤνημαι, καὶ ἐώνημαι ἀττικῶς. ὅθεν ἐωνημένος.
ὦρσα ἀπὸ τοῦ ὀρσύω. μ. ὀρσύσω. ἀόρ. α.
ὤρουσα καὶ κατὰ συγκοπὴν ὦρσα. ἢ ὄρω ὀρσῶ ὦρσα αἰολικῶς.

ΗΡΩΔΙΑΝΟΥ ΠΕΡΙ ΕΓΚΛΙΝΟΜΕΝΩΝ ΚΑΙ ΕΓΚΛΙΤΙΚΩΝ, ΚΑΙ ΣΥΝΕΓΚΛΙΤΙΚΩΝ ΜΟΡΙΩΝ.

Ἐγκλινόμενόν ἐστι μόριον, λέξις κατὰ τὸ τέλος ὀξυνομένη, τρέπουσα δὲ εἰς βαρεῖαν κατὰ τὴν τοῦ λόγου σύνταξιν, καθάπερ ἔχει ἡ μή, μητρὶ ὑπερκαλλὴς ἐρίβοια.

Ἐγκλιτικόν ἐστι μόριον ὃ τὴν ἰδίαν ὀξεῖαν κοιμίζον, τὴν προκειμένην βαρεῖαν εἰς ὀξεῖαν μεθίστησιν. ᾧ ἢ δυνάμει ἢ φύσει, ἑτέρα βαρεῖα ὑπέρκειται. δυνάμει μὲν ὡς τὸ, δῶμά τέ μοι, φύσει δὲ καθάπερ Ἀρκεσίλαός τε.

Συνεγκλιτικὸν δέ ἐστι σύνταξις δυοῖν ἢ πλειόνων μορίων ἐγκλιτικῶν ἐπ' ἀλλήλων ὀξυνομένων. ὡς ἔχει τὰ τοιαῦτα, ἤ νύ σέ που δέος ἴσχει. ὁ μὲν γὰρ ἤ ὀξύνεται διὰ τὸ νυ ἐγκλιτικόν. τὸ δὲ νυ διὰ τὴν ἀντωνυμίαν τὴν σε. ἡ δὲ σε ἀντωνυμία διὰ τὸ που παραπληρωματικὸν σύνδεσμον. εἴρηται δὲ συνεγκλιτικὸν διὰ τὸ σὺν ἐγκλιτικῷ παραλαμβανόμενον διεγείρειν τὴν ὑποκειμένην ἐν τῷ τέλει τῆς λέξεως ὀξεῖαν. Διαφέρει δὲ ἐγκλινόμενον ἐγκλιτικοῦ. ὅτι τὸ μὲν ἐγκλινόμενον κοινὸν ὄνομα πάσης λέξεώς ἐστι κατὰ τὸ τέλος ὀξυνομένης τρεπούσης τε εἰς βαρεῖαν. τὸ δὲ ἐν ἰδίοις ὀνόμασι κατειλημμένον ἀριθμῷ ἰδίῳ καὶ ὅτι τὸ μὲν, αὐτὴν μόνην τὴν ἐπὶ τέλους ὀξεῖαν ἀμείβει εἰς βαρεῖαν. τὸ δὲ καὶ μετατίθησιν εἰς τὴν ὑποκειμένην συλλαβήν, καὶ τὰ τοῦ

λόγου εὐθὺς δέχοιτο. Πᾶν τοίνυν ἐγκλιτικὸν μόριον ἢ μονοσύλλαβόν ἐστιν, ἢ δισύλλαβον. καὶ πᾶν ἐγκλιτικὸν ὑπὸ μίαν συλλαβὴν δίχρονόν ἐστιν. ἀναπέμπει τε τὴν ὀξεῖαν εὐθὺς τὴν ὑποκειμένην βαρεῖαν ἐν τῇ συντάξει καθόλου εὐθὺς μόνων τῶν προπαροξυτόνων καὶ προπερισπωμένων. οἷον ἀφῆκε σίλαόν τε. χρύσεόν τε. σκώλεόν τε. οὐδέποτε δὲ εὐθὺς τῶν περισπωμένων, διὰ τὸ τὴν περισπωμένην μηδὲν πάσχειν ἐν τῇ συντάξει, εὐθὺς δὲ τῶν παροξυτόνων μόνων τῶν τροχαίων. λάμπαί τε. φύλλά τε, καὶ φλιαί. οὐδέποτε δὲ τοῦτο ἐν σπονδείῳ παρακολουθεῖ. ὡς δὴ εὐθὺς τοῦ ἀφροδίτης τε ἄναξ ἀνδρῶν, φοῖβος θ' ἱερὴν ἑκατόμβην, ἀλλ' οὐδὲ ἐν ἰάμβῳ, πατρός γέ μευ οὔτι ἑκὰς μάζει. ἀλλ' οὐδὲ ἐν τῷ πυρριχίῳ. ὅτι οἱ συμφράσσαντο βουλάς. ἐὰν δέ ποτε τροχαῖος γένηται διπλασιασθέντος τοῦ τ. ἔσονται ἐπάλληλοι ὀξεῖαι. οἷον. ὅττι ἑ μευ ὡς ὑπεδέχτο. πλὴν εἰ μὴ τὸ ἐπιφερόμενον μόριον δισύλλαβον εἴη ἀπὸ τοῦ σφ ἀρχόμενον. ἀκολουθήσει γὰρ καὶ τοῖς παροξυνομένοις οὐκ ἐν μόνῳ τροχαίῳ ἀλλὰ καὶ ἐν ἄλλοις ποσίν. οἷον, ἵνα σφισι δῶκ' ἐνοσίχθων, ἔνθα σφεας ἐκίχανον ὑπὲρ δολίοιο μέλανος θεός. τόξα σφεων τις ἄριστα κυδωνίων. τάξει δὲ χρῆται τῇ ὑποτακτικῇ τοῦ τοιούτου εὐλόγως πάνυ γινομένου. ἐκ γὰρ διὰ τὸ ἀναπέμπειν τὴν ὀξεῖαν εἰς τὰ ὑποκείμενα ἐγκλιτικὰ καλεῖται, σαφὲς ὅτι ἀποδέξεται τὸ ὑποτάσσεσθαι, ἵνα καὶ τὸ ἰδίωμα ἐνδείξηται.

Ἐκ μὲν ὀνομάτων ἐγείρει τὴν ὀξεῖαν τὸ τις, καὶ αἱ τούτου πτώσεις. καὶ τὰ ἰσοδυναμοῦντα τούτῳ, ὅτε ἀορίστως ἐκφέρεται. οἷον ἐλθέ τις, ἐκέλευσέ τις, εἴ πως καὶ πάντοτε ὑποτακτικόν ἐστι. τὸ μὲν οὖν τις ἐγείρει ἐν τῷ. μέλλε τις τὸν ὄνειρον. τινὸς, μή τινος. τινί, οὔ τινι κοιμηθεῖσα. τινὰ καί τινα φωϊάδων τινὲς, οἵ τινες ἀνδρέσσι. τινὰς, ὥς τινας μεθιέντας ἴδοι, ἰσοδυναμεῖ δὲ τῷ μὲν τινὸς, τὸ τεῦ, ἀλλ' οὔ τευ ἔδδεισα. τῷ δὲ τινί, τὸ τῳ, οἷον οὔτε σοί, οὔτε τῳ ἄλλῳ. Ἐκ δὲ ῥημάτων, τὸ εἰμὶ καὶ φημὶ μόνα ἐγκλιτικά εἰσιν. οἷον. ὅσσον σεῖο φέρτερός εἰμι, καὶ ἀπὸ τούτου ἐγκλιτικά εἰσιν εἷς, οἷον αἵματός εἰς ἀγαθοῖο. ἐστὶ ἐπεὶ ἡ πολὺ φέρτερός ἐστι. ἐστόν, οἴμοι σκυζομένω περ ἀχαιῶν φέρτεροι ἐστόν. εἰς μὲν, αὐτοὶ γάρ ἐσμεν. εἰσὶν, οἵ μευ φέρτεροί εἰσι νοῆσαί τε κρῆναί τε. καὶ τὸ φημί, πεζὸς δ' εὖ δὴ καί φημι φοίνικ' ἐρίβωλον. ἐκ δὲ μετοχῶν οὐκ οἷόν τέ ἐστιν ἐγκλιτικὸν μόριον. ἀεὶ γὰρ ταῦτα ἐκ θέματος ἀνάγεται. μεταλήψεις ῥημάτων εἰσὶν ἀλλ' οὐδὲ ἀπὸ ἄρθρου. τῇ γὰρ συντάξει, ἡ παράθεσις τῶν ἄρθρων μάχεται. ἅπαντα γὰρ ταῦτα προτακτικά ἐστιν, ἀρκτικώτερα ὄντα, τῶν καλουμένων προτακτικῶν, ἢ κατάρχει ὅλου λόγου. ἢ μυρί' ἀχαιοῖς ἄλγε' ἔθηκε, καὶ ὃς μάλα πολλὰ πλάγχθη. διὰ τοῦτο καὶ ἰδίῳ ῥήματι κατακλίσει τῇ πρὸ αὐτοῦ τε ἐμπίπτουσιν αἱ στιγμαί. καὶ διὰ ἀπάντων τῶν ὄντων πολλά ἐστι μόρια εὑρεῖν, ἃ εἰς τὴν προκειμένην σύνταξιν ὑπάγεται.

Ἐκ δὲ ἀντωνυμιῶν, αἱ μὲν ἐγείρουσαι τὴν ὀξεῖαν τὴν πρὸ αὐτῶν ἐγκλιματικαὶ καλοῦνται. αἱ δὲ μὴ ἐγείρουσαι ὀρθοτονούμεναι. αἱ μὲν οὖν ἀεὶ ἐγείρουσαι τὴν πρὸ αὐτῶν ὀξεῖαν, εἰσὶν αἵδε. μευ. μου. μοι. τοι. με. μιν. σφιν. σφε. σφωέ. τούτων παραδείγματα. τῆς μὲν μευ, κλῦθί μευ ἀργυρότοξε. μοι, οὐ γάρ μοι βωμός, τοι, καίτοι ἐγὼ συνέριθος. με, καί με φίλησεν, ὡς εἴ τε πατήρ. μιν, καί μιν φωνήσας ἔπεα πτερόεντα προσηύδα. σφιν, καί σφιν ἐμὰ ἐστὶ μισθόν. σφε, γίνωσκε γάρ σφε πατρός. σφωέ, τίς τ' ἄρ σφωε θεῶν. αἱ δὲ ποτὲ μὲν ἐγείρουσι τὴν πρὸς αὐτῶν, ποτὲ δὲ μή. σεῦ. σέο. σοῦ. σοί. σε. οὗ. οἱ. ἕθεν. σφι. σφω. σφίσι. σφέας. ὅτε μὲν οὖν ἀπολελυμένως λέγονται, καὶ οὐχὶ πρὸς ἕτερον πρόσωπον ἀντιδιαστέλλονται, ἐγείρουσι τὴν πρὸ αὐτῶν ὀξεῖαν. ὅτε δὲ κατὰ τὴν πρὸς τι ἕτερον διαστολὴν ἐκφέρονται, ὀρθοτονοῦνται. οἷον ἀπολελυμένως σεῦ, ἀλλά σευ ἐκάματος. ὀρθοτονουμένως δὲ, σεῦ δ' εὐθὺς ἐξέλετο ψυχήν. σέο ἀπολελυμένως, ὥς σεο νῦν ἔραμαι. καί σε πρῶτον ἔθηκε. ὀρθοτονουμένως δὲ, μή τε σε ἐν ἀμφιάλῳ ἰθάκῃ. σφω, ὅτε μὲν εὐθὺς τοῦ γ προσώπου λέγεται, ἐγείρει τὴν πρὸ αὐτοῦ ὀξεῖαν, αἱ δὲ τοῦ τρίτου προσώπου ἑνικαί τε καὶ πληθυντικαί ὅτε μὲν τὸ διὰ αὐτῶν μεταφραζόμενον ὃ καὶ ἐπίταγμα λέγεται, ἐγείρουσι τὴν πρὸ αὐτῶν ὀξεῖαν. ἡ μὲν ἑο. ἐπεὶ ἑο κήδετο λίαν. ἔστι γὰρ ἐπ' αὐτοῦ τοῦ ὀδυσσέως ἐκήδετο λίαν ὁ εὔμηλος. ὅτε δὲ μεταφραζομένη μετὰ τοῦ ε λέγεται ἡ χώρα, τοῦ ι ἐκφερομένου διαζευγμένου, οὐκ ἐγείρουσιν. οἷον, δηΐφοβος δ' ἄντα ἰδὼν ταυρεῖν ἀπὸ ἑο. ἔστι γὰρ ἀφ' ἑαυτοῦ. εἰσὶ δὲ ἑο. οὗ. ἕθεν. οἱ. ἕ. σφέων σφίσι. σφέας αὗται δὲ καὶ σὺν τοῖς ἐπιτάγμασι λέγονται. ὅτε δὴ καὶ ὀρθοτονοῦνται πάντως, οἷον πὰρ δὲ οἱ αὐτῷ. ἐὰν δὲ ἐκ παραλλήλου τὸ ἐπίταγμα λαμβάνηται, ἐγκλίνονται, ἀλλά οἱ αὐτῷ ζεὺς ὀλέσειε βίην. ἔστι γὰρ ἀλλ' αὐτῷ ψιλῶς. ὑποδείγματι τῶν ἐγκλινομένων, ἑο. ἐπεὶ ἑο κήδετο λίαν. οὗ, ἐπεὶ οὗ φημὶ βίῃ πολυφέρτερος. ἕθεν, ἐπεὶ οὔ ἑθεν ἐστὶ χερείων. οἱ, καί οἱ οὐ χωόμενος. ἑ, καί ἑ κακὴ βούβρωστις. σφέων, τῶν καὶ σφέων πολέες κακὸν οἶτον ἐπέσπον. σφίσιν, ἀπό τε σφισιν ὕπνος ὀλώλει. σφέας, καὶ σφέας φωνήσας. τῶν δὲ ὀρθοτονουμένων, ἑο, δηΐφοβος δ' ἄντα ἰδὼν ταυρεῖν ἀπὸ ἑο. οὗ, φεῖσαι δ' οὗ λαοῦ. ἕθεν, αἰνείας δὲ καὶ ὑπ' ἕθεν ἀντίον. οἱ, ἐπεὶ οὔ τινα φασὶν ὁμοῖον ἔμμεναι δαναῶν. ἑ, καλέοντες μὲν εἰς ἕκαστος. σφῶν, σφῶν τε αὐτῶν καὶ

γκλιτικῶν. σφίσι, καὶ τὰ μὲν δὴ διέζευκτο μετὰ σφίσι. σφέας, ὀρχομένων δὲ κατὰ ἄστυ διὰ σφέας. Ἐξ ἐπιρρημάτων δὲ ἐγκλιτικά ἐστι, τὰ ἐκ πεύσεως ἀρεισούμενα ἔχοντα τὴν αὐτὴν ἀκολουθίαν τῶν τόνων, τήν τε ποσότητα δὲ συλλαβῶν. τὸ μὲν γάρ που ἐγκλιτικόν ἐστιν. ὡς ἐν τῷ, εἴπου ἐσαθρήσειεν τῶν πευστικῶν ἑκάστοτε ὀρθοτονουμένων. ἐκ πεύσεως δὲ ἀρεισούμενα, ποτέ. καὶ ποτέ τοι τρεῖς τόσσα. πόθι αἴ κε ποθι ζώει. πῆ. ἄλλῃ πῃ ἄλλῃ. πόθεν. καὶ πόθεν ἐλθών. πῶς, ἀλλά πως ἅμα πάντα. καὶ χωρὶς τοῦ σ. μηδέπω ὑπόσχεσιν. Ἐκ δὲ συνδέσμων ἐγκλίνουσι τὴν πρὸ αὐτῶν οἵδε, ἐκ μὲν συμπλεκτικῶν. τε. καί τε θεοὶ ξείνοισι. κεν, κεῖνον ἐλαφρότερος. κε. καί κε τὸ βουλοίμεθα. ἐκ δὲ παραπληρωματικῶν, γε, εἴ γε μὴν ἥλεις. περ. εἴπερ ὅτ' ἂν χολῶσ. νυ. μή νύ τοι οὐ χραίσμῃ σκῆπτρον καὶ στέμμα θεοῖο. ... δουρὶ ... τρίποδος. που. εἴπου παγκαλόωσι. πέρ, μὴ δ' οὕτως ἀγαθός περ ἐών. θην. σὺ θὴν ἕκτορι πάντα. ῥα. ἄλλοι μὲν ῥα θεοί τε. ὁ δὲ ἄρα οὐ παραλαμβάνεται, ἐπεὶ ἀπὸ φωνήεντος ἄρχεται. ὥσπερ γὰρ αἱ ἀντωνυμίαι τὸ κατ' ἀρχὰς ε ἀποβάλλουσαι, ἐγκλιτικαὶ ἐγίνοντο. ἐμοῦ. μοῦ. ἐμοί. μοί. ἐμέ. μέ. οὕτως τὸ ἄρα ἀπέβαλε τὸ α. καὶ ἐγένετο ῥα. καὶ ἐνεκλίθη, καὶ ταῦτα μὲν οὕτως.

ΠΕΡΙ ΤΟΥ ΕΣΤΙΝ.

Τὸ, ἔστι, ἡνίκα ἀρχὴ λόγου, ἢ ὑποτάττεται τῇ ἀποφάσει, ἢ τῷ καί, ἢ εἰ, ἢ ἀλλὰ συνδέσμῳ. ἢ τῷ ὡς ἐπιρρήματι. ἢ τῷ τοῦτο, τὰ τοιαῦτα τὴν ὀξεῖαν ἔχει ἐπὶ τοῦ ε, οἷον. ἔστι πόλις ἐφύρη μυχῷ ἄργεος ἱπποβότοιο. οὐκ ἔστ' οὐδ' ἔοικε τεὸν ἔπος ἀρνήσασθαι. ὡς ἔστι καὶ ὧδε ἅμα θεῖν. εἰ ἔστιν οὕτως. ἀλλ' ἔστιν εἰπεῖν. τοῦτ' ἔστιν ἁμάρτημα. ἐὰν δὲ ὑποτάττηται ὀξυτόνῳ λέξει, ἢ περισπωμένῃ, ἐγκλίνεται. οἷον καλός ἐστιν. θερμῆς ἐστιν. εἰ τροχαίῳ μὴ παροξυτόνῳ ἀλλὰ προπερισπωμένῳ. οἶκός ἐστι. δεῖ προσθεῖναι εἰ μὴ ἔχοι τὴν τελευταίαν συλλαβὴν ὁ τροχαῖος θέσει μακράν, ὡς ἔχει τὸ φοῖνιξ ἐστι. κῆρυξ ἐστι, διὰ τὴν τοῦ ξ ἐπιφορὰν οὐ γίνεται ἔγκλισις. μὴ παροξυτόνῳ δὲ εἶπον, διὰ τὸ φύλλα ἐστι. παροξύτονος γὰρ οὗτος ὁ τροχαῖος, οὐχὶ προπερισπώμενος. καὶ διὰ τοῦτο οὐκ ἐγκλίνεται ἀλλ' ἐπὶ τοῦ ι ἔχει τὴν ὀξεῖαν. γίνεται οὖν ἡ ἔγκλισις ὀξυτόνῳ μὲν λέξει, καλός ἐστι. παροξυτόνῳ ἢ ἄγροικός ἐστι. περισπωμένῃ δὲ θερμῆς ἐστι. προπερισπωμένῃ δὲ φαῦλός ἐστι. καὶ γὰρ ἐπαναστάσει τὴν αὐτὴν ποιούμεθα διὰ σαφήνειαν γνῶσιν. ἐὰν δὲ μὴ οὕτως ἔχῃ, γίνονται ὡς προτέτακται, τὴν ὀξεῖαν ἐπὶ τοῦ ι δέχεται, καὶ ἐὰν προκῆται αὐτοῦ ὁ τροχαῖος παροξύτονος, οἷον μάντις, πόρος. ἢ προπερισπώμενος μέν, ἔχων δὲ τὴν τελευταίαν θέσει μακράν, ὡς ἔχει τὸ, φοῖνιξ. κῆρυξ. ἢ σπονδεῖος. ὥσπερ τὸ ἥρως, ἄλλως. ἢ ἴαμβος, ὡς τὸ ἔρως, γέλως, ἢ πυρρίχιος, καθάπερ τὸ λόγος, πόνος. τὰ τοιαῦτα τὸν τόνον ἐπὶ τοῦ ι δέχεται, οἷον μάντις ἐστί. φοῖνιξ ἐστί. ἥρως ἐστί. γέλως ἐστί. λόγος ἐστί.

ΙΩΑΝΝΟΥ ΓΡΑΜΜΑΤΙΚΟΥ ΧΑΡΑΚΟΣ ΠΕΡΙ ΤΩΝ ΕΓΚΑΙΝΟΜΕΝΩΝ.

Ἰστέον ὅτι τὰ ἐγκλιτικὰ μόρια οὐκ εἰσὶν ἐν πᾶσι τοῖς ὀκτὼ μέρεσι τοῦ λόγου, ἀλλ' ἐν πέντε. ὀνόμασι, ῥήμασιν, ἀντωνυμίαις, ἐπιρρήμασι καὶ συνδέσμοις. Καὶ οὐ πᾶσα λέξις ἐν τούτοις ἐγκλίνεται, ἀλλ' αἱ ἀπηριθμημέναι. εἰσὶ δέ τινες ἐν ταῖς ἐγκλινομέναις διάφορον σημαινόμενον ἀναφέρουσαι ἐν τῷ ὀρθοτονεῖσθαι καὶ ἐγκλίνεσθαι. ὀρθοτονεῖσθαι δὲ φαμέν, ὅτε τὸν αὐτόλεκτον φυσικὸν τόνον φυλάττει. ἐγκλίνεσθαι δέ, ὅτε τὸν τόνον ἀναβιβάζει τῇ πρὸ αὐτοῦ λέξει, ἀπὸ μεταφορᾶς τῶν ἐγκλινόντων ἐπὶ τὰ ὀπίσω τὰ σώματα αὐτῶν. ἔχει δὲ τὰ τοιαῦτα ὀξεῖαν, ἢ περισπωμένην. βαρύτονος γὰρ λέξις οὐκ ἐγκλίνεται, εἰ μὴ κατὰ πάθος ἔχει ἡ βαρεῖα ὡς τὸ σφέας, καί τινα ἄλλα ῥηθησόμενα. προηγεῖται δὲ τούτων τῶν ἐγκλινομένων λέξις προπαροξύτονος, ὡς ἄνθρωπός τις. ἢ ὀξύτονος, ὡς μαθητής μου, σοφός τις. ἢ τροχαϊκή, ὡς δοῦλός μου. ἄλλος μοι. ἐνθά μοι. ἄλλων δὲ προηγουμένων οὐκ ἐγκλίνονται, ἀνθρώπου τινός. ἄλλου τινός. ἄλλῳ τινί. καὶ δεῖ εἰπεῖν τὴν αἰτίαν. μιᾷ λέξει κατὰ συνέχειαν δύο ὀξείας οἱ παλαιοὶ οὐκ ἐζήτουν δοῦναι. κακοφωνίαν γὰρ ποιοῦσι. τὸ οὖν ἄνθρωπός τις, οὐκ ἔστι κατὰ συνέχειαν, ἀλλὰ μέσος συλλαβεῖ βαρεῖα, ἡ ἐν τῷ πω. σοφός τις, μία ἐστιν, ἡ εἰς τὸ ος. ὅθεν μέμφονται οἱ ἀκριβεῖς τῷ θέσει τροχαϊκόν, ἔχοντα δύο ὀξείας ἐφεξῆς ἄλλος τις. καὶ εὐλόγως εἰς τὴν ἀρχὴν τοῦ ἐθνος ἐν ἀσ ὁ ἀρίσταρχος οὐκ ἐβουλήθη εἰς δοῦναι τὸν ἄνθρωποι δύο ὀξείας, ἀλλὰ μίαν εἰς τὸ αν, φάσκων ἐν ἀρχῇ τῆς ποιήσεως. παράλογον οὖν μὴ ποιήσῃ. ἐπ' ἄλλοις ἐπὶ προπαροξυτόνου τροχαϊκοῦ προηγουμένου αἱ ἐγκλίσεις γίνονται. καὶ πρὸς σαφήνειαν δὲ δεῖ εἰπεῖν ὅτι τὰ ἐγκλινόμενα, ἢ μονοχρονοῦσιν, ὕβρεισέ με. ἢ διχρονοῦσιν, ἤκουσά τινος. ἢ τριχρονοῦσιν, ἤκουσέ τινος. καὶ τότε τῇ πρώτῃ λέξει ἀναβιβάζουσι τὸν τόνον. ὡς ἐλαφρὰ ὄντα. ὅτε δὲ τετραχρονοῦσι τῇ πρώτῃ συλλαβῇ αὐτῶν, ἡμῶν, ἡμῖν, ἡμᾶς, ὑμᾶς, ἡμῖν, ὑμῖν. Ἰστέον δὲ ὡς ταῦτα τὰ τετράχρονα, καὶ εἰ συστέλλουσι τὸ τέλος, καὶ γίνεται τρίχρονα, οὐκ ἀναβιβάζουσι τῇ πρώτῃ λέξει, ἀλλὰ φυλάττουσι τὸν τόνον. ὡς ὄντα ἀπ' ἀρχῆς ἐγκλινόμενα οἷον

δέδωκεν ἧμιν συστεῖλαι τὸ ι. παρὰ τοῖς Ἴωσιν οὕτως ἔμεινεν ἐγκλινόμενον. ὕβρεσιν ἡμᾶς οὐ συστεῖλαι τὸ α. κατὰ διάλεκτον, ἐφύλαξαν ἐν αὐτῇ τῇ συλλαβῇ τὸν αὐτὸν τόνον.

Δεῖ δὲ νοῆσαι ὅτι αἱ δισύλλαβοι ἀναμφιβόλως καὶ ἀναβιβάζουσιν ἐγκλινόμεναι καὶ φυλάττουσιν ὀρθοτονούμεναι, οἷον ἤκουσά τινος ἀφ' οὗ τινος. αἱ δὲ μονοσύλλαβαι ἀναβιβάζουσι μὲν ἐγκλινόμεναι προηγουμένων μὴ δεχομένων τὴν ἔγκλισιν, τὴν ἐπιφερομένην ἄφατον σύγχυσιν ἐποίησαν, οἷον ἀνθρώπου μου, ἔδει εἶναι ἀνθρώπου ἐμοῦ. μέλει μοι, ἔδει ὀρθοτονεῖσθαι ἐμοί. ὅμως μονοσυλλαβοῦντα οὐδὲ ἀνεβίβασαν, οὐδὲ ἐφύλαξαν. ἀλλ' ὡς μιᾶς λέξεως οὔσης ὁ τόνος ἐτέθη, ἀνθρώπου μου. καὶ οὕτως ἡμεῖς δοξάζομεν.

Ἄλλοι δέ τινες συγχέουσιν, ὡς καὶ ὁ Ῥωμανὸς λέγων, ἐν προπερισπωμένοις προηγεῖται οὐ παρέχει τὸν τόνον. πόθεν τις. ὄθεν με. ψευδὲς γάρ ἐστιν, ὅς τις ὁ τόνος τίθεται. καὶ οὐ παρέχουσι τὸν τόνον ταῖς προηγουμέναις. κεῖμαι ὥσπερ εἴπομεν προπαροξύτονος ἢ ὀξύτονος ἢ τροχαϊκή.

Ἰστέον δὲ ὅτι διαφέρει ἐγκλιτικὸν ἐγκλινομένου, οὐχ ὡς λέγει ὁ Φιλόπονος ἐν τῇ ἀντωνυμίᾳ ὃν ἐλέγχομεν ἐκεῖ, ἀλλὰ τῷ καθόλου καὶ τῷ μερικῷ. πᾶν γὰρ ἐγκλιτικὸν καὶ ἐγκλινόμενόν ἐστιν. ἢ θέμις ἐγκλιτικὸν καὶ ἐγκλινόμενον. οὐ πᾶν γε ἐγκλινόμενον καὶ ἐγκλιτικόν ἐστιν. αἱ λέξεις αἱ ὀξύτονοι ἐν τῇ συνεχείᾳ κοιμίζουσαι τὸν τόνον, ἐγκλινόμεναι καλοῦνται, οἷον ἡ μορφὴ περικαλλὴς, ἰδοὺ αὗται κοιμίζουσαι ἐν τῇ συνεχείᾳ τὸν τόνον, ἐγκλινόμεναι καλοῦνται, καὶ οὐχὶ ἐγκλιτικαί. ἀλλὰ πᾶν ἐγκλιτικὸν, ἐγκλινόμενον.

Περὶ ἑκάστου δὲ μορίου δείξομεν ὀλίγα ἐναντιούμενα τοῖς προειρημένοις, περὶ ὧν ἐν εὐκαίρῳ διδάξομεν. νῦν δὲ διαλάβωμεν περὶ τοῦ ὀνόματος.

ΕΓΚΛΙΤΙΚΑ ΕΝ ΤΟΙΣ ΟΝΟΜΑΣΙΝ.

Καθόλου ἐν τοῖς ὀνόμασιν οὐδὲν ἐγκλίνεται εἰμὴ τὸ τις ἐν ὅλαις ταῖς πτώσεσι καὶ ἀριθμοῖς καὶ γένεσι. καὶ ἐν ταῖς εὐθείαις ἀντωνυμίας μὴ ἐγκλινομένης. τὸ οὖν τις πανταχοῦ ἐγκλίνεται. καὶ τὸ τοῦ καὶ τῷ, τὰ ἰσοδυναμοῦντα τῷ τινός, τινί, ἐν μόνῃ γενικῇ καὶ δοτικῇ. ταῦτα δὲ καὶ τὸ τίς πρὸς διάφορα σημαινόμενα, καὶ τὰ κινήματα ταῦτα. πυσματικὰ γὰρ ὄντα βαρύνονται ὀρθοτονούμενα, τίνος. τίνι. τίνα. καὶ τίνε. τίνοιν. τίσι. τίνας. καὶ τὸ τίς τῷ λόγῳ τῆς ἀρχούσης ἔχει τὴν ὀξεῖαν. ὅθεν οὐ κοιμίζεται ἐν τῇ συνεχείᾳ. τίς ἦλθε; καὶ τὸ τοῦ περισπᾶται καὶ τὸ τῷ. ὅτε γὰρ πυσματικὰ ὄντα ὀρθοτονοῦνται. ἀόριστα δὲ ἀποφαντικὰ ἐγκλίνονται, ἄνθρωπός τις. ἧκέ τινος. δέδωκέ τινι. ὕβρισέ τινας, ἐκείνου λέγοντος. δέδωκέ τῳ.

Καὶ ταῦτα μὲν περὶ τοῦ ὀνόματος. ἔλθωμεν δὲ εἰς τὸ ῥῆμα.

ΕΝ ΡΗΜΑΣΙΝ.

Ἐν τοῖς ῥήμασιν οὐδὲν ἐγκλίνεται εἰμὴ δύο μόνα, τὸ εἰμὶ, καὶ φημί. δηλονότι προηγουμένων τῶν προρρηθεισῶν λέξεων, ἐπεὶ τὸ ἀνθρώπου εἰμὶ, οὐκ ἐγκλίνεται. καὶ τὸ οὕτω εἰμί. Τοῦ δὲ εἰμὶ ἐγκλίνεται καὶ τὸ δεύτερον πρόσωπον εἶς. ἀναμάρτητός εἶς ἀγαθοῖς. καὶ ταῦτα οὐ πρὸς διάφορον σημαινόμενον ἐγκλίνεται, ἀλλὰ πρὸς εὐπρεπῆ φράσιν. οὕτως ἀρέσκει τοῖς παλαιοῖς. τὸ δὲ εἶ οὐκ ἐγκλίνεται, εἴτε ἀπὸ τοῦ εἰμὶ ὂν διὰ τὸ πάθος, εἴτε ἐπλεόνασεν, ἀλλ' ὀρθοτονεῖται καὶ ἐν τῷ ἄνθρωπος εἶ.

Τὸ δὲ ἐστὶ τρίτον πρόσωπον καὶ αὐτὸ κατὰ τὸν λόγον ἐγκλινόμενον τυγχάνει. ἄνθρωπός ἐστι. εἰς πολλὰ δὲ αὐτὸ παρέβη τὴν ἀκολουθίαν. ἐν ἀρχῇ μὲν γὰρ ἄλλης λέξεως μὴ ἐγκλινομένης ἐγκλίνεται τῇ ἰδίᾳ ἀρχῇ τὸν τόνον ἀποπέμπον. ἔστι πόλις Ἐφύρη, καὶ μετὰ τοῦ οὐκ ἔστι ταῦτα ἐγκλίνεται δὲ καὶ τὸ ἐστὸν δυϊκόν. εἰ καὶ ἄλλως Τρύφων ὁ γραμματικὸς φρονεῖ. Ἔτι καὶ τὰ πληθυντικὰ, ἄνθρωποί ἐσμεν. ἄνθρωποί εἰσιν.

Ἔτι καὶ τὸ φημὶ ἐγκλίνεται. ἄνθρωπός φημι. τὸ δὲ φῂς δεύτερον οὐκ ἐγκλίνεται. τὸ δὲ φησὶ ἐγκλίνεται, ἄνθρωπός φησι.

Ἔτι καὶ τὰ δυϊκὰ καὶ πληθυντικὰ κατὰ τὴν χρῆσιν τῶν παλαιῶν, εἰ καί τινες τοὐναντίον φρονοῦσιν.

ΕΝ ΑΝΤΩΝΥΜΙΑΙΣ.

Αὕτη δὲ ἡ ἀντωνυμία πρὸς διάφορον σημαινόμενον, τῇ μὲν ὀρθοτονεῖται, τῇ δὲ ἐγκλίνεται. αἱ πρωτότυποι ἐγκλίνονται οὕτως, ἀλλ' ἡ μία εὐθεῖα ἀντωνυμίας ἐγκλίνεται. τὰ γὰρ ῥήματα ἀναπληροῦσι τὴν χρείαν αὐτῆς ὡς δείκνυται ἐν τῷ περὶ ἀντωνυμίας. ἀντωνυμία ἐν ἀρχῇ ἐγκλίνεται οὐδεμία. βαρύτονος φύσει οὐκ ἐγκλίνεται.

Εἴπομεν δὲ φύσει βαρύτονος ὡς ὅτι εἰσί τινες κατὰ πάθος βαρυνόμεναι καὶ ἐγκλινόμεναι, ὡς τὸ ἡμέων κατὰ διαίρεσιν, καὶ γὰρ ἐβαρύνθη οὐ φύσει, καὶ τὸ σέο δὲ παρὰ τοῦ σοῦ ἐνεκλίθη, ὡς ἐν τῷ ὄβριμος, ἐν τοῖς δυϊκοῖς τοῦ πρώτου καὶ δευτέρου προσώπου ἀεὶ ὀρθοτονοῦνται, ὅτι ἀεὶ βαρύνεται, καὶ περισπῶνται, νῶϊν, σφῶϊν, ὥσπερ τοὐναντίον εἴπομεν ἐπὶ τοῦ ἡμέων ὅτι ἐγκλίνεται, οὐ γὰρ φύσει βαρύνεται. Ἐγκλίνονται δὲ ἀεὶ αἱ τοῦ τρίτου δυϊκαί. Ἀλλ' εἰ τὰ σφωϊν καταλύσομεν ὠκέας ἵππους. καὶ τίς τάρ σφωε θεῶν ἔριδι. καὶ ἐν τοῖς πληθυντικοῖς τοῦ τρίτου προ-

σφίσιν, σφίσι, σφέας, ἀναβιβάζεται ὁ τόνος τῇ δὶ τῇ λέξει, ἐπεὶ τὸ σφίσι, καὶ σφέας φωνήσας. ἐπεὶ οὐ φύσει ἐβαρύνοντο, ἀλλὰ κατὰ πάθος. σφῖν σφίσιν. σφᾶς σφέας. ἔφαμεν δὲ ὅτι ἐν τῷ α. καὶ β. προσώπῳ κατὰ συναλοιφὴν καὶ γίνονται δίχρονοι ἡμῖν ἧμιν ὑμῖν, ὗμιν. οὐκ ἀναβιβάζουσιν ἐν τῇ πρώτῃ λέξει, ἀλλ' ἐν τῇ ἰδίᾳ ἀρχῇ ἔχουσι κλίσιν καὶ δέχεται ἀποσιγμόν, εἰμή που φιλοσοφοῦντι κεῖται ἡ φράσις, πάρφαλέ μοι. φασὶ δὲ τὰς ἐχούσας χαρακτῆρα κατὰ λέξεως μὴ ἐγκλίνεσθαι, ὡς ἡ ἐκεῖνος καὶ οὗτος, ἀλλὰ μόνον ἡ αὐτὸς κατὰ αἰτιατικὴν παρέβη. κεῖται γὰρ αὐτόν, οὐ καλὸς δέ τοι ὁ λόγος ὡς γὰρ βαρύτονοι οὖσαι οὐκ ἐγκλίνονται, ἐκεῖνος ἐκείνου, οὗτος, τούτου. τὸ αὐτὸν ὀξύνεται. ἀλλὰ πρὸς τούτοις φασὶν ὅτι ἡ αὐτοῦ αὐτῷ οὐκ ἐγκλίνονται, ἀλλ' ὡς τὸ δίχρονοι εἰς τὴν ἰδίαν ἀρχὴν τὸν τόνον ἀναπέμπουσι. πρὸς οὓς φαμὲν ὅτι δεῖ τὸ μὴ συνεμπεσεῖν τοῖς αἰολεῦσι βαρυτόνως λέγουσι αὔτου καὶ αὔτῳ. ἡ δὲ αἰτιατικὴ οὐ συνέπεσεν ἐγκλινομένη γὰρ εἰς τὴν πρὸ αὐτῆς λέξιν τὸν τόνον ἀναπέμπει. κεῖται γὰρ αὐτὸν ἔχοντα, τὸ αἰολικὸν εἰς τὴν ἀρχήν, αὔτον. Πάλιν αἱ ἔχουσαι ἐπιφορὰν τὴν ἐπιταγματικὴν ὀρθοτονοῦνται. σεαυτόν. σὲ δὲ αὐτὸν οὔ, ἀλλὰ σεαυτόν. εἰμή που ποιητικῶς ἐγκλιθῶσιν. ὅμως οὐδ' αὐτῷ οὐκ ὤφειλεν ἐγκλιθῆναι. ἔχει γὰρ τὴν ἐπιταγματικὴν. τινὲς δέ φασιν καὶ ἵνα μὴ νομισθῇ ἄρθρον, ὅπερ ψευδές. ἀντωνυμία γὰρ παραλαμβάνεται. τὰ δὲ ἄρθρα ὀξύνεται. ὥστε ποιητικῶς ἐγκλιθῶσιν αἱ λοιπαὶ ὥσπερ προείπομεν πρὸς διάφορον σημαινόμεναι, πῆ μὲν ἐγκλίνονται, πῆ δὲ ὀρθοτονοῦνται. ἐγκλινόμεναι τὸν ἀπόλυτον σημασίαν σημαίνουσιν, ἀντιδιαστολὴν δὲ ὀρθοτονούμεναι. καὶ ὥσπερ προείπομεν προκειμένου τοῦ παραφυλακαί. ὀλίγαι δὲ παρέβησαν τὸν λόγον οἷον ἔζεν. οἵ ἔσαν οἱ ταῦτα. καὶ πάλιν ἐνταῦθα, ἵνα μὴ νομισθῇ οἱ ἄρθρον, ὅπερ ἄκαιρον. ὡς εἴπομεν γὰρ ὁ τόνος διέστειλε. καὶ πάλιν ἵνα σφίσιν ἀτρεῖτε θέμις τε. καὶ πάλιν ὅτε σφέας εἰσαφίκηται. ἆρα δ' ἄρα σφιν, αὖται παραλόγως ἐγκλιθεῖσαι μὴ προηγουμένου ἢ ὀξυτόνου ἢ περισπωμένου. καὶ παρὰ Καλλιμάχῳ τοξοῦται ἐώ τις ἀρίστα κυδωνίου. σπονδεῖος γὰρ βαρύτονος προηγεῖται. παραλόγως οὖν καὶ τούτων ἐπικρατήσειν ἡ ἔγκλισις. ταῦτα περὶ ἀντωνυμιῶν ἐν συντόμῳ.

Πολλοὶ δὲ τρόποι εἰσὶν ὀρθοτονοῦντες, καὶ προηγουμένης τῆς ὀφειλούσης δέξασθαι τὴν ἔγκλισιν οἷον αἱ προθέσεις ὀξύνονται. καὶ ὅμως αἱ μετὰ τούτων ἀντωνυμίαι ὀρθοτονοῦνται. περὶ μοῦ. κατὰ σοῦ. μετὰ μοῦ, ζῆν μοι, ὑπὲρ μοῦ. ὅθεν παρέχει μὲν ἀνάγκῃ σημειοῦται τὸ πρός με ἐγκλιθέν. οἱ δὲ ἐξηγοῦνται ἀντὶ τοῦ τε προστεθέντος, ἀντὶ πρὸς ἐμέ. αἱ μετὰ συμπλεκτικῶν, καὶ διαζευκτικῶν ὀρθοτονοῦνται. τὸ τε ἢ με ἀνέγειρε τὸ ε συνεκράθη, μετὰ δ' ἐμὲ ἢ μὲ καὶ τὴν ὀξεῖαν εἰς τὸ με φυλάττομεν. ἐπὶ δὲ ὑπέρ σε τέτω μοι, ὑπὲρ βατοῦ ἐστί. καὶ ἀποστέτω μοι. ὡς δείκνυμεν ἐν τῇ ἀντωνυμίᾳ. καὶ εὐλόγως ὀρθοτονοῦνται ἐπειδὴ ἀντιδιαστολὴν πάντα ἀποδίδουσιν αὐτῇ αἱ συντάξεις καὶ μετὰ οὕνεκα, καὶ ἕνεκα ὀρθοτονούμεναι. ἕνεκα σοῦ. οὕνεκα σοῦ. εἵνεκεν σοῦ, κακῶς ἐγκλίνουσιν. ἀλλὰ ταῦτα μὲν περὶ τούτων.

ΕΝ ΕΠΙΡΡΗΜΑΣΙΝ.

Ὀλίγα δὲ καὶ ἐν τῷ ἐπιρρήματι ἐγκλίνονται, καὶ ὀρθοτονοῦνται, ὥσπερ ἐπὶ τοῦ τις εἴπομεν, καὶ τοῦ τινος, καὶ τῶν ἄλλων. ὅτι ὀρθοτονούμενα πυσματικά εἰσιν, ἐγκλινόμενα δὲ ἀποφαντικῶς ἀόριστα. οἷον πόθεν ἦλθες; πύσμα. ἦλθέ ποθεν, ἀόριστον. πότε ἔγραψας; ἔγραψάς ποτε. ὁμοίως καὶ τὸ πόθι ἐπὶ οὔ ποθι, καὶ τοῦ ἀπῆλθε; ἀπῆλθέ που, εἰ καί ποθι Ζεύς. καὶ ἔτι τὸ πῶς, πῶς ἦλθες; ἦλθές πως. καὶ τὸ ποῦ, οὔ που με γινώσκεις; καὶ τὸ πῆ ὁμοίως. ταῦτα δὲ τινὰ τὰ μονοσύλλαβα, καὶ τὸ πόθι μετὰ τὴν αὐτὴν ἔλειπων κακῶς.

ΕΝ ΣΥΝΔΕΣΜΟΙΣ.

Οἱ σύνδεσμοι ὁμοίως, ὅτε, καί τε. ὅγε. ὅδεν γέ μοι χάρισαι. ὅπερ, μή δ' οὕτως ἀγαθός περ ἐών. ἥ τοι. μήν τοι. ὅ ῥα. ὅς ῥα, ὅ νυ, οὔ νύ μοι. ὁ θην. καί θην. ὁ κεν, ἢ καί κεν ἐλέγχιστος. ὁ οὖν μετὰ μόνης τῆς ου παραπληρωματικὸς ἐγκλίνεται. ὅκουν. συλλογιστικὸς δὲ ὢν ὀρθοτονεῖται. οὐκοῦν αἰσχρὸν τόδε. καὶ τὸ νῦν ἐπίρρημα περισπᾶται, σύνδεσμος δὲ ὤν, καὶ συστέλλεται τὸ ἐγκλίνεται, προὔταινον δ' ἐντὸς μνησώμεθα. καὶ οὗτοι μὲν ὅτε ἔχουσι τὰς προειρημένας λέξεις τὰς δεχομένας τοὺς τόνους, τουτό γε, αὔδρά τε, εἰ δὲ μή, ὡς εἴπομεν περὶ μονοσυλλάβων οὔτε ἀναβιβάζουσιν, οὔτε ἀναφυλάττουσιν. οἷον τούτου γε; οὐδὲ εἰς τὸ τοῦ ἡ ὀξεῖα, οὐδὲ εἰς τό γε, ἀλλ' εἰς τὴν πρώτην συλλαβήν. τοίνυν γε. οὐ γὰρ πιστέον τοῖς λέγουσι, ὅτι ἑκάστῃ λέξει ἀναπέμπουσι τὸν τόνον, ἀλλὰ ταῦτα μὲν περὶ τούτων.

ΠΕΡΙ ΕΓΚΛΙΝΟΜΕΝΩΝ, ΕΚ ΤΩΝ ΤΟΥ ΧΕΙΡΟΒΟΣΚΟΥ.

Ἐγκλίνεται ἤγουν ἀναβιβάζουσι τὸν τόνον ὅτε καλεῖ ἀπὸ τῶν τοῦ λόγου μερῶν πέντε, ὀνόματα, ῥήματα, ἀντωνυμίαι, ἐπιρρήματα καὶ σύνδεσμοι. Ὄνομα ἤτοι ὡς ὄνομα τὸ τίς, καὶ τούτου πτώσεις, καὶ οἱ ἀριθμοί, καὶ οὐδέτερον, τι. οἷον, δῖός τις. ἔμαθόν τινος, ἦλθόν τινες,

ἤκουσέ τινων, ἔμαθόν τι, καὶ τὰ ἰσοδυναμοῦντα τούτοις, τὸ του καὶ τὸ τῳ, ἤκουσά του, δέδωκά τῳ, καὶ τὰ τοιαῦτα.

Ρήματα τὸ εἰμί, φημί. ἁμαρτωλός εἰμι. ἐγώ φημι. τὸ δεύτερον φῄς, ἀέγκλιτον, τὸ τρίτον φησὶ ἐγκλίνεται. αὐτός φησι. καὶ τὰ πληθυντικά. αὐτοί φαμεν. τί φατε. τί φασι. καὶ τὰ πληθυντικὰ τοῦ εἰμί. ἄνθρωποί ἐσμεν. ἄνθρωποί ἐστε, ἄνθρωποί εἰσιν.

Καὶ τῶν ἀντωνυμιῶν ἐκεῖναι. ἔδωκάς μοι. ἔτυψάς με. ἤκουσά σου, καὶ αἱ ἐπιταγόμεναι καί μιν φωνήσας. μετὰ δὲ τοῦ ἕνεκα τὸν οἰκεῖον φυλάττουσι τόνον. ταῦτα. ἕνεκα σοῦ. ἕνεκα ἐμοῦ. καὶ μετὰ προθέσεων, ἀπὸ τοῦ, διὰ σέ, καὶ τὰ τοιαῦτα.

Ἐπιρρήματα τὸ ποτέ, οἷον οὔποτε, ἐγώ ποτε. καὶ τὸ ποθέν, οἷον ἦλθέ ποθεν. καὶ τὸ πῄ, πού, πῶς τὰ ὡς ἐπιρρήματα, ἦλθέ πως, ἀπῆλθέ που, ἀνεχώρησέ πῃ.

Σύνδεσμοι δὲ ἐγκλίνονται, μὲν δέ τε γάρ, οἷον ἐγώ μεν, οὐδὲ αὐτός τε, ἄλλοι γάρ. καὶ τὰ τοιαῦτα. ἐκεῖνο δὲ παραφυλακτέον ὅτι ἐὰν σπονδειακὴ πρόκειται λέξις, ἤγουν δισύλλαβος, τὸν ἴδιον φυλάττει τόνον, οἷον ἤδη φαμέν. ὅπως ἐστίν, οὔτω ποτέ. καὶ τὰ ὅμοια.

ΚΑΙ ΑΛΛΩΣ ΠΕΡΙ ΕΓΚΛΙΝΟΜΕΝΩΝ.

Ἰστέον ὅτι τὰ ἐγκλινόμενα εὑρίσκεται ἐν ὀνόμασι καὶ ἀντωνυμίαις καὶ ῥήμασι, καὶ ἐπιρρήμασι, καὶ συνδέσμοις.

ΕΝ ΟΝΟΜΑΣΙ μὲν τὸ τις ἐν πάσαις ταῖς πτώσεσιν. ἄνθρωπός τις. ἄνθρωποί τινες. ἐν δὲ ἀντωνυμίαις τὰ σημαίνοντα ἀπόλυτα πρόσωπα. ἤκουσά μου, ἔδωκά μοι.

Ἐν δὲ ῥήμασι, τὸ εἰμὶ φημὶ καὶ ἐστί, καὶ τὰ ὅμοια τούτων. οἷον ἀρκεσίλαόν φησι, ὅμηρός ἐστιν. ἐν δὲ τοῖς ἐπιρρήμασι τὰ ἀνταποδοτικὰ τῶν πευστικῶν, οἷον ποτέ, πότε. ποθέν, πόθεν. ποθί, πόθι. ἐάν ποτε. ἐάν ποθεν. αἴ κέ ποθι. μή ποτε. μή ποθεν.

Ἐν δὲ τοῖς συνδέσμοις ἐγκλίνονται, ὅτε, ὅ νυ, ὅπου, ὅθεν, ὅ γε, ὅ τοι, καὶ ὅπερ, οἷον καί τε πόλιν ἐσάωσε καὶ οἱ δὴ λαοί. καὶ οὔ πώ που δ' τί μέλει. καὶ οὔ θην ἔκπρει. καὶ μή τί ἔμοι γε σήμαινε. καὶ οὔ τοι ἀπόβλητ' ἐστί. καὶ ἀγαθός περ ἐών. Ἰστέον δὲ ὅτι ἐὰν ἡ λέξις τετράχρονος οὐκ ἀναπέμπει τῇ προηγουμένῃ τὸν τόνον, ἀλλὰ τῇ προηγουμένῃ συλλαβῇ, οἷον ἄνθρωπος ἡμῶν. ἔτι ψαρ ἡμᾶς. ἐπειδὴ οὐδέποτε πρὸ τεσσάρων χρόνων τόνος ἐπιτίθεται.

Ἐὰν δὲ εὑρεθῇ λέξις τρίχρονος ἢ δίχρονος ἢ μονόχρονος, τότε ἀναπέμπει τῇ προηγουμένῃ λέξει τὸν τόνον κατὰ διαίρεσιν, ἐὰν ἡ εὑρεθῇ προηγουμένη λέξις ἢ βραχεῖα ἀπὸ τόνου ὡς ἐνθάδε τοῦ τυφθέντα. ἀπὸ γὰρ τόνου ἀναποδίζων τὴν λήγουσαν βραχεῖαν εὑρίσκει. ἡ προπαροξυτόνου μὲν ἡ ἔχουσα τὴν τελευταίαν θέσει μακράν. ἡ προπαροξυτόνου μὲν ἡ προπαροξύτονος ἢ παροξύτονος, τότε ἀναπέμπει τῇ προηγουμένῃ λέξει. οἷον, τυφθέντα τε. γυναῖκές εἰσι. πῶς τε, ἀρκεσίλαός τε ὅμηρός ἐστι. πρόσκειται ἡ μὴ ἔχουσα τὴν τελευταίαν θέσει μακρὰν διὰ τὸ φοῖνιξ καὶ κῆρυξ. τούτων γὰρ προηγουμένων οὐ γίνεται ἔγκλισις. οἷον φοῖνιξ ἐστί. κῆρυξ ἐστί. ἐὰν δὲ εὑρεθῇ λέξις ὀξύτονος ἢ περισπωμένη προηγουμένη τοῦ ἐγκλιτικοῦ φυλάττεται ἡ ὀξεῖα καὶ ἡ περισπωμένη. οἷον ζεύς, ζεύς τε. καλῶς, καλῶς μοι. σαφῶς, σαφῶς γε.

Καινόν ἐστιν ὃ λέγω, ὅτι πᾶσα λέξις ὀξύτονος πολλάκις ἐν τῇ συνεπείᾳ κοιμίζει τὴν ὀξεῖαν εἰς βαρεῖαν χωρὶς τοῦ τίς, ἐπεὶ τοῦτο φυλάσσει τὴν ὀξεῖαν. οἷον τίς, πόθεν εἰς ἀνδρῶν; δεῖ δὲ προσθεῖναι τῷ κανόνι, χωρὶς εἰ μὴ ἐνθάδε φθάνει στιγμή, ἢ ἐγκλιτικόν. τότε γὰρ οὐ κοιμίζεται ἡ ὀξεῖα εἰς βαρεῖαν, εἰ δὲ πρὸ τοῦ ἐγκλιτικοῦ εὑρεθῇ λέξις πυρριχιακὴ ἀπὸ τόνου, δηλονότι ἐνθάδε τὴν λήγουσαν. ὡς ἐπὶ τοῦ πολλάκις. ἢ ἰαμβικὴ ἀπὸ τόνου, ὡς ἐνθάδε τοῦ μεταμέλει. ἢ σπονδειακὴ ἀπὸ τόνου ὡς ἐνθάδε τοῦ ἀτρείδης. καὶ ἐπιφέρονται δισύλλαβα ἐγκλιτικά, φυλακτικὰ γίνονται τῶν ἰδίων τόνων. ὡς ἀτρείδης ἐστί. μεταμέλει ἡμῖν. πολλάκις εἰσί.

Δεῖ δὲ προσθεῖναι χωρὶς τῶν ἀπὸ τοῦ σφι ἀρχομένων ἀντωνυμιῶν. αὗται γὰρ ἀναπέμπουσι τὸν τόνον τῇ προηγουμένῃ λέξει. οἷον ἀτρείδης σφισι. πολλάκις σφέας. εἰ δὲ μὴ ὦσι δισύλλαβα ἀλλὰ μονοσύλλαβα τῷ νῷ μόνῳ γίνεται ἡ ἔγκλισις. μεταμέλει μοι πολλάκις τις. ἀτρείδης τε. ταῦτα γὰρ οὔτε τὸν ἴδιον τόνον δύνανται φυλάττειν οὔτε ἀναπέμπουσι τῇ προηγουμένῃ λέξει.

Γινώσκειν δὲ ὅτι οὐδὲν προστακτικὸν ἐγκλίνεσθαι δύναται. τίνι γὰρ παραπέμψωσι τὸν ἴδιον τόνον; ἀλλ' οὐδὲ τὰ ἔχοντα προηγουμένην στιγμήν. πῶς γὰρ δίχα ζεύξεως προηγουμένης ἔγκλισις γένοιτο; καὶ ἔτι χωρὶς τὰ ἄρθρα οὐκ ἐγκλίνονται, οὐδὲ τὰ βαρυνόμενα αὐτὰ καθ' ἑαυτὰ ἐν τῇ συντάξει δύνανται ἐγκλίνεσθαι. ἔτι τὰ ἐγκλινόμενα κατὰ τὴν εὐθεῖαν, καὶ κατὰ τὰς ἄλλας πτώσεις ἐγκλίνεσθαι δύνανται, διὸ οὔτε αἱ προθέσεις, οὔτε αἱ μετοχαὶ ἐγκλίνεσθαι θέλουσιν. ἔτι τὰ ὀξυνόμενα ῥήματα ἐγκλίνονται. καὶ τὰ ἐγκλινόμενα κατὰ τὸν ἐνεστῶτα οὐ πάντως κατὰ τὰ λοιπὰ ἐγκλίνονται.

Ἐν γοῦν τοῖς ῥήμασι ταῦτα μόνον ἐγκλίνεται. εἰμί. εἷς. εἰ. δὲ ἀέγκλιτον. ἐστί. ἐστόν. ἐσμὲν ἐστέ. εἰσίν. φημί. φῄς δὲ ἀέγκλιτον. φησί. φαμέν. φατέ. φασί.

Τὰ ἐγκλινόμενα μόρια ἢ ὀξύνεται ἢ περισπᾶται, οὐδέποτε δὲ βαρύνεται. πέντε γάρ εἰσιν ἀπὸ τῶν τοῦ λόγου μερῶν τὰ ἐγκλινόμενα. ὄνομα. ῥῆμα. ἀντωνυμία. ἐπίρρημα. σύνδεσμος.

Πάλιν τῶν ἐγκλινομένων, τὰ μὲν ἕνεκεν κόσμου ἐγκλίνεται ὡς τὰ ῥήματα καὶ οἱ σύνδεσμοι, τὰ δὲ σημασίας, ὡς τὰ λοιπά.

Ἐν μὲν ὀνόμασι, τὸ τὶς μόνον ἐγκλίνεται. καὶ αἱ αὐτοῦ πτώσεις. καὶ οἱ ἀριθμοί, καὶ τὸ οὐδέτερον. οἷον. ἄνθρωπός τις. ἤκουσά τινος, ἔδωκά τινι, ἐδίδαξά τινα. καὶ ἐπὶ τῶν λοιπῶν, ὡσαύτως καὶ ἰσοδυναμοῦντα τούτοις. τὸ τοῦ καὶ τῷ. ἤκουσά του λέγοντος. καὶ ἐπέλεξά τῳ φράσαι τι. ταῦτα δὲ ἐγκλινόμενα ἀόριστά ἐστι. τὸ δὲ κατὰ φύσιν τόνον ἔχοντα πυσματικὰ γίνεται. πόθεν τίς. τίνος. τίνι. τίνα. καὶ τὰ πληθυντικὰ τούτων. τίνες. τίνων. τίσι. τίνας.

Ἐν δὲ ῥήμασιν ἐγκλίνεται τὸ εἰμί, καὶ φημί. ἐπὶ εἰμί. ἐπὶ φημί. ἄνθρωπός φησιν. ἔσθ' ὅτε καὶ πληθυντικὰ ἐκεῖνο φαμέν, φατέ, φασίν. ἔτι καὶ τὸ εἰμί, ἄνθρωπός εἰμι, καὶ τὸ ἐστίν, ἄνθρωπός ἐστιν. Τοῦτο δὲ τὸ ἐστὶν ἐν ταῖς ἀρχαῖς τῶν λόγων βαρύνεται, ἔστι πόλις Ἐφύρη. καὶ μετὰ τοῦ ὡς ἐπιρρήματος. ὡς ἔστιν εἰπεῖν. καὶ μετὰ τοῦ ἀλλά. ἀλλ' ἔστι, καὶ μετὰ τοῦ τοῦτο, τοῦτ' ἔστι. καὶ μετάγεται εἰς ἐπίρρημα, τουτέστι, καὶ μετὰ τοῦ καί, καὶ ἔστι, καὶ μετὰ τοῦ οὐκ. οὐκ ἔστι, καὶ ἐστὸν δυϊκὸν ἐγκλίνεται. καλώ ἐστον, καὶ τὰ πληθυντικά. ἄνθρωποί ἐστε, ἄνθρωποί εἰσιν.

Αἱ ἀντωνυμίαι τοῦ πρώτου προσώπου ἐγκλίνονται. καὶ τὸ κατ' ἀρχὴν ε ἀποβάλλουσιν, ἤκουσά μου, ἔδωκά μοι. ὕβρισά με, αἱ δὲ τοῦ δευτέρου καὶ τρίτου προσώπου οὐδὲ μίαν στοιχείου ποιοῦνται ἀποβολήν. ἤκουσά σου, ἔδωκά σοι, ἐδίδαξά σε, ὕβρισά σε, καὶ οἱ ἐπιτυχόμενοι θωρῆξαι ἐκέλευε. καί μιν φωνήσας. αἱ δυϊκαὶ τοῦ πρώτου καὶ δευτέρου προσώπου οὐκ ἐγκλίνονται διὰ τὴν βαρεῖαν τάσιν. νῶϊ νῶϊν. σφῶϊ, σφῶϊν προπερισπῶνται γάρ. αἱ δὲ τοῦ τρίτου ὀξυνόμεναι, ἐγκλίνονται. τίς τ' ἄρ σφωε θεῶν, καί σφωϊν δὸς ἄγειν. καὶ τὰ πληθυντικὰ ἐπεὶ ἐγκλίνεται τὴν πρώτην συλλαβὴν ὀξύνουσιν. ἤκουσας ἡμῶν λαλούντων. ἔδωκας ἡμῖν. καὶ αἱ τοῦ τρίτου πληθυντικαὶ ὀξύνονται σφῶν. σφίν. σφᾶς. καί σφων. καί σφιν. καί σφας. καὶ εὔλογον οἶμαι λέγειν. ὅτι μετὰ τὴν ἔγκλισιν τὸ πάθος ἐπηκολούθησεν.

Ἐν δὲ τοῖς ἐπιρρήμασιν ἐγκλίνεται τὰ ὑποκείμενα. πώς. ποτέ. ποθέν. ποθί. καὶ τὰ ὑποδείγματα δῆλα. πῶς ἦλθες; ἦλθές πως. πῇ ἦλθες; ἦλθές πῃ. πόθεν ἦλθες; ἦλθές ποθεν. πόθι ἦλθες; ἦλθές ποθι. ταῦτα πυσματικὰ ὄντα βαρύνεται. ἀόριστα δὲ ὀξύνεται. καὶ ἐν τῇ συντάξει ὑποτασσόμενα ἐγκλίνονται.

Ἐν δὲ συνδέσμοις ἐγκλινόμενοί εἰσιν οἱ δέ. τέ. πέρ. τοί. γέ. θήν. καίπερ. καίτοι. καίγε. ἔγωγε. ἤ μήν. οὔ θην. αἰνῶ. σκωλόν τε. διὸ σημειοῦνται τὸ ἐν ὃ ἔσαν οἱ πέπλοι παμποίκιλοι. παραλόγως γὰρ ἐνεκλίθη ἡ ἀντωνυμία πυρριχίου προκειμένου. σημειοῦνται καὶ τὰς διὰ τοῦ σφι ἀντωνυμίας, ἢ αὐτὰς πυρριχίου ὄντος ἐγκλίνονται ἵνα σφ' ἀγορή τε θέμις τε ὅτι σφέας εἰσαφίκητε.

Εἰ μέντοι προπαροξύνοιτο ἡ προκειμένη λέξις τῶν ἐγκλιτικῶν μορίων, ἐγείρει τὴν ἐν τῷ τέλει αὐτῆς βαρεῖαν. ἄνθρωπός τις, καὶ παροξύνοιτο βραχεῖα οὖσα. ὅλος τις, ἔστι τις. ἐνθάδε ποτε. ἔτι ὀξυνόμεναι λέξεις βαρυνόμεναι δὲ διὰ τὴν συνέπειαν ἐγκλιτικοῦ ἐπιφερομένου, τὴν βαρεῖαν ἐγείρουσιν. αὐτός. αὐτός μοι. εἰ δὲ περισπᾶται ἡ λέξις, φυλάττεται πάλιν ἡ περισπωμένη, πῶς ποτε πῇ με φέρεις, καλῶς με βεβίακεν. ἐὰν οὖν πλείονα συμβῇ ἐφεξῆς ἐγκλιτικὰ εἶναι, πολλαὶ ἔσονται καὶ αἱ ὀξεῖαι, ἤν ὡσεί που δέος ἴσχει ἀχνύειον. τρεῖς εἰσὶν ἐφεξῆς αἱ ὀξεῖαι. Δυνατὸν δὲ καὶ πλείονας ἐπινοῆσαι. εἴ περ τίς σύ μοί φησί ποτε. τὸ μέντοι ει ὀξύνεται διὰ τὴν ἐπιφορὰν τοῦ ἐγκλιτικοῦ πέρ. τὸ δὲ πέρ διὰ τὸ τις. τὸ δὲ τις διὰ τὸ σύ. τὸ δὲ σύ διὰ τὸ μοι. τὸ δὲ μοι διὰ τὸ φησί. τὸ δὲ φησὶ διὰ τὸ ποτέ. ὥστε ἐφεξῆς ὀξεῖαι ἕξ. εἰ καὶ σπάνιον διὰ τὴν τοῦ πνεύματος συνέχειαν. κἀκεῖνο δὲ παραφυλακτέον, ὅτι τῶν ἐγκλινομένων, ἡ συνδεσμικὴ προηγεῖται λέξις, ἢ πυρριχιακή, εἰ μὲν μὴ μονοσύλλαβον εἴη τὸ ἐπιφερόμενον μόριον, τότε τὸν ἴδιον δέχεται τόνον, οὔτε δυνάμει, οὔτε ἐνεργείᾳ ἐγκλινόμενον ἤδη φαμέν, ὀξύνομεν γὰρ τὸ φαμέν. φίλοι εἰσίν, ὁμοίως δὲ καὶ τὸ εἰσὶν ὀξύνομεν.

ΤΕΛΟΣ.

[illegible]

ΘΩΜΑ ΤΟΥ ΜΑΓΙΣΤΡΟΥ, ΚΑΤΑ ΑΛΦΑΒΗΤΟΝ ΟΝΟΜΑΤΩΝ ΑΤΤΙΚΩΝ ΕΚΛΟΓΑΙ.

Α Ἰχμάλωτον ποιῶ, καὶ αἰχμάλωτος γίνομαι, ἀττικοὶ λέγουσιν. αἰχμαλωτίζω δὲ καὶ αἰχμαλωτίζομαι, καὶ πάντες οἱ ἀπὸ τούτων χρόνοι, ἀδόκιμοι παρ' αὐτοῖς.

Α' παντικρὺ τοῦ δεῖνος, καὶ καταντικρὺ, λογογράφοι. Λιβάνιος ἐν τῇ εἰς Νικομήδειαν μονῳδίᾳ. ἀπαντικρὺ τῆς νῦν οὔσης. μᾶλλον δὲ, τῆς οὐκ ἔτ' οὔσης. ἄντικρυ δὲ ποιηταί. ὃ δὲ ἀντὶ τοῦ ἄντικρυς παρά τισι τίθεμεν, ἀμαθές.

Α' ιθέων, οὐκ αἰθῶν. Φιλόστρατος ἐν εἰκόσιν. ἡ ὑπὲρ τῶν αἰθέων ἐλευθερία.

Α' κρατεύεσθαι μηδαμῶς εἴπῃς, ἀλλ' οὐκ ἐγκρατεύεσθαι.

Α ὐτοχειρία, καὶ αὐτουργία κρεῖττον λέγε. οὐκ αὐτουργεῖν. αὐτουργὸς δέ.

Α' κρατία. ἀδυνασία. καὶ ἀσθενία, παρὰ Θουκυδίδῃ μόνῳ. ἀκράτεια δὲ, ἀδυναμία, καὶ ἀσθένεια, καὶ παρ' ἐκείνῳ καὶ παρὰ τοῖς λοιποῖς.

Α' φωνία, οὐκ ἀφασία.

Α' τὰρ, λογογράφοι ἀντὶ τοῦ δὲ, αὐτὰρ ποιηταί. οἱ δὲ ἀντὶ τοῦ διὰ τέλους χρώμενοι τῷ ἀτὰρ, πάνυ εἰσὶν ἀμαθεῖς καὶ ἑλλήνων ἄγευστοι.

Α' θυρμα κρεῖττον, ἢ παίγνιον. εὕρηται δὲ παρὰ Πλάτωνι, καὶ ἀθυρμάτιον.

Α' κέστης ἱματίου, λογογραφικόν. καὶ ἀκούμενος ἱμάτια. Λουκιανὸς ἐν νεκυομαντείᾳ. μισθοῦ ἀκούμενος τὰ σαθρὰ τῶν ὑποδημάτων. ἠπήτης δὲ, ποιητικώτερον. Ὅμηρος ἐν βατραχομυομαχίᾳ. ὁ δὲ ἠπήτης ἐπέστη. τὸ δὲ ῥάπτης, κοινόν. καὶ ἀκέσασθαι μέντοι καὶ ἠπήσασθαι ἀττικοί. Ἀριστείδης ἐν τῇ κοινῇ ἀπολογίᾳ. τῶν ἱματίων τῶν ἠπημένων οὐδὲν διαφέροντες. καὶ Ἀριστοφάνης ἐν δαιταλεῦσι. καὶ κόσκινον ἠπήσασθαι. καὶ ἀκέστρα ἡ βελόνη. Λουκιανὸς ἐν τῷ Χάρωνος καὶ Ἑρμοῦ διαλόγῳ. καὶ ἀκέστραν ὑπὲρ τοῦ ἱστίου.

Α' ργὸς ἀνὴρ, καὶ ἀργὸς γυνὴ, κρεῖττον ἢ ἀργή. Ἀριστοφάνης ἐν νεφέλαις. οὐ μὴν ἐρῶ γ' ὡς ἀργὸς ἦν, ἀλλ' ἐσπάθα. Λουκιανὸς ἐν τῷ τῆς μυίας ἐγκωμίῳ. ἀργὸς δὲ αὐτὴ καὶ ἄεργος οὖσα, τὰ ὑπὸ τῶν ἄλλων πονούμενα καρποῦται.

Α ἴδους ἄξιος κρεῖττον, ἢ σεβάσμιος.

Α' χαρις ὁ ἀλμὲ, οὐ δυσσωμία.

Α' πόνιπτρον, καὶ ἀπονίψασθαι. οὐ νίμμα, οὐδὲ νίψασθαι ὡς ὁ πολὺς λέγει. ἀπονίψασθαι δέ φασιν οἱ τεχνικοὶ, μετὰ τὸ φαγεῖν. πρὸ μέντοι τοῦ φαγεῖν, ὕδωρ κατὰ χειρὸς δέξασθαι. Ἀριστοφάνης ἐν σφηξίν. ὕδωρ κατὰ χειρὸς, τὰς τραπέζας εἰσφέρειν. ἀπονενίμμεθ' ἤδη σπένδομεν.

Α' νεπισσέω βέλτιον ἀντὶ τοῦ ἀδημονεῖσθαι καὶ ἀδυνατεῖν, ἢ ἀντὶ τοῦ ἀνακληθῆναι.

Α' ρτοπώπος κάλλιον, ἢ ἀρτοποιός. καὶ σιτοποιός. Λιβάνιος ἐν τῷ κατὰ Ἰκαρίου. ἐχθροὺς δὲ ἐχθροῖς προὔτεινεν ἀρτοπώπου. καὶ πάλιν ἐν τῷ αὐτῷ ἐπὶ τὰς τῶν ὀρίων κορυφὰς τοὺς ἀρτοπώπους ἀνήγαγεν. ἐν τῷ αὐτῷ πάλιν. διὰ πάντων ἦν ὥσπερ χειμάρρους τῶν ἀρτοπωπῶν.

Α' λεκτρυὼν, καὶ ἐπὶ ἄρρενος, καὶ ἐπὶ θηλείας, λογογράφοι, τὸ δὲ ἀλεκτορίς, ποιητικόν. εἰ καὶ Συνέσιος χρῆται, ἐν τῇ λύσει τῆς ἐκ Βενδιδείου ἐπιστολῆς. λέγει γάρ, ἀλεκτορίδας. ὠὰ ἀλεκτόρεια. τὸ δὲ ἀλέκτωρ, οὐχ ἑλληνικὸν ὅλως.

Α'' νωθεν σοι φίλος εἰμί, ἀλλ' οὐκ ἀνέκαθεν ἐρεῖς. τὸ γὰρ ἀνέκαθεν, ἐπὶ τόπου λαμβάνουσιν ἀττικοί. οἷον, ἀνέκαθεν κατέπεσεν. οὕτως ἔχει περί τινος χαλκῆς πέλτης ἐξ οὐρανοῦ κατενεχθείσης, εἰς τὰς τῶν νομέων χεῖρας. δύναιτο δ' ἄν φασι, τῆς ἀνέκαθεν φορᾶς πρῶτον ἐπώνυμος γεγονέναι. τὸ δὲ ὑπὸ Ἡροδότου φύσει τὶς καὶ ἐπὶ χρόνου λαμβάνεσθαι, ἀληθὲς μὲν φύσει. οὐ μὴν τὸ ὑφ' Ἡροδότου ἅπαξ εἰρῆσθαι, τὸ δόκιμον τῆς χρήσεως αὐτῷ παρέχεται. ἵνα ἀγάγωσιν, οὐχ ἵνα ἄξωσι. καὶ ἁπλῶς εἰπεῖν ὁ μὲν πρῶτος ἀόριστος καὶ οἱ ἐξ αὐτοῦ ἄχρηστοι. ὁ δὲ δεύτερος ἀόριστος καὶ οἱ ἀπ' αὐτοῦ χρόνοι, ἐν χρήσει.

Α' παραίτητον, οὐχ ἀπαράβατον.

Α' γωγὸς, οἱ ὕστερον ἐπὶ τοῦ ὀχετοῦ. οἱ δὲ παλαιοὶ, ἐπὶ τοῦ ἡγουμένου ὁδόν τινα ἐκλαμβάνουσι. Θουκυδίδης ἐν τῇ δευτέρᾳ. οὐκ εὔποροι ἦν διελθεῖν αὐτὴν ἄνευ ἀγωγοῦ. καὶ Ἀριστείδης ἐν τινι τῶν ἱερῶν. ἴσω δὲ καὶ τὸν ἀγωγὸν αὐτὸν ἀνεζήτουν. εὕρηται δὲ ὁ ἀγωγὸς, καὶ ἀντὶ τοῦ ἐπαγωγοῦ, καὶ ἐπὶ τῶν τελωνῶν.

Α' σπὶς, οὐ θυρεός.

Α' ποτετέλεκα, καὶ ἀποτετέλεσμαι. οὐκ ἀπήρτικα, οὐδ' ἀπήρτισμαι, ἀδόκιμα γάρ. ταῦτά τε καὶ τὰ ἐξ αὐτῶν.

Α' λήλιπται, καὶ κατορώρυκται. οὐκ ἤλειπται. οὐδὲ κατώρυκται, ὡς ἀλλότρια ἀττικῶν.

Α' λκαϊκὸν ᾆσμα. οὐκ ἀλκαίκόν. ὡς καὶ φοχαϊκὸν, οὐ φοχαίκόν.

Α' ρτύομαι, οὐκ ἀρτύω.

Α' λινδοῦμαι, οὐκ ἀλινδῶ. εἰ καὶ Λουκιανὸς ἅπαξ ἐχρήσατο.

Α' ικίζομαι ὑπό σου καὶ αἰκίζομαί σε. τὸ δὲ αἰκίζω ποιητικώτερον.

Α' κούσματα κάλλιον, ἢ ἀκροάματα.

Α' κρόασις δὲ οὐκ ἄκουσις. κοινὸν γάρ.

Α' ποφοιτήσομαι κάλλιον, ἢ ἀποφοιτήσω.

Α' πολαύσομαι ἢ ἀπολαύσω.

Α' γνοήσομαι, ἢ ἀγνοήσω. καὶ ἄξομαι, ἢ ἄξω ὡσαύτως καὶ ἐπὶ τῶν ἄλλων τῶν ἐχόντων μέσους μέλλοντας.

Α' νάθημα, οὐκ ἀνάθεμα. εἰ καὶ Φιλόστρατος ἀνάθεμα τῆς Σμυρναίων ἀγορᾶς λέγει.

Α' πεισιν ἀττικοί, οὐκ ἀπελεύσεται. καὶ ἀπῆν, οὐκ ἀπήμην. κοινὸν γάρ.

Α' φανίζεται, ἀντὶ τοῦ ἀπόλλυται καὶ φθείρεται

παντελῶς. ἀφανίζεται, καὶ ἀντὶ τοῦ ἀφανὴς ἐπὶ καιροῦ γίνεται. φιλόστρατος ἐν ταῖς εἰκόσι. οὐχ ὡς ἀπόλλοιντο, ἀλλ᾽ ὡς ἀφανισθεῖεν εἰς μίαν ἡμέραν. καὶ ἀφανίζει τις τόδε, καὶ ἐπὶ τῶν δύο τούτων σημαινομένων.

Ἀ' λλᾶς, οὐκ ἀλλαντοπώλης.

Ἀ' ποσκοποῦμαι κάλλιον, ἢ ἀποσκοπῶ.

Ἀ' ωρὶ νυκτὸς, οὐκ ἀωρίᾳ. λουκιανὸς ἐν δημοσθένους ἐγκωμίῳ. ἀωρὶ τῶν νυκτῶν ἐξαναστάς.

Ἀ' λμάδες ἐλαῖαι. οὐ κολυμβάδες.

Ο ἱ ἅλες καὶ τοὺς ἅλας δεῖ λέγειν. οὐ τὸ ἅλας.

Ἀ' λοάσω, οὐχ ἀλοήσω.

Ἀ' λοᾶν ἀττικοί, οὐχ ἀλοᾶν.

Ἀ' ναβασμὸς, οὐκ ἀναβαθμός. συνέσιος ἐν τῷ δίωνι, ἐν τῷ περὶ τῆς κατ᾽ αὐτὸν διαγωγῆς. ἔπειτα μέντοι, οὐκ ἀναβασμῷ χρῆσθαι, ἀριστείδης ἐν τῷ πέμπτῳ τῶν ἱερῶν. καὶ ἔδει ἀναβαίνειν ἀναβασμοὺς τινὰς πρὸς τὸ ἱερόν.

Ἀ' πέκτονα κάλλιον, ἢ ἀπέκτεινα. ἀπεκτάνκασι δὲ, ἀδόκιμον παντῃ.

Ἀ' νοίγνυμι κάλλιον, ἢ ἀνοίγω.

Ἀ' ναπεμπάζομαι, τὸ ἀναλογίζομαι, ἢ ἀναπεμπάζω. συνέσιος ἐν τῷ περὶ βασιλείας. ἀναπέμπασαι τὸν πατέρα.

Ἀ' νεβαλόμην. οὐχ ὑπερεθέμην. ἀριστείδης ἐν θεμιστοκλεῖ. εἰς τὴν ὑστεραίαν ὡς ἔοικεν ἀνεβάλλου.

Ἀ' νεβαλόμην ἐπὶ μέλους κάλλιον, ἢ ἦσα. ὡς ἀφθόνιος ἐν τοῖς προγυμνάσμασιν. ὁ μὲν τέττιγος μουσικὴν ἀνεβάλλετο σύντονον. ὡσαύτως καὶ ἀνεβαλόμην χιτῶνα, ἢ ἐνέδυν.

Ἀ' οίκητον, τὸ μὴ οἰκούμενον. ἄοικον δὲ, τὸ μὴ οἶκον ἔχον, ἐν τῷ παναθηναϊκῷ ἀριστείδης. οὐ γάρ ἐστιν ἔθνος ὃ τῆς δὲ τῆς πόλεως ἀπείρατόν ἐστιν. οὐδὲ ἄοικον ἐπὶ καιρόν.

Ἀ' ξιῶ, τὸ ἄξιον κρίνω. οὐ καταξιῶ.

Ἀ' θρόος ἀττικοί, οὐχ ἄθρους. ἄθρους δὲ ὁ μὴ θόρυβον ποιῶν, δόκιμον. λουκιανὸς ἐν δευτέρῳ τῶν ἀληθινῶν. οὐ βοὴ σύμμικτος ἐφέρετο ἄθρους. καὶ ἀντίξοος, οὐκ ἀντίξους.

Ἀ' ναψυχθῆναι καὶ ἀναψυχῆναι. οὐκ ἀναψυγῆναι, οὐδ᾽ ἀναψύξαι.

Ἀ' ναπετῶ, ἀντὶ τοῦ ἀναπετάσω ἀττικοί. τὸ δὲ ἀναπετάσω, ἁπλῶς ἕλληνες.

Ἀ' ντιγέγραφα κάλλιον, ἢ ἀντιγέγραφεν. λιβάνιος ἐν ἐπιστολῇ. ἐμοὶ μὲν οὖν συναιροῦντα ἥκει, τὰ τῆς ἐπιστολῆς ἀντιγέγραφα.

Ἀ' σβόλος καὶ αἴθαλος, οἱ δόκιμώτατοι. οὐκ ἀσβόλη οὐδὲ αἰθάλη.

Ἀ' πόδομαι ἀττικοί οὐκ ἀπεδωκάμην.

Ἀ' πολλοὺς, οὐκ ἀπολλύων.

Ἀ' σελγὲς, ἐπὶ ἀρσενικοῦ. ἐπὶ δὲ θηλυκοῦ, οὐκέτι.

Ἀ' μυγδάλαι, ἐπὶ τῶν καρπῶν. οὐκ ἀμύγδαλα. ἀμυγδαλαῖ δὲ, τὰ δένδρα.

Ἀ' λλοθι, ἄλλοθεν, ἄλλοσε, δόκιμώτερα ἢ ἀλλαχόθι, ἀλλαχόθεν, ἀλλαχόσε.

Ἀ ὔξω, καὶ αὐξάνω. ἀττικοί. οὐκ αὐξύνω, οὐδὲ αὐξάνω. ἀριστείδης ἐν τῷ αἰγυπτίῳ, ἀλλ᾽ ἐν αὔξῃ, καὶ φθίσει ῥέων ὁμαλῶς. ἐπὶ δὲ πληθυντικοῦ, αὐξήσεις αἰσθήσεις.

Ἀ' πήλαξεν ὁ δεῖνα τῶν κακῶν κάλλιον λέγειν, ἢ ἀπηλλάγη. καὶ ἀπαλλάξοντες, ἢ ἀπαλλάξειν μέλλοντες. θουκυδίδης. ἀπαλλάξοντες δὲ, καὶ τοῦ μηδικοῦ πολέμου. ὡσαύτως καὶ ἐπὶ τοῦ γελασείοντες, καὶ τῶν ὁμοίων. καὶ ἀπαλλάττω τὸν δεῖνα μέμψεως, ἤτοι ἐλευθερῶ. καὶ ἀπαλλάττω, τὸ ἐπαίρω καὶ ἀφίστημι. ἀριστείδης ἐν τῷ πρὸς ἀθηναίους ὑπὲρ τῆς πρὸς λακεδαιμονίους εἰρήνης. ὅτε παυσανίαν μὲν ἀπαλλάξαντων, ἡμᾶς δ᾽ ἑλομένων συνεχώρησαν αὐτοί. καὶ ἐν τῷ πρὸς θηβαίους περὶ τῆς συμμαχίας πρώτῳ. λακεδαιμονίων ὑπὸ αὐτὸν δοὺς ἀπηλλάξαμεν.

Ἀ' ρσὶν ἀττικοί οὐκ ἀρσενικόν.

Ἀ' τεργος, οὐκ ἀνέργαστος.

Ἀ' λεῖς, οὐχ ἁλιεῦσι.

Ἀ' πείρατος κάλλιον, ἢ ἄπειρος. καὶ ἐπὶ τῶν τεσσάρων γλωσσῶν. ἀριστείδης ἐν τῷ παναθηναϊκῷ. ὡς προσεκτίθεται ὃ τῆς πόλεως ἀπείρατόν ἐστιν.

Ἀ' νθρωπεία φύσις, οὐκ ἀνθρωπίνη.

Ἀ' δολέσχης, οὐκ ἀδόλεσχος.

Ἀ' μβλυωπεῖν, μὴ εἴπῃς, ἀμβλυώττειν δέ.

Ἀ' θήναζε κάλλιον, ἢ εἰς ἀθήνας. ἀθήνηθεν, οὐκ ἐξ ἀθηνῶν. ἀθήνησιν, οὐκ ἐν ἀθήναις. καὶ ἀπεπαύθην, ἢ ἀπεῖπον.

Ἀ' νυπόδητος οὐκ ἐρεῖς. ἀνυπόδυτος δέ.

Ἀ' ποκτεῖναι βέλτιον, ἢ ἀποκτείνειν.

Ἀ' νίστω, ἀττικοί, οὐκ ἀνίστασο. λιβάνιος ἐν μελέτῃ, τῇ ἔχων τις γυναῖκα καὶ ὑπὸ πατρὶ, ἀνίστω φησὶν ὦ κακόδαιμον.

Ἀ' χθέσομαι κάλλιον, ἢ ἀχθεσθήσομαι. ὡσαύτως καὶ ἐπὶ τοῦ ἀχθεσόμενος.

Ἀ' νάπτειν, οὐκ ἄγναφον. ὥσπερ καὶ κναφεὺς, οὐ γναφεύς. συνέσιος ἐν ἐπιστολῇ τινι. ὥσπερ ἄλλοτε πολλάκις, ἦν οἱ κναφεῖς ἐπὶ τοῖς ἱματίοις τοῖς πιναροῖς. καὶ πάλιν ἐν τῇ αὐτῇ. τί αὖ δεῖ πάσχειν αὐτὰ λακτιζόμενα καὶ νιβόμενα, καὶ πάντα τρόπον κναπτόμενα.

Ἀ' πόλλω ἀττικοί, οὐκ ἀπόλλυμι. ἀριστείδης ἐν τῷ παναθηναϊκῷ. καὶ τὸν παρθένον ἀπόλλω τῇ πόλει.

Ἀ' χρι καὶ μέχρι, θουκυδίδης ἀεὶ λέγει. οὐ μόνον ἐπαγομένου συμφώνου, ἀλλὰ καὶ φωνήεντος. οἱ δ᾽ ἄλλοι, ἐπαγομένου μόνου φωνήεντος, καὶ μετὰ τοῦ σ. καὶ χωρὶς τοῦ σ. γράφουσι. οἷον, ἄχρις οὗ, καὶ ἄχρι οὗ,

Κ αἰ ἀσταφίς, οὐ σταφίς.

Ἀ' ρύτομαι κάλλιον, ἢ ἀρύομαι. ἀριστείδης ἐν τῷ εἰς τὸ φρέαρ τοῦ ἀσκληπιοῦ. μάλα ἀκμῆτας ἔξεστι δεῖ τοὺς ἀρυτομένους καὶ κάμνοντας.

Κ αἰ ἁρμόττω, ἢ ἁρμόζω.

Ἀ' ποδρὰς,

Α' ποδρᾶσαι, οὐκ ἀποδιδρᾶσαι, ὡσαύτως καὶ ἀπέδραν, καὶ ἐπὶ πρώτου τῶν ἑνικῶν, καὶ ἐπὶ τρίτου τῶν πληθυντικῶν. οὐκ ἀπέδρων. σοφοκλῆς ἐν αἴαντι. ἀλλ' ὅτε γὰρ τοσόνδ' ἐμοὶ ἀπέδραν.

Α' νέστησα τεῖχος, ἢ ἀνήγειρα. καὶ ἀνῳκοδόμησα. καὶ ἀνέστησα δῆμον. ἤγουν, ἀνάστατον ἐποίησα. ἀριστείδης ἐν τῷ παναθηναϊκῷ. σκιωναίους μὲν ἀνέστησαν. καὶ ἀνέστησα τὸν δεῖνα ἐπὶ ἔργον. καὶ ἀνέστην ἐπὶ δεῖπνον. οἱ δὲ ἐπὶ τοῦ ὕπνου τὸ ἀνέστην καὶ ἀνέστησα λέγοντες, ἁμαρτάνουσι. δεῖ γὰρ ἐξήγειρα. καὶ ἐξηγέρθην λέγειν.

Α' πομάχομαι, δοκιμώτερον, ἢ μάχομαι.

Κ αἰ ἀποκνῶ, ἢ ὀκνῶ.

Κ αἰ ἀποδειλιῶ, ἢ δειλιῶ.

Α' φετηρία καὶ βαλβίς. οὐχ ὕσπληξ. ποιητικὸν γὰρ τοῦτο.

Α' μφορεὺς λέγε, μὴ στάμνος. μὴ δὲ μετρητὴς, εἰ καὶ ἔτι νῦν.

Α' μφιέτης. ἀντὶ τοῦ ἐτήσιος. ἔστι δὲ, ἀντὶ τοῦ, κατ' ἐνιαυτόν.

Ω' σαύτως καὶ ἀφημερινὸν, οὐ καθημερινόν.

Α' θλιος κάλλιον, ἢ ἀτυχής. τὸ δὲ ἀτυχὴς ἐπαινῶν ἀντὶ τοῦ ἀμέτοχος, κάλλιον. ὡσαύτως καὶ τὸ, δυστυχὴς ἐπαίνων.

Ε' στι δὲ καὶ τὸ, ἀδωρότατος χρημάτων κρεῖττον, ἢ ἀδωρότατος μόνον. θουκυδίδης ἐν τῇ δευτέρᾳ. χρημάτων δὲ διαφανῶς ἀδωρότατος γενόμενος.

Α' ποχωδιάζω. αὐτοσχεδιάζω. καὶ σχεδιάζω.

Α' κισμὸς, ὁ λεγόμενος ἰδίωμα. ἤτοι ἡ προσποίησις.

Κ αἰ ἀκκίζομαι, τὸ προσποιοῦμαι. λιβάνιος ἐν ἐπιστολῇ, εἰ καί τινα ἀκκισμὸν ἐμοὶ φέρει. συνέσιος ἐν ἐπιστολῇ, τῇ ὀδυσσεὺς ἐπειδὴ τὸν πολύφημον. σὺ δὲ ἀκκίῃ καὶ κατειρωνεύσῃ.

Α' μωγέπη κάλλιον, ἢ ἁμόθεν γέπως. δηλοῖ δὲ, τὸ καθ' ἕνα τινὰ τρόπον. ἀμῶς γὰρ, τὸ τὶς κατὰ γλῶσσαν. ὅθεν καὶ τὸ οὐδαμῶς.

Α' γώγιμα κάλλιον, ἢ φορτία. εἰσὶ δὲ καὶ ἀγώγιμα, οὐ μόνον τὰ φορτία, ἀλλὰ καὶ τὰ ἁπλῶς κομιζόμενα. συνέσιος ἐν τῇ αὐτῇ ἐπιστολῇ. πολλαῖς ἴυγξι γενομένην ἀγώγιμον. καὶ πάλιν ἐν ἐπιστολῇ, τίνα τὰ ἀπὸ πτολεμαΐδος ἀγώγιμα.

Α' ποπεφθάρηθί μου λέγουσιν ἀττικοὶ, οὐκ ἀπαλλάγηθί μου. δηλοῖ δὲ, τὸ μετὰ φθορᾶς ἀπόστηθί μου.

Ο ὐκ ἐρεῖς. ἀπηγορευμέναι ἡμέραι, ἀλλὰ ἀποφράδες μόνον. εὕρηται δὲ καὶ ἐπὶ ἀρσενικοῦ παρὰ συνεσίῳ. ἐν ἐπιστολῇ. ἀποφρὰς ἄνθρωπος. ἤτοι ἀποτρόπαιος καὶ ἀπηγορευμένος.

Α' ργυραμοιβός. οὐ κολλυβιστής. δηλοῖ δὲ τὸν ἰδιωτικῶς λεγόμενον, καταλλάκτην. ὃν καὶ ἀργυρογνώμονα λέγουσιν. ἤγουν, τὸν τὰ ἀργύρια συνιέντα καὶ δοκιμάζοντα. λιβάνιος ἐν τῇ μελέτῃ, τῇ περὶ τῆς λάλου γυναικός. τὸν ἀργυρογνώμονα συκοφαντεῖσθαι λέγουσιν.

Α' νω, ὡσαύτως καὶ κάτω. ἔξω. πόρρω. δεῦρο. ὧδε. τῆδε. καὶ ὅσα τοιαῦτα, ποτὲ μὲν ἐπὶ στάσεως τίθεται. ποτὲ δὲ ἐπὶ κινήσεως. ἔτι δὲ καὶ τὸ ἐνταῦθα. δηλονότι, ἐνταῦθα διάγω. καὶ ἐνταῦθα ἀφικόμην. τὸ δὲ αὐτόθι ἀεὶ ἐπὶ στάσεως.

Α' νειμένον, τὸ ἀπολελυμένον, καὶ ἐλεύθερον. καὶ ἀνειμένον, τὸ ἀνατεθειμένον. ἀριστείδης ἐν τῷ παναθηναϊκῷ. ἀλλὰ καὶ δῆλος ἀνεῖται τοῖς θεοῖς.

Μ ἢ εἴπης ἀλφιτοπώλης, ἀλλὰ ἀλφιταμοιβός. ἀριστοφάνης, ἐν νεφέλαις. ὑπ' ἀλφιταμοιβοῦ, παρεκόπην διχοινίκῳ.

Α' λουργὸν, τὸ πορφυροῦν. λιβάνιος ἐν τῷ ὑπατικῷ. ἐν θρόνοις βασιλικοῖς. ἢ τοῖς ἁλουργοῖς ἐσθήμασιν.

Α' ξιώτερον εἴπης, σὺ πλείονος τιμῆς ἄξιον. κοινότερον γάρ. οὐδὲ βελτιότερον. ἔστι δὲ καὶ ἀξιώτερον τὸ δικαιότερον. ἔσθ' ὅτε κρεῖττον, τοῦ δικαιοτέρου. ἰστέον δὲ ὅτι ἐπὶ τῆς αὐτῆς σημασίας, τὰ ἁπλᾶ καὶ ἄμφω δόκιμα. δηλονότι, ἄξιος ἐγκωμίων. καὶ δίκαιος ἐγκωμίων.

Α ὐτοδικεῖν λέγε, οὐκ αὐθεντεῖν. κοινότερον γάρ.

Α' φυπνίζω, καὶ διϋπνίζω. οὐκ ἐξυπνίζω.

Α' γχει κάλλιον, ἢ πνίγει.

Α' ναρριχᾶται. ἀττικόν. δηλοῖ δὲ, τὸ ταῖς χερσὶ καὶ τοῖς ποσὶν ἀντεχόμενον, ἀναβαίνειν. γράφεται δὲ διὰ δύο ρ.

Α' νακραγεῖν κάλλιον, καὶ ἐκκραγεῖν, ἢ ἀναφωνῆσαι. συνέσιος ἐν ἐπιστολῇ. τῇ δαίμονα μεγάλην τῶν αἰγυπτίων. καὶ τοῦτον πόρρωθεν ἐγκραγόντα.

Α' πάτη καὶ ἐξαπάτη. καὶ ἀπατῶ. καὶ ἐξαπατῶ.

Α' λεξητὴς κρεῖττον, ἢ ἀποτρεπτικός.

Α' ναθεῖναι τὸν φόρτον, οὐκ ἐπιθεῖναι. ἀριστείδης ἐν τετάρτῳ τῶν ἱερῶν. μὴ κρείσσως νόμῳ τὴν ἀρχὴν ἐπιτηδείως. καὶ ἀναθεῖναι. ἀντὶ τοῦ ἀφιερῶσαι, ὁ αὐτὸς ἐν τῷ αὐτῷ. ἔδοξε χρῆναι, ἀναθεῖναι τρίποδα ἀργυροῦν.

Α' νικμὸν λέγεται ἐπὶ ὑγροῦ, μὴ ἀνελκεῖν.

Α' νθοσμίας οἶνος, οὐχ εὔοσμος.

Α' νεμιαῖον, οὐχ ὑπηνέμιον.

Τ ὸ ἄττα ἀντὶ τοῦ ὅτινα, ἐν ἀρχῇ κώλου μόνον εὕρηται, προϋπάρχοντος τοῦ ὀνόματος ἐν τῷ πρὸ αὐτοῦ κώλῳ. ἐφ' ᾧ ὀνόματι τοῦτο ἐπιφέρομεν. δηλονότι, πάντα ποιῶ ἅττα ἂν βούλωνται. τὸ δὲ ἄττα ἀντὶ τοῦ τινὰ καὶ προηγεῖται τοῦ ὀνόματος ἅπαξ ἐν τῷ αὐτῷ κώλῳ, καὶ ἕπεται ἀεί. ἕπεται μὲν, ὡς τὸ ἕτερ' ἄττα. καὶ πόσ' ἄττα. προηγεῖται δὲ, ὡς ἔχει τὸ τοῦ πλάτωνος ἐν τῷ φαίδωνι. ἦν γὰρ δὴ ἄττα τοιάδε. ἀντὶ τοῦ, τοιαῦτά τινα.

Α' μφιγνοῶ, κάλλιον, ἢ ἀμφιβάλλω. πλάτων ἐν γοργίᾳ. ἀμφιγνοῶ μέντοι ὦ πῶλε, ἐφ' ἑκάστου ὧν λέγεις.

Α' μφηλικέστερα, οὐ πρεσβύτερα. εὕρηται δὲ καὶ ἐπὶ τοῦ νεωτέρου. πλὴν, οὐ παρὰ τοῖς δοκίμοις. καὶ ἀμφῆλιξ, ὁ ἔξω τῆς ἡλικίας ὤν. γέρων ὁ πρεσβύτερος. ἀριστείδης ἐν τῷ παναθη-

ναι κῷ. παῖδας δὲ καὶ γυναῖκας, καὶ τοὺς ἔξω τῆς ἡλικίας.

Α' πείρηται κάλλιον, ἢ ἀπηγχόνισται.

Α' ηρ' ἐξ ἐλάβετο λέγε, ἀλλὰ μὴ ἀμφοτέραις χερσὶ, καὶ διόλου.

Α' φροντιστεῖν, καὶ ἀφροντίστως ἔχειν, οἱ δόκιμοι. οὐκ ἀμβριμᾶσθαι. οὐδ' ἀμβριμάτως ἔχειν. ἀπορριμβρίμως δὲ ἀντὶ τοῦ ἀσκέπτως, παρ' ἀριστοφάνει ἐν νεφέλαις. ἀπορριμβρίμως τὴν θύραν λελάκτικας.

Α' τιὲς ἦθος λέγειν κάλλιον, ἢ σκληρὸν, καὶ ἄκαμπτον. πλούταρχος ἀτενοῦς εἴδους. τοῦτ' ἔστω γε τί θημου. καὶ ἀτενὲς καὶ ἀτενῶς, ἐπιρρήματα, ἀντὶ τοῦ ἀφρόντιστως καὶ διόλου. λουκιανὸς ἐν τοῖς δὶς κατηγορουμένοις. ἐπεὶ ἐδόκει μοι ἀμαθὴς εἶναι καὶ ἀτενὲς ὁρᾶν εἰς ἐμέ.

Α' ταναισχυντῶ, καὶ ἀπαναισχυντοῦμαι ἀττικοὶ, οὐ χωρὶς τῆς προθέσεως.

Α' ναδύσασθαι, οὐκ ἀναμβρίσασθαι. καὶ ἀναδασμὸς, οὐ μβρισμός.

Α' λεῖν οὐκ ἀλήθειν. ἀριστοφάνης ἐν νεφέλαις. ὥσπερ εἰ κέγχρους γυναῖκ' ἀλοῦσαν. καὶ

Α' ναλέγομαι, καὶ ἐκλέγομαι, πλάτων ἐν γοργίᾳ. οὐκ εἰκῆ ἐκλεγόμενος προσφέρει. ἐκλέξω δὲ, ἀριστείδης ἐν τῷ παναθηναϊκῷ. οἶμαι μὲν οὖν εἰ καὶ ταῦτα μόνα ἐκλέξαιο ἐπιπαρώμην. ὡσαύτως δὲ καὶ ἀπολέγω. ἡρόδοτος ἐν τῇ τρίτῃ. καὶ ἄλλας παρθένους ἀπολέξας ἀνδρῶν τῶν πρώτων. καὶ ἐπιλέγομαι, τὸ αὐτό. καὶ τὸ ἀναγινώσκω. λουκιανὸς ἐν τῷ φιλοψευδεῖ. ἢ ἀπιστῶν ἐπιλεγόμενος τῶν τεθνεώτων τὰ ὀνόματα. ἀναλέγων δὲ, θουκυδίδης μόνος φησὶν, ἀντὶ τοῦ ἀπαγορεύων.

Α' φίσταμαι τῷ δεῖνι, τοῦδε κάλλιον. ἢ παραχωρῶ. ὅθεν ὥσπερ λέγεις τοσοῦτον αὐτῷ τὸ παρὰ πάντων συγκεχωρηκὸς ἐν ἅπασιν, οὕτω λέγε. τοσοῦτον αὐτῷ, τὸ παρὰ πάντων ἀφεστηκὸς ἐν ἅπασιν.

Ο ὐ λέγουσιν οἱ κυρίως ἀττικοὶ, ἄρσενα, ἀλλ' ἄρρενα.

Α' νεῖλεν ἀντὶ τοῦ ἐφόνευσε, καὶ λογογράφοι καὶ ποιηταί. ἀντὶ δὲ τοῦ ἔλαβε, ποιηταὶ μόνοι. καὶ θουκυδίδης ἅπαξ. σοφοκλῆς ἐν αἴαντι. δύο δ' ἀργίποδας κριοὺς ἀνελών. τοῦ μὲν κεφαλὴν καὶ γλῶσσαν ἄκραν ῥιπτεῖ θερίσας. θουκυδίδης ἐν τῇ πρώτῃ. τῶν τεθνεώτων τὰ ὀστᾶ ἀνελόντες ἐξέβαλον.

Α' ναιλόμενος δὲ ἀντὶ τοῦ ἀνέλαβεν, λογογράφοι. ὡς τὸ ἀνελόμενος τὰ χρήματα. πάλιν ἀνεῖλεν, ἀντὶ τοῦ ἐξέβαλεν. ὡς τὸ ἀνεῖλε πᾶσαν αἰτίαν. καὶ ἀντὶ τοῦ ἐμαντεύσατο. λιβάνιος ἐν τῷ πρεσβευτικῷ πρὸς ἀχιλλέα. ὁ δὲ ἀνεῖλε, παρὰ τῷ βλάσαντι καὶ τὴν ἴασιν ζητεῖν.

Α' σαύτως καὶ ἀναιρῶ, οὐ μόνον τὸ φονεύω, ἀλλὰ καὶ τὸ μαντεύομαι. πλάτων ἐν τινι τῶν πολιτειῶν. τό τε δεῖν ποιεῖν, ἐὰν καὶ ἡ πυθία συναναιρῇ. καὶ ἀναιροῦμαι, οὐ μόνον τὸ φονεύομαι, ἀλλὰ καὶ τὸ ἀναλαμβάνω, καὶ τὸ ἀνέλκω, ὡς τὸ, καὶ ἀναιρεῖται τὸν βωμὸν βαρὺ στενάξας. καὶ τὸ, πάντας εἰς ἔπαινον ἀνήρηται. καὶ ἀναιροῦμαι τὸ, μαντείαν δέχομαι. ἀριστείδης. πῶς οὐκ εὔλογον ἐκ προχείρου παρὰ θεοῦ κριτῇ σοφώτατον ἀνῃρῆσθαι. ὅτι μεμαντεῦσθαι.

Α' μαθῶς, οὐ μόνον ἀντὶ τοῦ ἀνεπιστήμως, ἀλλὰ καὶ ἀντὶ τοῦ ἀνεξετάστως. ἀριστείδης. ἀμαθῶς εἰσὶ παρεξαποχωρεῖν τοῖς πρεσβυτέροις.

Κ αὶ ἀληθεύω καὶ ἀληθίζω, ἡρόδοτος ἐν τῇ πρώτῃ. ἱππεύειν καὶ τοξεύειν καὶ ἀληθίζεσθαι.

Κ αὶ ἀτρεμῶ, καὶ ἀτρεμίζω. ἀριστείδης ἐν τῷ παναθηναϊκῷ. ὑπέρχεσθαι ἀτρεμιζούσῃ τῇ ψυχῇ, καὶ τοῖς λογισμοῖς ἑστῶσιν.

Α' νέχω τὸν δεῖνα, ἤγουν ἀνακτέρω. καὶ ἀνέχω, τὸ ἄνω ἵσταμαι. ἀριστείδης ἐν τῷ παναθηναϊκῷ. τῇ τρίτῃ δὲ, καὶ ἀκόλουθος τούτων ἀνέχει περιφανὴς ἄνω. καὶ ἀνέχω, τὸ ἀναφέρομαι, καὶ ἀνακουφίζομαι, οὐ μόνον ἐπὶ ὕδατος τιθέμενον, ἀλλὰ καὶ ἐπὶ ἄλλων ἁπλῶς, ὡς ὁ αὐτός. τὸν δ' ἐπὶ τῶν λόγων ἀνέχοντας.

Α' ποκείνασθαι, τὸ ἀπολογήσασθαι. ἀποκεκρίναι δὲ τὸ χωρισθῆναι. οὐ γὰρ εὕρηται ὅλως παρὰ ῥήτορσι τοῦτο, ἀντὶ τοῦ ἀπολογήσασθαι. ἀποκείνω δὲ τὸ ἀποσκυβαλίζω. καὶ ἀποκείνω, τὸ χωρίζω. ὁ αὐτὸς ἀριστείδης. ὧν ἀποκεῖναι, τοὺς ἑταίρους οὐκ ἔστιν.

Α' παρκεῖ κάλλιον, ἢ ἀρκεῖ. σοφοκλῆς. ἀπαρκεῖ αὐτοῖς ἐμοί.

Α' νδρόγυνος ἐρεῖς, οὐ γύνις.

Α' γεται γυναῖκα, οὐκ ἄγει. ἤγουν λαμβάνει. καὶ ἄγεται δὲ, καὶ ἄγει ἀντὶ τοῦ φέρει. πλάτων ἐν τῇ ἀπολογίᾳ σωκράτους. ᾤχετο εἰς σαλαμῖνα, καὶ ἤγετο λέοντα.

Α' πέχω τὴν χάριν κάλλιον, ἢ λαμβάνω. συνέσιος ἐν ἐπιστολῇ. ἀπέχω τὴν χάριν. κορινθίας ἱκέτης

Α' υθέκαστος, ὁ ἰδιορρυθμος. λουκιανὸς (μυγίγονε. ἐν τῷ φάλαριδι πρώτῳ. βίαιον δὲ, ἢ σκαιὸν, ἢ ὑβριστικὸν, ἢ αὐθέκαστον, οὐδεὶς ἀπηγγέλλομεν.

Α ὐτὸς, οὐκ αὐτότατος. εὕρηται κἂν τοῦτο παρ' ἀριστοφάνει ἐν πλούτῳ, ὥσπερ καὶ ὁ μονώτατος.

Α' παυθαδίζομαι κάλλιον, ἢ αὐθαδιάζομαι, καὶ ἀπαυθαδιάζομαι.

Α' ντὶ τοῦ τὸν αὐτοκράτορα κάλλιον λέγειν, ἢ ἀν

Κ αὶ ἀνερρήθη, ἢ ἀνηγορεύθη. ἔστι (κηρύσσουσι δὲ τὸ ἀνεῖπε, καὶ ἀντὶ τοῦ ἁπλῶς ἀνεβόησε. θουκυδίδης ἐν τῇ δευτέρᾳ. καὶ ἀνεῖπεν ὁ κῆρυξ. λαμβάνεται δὲ καὶ ἐπὶ ἐξεπαγγελίας χρησμῶν, ἢ

Τ ὰ δεινότατα τούτοις ἀνατεινάμενος (μυστικεύοντος κάλλιον εἰπεῖν, ἢ ἀπειλήσας. ὡσαύτως καὶ ἀνατεινάμενος ῥόπαλον, ἢ ἀνασχών. καὶ ἀναδησάμενος, ἢ ἀναρτήσας. ἀριστείδης. ὦ πάντας ἤδη θεὸς ἀνακλείεται. καὶ πάλιν, πάντας τοῖς λόγοις ἀναδησάμενος, καὶ ἀναδῶν, ἢ στεφανῶν. ἀριστοφάνης ἐν πλούτῳ. λήρεις

τῳ. λήρεις

πω. λύρεις ἀνάδων τοὺς νικῶντας, ὃν πλεῖστον ἐᾷ παρ' ἑαυτῷ. ὅθεν καὶ ἀνάδημα ὁ στέφανος. λιβάνιος ἐν τῷ ὑπατικῷ. τὴν κεφαλὴν σου παρὰ τῶν κρειττόνων ἄγεσθαι πρὸς ἀνάδημα. καὶ ἀναδούμενος, ὁ ἐξάπτων. θουκυδίδης. καὶ τινας ἀναδούμενοι κατὰ ὄλκον.

Α πόζειν, οὐκ ἐστὶ σωματίως ζῆν. κοινότερον γάρ.

Α γάλλω καὶ ἄλλισι, ἢ λαμπρύνω. ἀριστείδης ἐν τῷ ἐπὶ ἀπελλᾷ γενεθλιακῷ. ὃς δ' αὖτις ἀγάλλει τὴν δὲ τὴν ἡμέραν. καὶ ἀγάλλομαι, ἢ λαμπρύνομαι. θουκυδίδης. καὶ τοῖς ἄλλοις εἰς ὁ πόλεμος ἀγάλλεται. ἐστι δὲ ἀγάλλομαι, καὶ ἀντὶ τοῦ χαίρω.

Α ἴσχιον οὐκ αἰσχρότερον. ἀριστείδης ἐν λευκτρικῷ τετάρτῳ. καὶ τί γένοιτ' ἂν αἴσχιον. καὶ αἰσχυντηρὸς. οὐκ αἰσχυντηλός. πλάτων ἐν γοργίᾳ. αἰσχυντηροτέρῳ μᾶλλον τοῦ δέοντος.

Α τερος, οὐ θάτερος. βάρβαροι γάρ, ἃ καὶ λυκόφρων καὶ τινες ἄλλοι οὕτω γεγράφουσιν. ὁ ἕτερος γάρ ἐστι. καὶ κατὰ κρᾶσιν, ἅτερος. οὐκ ἔχει οὖν χώραν ἐνταῦθα τὸ θ, ὥσπερ ἐπὶ τῶν ἄλλων πτώσεων. ἐκεῖ γὰρ τὸ τοῦ ἄρθρου τ, εἰς θ τρέπεται. οἷον θατέρου. καὶ θατέρῳ. ἐπὶ δὲ τῶν ἄλλων αὖθις πτώσεων, ἔνθα μεσοσυλλαβοῦν ἔχει σύμφωνον, ν λέγω ἢ σ, οὐ γίνεται ἡ τοιαύτη συναλοιφή. διὸ τὸν ἕτερον. τοῖν ἑτέροιν. τῶν ἑτέρων. τοῖς ἑτέροις, τοὺς ἑτέρους. ἅτεραι δὲ ὡσαύτως καὶ ἐπὶ θηλυκοῦ ἁτέρα, οὐ θατέρα. ἀλλ' ἐπὶ δοτικῆς θατέρᾳ. καὶ ἅτεραι ἐπὶ πληθυντικοῦ. ὁ αὐτὸς δὲ λόγος, καὶ ἐπὶ τοῦ οὐδετέρου, ἐν ἔφαμεν ἐπὶ τοῦ ἀρσενικοῦ.

Α σύνετος, ὁ μὴ νοῶν καὶ ὁ μὴ νοούμενος. ὡσαύτως συνετὸς, καὶ ὁ νοῶν, καὶ ὁ νοούμενος. τοῦ δευτέρου μαρτυρία παρὰ συνεσίῳ. οἷον, οὐ γὰρ ἅπασαν ἡ πυθία φθέγγεται συνετά. καὶ παρὰ λιβανίῳ ἐν τῷ περὶ τῆς ἑαυτοῦ τύχης. κεκρατῆσθαι τῇ βαφῇ καὶ φιλαγρίου. λόγων ἢ μήν γε, οὐ συνετὰ λέγων.

Α μεμπτος, καὶ ὁ μὴ μέμψιν δεχόμενος, καὶ ὁ μὴ μεμφόμενος τινί. τῷ δευτέρῳ δὲ χρῶνται κυρίως οἱ ἀττικοί. ὡσαύτως οὖν καὶ ἀθέατος, ὁ μὴ βλέπων κρεῖττον. ἢ ὁ μὴ βλεπόμενος τινί. λιβάνιος ἐν τῷ περὶ τῆς ἑαυτοῦ τύχης. ἀθέατος ἡμεῖς μονομαχιῶν ἐκείνων.

Α νανεοῦμαι τῇ μνήμῃ τό δὲ κάλλιον λέγειν, ἢ εἰς μνήμην λαμβάνω. ὁ αὐτὸς λιβάνιος ἐν τῷ περὶ τῆς ἑαυτοῦ τύχης. ἀνανεοῦμαι τῇ μνήμῃ τὴν ὀρθείαν τὴν ἐκείνου. καὶ ἀνανεοῦμαι τὴν οἰκίαν, ἤγουν, ἀνακαινίζω. ἀνανεῶ δὲ ἐπὶ ἐνεργητικοῦ, ἀδόκιμον.

Α πὸ τοῦ διακειμένου ὁ μελετῶν τις λέγεται. ἤγουν κατὰ φύσιν καὶ ὡς διάκειται. φιλόστρατος ἐν ἀπὸ τοῦ διακειμένου καὶ ἵλεω ἀκροασάμενος. ὡσαύτως ἐπὶ τῆς αὐτῆς σημασίας λέγεται. καὶ τὸ ἀπὸ τοῦ ἐπιτηδευμένου καὶ πεφυκότος.

Α κριθόπλεξ, οὐκ ἀκριθόπλεξ.

Α ρτι ἄρξω, οὐκ εἴποις, ἀλλὰ ἄρτι ἔρχομαι. καὶ ἄρτι ἀφικόμην.

Α μύνομαι, οὐκ ἀμυνῶ δέ.

Α πολείπει ἡ γυνὴ τὸν ἄνδρα. ἀριστοφάνης ἐν νεφέλαις. ἀπολιποῦσα γὰρ αὐτὴν ᾤχετο. ἐκβάλλει δὲ ὁ ἀνὴρ τὴν γυναῖκα. λιβάνιος ἐν μελέτῃ τῆς λάλου. ἔκβαλλε τὴν γυναῖκα.

Α ποκρίνεται ὁ ἐρωτώμενος. ἀπολογεῖται δέ, ὁ κατηγορούμενος.

Α σπαίρω ἀττικοί. οἱ δὲ ἄλλοι, σπαίρω.

Α νώγειν ἐπὶ μὲν παρατατικοῦ, ἀντὶ τοῦ ἤνοιγεν. ἀριστείδης ἐν τῷ παναθηναϊκῷ. ἱερά τε γὰρ πάντα ἀνέῳγε καὶ τὰ τῶν ἱερέων γένη συνῆγε, καὶ διεπρεσβεύετο πρὸς τοὺς θεοὺς τὸν ἀρχαῖον τρόπον καὶ δημοσθένης. ἢ γράμματα ἔκλεπτον, ἢ ὑπανέῳγεν. ἀπὸ γὰρ τοῦ ἀνοίγω, ἀνέῳγον, ἀνέῳγες, ἀνέῳγεν. ἐπὶ δὲ μέσου παρακειμένου τὸ ἀνέῳγεν, ἀντὶ τοῦ ἠνεῴχθη. ἀνοίγω γὰρ ἀνοίξω. ἀνέῳχα ἀνέῳγα ἀνέῳγας ἀνέῳγε. συνέσιος ἐν ἐπιστολῇ τῇ ἀγαθὸν πεποιθέναι ἐπὶ κυρίου. τίνες ἀνέῳγε τοῖς λῃσταῖς ἀνεῳγότα. λουκιανὸς ἐν τῷ μίκυλος, ἢ ἀλεκτρυών. καὶ ἐν διατριβῇ, ἀνεῳγόσι τοῖς ὀφθαλμοῖς. καὶ ἐν τῷ χάρωνος καὶ ἑρμοῦ διαλόγῳ. ὡς ἐπιπλάσαι τοῦ σκαφιδίου τὰ ἀνεῳγότα. ὡς τι ἁμαρτάνει φρύνιχος διισχυριζόμενος εἶναι τὸ ἀνέῳγε, καὶ ἀντὶ τοῦ ἤνοιξεν, ὅπερ ἀδύνατον. ἀντὶ γὰρ τοῦ ἀνεῴχθη καὶ ἤνοιγεν, ὡς ἔφημεν λαμβάνεται. ἐστι δὲ τὸ μὲν ἤνοιγε καὶ ἠνεῴχθη, κοινά. τὸ δὲ ἀνέῳγεν ἀττικοί. ὅτι δὲ καὶ τὸ ἀνέῳξε κάλλιστον, ἀριστοφάνης ἐν πλούτῳ. εἶτ' ἀνέῳξε με φθάσας. καὶ λιβάνιος ἐν ἐπιστολῇ τῇ, σοὶ δῶρον μὲν ἐστι κρέας. ἀνέῳξε γάρ τις ξένος τὴν οἰκίαν. καὶ θουκυδίδης ἐν τῇ δευτέρᾳ. καὶ ἀνέῳξαν τὰς πύλας πλαταιέων ἄνδρες. σημειωτέον δὲ καὶ οὕτω τὸ ἀνέῳγεν, ἀντὶ τοῦ ἠνεῴχθη ἅπαξ εὑρίσκεται.

Ο ὐ μόνον ἄκρα πόλις ἡ ἀκρόπολις, ἀλλὰ καὶ ἀκρεμόνες.

Α ξιῶ, τὸ παρακαλῶ. τὸ ἄξιον κρίνω. καὶ τὸ τιμῶ. ἀφ' οὗ καὶ ἀξιούμενος, ὁ τιμώμενος. εὐριπίδης ἐν ἑκάβῃ. τύμβον δὲ βουλοίμην ἂν τὸν ἐμὸν ἀξιούμενον ὁρᾶσθαι. καὶ

Α ξίωμα, ἡ τιμὴ καὶ ἡ παράκλησις, παρὰ τῇ θείᾳ γραφῇ. οἷον, ἐν τοῖς ψαλμοῖς. εἰσελθέτω τὸ ἀξίωμά μου ἐνώπιόν σου. καὶ τὸ μέγεθος. ἀριστείδης ἐν τῷ παναθηναϊκῷ. τὸ μὲν οὖν ἀξίωμα τοῦ παρόντος ἀγῶνος. ἤγουν τὸ μέγεθος τοῦ ἀγῶνος. ἀξίωσις δέ, οὐ μόνον ἡ παράκλησις, ὡς θουκυδίδης ἐν τρίτῃ. καὶ οὐκ ἄδικος αὕτη ἡ ἀξίωσις. ἀλλὰ καὶ τὸ μέγεθος. ὡς ὁ αὐτός. καὶ τὴν ἀξίωσιν τῆς ἀρετῆς. ὡς ἐλευθερῶν τὴν ἑλλάδα φέρεται. καὶ ἡ τιμή, καὶ τὸ πρόσον τινὶ ἀξίωμα, ὡς ὁ αὐτός. ἔχων ἐπ' ἀξιώσει καὶ πρὸς ὀργὴν αὐτῷ εἰπεῖν. καὶ ἀριστείδης. οὐ τῶν ἐν ἀξιώσει προὔχοντας. ἐστι δὲ ἀξίωσις, καὶ ὅπερ ἀξιοῖ τις. ὡς θουκυδίδης ἐν δευτέρᾳ. ἐν σφίσιν αὐτοῖς τὴν

ἀξίωσιν ταύτην ἀλήψεσθαι, μηδένα ὄχλον πελοποννησίων νεῶν ὑποχωρεῖν. ἀξίωμα δὲ παρὰ φιλοσόφοις ἡ λεγομένη κοινὴ ἔννοια. οἷον, ἀξιοῦσι πάντες σφαιροειδῆ τὸν οὐρανὸν εἶναι. καὶ

Α φαιρῶ, καὶ ἀφαιροῦμαι. συντάσσεται δέ, ἀπὸ γενικῆς εἰς αἰτιατικήν. καὶ ἀπὸ αἰτιατικῆς, εἰς γενικήν. καὶ ἀπὸ αἰτιατικῆς, εἰς αἰτιατικήν. καὶ ἀπὸ δοτικῆς, εἰς αἰτιατικήν. οἷον. ἀφαιρῶ σου τόδε. ἀφαιρῶ σε τοῦδε. ἀφαιρῶ σε τόδε. καὶ ἀφαιρῶ σοι τόδε, παραδείγματα τοῦ ὑστέρου. παρὰ μὲν ἀριστείδῃ. ὠφέλει πολλοῖς νόσον. παρὰ δὲ φιλοστράτῳ ἐν εἰκόσι. μέγαν ἆθλον ἀφῃρημένους αὐτῷ τῆς τύχης.

Α ρμα, ἐν ᾧ ἵπποι ζεύγνυνται. εἰ δὲ ἐπὶ ὅπλων λαμβάνοιτο, οὐ κυρίως χρῶνται.

Α πήνη, ἐπὶ ἵππων. ἅμαξα, ἐπὶ βοῶν.

Α πειλῶ, οὐ μόνον ἐπὶ ὀργῆς, ἀλλὰ καὶ ἀντὶ τοῦ μεγαλαυχοῦμαι. ἀριστοφάνης ἐν πλούτῳ. ἐγὼ δ' ἂν μειράκιον, ὑπείλκον ὅτι. καὶ λιβάνιος, ἐν ἐπιστολῇ. μιμνήσκου δὲ ὧν ὑπείλεις ἥξειν.

Α καιρία, ἔνδεια καιροῦ ἐπιτηδείου.

Α φολία, ἡ περὶ τὴν ἀναστροφή.

Α ληθής, τὸ ἐναντίον τῷ ψεύδει. ἀληθὲς δὲ παρὰ ποιηταῖς, τὸ κατ' εἰρωνείαν. ἀντὶ τοῦ ὄντως λαμβανόμενον. ὡς τὸ παρ' ἀριστοφάνει ἐν πλούτῳ. ἀληθὲς ὦ δειλότατε πάντων δαιμόνων.

Α ποπέμπω, τὸ ἀποστέλλω. ἤγουν, τὸ ἀπὸ τῶν ἐνταῦθα, ἑτέρωσε πέμπω. ἐν ἐπιστολῇ λιβάνιος. ἀποπέμπομεν ὑμῖν, διὰ τούτου, καὶ ἀποπομπή. λουκιανὸς ἐν τῷ ἀλεξάνδρου βίῳ. πιστεύσας τῇ ἀποπομπῇ τοῦ μισθοῦ. καὶ ἀποπέμπω, τὸ ἀποδιώκω.

Α νακείμενος. ὁ ἀνατεθεικὼς καὶ ἐρασθεὶς μᾶλλον. καὶ ἀνακείμενος, ὁ ἀνατεθειμένος. οἷον, ἀνακείμενος ἀνδριάς. θουκυδίδης. τὰ δὲ νῦν ἀνακείμενα ἐν τοῖς ἀττικοῖς ἱεροῖς.

Α ναβαίνω ἵππον, οὐκ ἐπιβαίνω. αἰσχίνης ὁ ῥήτωρ ἐν λευκίππῃ. τούτοις ἐσκευασμένοις, ἀναβαίνω τὸν ἵππον. ἐπὶ βαίνω δὲ ναῦς.

Α νατυποῦταί τις, ὅταν φαντάζηται ἃ ἑώρακεν.

Α ναπλάττει δέ, ἃ οὐδέποτε εἶδεν.

Α ναγκάζειν, ἐπὶ ἐμψύχων μόνον. βιάζειν δέ, ἐπὶ ἀψύχων. οἷον, ἐβιάσατο τὸ ῥεῦμα τοῦ ποταμοῦ.

Α νάπαυλα, ἡ ἀνάπαυσις. λιβάνιος ἐν ἐπιστολῇ, τῇ, καὶ ὅτι ἀθυμεῖν σοι τὴν γυναῖκα ἠκούομεν. καίτοι μὲν, ἀναπαύλης ἐδεόμην. καὶ πάλιν ἐν τῇ εἰς τὸν νεὼν τοῦ ἀπόλλωνος μονῳδίᾳ. οἵας ὦ ζεῦ γνώμης κατεψεύσθης. ἀφῃρέθη μὲν ἀνάπαυλαν. τὸ δὲ παῦλα, ἀδόκιμον.

Α νάπαυσις καὶ κατάπαυσις λέγεται. ἀνάπαυλα δὲ μόνον. οὐχὶ κατάπαυλα.

Α τοπον, οὐ μόνον τὸ ἄλογον, ἀλλὰ καὶ τὸ θαυμαστὸν καὶ παράδοξον. πλάτων ἐν φαίδωνι. ὡς ἄτοπον ἔφη ὦ ἄνδρες, ἔοικέ τι εἶναι τοῦτο. καὶ πάλιν ἐν θεαιτήτῳ. οὐδὲν γὰρ ἄτοπον, ἀλλὰ πολὺ θαυμαστότερον ἢ ἀσαφῶς ἐδηλώθη γὰρ διὰ τῆς ἀντιθέσεως. καὶ θουκυδίδης. δοῦλοι ὄντες τῶν ἀεὶ ἀτόπων.

Α ξονες τετράγωνοι ὄντες εἶχον ἰδιωτικοὺς νόμους ἐγγεγραμμένους. κύρβεις δὲ τρίγωνοι οὖσαι εἶχον δημοσίους νόμους, καὶ ἱεροποιίας.

Α ναμιμνήσκομαι ὑπ' ἐμαυτοῦ. λιβάνιος ἐν ἐπιστολῇ τῇ, κράτιστον μὲν. ἀναμιμνησκόμενος ὧν ἔπως ἤλγεις προαπεδύσω. ἀναμιμνήσκω δὲ ἕτερον. ἀριστείδης ἐν δευτέρῳ τῶν ἱερῶν. ἀναμιμνήσκει με τῆς ὀδυσσείας. καὶ ἀναμιμνήσκομαι ὑπ' ἄλλου.

Α ποκέκλεισμαι φορτικῶς λέγε, μὴ ἀποτετείχισμαι, μηδὲ κεχώρισμαι.

Α ποστασίου δίκην ἔλεγον, ὁπότε ἀπελεύθερος κρίνοιτο, ὡς ἀποστὰς τοῦ δεσπότου. ἀπροστασίου δέ, ὁπότε μέτοικος ἐγκαλοῖτο, ὡς μὴ ἔχων προστάτην.

Α ποκήρυκτος, ὁ ἐπὶ ἀδικήματι ἐκβληθεὶς τῆς οἰκίας παρὰ τοῦ πατρός, μετὰ ψήφου δικαστικῆς. καὶ ἀποκηρύττειν. τὸ δέον ἐργάζεσθαι. καὶ τὸ διὰ κηρύγματος πωλεῖν. λουκιανὸς, ἐν τῷ βίων πράσεις. ἀποκηρύξομεν δὲ βίους φιλοσόφους. καὶ ἀποκήρυκτος, ὁ οὕτω πωλούμενος.

Α κληρος δέ, ὁ ἐν διαθήκαις πατρὸς μὴ τυχὼν κλήρου. ἐκποίητος δὲ ὁ δοθεὶς εἰς υἱοθεσίαν ἄλλῳ. ὃ λέγεται ὁ τοιοῦτος εἰσποιητός.

Α ποφέρεσθαι, οὐ μόνον τὸ πόρρω φέρεσθαι, ἀλλὰ καὶ τὸ κερδαίνειν. παράλλαγμα τοῦ πόρρω φέρεσθαι, παρὰ λιβανίῳ. εἰ μὲν γὰρ φιλοσοφίας ἀπτόμενος, ἀπεφέρετο τοῦ σχήματος, καὶ ἦν ἐν προσηγορίᾳ φιλοσοφίας.

Α ποφέρειν δὲ καὶ ἀποφορὰ τὰ παρὰ τῶν ἐλασσόνων τοῖς μείζοσι παρεχόμενα χρυσά. θουκυδίδης ἐν τῇ πέμπτῃ. τάλαντον ἔταξαν τῷ διὶ τῷ ὀλυμπίῳ ἀποφέρειν. λέγεται μέντοι ἀποφορά, καὶ ἡ δυσώδης ὀσμή.

Α πόδοσις ἀψύχου. ἰουλιανὸς ἐν ἐπιστολῇ. ἀποδέδωκας ἀριστοφάνει τὰς ἀμοιβάς.

Α ποκατάστασις δέ, ἐμψύχου λεγομένου.

Α ρχειν ἀνθρώπων. κρατεῖν δέ, καὶ ἀνθρώπων καὶ θηρίων.

Α ράχνη, τὸ ὕφασμα. ἀράχνιον, τὸ νῆμα. ἀράχνης, τὸ ζῷον. ἐσκέδασε. ἀρτιστοπότητος ἀράχνης.

Α ρνες οἱ νεογνοί. ἀρνειοί. οἱ προήκοντες.

Α στεῖος ὁ πιθανὸς καὶ ὁ χαρίεις.

Α τέλεστον, τὸ ἀδύνατον τελεσθῆναι. ἀτελὲς δὲ τὸ μήπω τετελεσμένον. τὸ μέντοι τετελεσμένον, λαμβάνεται παρ' ὁμήρῳ ἐν ἰλιάδι, καὶ ἐπὶ τοῦ μήπω μὲν τελεσθέντος, δύναμιν δ' ἔχοντος τελεσθῆναι. οἷον εἰ δύναμαι τελέσαι γε, καὶ εἰ τετελεσμένον ἐστίν.

Α νήνυτον δὲ κάλλιον, ἢ ἀτέλεστον. ἔστι δὲ καὶ ἀτέλεστος, ὁ μὴ μυηθείς. καὶ ἀτελής, ὁ ἀμέτοχος. λουκιανὸς ἐν μενίππου, καὶ χείρωνος διαλόγῳ. ἀλλ' ἀτελὴς τούτων πάντων εἰμί.

Α υχήν, τὸ ὄπισθεν τοῦ τραχήλου. φιλόστρατος ἐν

εἰκόσι

εἰκόσιν. αὐχὼν δὲ πηγῆς. ἀθύρμω δὲ τὸ ἐμπεπλεγμένον λιβάνιος ἐν τῇ εἰς τὸν νεὼν τοῦ ἀπόλλωνος μονῳδίᾳ. ἀπαλότατα δέρης ἐν λίθῳ.

Α σφόδελος τὸ φυτόν. ἀσφοδελὸς δὲ, ὁ τόπος ὁ ἔχων ἀσφοδέλους. ὡς παρὰ τῷ θεολόγῳ γρηγορίῳ ἐν τῷ εἰς τὸν μέγαν βασίλειον ἐπιταφίῳ. τοὺς ἀσφοδελῶν λειμώνων καὶ ἠλυσίων πεδίων ἠξίωσαν ἕλληνες.

Α ἰτίαι, αἱ πρόξενοι. ἐπειδὴ καὶ ἡ πληθυντικὴ εὐθεῖα τοῦ ἀρσενικοῦ τὸ οἱ αἴτιοι, προπαροξύτονός ἐστι. ταῦτα γὰρ ἀεὶ ἐν τοῖς τεχνικοῖς ἀκολουθοῦσι. καὶ αἱ πληθυντικαὶ εὐθεῖαι τοῦ θηλυκοῦ καὶ τοῦ οὐδετέρου. αἰτίαι δὲ αἱ ἀφορμαὶ καὶ αἱ μέμψεις, παροξυτόνως. οὕτω καὶ ὅσιαι γυναῖκες. ὅσιαι δὲ ταφαὶ, διὰ τὸ μὴ ἔχειν ταῦτα ἀρσενικὸν, ᾧ παρακολουθήσουσι.

Α γροῖκος, ὁ ἐν τῷ ἀγρῷ οἰκῶν, παρὰ τοῖς ἕλλησιν ἁπλῶς. ἄγροικος δὲ ὁ ἰδιώτης καὶ ἀπαίδευτος. οἱ ἀττικοὶ δὲ ἐπὶ τοῦ ἐν τῷ ἀγρῷ οἰκοῦντος, καὶ ἐπὶ τοῦ ἰδιώτου, καὶ ἀπαιδεύτου, καὶ ἀναισθήτου, προπαροξυτόνως ἄγροικος λέγουσι. ἀριστοφάνης ἐν πλούτῳ. λέγεις ἄγροικον ἄρα σύ γ᾽ εἶναι τὸν θεὸν, ἤγουν, ἀναίσθητον. καὶ πάλιν ἐν νεφέλαις. ἔπειτ᾽ ἔγημα μεγακλέους τοῦ μεγακλέους ἀδελφιδῆν, ἄγροικος ὢν ἐξ ἄστεος. ἤγουν ἐν τῷ ἀγρῷ οἰκῶν. ἔστι δὲ καὶ ῥῆμα ἀγροικίζομαι, τὸ ἀπαιδεύτως πρός τινα διατίθεμαι. λιβάνιος ἐν τῷ λόγῳ τῷ, πρεσβευτικὸς πρὸς τὸν ἀχιλλέα. εἰ ἠγροικισάμην πρὸς ὁντινοῦν. ἢ τῶν νέων, ἢ τῶν πρεσβυτέρων.

Α θυροστομεῖν μὴ εἴπῃς, ἀλλὰ λοιδορεῖν. αἰτοῦμαι λέγουσιν, ὅταν ζητῶ τι ὃ μέλλω ἀποδώσειν. οἷον ἐπὶ δανείου. αἰτῶ δὲ ἄρτον, ὃν δηλονότι οὐκ ἀποδώσω. εὕρηται δὲ καὶ αἰτοῦμαι ἀττικῶς, ἀντὶ τοῦ ἁπλῶς αἰτῶ. αἰσχύλος. σωτὴρ γενοῦ μοι σύμμαχός τ᾽ αἰτουμένῳ. καὶ λιβάνιος ἐν ἐπιστολῇ τῇ, εἰωθώς που μάρκελλον τὶ τοιοῦτον αἰτοῦμαι. μάρκελλος ὁ [illegible] πατήρ. ἔστι δὲ αἰτοῦμαι καὶ τὸ παρά τινος ζητοῦμαί τι, ὡς ὁ αὐτὸς ἐν ἐπιστολῇ. καὶ τοῦτο πολλάκις ἔφασκες ἀδικεῖσθαι, μηδὲν αἰτούμενος παρ᾽ ἡμῶν.

Α λάβαστον δίχα τοῦ ρ ἀττικοί, μετὰ δὲ τοῦ ρ, ἁπλῶς.

Α νάλωσα, καὶ ἀνάλωκα ἀττικοί. τὸ (ἕλληνες δὲ μετὰ αὐξήσεως ταῦτα λέγουσιν, οἷον ἀνήλωσα καὶ ἀνήλωκα, κοινόν. λιβάνιος ἐν τῇ προσφωνηθείσῃ εἰς τὸν ἐν τῇ δάφνῃ νεὼν τοῦ ἀπόλλωνος μονῳδίᾳ, σμικρῷ ἐπιθύρι πάντα ἀνάλωσαι. ὡσαύτως καὶ ἐπὶ πάντων τῶν χρόνων τοῦ τοιούτου ῥήματος, τῶν ἀρχομένων αὐξήσεις.

Α νέραστος, καὶ ὁ μὴ ἐρῶν καὶ ὁ μὴ ἐρώμενος. λιβάνιος ἐν τῇ μελέτῃ τῇ, ἔχων τις γυναῖκα καὶ ἐν ἀποδημήσει ἐρωτικόν. ἔστι δὲ ἀπ᾽ ἐκείνης τῆς ἡμέρας ἀνέραστος. λουκιανὸς ἐν τίμωνι. ἐρῶντες ἀνεράστων καὶ ἀμόρφων πραγμάτων. καὶ αὖθις ἐν μενίππου καὶ χείρωνος διαλόγῳ. τίς δέ σε τοῦ θανάτου ἔρως ἔσχεν, ἀνεράστου τοῖς πολλοῖς χρήματος. ἐπέραστος δὲ ἀεὶ, ὁ ἐρώμενος.

Α νακαθαίρομαι, οὐ μόνον τὸ καθάρσιον δέχομαι, ἀλλὰ καὶ τὸ καθαίρω. λιβάνιος ἐν τῷ πρὸς κωνστάντιον καὶ κώνσταντα. πάντα τὸν ἐκείνῃ τόπον ἐπῆλθεν, ἀνακαθαιρόμενος γῆν τε καὶ θάλατ-

Ω σπερ ὅσιος, οὔπω καὶ ἀστειοσύνη. ὡς ὁ (ταν. αὐτὸς, ἐν τῷ ἀντιοχικῷ. ἀστειοσύνη δὲ, ἡ διὰ πάντων, οὐ μόνον ἀχερουσία λίμνη, ἀλλὰ καὶ ἀχερουσιάς. φιλόστρατος ἐν τοῖς ἡρωϊκοῖς. τὸν δὲ κωκυτούς τε καὶ πυριφλεγέθοντας καὶ τὴν ἀχερουσιάδα. Τὸ μὲν αὔξειν, ἐπὶ ἐνεργητικοῦ, οἷον αὔξει ὁ ἥλιος καὶ ἡ ὑγρότης τὰ φυτά. δημοσθένης ἐν τῷ ὑπὲρ τοῦ στεφάνου. τὰς εὐδοξίας τῆς πατρίδος θεραπεύειν. ταύτας αὔξειν. καὶ αὔξει, ἀντὶ τοῦ αὔξεται. ἀριστείδης ἐν τῷ εἰς ῥώμην. ἀλλ᾽ καὶ εἰκότως ηὔξησεν ἡ ἀρχή. αὐξάνω δὲ ἐπὶ παθητικῆς σημασίας, ὁ αὐτὸς δημοσθένης ἐν τῷ αὐτῷ λόγῳ. ἐπεί γε οἷς ἡ πατρὶς ηὐξάνετο. καὶ αὐξάνει τὰ φυτά. οἷον αὔξησιν δέχεται. καὶ αὐξάνομαι, ἐπὶ τοῦ αὐτοῦ σημαινομένου ὁ αὐτὸς δημοσθένης ἐν τῷ αὐτῷ λόγῳ. ἐπεί γε οἷς ἡ πατρὶς ηὐξάνετο.

Τ ὸ ἀεὶ, καὶ ἐπὶ τῶν τριῶν χρόνων τίθεται. τὸ δὲ ἐσαεὶ, ἐπὶ μέλλοντος. καὶ ἐπὶ ἐνεστῶτος δὲ, ὅταν διηνέκειαν δηλοῖ. ἀριστείδης ἐν τῷ εἰς δία. ἀλλ᾽ ὄντα τε ἀεὶ ἐξ ἀρχῆς, καὶ ἔσται ἐσαεί. καὶ θουκυδίδης ἐν πρώτῃ. κεῖταί σοι εὐεργεσία ἐν τῷ ἡμετέρῳ οἴκῳ, ἐσαεὶ ἀνάγραπτος. λουκιανὸς ἐν τοῖς ἀληθινοῖς. θάλλουσα ἐσαεί.

Α ρτι, οὐ μόνον ἀντὶ τοῦ πρὸ ὀλίγου, ἀλλὰ καὶ ἀντὶ τοῦ ποτέ. λουκιανὸς ἐν τῷ διογένους καὶ ἀλεξάνδρου διαλόγῳ. ἐπαινέσων ἄρτι μὲν, ἐς τὸ κάλ-

Α λος. ἄρτι δὲ, εἰς τὰς πράξεις καὶ τὸν πλοῦτον ἀποπεπτωκότος, ὁ ἀπηγορευμένος. ἀνώματος δὲ, καὶ ὁ μὴ ἐν ὅρκῳ παραληφθεὶς, καὶ ὁ μὴ ὀμόσας. ὡς ὁ αὐτὸς ἐν τῷ ἴριδος καὶ ποσειδῶνος διαλόγῳ. ἀνώμοτός ἐστιν. ἀφανὴς γὰρ ἦν.

Α ποσοβῶ, οὐ μόνον τὸ ἀποδιώκω, ἀλλὰ καὶ τὸ σοβαρῶς καὶ θρασέως ἀπέρχομαι, ὡς ὁ αὐτὸς λουκιανὸς ἐν τῷ πλοίῳ, ἢ εὐχαῖς. εἰκὸς γὰρ ἤδη παρεληλυθέναι ἐκεῖνον ἀποσοβοῦντα εἰς τὸ ἄστυ. καὶ πάλιν ἐν τῷ ὑπὲρ τῶν εἰκόνων. καὶ ὡς ὁρᾷς ἤδη ἀποσοβῶ παρ᾽ αὐτήν. περισοβῶ δὲ τὸ περιέρχομαι. ὁ αὐτὸς ἐν τῷ, συμπόσιον, ἢ λαπίθαι. συνεχῶς περιεσοβεῖτο ἡ κύλιξ. ἀνασοβῶ δὲ, τὸ ἀνταράσσω. σοβῶ δὲ, καὶ τὸ πεπαρρησιασμένως χωρῶ, ὡς συνέσιος ἐν ἐπιστολῇ. ὅτι ἰδὼν τὸν πορνοτελώνην σοβοῦντα διὰ τῆς ἀγορᾶς. καὶ τὸ ἀνταράσσω καὶ ἀνεγείρω.

Α ντίπαλον, καὶ τὸ ἐναντίον, καὶ τὸ ἴσον. ἀμφοτέρων παραδείγματα παρὰ θουκυδίδῃ. τοῦ μὲν ἴσου, ἐν τῇ δευτέρᾳ. πόλιν οἰκοῦντας. καὶ ἐν ἔθεσιν ἀντιπάλοις αὐτῇ τεθραμμένους. τοῦ δὲ ἐναντίου ἐν τῇ τρίτῃ. ἴσοι μὲν τῇ γνώμῃ ὄντες καὶ τῇ εὐνοίᾳ. ἀντίπαλοι δὲ τῇ παρασκευῇ καὶ δυνάμει.

A ῤρωστία, οὐ μόνον ἡ νόσος, ἀλλὰ καὶ ἡ ἁπλῶς ἀδυναμία. ἐπειδὴ καὶ ὁ νοσῶν ἀδυνάτως ἔχει χρῆσθαι ἑαυτῷ. θουκυδίδης ἐν τῇ τρίτῃ. ἐν καρπῶν ξυγκομιδῇ ἤδη ᾖσαν, καὶ ἀρρωστία τῶν στρατευόντων, οὐ μόνον.

A πόγνωσις, ἀλλὰ καὶ ἀπόγνοια. ὁ αὐτὸς ἐν τῇ τρίτῃ. ὅπως ἀπογνοίᾳ τοῦ, τοῦ ἄλλο, τι ἢ κρατεῖν τῆς γῆς.

A πεδος χώρα, ἡ ὁμαλὴ καὶ πεδιώδης, καὶ μὴ πεδίον ἔχουσα. καὶ ἄπεδος ἡ ὁμαλὴ καὶ αὐτὸ ὁμόπεδος. ἡρόδοτος ἐν τῇ πρώτῃ. ἡ δὲ ἄλλη μηδικὴ χώρη ἄπεδος. καὶ θουκυδίδης ἐν τῇ ἑβδόμῃ. κατέβυζεν εἰς χωρίον ἄπεδόν τι.

A θυμία, καὶ ἡ λύπη. καὶ ὁ πρὸς τοὺς πολέμους ὄκνος. ἡρόδοτος ἐν τῇ πρώτῃ. οὔτε τινὰ δειλίην μοι παρειδὼν, ὅτι ἀθυμέειν. ἄθυμος δὲ μόνον ὁ ὀκνηρὸς εἰς μάχην. συνέσιος ἐν ἐπιστολῇ. καὶ ἄλλως οὐκ ἄθυμος στρατιώτης.

A μηχανῶ, τὸ ἀπορῶ, καὶ οὐκ εὑρίσκω μηχανήν. καὶ ἀμηχανῶ τὸ ἀποτυγχάνω. ἡρόδοτος ἐν τῇ πρώτῃ. ἐκ ἀμηχανήσεις χρήματος οὐδενός. καὶ

A πεικότως καὶ ἀπεοικότως. θουκυδίδης ἐν τῇ ἕκτῃ. οὐ δὲ τοῦτο ἀπεοικότως. οὐ μόνον ἀγὼν, ἀλλὰ καὶ ἀγωνία καὶ ἀγωνισμός. ὁ αὐτὸς ἐν τῇ ἑβδόμῃ. πολλὴ δὲ ἡ ἀντιτέχνησις τῶν κυβερνητῶν, καὶ ἀγωνισμὸς πρὸς ἀλλήλους. πλάτων ἐν γοργίᾳ. δεῖ μέντοι ὦ σώκρατες, τῇ ῥητορικῇ χρῆσθαι, καθάπερ τῇ ἄλλῃ ἀγωνίᾳ πάσῃ. καὶ ἀντιβόλησις, καὶ ἀντιβολία. θουκυδίδης ἐν τῇ ζ. πρὸς ἀντιβολίαν καὶ ὀλοφυρμὸν τραπόμενοι. ὥσπερ ἐκ τοῦ λογίζομαι λογισμός, οὕτως ἐκ τοῦ

A ναλογίζομαι ἀναλογισμός. ὁ αὐτὸς ἐν τῇ ὀγδόῃ. ὄντων δὲ αὐτῶν ἐν τοιούτῳ ἀναλογισμῷ. ὥσπερ ἐγεννησάμην ἀντὶ τοῦ ἐγέννησα, καὶ ἐθρεψάμην ἀντὶ τοῦ ἔθρεψα λέγομεν, οὕτω καὶ ἠγανακτησάμην ἀντὶ τοῦ ἠγανάκτησα. λουκιανὸς ἐν τῷ ἐνυπνίῳ. ἀγανακτησαμένης ἤ τε μητρός. ὡσαύτως καὶ ἐθαψάμην ἀντὶ τοῦ ἔθαψα. ἡρόδοτος ἐν τῇ πρώτῃ. καὶ ἔδοον δι' ἐκείνων καὶ ἐθαψάμην.

A μὲν, ἃ δὲ μὴ εἴπῃς. ἀλλὰ τινὰ μὲν, τινὰ δὲ, εἰ καὶ λουκιανὸς λέγει. οὐκ οἶδα εἴτε παίζων εἴτε σπουδάζων. λέγει γὰρ ἐν τῷ, ῥητόρων διδάσκαλος. ἔπειτα δὲ καὶ αὐτὸς, ἃ μὲν πρὸς τὸν τι ἀνθ ἀκινδύνους κατὰ τὴν ὁδὸν, ἃ δὲ, καὶ παραινῶν. καὶ πάλιν ἐν τῷ τίμωνι. διδοὺς ἅπασι τοῖς δεομένοις, ᾧ μὲν πού τι δραχμὰς, ᾧ δὲ μνᾶν. ᾧ δὲ ἡμιτάλαντον, ὁ δὲ αὐτὸς οὗτος ἐξελέγχει τοῦτο, ἐν τῷ ψευδοσολοιστῇ αὐτοῦ.

A φῖκαι εἰς πέλαγος, οὐκ ἐφῆκαι. ἀριστείδης ἐν τῷ αἰγυπτίῳ. ἀλλὰ ἐξελθὼν ἐπ' ἄλλην ἀκτὴν κατὰ πέρας, ἐκεῖθεν ἀφιέναι.

A νακαλοῦμαι, καὶ ἀνακαλῶ. θουκυδίδης ἐν τῇ πρώτῃ. οἱ δὲ λακεδαιμόνιοι αἰσθόμενοι τό τε πρῶτον, δι' αὐτὰ ταῦτα ἀνεκαλέσαντο αὐτούς.

A ναισθητεύομαι μὴ εἴπῃς, ἀλλ' ἀναισθήτως ἔχω. καὶ οὐκ αἰσθάνομαι, καὶ ἀναισθητῶ. δημοσθένης. ἐπιπείσομαι δὲ ὑπὲρ ἐμαυτοῦ, τυχὸν μὲν ἀναισθητῶν.

A πολύομαι μέμψεως, καὶ ἀπολύομαι τὴν μέμψιν, ἢ ἀπολύω. ἀριστείδης ἐν τῷ πρὸς θηβαίους περὶ συμμαχίας δευτέρῳ. ὡς ἀπολύεσθαι τὴν μέμψιν.

A πόστολος, ὁ ἀποσταλμένος. δημοσθένης. ἀλλ' εἰ μὲν ἐχθροὶ καταγελῶσιν. εἰ δὲ σύμμαχοι, τεθνᾶσι τῷ δέει τοὺς τοιούτους ἀποστόλους. καὶ ἀπόστολος, αὐτὴ ἡ ἀποστολή. ἀριστείδης ἐν τῷ περὶ τοῦ μὴ πέμπειν βοήθειαν τοῖς ἐν σικελίᾳ. χρήματα δὲ ἡμῖν, τὰ μὲν εἰς τὸν ἀπόστολον τὸν καλὸν ἐξανήλωται.

A ὐτομολία κάλλιον, ἢ αὐτομόλησις. ὁ αὐτὸς ἐν τῷ περὶ τοῦ πέμπειν βοήθειαν, τοῖς ἐν σικελίᾳ. καὶ πρὸς αὐτὰς τὰς αὐτομολίας.

A ναβιῶσαι ἴσω ἀμεταβάτως. μεταβατικῶς δὲ πλάτων ἅπαξ εἶπεν ἐν τῷ φαίδωνι. ἐάνπερ γε ἡμῖν ὁ λόγος τελευτήσῃ, καὶ μὴ δυνώμεθα αὐτὸν ἀναβιώσασθαι.

A ποδέχομαι, καὶ αἰτιατικῇ, καὶ γενικῇ. δημοσθένης ἐν τῷ πρὸς ἀλέξανδρον, περὶ τῶν συνθηκῶν. ἄξιον ἀποδέχεσθαι ὦ ἀθηναῖοι σφόδρα, τῶν τοῖς ὅρκοις καὶ ταῖς συνθήκαις διακελευομένων ἐμμένειν. πλάτων ἐν φαίδωνι. οὐκ ἀποδέχομαι ἐμαυτοῦ, οὐδὲ ὥς. καὶ συνέσιος ἐν τῇ λύσαντος ἐκ βενδιδίου ἐπιστολῇ. καὶ ὑμεῖς ἀπολαχόμεθα λέγοντες.

A προνοοῦντες, καὶ ὁ μὴ προνοῶν, καὶ ὁ μὴ προνοούμενος ὑπό τινος. λουκιανὸς ἐν τῷ ζεὺς τραγῳδός. ἢ οὕτως ἀπρονοήτους ἐᾶν αὐτήν. καὶ ἀγὼν καὶ ἀγωνία. πλάτων ἐν γοργίᾳ. δεῖ μέντοι ὦ σώκρατες τῇ ῥητορικῇ χρῆσθαι, καθάπερ τῇ ἄλλῃ πάσῃ ἀγωνίᾳ καὶ γὰρ τῇ ἄλλῃ ἀγωνίᾳ, οὐ τούτου ἕνεκα δεῖ πρὸς ἅπαντας χρῆσθαι ἀνθρώπους.

A μφίεσμα, τὸ ἔνδυμα. καὶ ἀμφίεσις. ὁ αὐτὸς ἐν τῷ αὐτῷ. καὶ τὰ αὐτῶν ἀμφιέσματα, καὶ τὰ τῶν κειμένων.

A ναγινώσκω, τὸ, βιβλίον διέξειμι. καὶ ἀναγινώσκω τὸ ἀναγνωρίζω. ἀφ' οὗ καὶ ἀνάγνωσις, ἡ τῶν πρώτων μαθημάτων τῆς ψυχῆς ἀνανέωσις, ὡς προσλύσας ταῦτα. ὡς ὁ φιλόσοφος λόγος. εἴρηται δὲ παρ' ἡροδότῳ. ἀναγινώσκω τὸ ἀναπείθω. ὡς ἐν τῇ πρώτῃ. οἵμιν ἀνέγνωσαν μὴ κτεῖναι κῦρον.

A φθονος ὁ πολὺς καὶ ὁ μὴ φθονούμενος, καὶ ὁ μὴ φθονῶν. ἡρόδοτος ἐν τῇ τρίτῃ. ἄνδρα γε τύραννον, ἄφθονον ἔδει εἶναι.

A λογία, ἡ τοῦ λόγου στέρησις, καὶ ἡ ἀφροντισία. ὡς ὁ αὐτὸς ἐν τῇ τετάρτῃ. ἀλογίαν εἶχον τῶν χρηστηρίων.

A ρὰ, οὐ μόνον ἡ κατάρα, ἀλλὰ καὶ ἡ εὐχή. ὁ αὐτὸς ἐν τῇ ἕκτῃ. ἀρὰν ἐποιήσαντο παῖδας γενέσθαι.

τέλος τοῦ ἀ στοιχείου.

ΑΡΧΗ ΤΟΥ Β.

Βῶλος ἀντὶ θηλυκοῦ, ἡ ἀντὶ γῆς λαμβάνεται. Συνέσιος ἐν τῷ δίωνι σου τὴν ἱκανὴν ψυχὴν, τὴν παφλάζουσαν βῶλον ἀποπλύνει τῇ συγκλήτῳ δεξάμενος. ἀντὶ δὲ ἁπλῶς λίθου, καὶ ἀρσενικῶς καὶ θηλυκῶς ἐκφέρεται δεῖ. εὐριπίδης ἐν ὀρέστῃ. φερομένας βώλους ἐξ ὀλύμπου. σοφοκλῆς ἐν αἴαντι. ὑγρᾶς ἀρούρας βῶλον ἐς ἔμελλε.

Βαλανειοκλέπτης, οὐ βαλανοκλέπτης. καὶ βαλανειοτόμος, οὐ βαλανοτόμος.

Βλάβος ἀντὶ οὐδετέρου δοκιμώτερον ἢ βλάβη.

Βλήχων, οὐ γλήχων. ἔστι δὲ εἶδος βοτάνης, ἡ ἰδιωτικῶς λεγομένη γλησκούνη.

Βιβλιογράφος, οὐ βιβλιακογράφος. λιβάνιος ἐν τῷ περὶ τῆς ἑαυτοῦ τύχης. δεῖ μὲν ἀντὶ τούτου, τῶν βιβλιογράφων ἀνήρ.

Βυρσοδέψης, οὐ βυρσεύς.

Βὴξ, καὶ ἀντὶ θηλυκοῦ καὶ ἀρσενικοῦ. ἀριστείδης. βὴξ βαρεῖα. καὶ θουκυδίδης ἐν τῇ δευτέρᾳ. κατέβαινεν εἰς τὰ στήθη ὁ πόνος μετὰ βηχὸς ἰσχυροῦ.

Βομβύκιον, οὐ βαμβύκιον.

Οἱ κυρίως ἀττικοὶ ἀντὶ ἀρσενικοῦ, ὁ βάτος λέγουσιν, οὐχ ἡ βάτος.

Βραγχᾷ. οὐ βραγχιᾷ. καὶ βράγχος οὐδετέρως.

Βραδύτερον. οὐ βράδιον. ποιητικὸν γάρ. καὶ ἡσίοδος ἐν ἡμέραις. βράδιον δὲ παρ᾽ ἄλλοις ὄντως. ἐκείνου δὲ μάρτυς λιβάνιος. ἐν ἀντισολῃ. καί σοι καὶ βραδύτερον, ἀλλὰ καὶ σεμνότερον δοξάζομαι.

Βλὰξ καὶ ὁ τρυφῇ χαίρων, καὶ ὁ ἀναίσθητος, καὶ πρὸς τὰ καλὰ ἀκινήτως ἔχων, καὶ νωθρός. ἀριστείδης ἐν τῷ πρὸς τοὺς αἰτιωμένους ὅτι μὴ μελετῴη. εἰ γὰρ αὖ παντάπασι βλὰξ εἴην τις. ὡσαύτως καὶ βλακεία, καὶ ἡ τρυφὴ, καὶ ἡ ἀναισθησία.

Βάρος τοῦ λέγειν βέλτιον, ἢ μέγεθος.

Βλαβεῖμεν. βλαβεῖτε. βλαβεῖεν. οὐχὶ βλαβείημεν. βλαβείητε. βλαβείησαν. οἱ γὰρ ἀττικοὶ ἐν πᾶσι πληθυντικοῖς τῶν εὐκτικῶν παρυτόνων τε καὶ περισπωμένων καὶ τῶν εἰς μι, παραληγομένοις τῷ η, ἀποβάλλουσιν αὐτό. οἷον τιθεῖμεν. ποιοῖμεν. βαῖμεν. πλὴν φυλάττεσθαι δεῖ τὸ κακόφωνον, ὅθεν ἂν τύχῃ. ὡς ἀντὶ τοῦ βαῖτε καὶ σταῖτε, καὶ τῶν ὁμοίων.

Βέβαιος ἀντὶ θηλυκοῦ κρεῖττον, ἢ βεβαία. ἀριστείδης. βέβαιον τὴν αἰτίαν ἔχειν. αὐτὴ βοῦς, οὐχ ὁ βοῦς. ἀρσενικῶς δὲ μόνον τὸ τῆς παροιμίας ἐκφέρομεν. βοῦν. οἷον, τὸ, βοῦν ἀντὶ γλώττης φέρει. ὡσαύτως ἀντὶ θηλυκοῦ, καὶ τὸ τῶν βοῶν λέγομεν ἄθροισμα. οἷον, τὴν βοῦν ἐλαύνουσα. λέγεται ἐπ᾽ εὐθείας τῶν πληθυντικῶν βόες. ὃ καὶ ἀριστοφάνης καθάπαξ βοῦν εἶπεν, ἀντὶ δὲ τῆς αἰτιατικῆς, βοῦς. (βυτα.

Βόλιτα λέγε, τὴν τῶν βοῶν κόπρον μὴ βόλ-

Βαλάντιον, καὶ πήρα ῥήτορες. οὐ μαρσίπιον.

Βρωμᾶται ὄνος. οὐκ ὀγκᾶται. λιβάνιος ἐν τῷ περὶ τῆς λάλου μελέτῃ. ὄνοι βρωμώμενοι. τὸ δὲ ὀγκᾶται. οὐδεὶς τῶν ῥητόρων εἶπε.

Βατὶς θηλυκὸν, ὁ ἰχθύς. οὐχ ἡ βάτος.

Βραβεύς. οὐ βραβευτής. σοφοκλῆς ἐν ἠλέκτρᾳ. ὅσων γὰρ εἰσεκήρυξαν οἱ βραβῆς δρόμων διαύλων. ἔστι δὲ ὁ ἀγωνοθέτης ὁ τὰ βραβεῖα τοῖς νικῶσι διδούς.

Βιασάμενος κόρην λέγε, μὴ φθείρας. καὶ βεβιασμένη, οὐκ ἐφθαρμένη.

Βόθρος, οὐ βόθυνος οὐδὲ λάκκος. ταῦτα γὰρ οὐκ ἴσασιν ἀττικοί.

Βλαβέντες δόκιμον. τὸ δὲ βλαφθέντες, κοινόν. ὡσαύτως καὶ βλαφθῆναι λέγε, μὴ βλαβῆναι. θουκυδίδης. τῷ μεγίστῳ τοῦ ὁπλιτικοῦ βλα- (φθέντα.

Βελόνη καὶ βελονοπώλης, ἀρχαῖα. ἡ δὲ ῥαφὶς, ἀδόκιμον. ῥάπτω μέν τοι καὶ ῥάμμα, αὐτὸ τὸ ἐρράφθαι ἐν χρήσει. ἀριστείδης ἐν διονυσίῳ. καλέσας τὰς νύμφας, λύει τὸ ῥάμμα.

Βάκηλος. ἁμαρτάνουσιν οἱ τιθέντες αὐτὸ ἀντὶ τοῦ βλακός. σημαίνει δὲ, τὸν ἀποτετμημένον τὰ αἰδοῖα. ὃν βιβαστεί τε καὶ ἀπαντί, γάλλον καλοῦσι. λέγε οὖν βλάκα, καὶ βλάκας ὡς οἱ ἀρχαῖοι.

Βάταλος, ἀντὶ μαλακοῦ τάττεται. ἀπό τινος ἀπὸ κρ τοῦ βατάλου γυναικείοις πεδίλοις χρησαμένου. ὅθεν καὶ δημοσθένης σκωπτόμενος παρὰ τῶν ἐχθρῶν εἰς μαλακίαν, βάταλος ἐκαλεῖτο.

Βρέχει, οὐδεὶς τῶν ἀρχαίων εἶπεν ἀντὶ τοῦ ὕει, ἀλλὰ ὕει. ἀριστοφάνης ἐν νεφέλαις. ἀλλὰ τίς ὕει, καὶ ὕεσθαι παθητικῶς. ἀριστείδης ἐν τῷ αἰγυπτίῳ. ποταμοὶ γὰρ ὕονται. καὶ οὐκ ἐπείσαι γε ἡμᾶς ὅτι ὕονται. τὸ βρέχω μέν τοι ἀντὶ τῶν ἀπολαυομένων ἀπὸ ὕδατος φασί. σημείωσαι δὲ ὡς ἀντὶ παθητικοῦ παρακείμενον καὶ τῶν ἐξ αὐτοῦ πάντων χρόνων, χώραν ἔχει τὸ βρέχει καὶ ἀντὶ ὕεσθαι λαμβάνεσθαι. ἀριστοφάνης ἐν νεφέλαις. πρὶν ἂν τουτὶ πτύξωμαι μὴ καταβραχῶ. καὶ ἀριστείδης ἐν τῷ αὐτῷ. ὅπου γε καὶ ἡ γῆ ψιλὴ βρέ- (χεσθαι.

Βαβαί, λογογραφικόν. βαβαιὰξ, ποιητικόν. ἀριστοφάνης ἐν βατράχοις. βαβαιὰξ μυριάκις ἐν τῷ βίῳ.

Βασίλεια γυνή. αἰσχύλος ἐν πέρσαις. βασίλεια γυναι. καὶ βασιλίς. βασιλὶς μέν τοι καὶ βασίλειος πόλις. οἰκία καὶ ναῦς. οὐ μὴν καὶ βασίλεια. βασίλειος δ᾽ αὖ μόνον δημηγορία καὶ ἐπιστολή. φιλόστρατος ἐν σοφιστῶν βίοις. δίηγε τὰς βασιλείους φροντίδας. βασίλισσα δὲ γυνὴ, οὐδεὶς τῶν ἀρχαίων εἶπε.

Βασίλεια κρεῖττον, ἢ ἀνάκτορα. τὸ δὲ παλάτια, ἀδόκιμον. ἀρχαῖα δὲ παρά τισιν εὕρηται.

Βαρὺς τὴν ὀφρὺν κάλλιον, ἢ σκυθρωπός. ἐκ βαθέων ἐστὶν ὀδύνης εἰκὼν λέγε, ἢ ἐκ γονέων πλου

Βεβᾶσι ἀττικοὶ λέγουσιν, οὐ βεβήκασι. καὶ (οἷον. βεβᾶσι, οὐ βεβήκασι.

Βρώματα πληθυντικῶς. ἓν βρῶμα. ἀλλὰ βρῶσις.

Τὸν βίον ἐκ χειρῶν ποιεῖται ἰρῆς, ὁ τὰ πρὸς τροφήν. λιβάνιος ἐν τῇ διαπεπλασμένῃ ἐπιστολῇ· εἰ τὸν βίον ἐκ χειρῶν ποιουμένη, συγκατακλίνοιτο τῷ δοῦναι δυναμένῳ.

Βασιλεὺς κυρίως, ὁ πατρόθεν ἢ ἄλλως ἀπὸ γένους ἔχων τὴν ἀρχήν. κοίρανος ὁ πρὸς καιρὸν τὸ τοῦ βασιλέως ἔργον ποιῶν. ἡγεμὼν δὲ ὁ τάξεως στρατιωτικῆς ἡγούμενος. τὸ δὲ ἄρχων, καὶ ἐπὶ τῶν τριῶν λαμβάνεται. τὸ μέντοι κρατῶν, ἐπὶ μόνου τοῦ βασιλεύοντος.

Βουλευτήριον. οὐ βουλεῖον. δῆθεν ἀπὸ τοῦ βουλεύω. ἔστι δὲ βουλευτήριον, οὐ μόνον ὁ τόπος ἐν ᾧ βουλεύονται, ἀλλὰ καὶ αὐτοὶ οἱ βουλευταί. συνέσιος ἐν ἐπιστολῇ. ἐπειδήμει πολλὰ παντὸς συνεστῶ τοῦ βουλευτηρίου. ἀλλὰ δὴ καὶ τὸ σχολεῖον ἐν ᾧ ἐδίδασκον, καὶ ἠγωνίζοντο οἱ διδάσκαλοι. ἀριστείδης ἐν τῇ ἐπὶ σμύρνῃ μονῳδίᾳ. ποῦ μοι τὰ βουλευτήρια. ποῦ νέων καὶ πρεσβυτέρων σύνοδοι καὶ θόρυβοι. λιβάνιος ἐν ἐπιστολῇ. τοῦτον ἥκοντα μὲν εὐθὺς εἰσήγομεν εἰς τὸ βουλευτήριον.

Βάραθρος ἀρσενικῶς, ὁ βαράθρου ἄξιος ἄνθρωπος.

Βάραθρον δὲ ὄρυγμά τι, εἰς ὃ τοὺς κακούργους ἔβαλλον. κρεῖττον δὲ λέγειν βαράθρου ἄξιος, ἢ ὀλέθριος.

Βίον, ἐπὶ ἀνθρώπων. ζωὴν δέ, καὶ ἐπὶ ἀνθρώπων καὶ ἐπὶ ἄλλων ζώων. ἐντεῦθεν ἀριστοτέλης τὸν βίον ὡρίσατο, οὕτως. βίος ἐστὶ λογικὴ ζωή.

Βλέπειν, τὸ ἁπλῶς ὁρᾶν. θεᾶσθαι δέ, καὶ τὸ ὁρᾶν τι, τῶν ἐν τῷ θεάτρῳ γινομένων. οἷον, πάλην. πυγμήν. καὶ τὰ τοιαῦτα. ἐξ οὗ καὶ θέατρον, ὁ ἀγών. ἔστι δὲ θεᾶσθαι, καὶ τὸ κατανοεῖν. θουκυδίδης. θεᾶσθαι δ' ὧν δεῖ χρὴ τὸν προστάτην.

Βασκαίνω, οὐ μόνον ἀντὶ τοῦ φθονῶ, ὅπερ πρὸς δοτικὴν συντάσσεται, ἀλλὰ καὶ ἀντὶ τοῦ μέμφομαι καὶ διαβάλλω παρὰ τοῖς παλαιοῖς εὕρηται. καὶ συντάσσεται πρὸς αἰτιατικήν. δημοσθένης ἐν τῷ περὶ τῶν ἐν χερσονήσῳ. ταύτην βασκαίνειν, καὶ διαλύειν πειρᾶσθε. καὶ πάλιν ἐν τῷ αὐτῷ λόγῳ. ἀλλὰ βασκαινόμενοι καὶ σκοπούμενοι πόθεν καὶ τί μέλλει ποιεῖν. καὶ ἀριστείδης ἐν τῷ περὶ τοῦ πέμπειν βοήθειαν τοῖς ἐν σικελίᾳ. ὅσον φιλονεικίας, ἢ τοῦ βασκαίνειν τὸν ἄνδρα ἀφέστηκα.

Βοηθεῖ μὲν ὁ συνὼν τινί. ἐπικουρεῖ δέ, ὁ ἔξωθεν εἰς βοήθειαν ἥκων. καὶ συμμαχεῖ ὁ αὐτός. ὑπερμαχεῖ δὲ ὁ ἐκ δυνάτου χρησιμεύων. ἀμύνει δέ, ὁ ὑπὲρ τοῦ πεπονθότος κακῶς, τῷ δεδρακότι μαχόμενος. πάντα δὲ ταῦτα, καὶ ἀντὶ τοῦ βοηθεῖν ἁπλῶς λαμβάνεται.

Βουκολεῖν τὸ τρέφειν, ἀποβουκολεῖν δέ, τὸ ἀποπλανᾶν. ὡς ἔφη τις τῶν σοφῶν. φθονέει τις ταῖς ἐλπίσιν ἡμᾶς ἀποβουκολεῖν. καὶ λουκιανὸς ἐν ἑρμοῦ καὶ πλούτωνος διαλόγῳ. εὖ μάλα διαβουκολεῖ αὐτούς, καὶ ἐλπίζειν. ἤγουν ἀπατᾷ καὶ εἰς ἐλπίδας ἄγει.

Βρύχειν τοὺς ὀδόντας. οὐ βρύζειν.

Βαρβαροκτόνος, ὁ κτείνας τοὺς βαρβάρους. βαρβαρόκτονος δέ, ὁ ὑπὸ βαρβάρων κτανθείς. ὥσπερ καὶ μητρόκτονος καὶ μητροκτόνος, καὶ ὅσα τοιαῦτα.

Βύειν, ἐπὶ ὤτων καὶ ῥινῶν, ἐπὶ ὀφθαλμῶν. συμμύειν. ἐπὶ στόματος. μύειν δὲ ἐπὶ πασῶν τῶν αἰσθήσεων. ὡς τὸ τοῦ θεολόγου. μύσαντα τὰς αἰσθήσεις.

Βωμολόχος. ὁ φλύαρος. ἐκ μεταφορᾶς τῶν τοῖς βωμοῖς ἐλλοχώντων πτωχῶν, ἵνα τι τῶν θυομένων ὑφέλωσιν, ἢ ἁρπάσωσιν. εἰς τοῦτο δὲ ὄντες οἱ τοιοῦτοι, καὶ ἄθεσμα τινὰ ἔλεγον.

Οὐ μόνον βαρβαρικὸς πόλεμος, ἀλλὰ καὶ βάρβαρος. θουκυδίδης. βάρβαρον ἢ ἑλληνικὸν πόλεμον.

Τὸ βασανίζειν, ἐπὶ δοκιμασίας λαμβάνεται, καὶ τῆς διὰ λόγων, καὶ τῆς διὰ τιμωρητικῶν ὀργάνων. μὴ λέγε οὖν βεβασάνισται ὑπὸ νόσου. ἀλλ' ἐξήτασται.

Βαρῶν, χρήσιμον. βαρεῖν δὲ ἄχρηστον παρὰ τοῖς δοκιμωτάτοις τῶν παλαιῶν. πλὴν ἐπὶ τοῦ παρακειμένου οὐ βεβάρυγκα λέγουσιν, ἀλλὰ βεβάρηκα, εἰς παθητικὴν σημασίαν. ἀριστείδης ἐν τετάρτῳ τῶν ἱερῶν. οἳ δ' ἧκον οἴνῳ βεβαρηκότες, οἱ αὐτοί.

Τὰ εἰς κός, τινὰ μὲν κτητικά. οἷον, βασιλικὸς λόγος ὃν ἔγραψε βασιλεύς, ἢ ὃν ἔγραψέ τις εἰς βασιλέα. πλατωνικὸν βιβλίον. τινὰ δὲ δηλοῦσιν ἐπιτηδειότητα πρός τι. οἷον, δρομικός, ὁ ἐπιτηδειότητα ἔχων εἰς δρόμον, καὶ μηδέπω δεδραμηκώς. καὶ πυκτικός, ὁ ἐπιτηδειότητα ἔχων εἰς τὸ πυκτεύειν. τὰ δέ, λέγονται ἐνεργείᾳ. οἷον, μουσικός, ὁ εἰδὼς μουσικήν. καὶ γραμματικός, ὁ εἰδὼς γραμματικήν. τὰ δὲ φύσει. οἷον λογικός, ὁ λόγῳ χρώμενος.

Βέλος, τὸ πεμπόμενον, καὶ αὐτὴ ἡ βολή, καὶ τὸ ἐκ τῆς βολῆς τραῦμα. ὅμηρος δέ, καὶ τὴν ὠδῖνα ὀξὺ βέλος ἔχειν φησίν.

Οὐ μόνον βουλεύομαι, ἀλλὰ καὶ βουλεύω. λιβάνιος ἐν τῷ ἀντιοχικῷ. ἐν ᾗ τινὲς τῆς εὑρέσεως ἐλπίδος, ὅπως ἐβούλευσαν. καὶ βουλεύω, ἀντὶ τοῦ, βουλευτής εἰμι. ἐπιβουλεύω δέ, τὸ ἐπιβουλὴν ἀρτύω κατά τινος. καὶ αὖ ἐπιβουλεύω. τὸ μετά τι ἐπιβουλεύομαι. ἀριστοφάνης ἐν πλούτῳ. τί δὲ ταῦθ' ἡμᾶς ἐπιβουλεύειν ποιεῖν, καὶ θουκυδίδης ἐν β'. ἐπιβουλεύουσιν αὐτοί τε καὶ ἀθηναίων οἱ ξυμπολιτευόμενοι, πρῶτον μέν, πάντας ἐξελθεῖν. Ἰστέον δὲ ὅτι τὸ βούλομαι μετὰ παρῳχημένου καὶ ἐνεστῶτος μόνον τίθεται. οὐδέποτε δὲ μετὰ μέλλοντος. ὅμηρος ἐν α' ἰλιάδος. βούλομ' ἐγὼ λαὸν σῶον ἔμμεναι ἢ ἀπολέσθαι. θουκυδίδης ἐν ἑβδόμῃ. βουλόμενοι ἐκ τῶν οἰκιῶν λαβεῖν τι ἐδώδιμον. λουκιανὸς ἐν τοῖς ἀληθινοῖς. βούλομαι αὖθις διηγήσασθαι. ὡσαύτως καὶ τὸ θέλω. καὶ ἐθέλω. ὡς ὁ αὐτὸς ἐν τῷ αὐτῷ λόγῳ. ὁμήρους ἐπὶ τούτοις δοῦναι ἤθελεν.

Καὶ τό, βιάζω δὲ καὶ τὸ ἀναγκάζω. θουκυδίδης ἐν

τῇ πρώτῃ ὁμολογίᾳ ἀναγκάσαντες ἀποδοῦναι τὴν πόλιν. καὶ αὖθις ἐν τῇ τετάρτῃ. οὐκ ἀνέμενον αὐτὴν σφίσι γενέσθαι.

Κ αἱ τὸ ἐπιθυμῶ δὲ καὶ τὸ ἀξιῶ. καὶ τὸ δέομαι. καὶ τὸ ἱκετεύω. καὶ τὸ ποθῶ, ὁ αὐτὸς ἐν τῇ ἕκτῃ. ἑτέρους ἐπιθυμεῖν ἐκεῖσε πλεύσαντας, δεῦτερον ἐπαναγαγέσθαι. ὁ αὐτὸς αὖθις ἐν τῇ ἕκτῃ. ἠξίουν σφίσιν ἀποδοῦναι. καὶ αὖθις ἐν τῇ αὐτῇ. ἐδέοντο σφίσι, πάνακτόν τε καὶ τοὺς ἀθηναίων δεσμώτας παραδοῦναι. λουκιανὸς ἐν τῷ ῥητόρων διδασκάλῳ. ἐπιθυμῶν δηλαδή, ὅτι τάχιστα γενέσθαι ἤδη τῆς ἄκρας. ὁ αὐτὸς ἐν τοῖς ἀληθινοῖς. ἠξίουν ἀποπεμφθῆναι κἀγώ. καὶ αὖθις ἐν τοῖς αὐτοῖς. ἱκέτευον εἰπεῖν τὰ μέλλοντα. καὶ πάλιν ἐν τῷ ῥητόρων διδασκάλῳ. ὅπερ ἐξ ἀρχῆς ἐπόθεις ἐλθεῖν.

Ω σαύτως καὶ τὸ μαντεύομαι καὶ ἐῶ, καὶ τὸ παραιτοῦμαι. καὶ τὸ ὀρέγομαι, καὶ τὸ κελεύω. καὶ τὸ δύναμαι. καὶ τὸ ζητῶ. καὶ τὸ ὀφείλω. καὶ τὸ ἀγωνίζομαι. καὶ τὸ παραινῶ. καὶ τὸ τολμῶ. λουκιανὸς ἐν τοῖς νεκρικοῖς διαλόγοις. οὐδὲ πώποτε προμαντευόμενος. οὕτως γενέσθαι ταῦτα. ὁ αὐτὸς ἐν τοῖς ἐναλίοις. ἐάσατε ῥίψαι ἐμαυτόν. καὶ αὖθις ἐν τοῖς αὐτοῖς. τὸ βρέφος δὲ παρῃτεῖτο μὴ ἀποθανεῖν. καὶ αὖθις ἐν τῷ θεῶν κρίσει. καὶ τούτων ὀρέγεσθαι τυχεῖν. καὶ αὖθις ἐν τοῖς νεκρικοῖς. τὸν ἑρμῆν κέλευσον ἀποσπάσασθαι αὐτόν, οἷος ἦν ἐκ τοῦ πάσσου. ἀριστείδης ἐν δευτέρῳ τῶν ἱερῶν. κελεύει καταβάντα εἰς τὸν ποταμόν, τὸν πρὸ τῆς πόλεως ῥέοντα λούσασθαι. ὁ αὐτὸς, ἐν τῷ αὐτῷ. τις ἐνδείξασθαι δυνηθείη. καὶ αὖθις ἐν τῷ αὐτῷ. ἔδοξεν οὖν ἡμῖν οὐ χεῖρον εἶναι μεταπέμψασθαι τὸν νεωκόρον. θουκυδίδης ἐν τρίτῃ. πρὸς ἀθηναίους ἐκέλευε τε ψηφίσασθαι. ὁ αὐτὸς ἐν τῇ αὐτῇ. ἐζήτησάν τε μετὰ τὴν πολεμιωτάτην ὑμᾶς στάντες διαφθεῖραι. ὁ αὐτὸς αὖθις ἐν τῇ τετάρτῃ. ὀφείλει ἤδη ὁ ἐναντίος, μὴ ἀνταμύνασθαι ὡς βιασθείς, ἀλλ' ἀνταποδοῦναι ἀρετήν. καὶ αὖθις ἐν τῇ τετάρτῃ. καὶ ἀγωνίσασθε τοῖς ἕλλησιν ἄρξαι πρῶτοι ἐλευθερίας. καὶ ἐν τῇ ὀγδόῃ. ἠγωνίζετο οὖν εἷς ἕκαστος, αὐτὸς πρῶτος, προστάτης τοῦ δήμου γενέσθαι. καὶ ἐν τῇ τρίτῃ. παραινοῦντων ἀθηναίων σφᾶς ἐάσαι πρῶτον ἐκπλεῦσαι. καὶ ἐν τῇ ἑβδόμῃ. τολμῆσαι πρὸς τὸ ἀθηναίων ναυτικὸν ἀντιστῆναι.

Κ' αὶ τὸ πείθω δὲ καὶ πείθομαι, καὶ κινδυνεύω. καὶ ἔτι τὸ λέγω. καὶ ἐπείγομαι, καὶ ὁρμῶ. καὶ ἐθῶ. καὶ διανοοῦμαι. καὶ ἔχω. καὶ ἐπιστέλλω τὸ προστάσσω, καὶ κωλύω. καὶ ψηφίζομαι. καὶ ὀκνῶ. καὶ σπεύδω. ὁ αὐτὸς θουκυδίδης ἐν τῇ δευτέρᾳ. ταξάμενοι κατὰ χρόνους ἀποδοῦναι. καὶ αὖθις ἐν τῇ τρίτῃ. ἔργῳ δὲ πεποιημένοι, κερκυραίοις ἔπειθον προσποιῆσαι. καὶ ἀριστείδης ἐν τῷ ῥοδίοις περὶ ὁμονοίας. ἐπεὶ δὲ λόγῳ ψιλῷ δεῖ πείσαντα καταστήσασθαι τὰ πράγματα. θουκυδίδης ἐν τῇ τρίτῃ. καὶ ἡ πόλις ἐκινδύνευσε πᾶσα διαφθαρῆναι. καὶ αὖθις ἐν τῇ τετάρτῃ. ἔπειθε δὲ τούτοις καὶ κερκυραίων τὴν ἐν τῇ πόλει ἐπιμεληθῆναι. καὶ πάλιν ἐν τῇ αὐτῇ. ἐπείγοντο φθῆναι τοὺς λακεδαιμονίους. καὶ ἐν τῇ αὐτῇ αὖθις. ὥρμηντο διακινδυνεῦσαι. καὶ πάλιν ἐν τῇ αὐτῇ. ὤσασθαι ἐπειρῶντο. καὶ ἐν τῇ πέμπτῃ. διενοεῖτο ἀνανεώσασθαι. καὶ ἐν τῇ ἕκτῃ. οὔτε γνώμας ἔχει εἰπεῖν. καὶ ἐν τῇ ὀγδόῃ. καὶ ἐπεκηρυκεύετο αὐτοῖς ἀποστῆναι. καὶ αὖθις ἐν τῇ αὐτῇ. ἐπιστείλαντες ξυναλλαγῆναι πρὸς τοὺς λακεδαιμονίους. καὶ ἐν τῇ αὐτῇ αὖθις. ἢ πελοποννησίοις γε κωλύσειν ἐλθεῖν. καὶ πάλιν ἐν τῇ αὐτῇ. ἐψηφίσαντο τὰ πράγματα παραδοῦναι. καὶ ἀριστείδης ἐν τῷ ῥοδίοις περὶ ὁμονοίας. τοῖς δὲ ἀποκνήσασι μέχρι τούτου μνησθῆναι πρὸς ὑμᾶς περὶ τούτων. καὶ θουκυδίδης ἐν τῇ δευτέρᾳ. καὶ μὴ κατοκνήσειν περιιδεῖν αὐτὴν τμηθεῖσαν.

Ω σαύτως καὶ τὸ ἐχρῆν. τὸ ἔδει. τὸ εἰκός ἐστι. τὸ ἀνάγκη ἐστί. καὶ τὸ ἔξεστι. θουκυδίδης ἐν τῇ τετάρτῃ. ἔξεστι καλῶς θέσθαι. καὶ ἐν τῇ πέμπτῃ. οὐκ εἰκὸς εἶναι νῆσόν γε αὐτοὺς περιαιρεθῆναι.

Τ ὸ δὲ φημί, ἀεὶ πρὸς μέλλοντα καὶ ἐνεστῶτα. ὁ αὐτὸς ἐν τῇ δευτέρᾳ. καὶ αὐτὸς ἔφη ξυλλήψεσθαι. καὶ ἐν τῇ τετάρτῃ. ταῦτα δὲ ἔχων, ἔφη ἢ ἄξειν λακεδαιμονίους ζῶντας, ἢ αὐτοῦ ἀποκτενεῖν. καὶ ἀριστείδης ἐν πέμπτῳ τῶν ἱερῶν. ἀντὶ πάντων ἔφη τιμήσεσθαι χρημάτων αὐτούς. εἰ δὲ περὶ παρῳχημένου πράγματος δεῖ λέγειν, τό τε καὶ τὸ ἔφην πρὸς παρῳχημένον τίθεται.

Ω σαύτως τὸ ὀμνύω. καὶ τὸ ὁρκῶ, ἤδη μέλλοντος καὶ ἐνεστῶτος. λουκιανὸς ἐν τοῖς νεκρικοῖς. ἐλεύθεροι ἔπω μισσαίνην ἀφήσειν αὐτόν. καὶ θουκυδίδης ἐν τῇ ἕκτῃ. ὁρκώσαντες μηδὲν μνησικακήσειν.

Τ ὸ δὲ εὔχομαι, εἰ μὲν ἔστιν ἀντὶ τοῦ ὑπισχνοῦμαι (ὁμολογοῦμαι), ἀεὶ πρὸς μέλλοντα. πλάτων ἐν φαίδωνι. τῷ γοῦν ἀπόλλωνι εὔξαντο ὡς λέγεται τότε, εἰ σωθεῖεν ἑκάστου τοῦ ἔτους θεωρίαν ἀπάξειν εἰς δῆλον. εἰ δὲ ἀντὶ τοῦ παρακαλῶ, πρὸς παρῳχημένον. πλάτων ἐν τῷ ἀξιόχῳ. ὁ περὶ θανάτου. εὐξάμενοι τὸ κράτιστον αὐτοῖς γενέσθαι. καὶ δημοσθένης ἐν τῷ περὶ τοῦ στεφάνου. πρῶτον μὲν ὦ ἄνδρες ἀθηναῖοι τοῖς θεοῖς εὔχομαι πᾶσι καὶ πάσαις, ὅσην εὔνοιαν ἔχων διατελῶ τῇ τε πόλει καὶ πᾶσιν ὑμῖν, τοσαύτην ὑπάρξαι μοι παρ' ὑμῶν.

Τ ὸ δὲ προσδοκῶ καὶ ἐλπίζω, εἰ μὲν ἁπλᾶ μὲν οὕτω τιθέμενα, μέλλοντι συντάσσονται καὶ ἐνεστῶτι. εἰ δὲ διαλελυμένως, οἷον ἐλπίδα ἔχω. καὶ προσδοκίαν ἔχω, καὶ πρὸς παρῳχημένον, πρὸς μέλλοντα. ἀριστείδης ἐν λευκτρικῶν τρίτῳ. προσδοκίαν τινὰ ἔξουσι δι' ἡμῶν πάλιν σωθήσεσθαι. θουκυδίδης ἐν τῇ τετάρτῃ. ἐν ἐλπίδι εἶναι ἀναλαβεῖν νῆσον. καὶ ἐν τῇ πέμπτῃ. ἐλπὶς γὰρ μάλιστα αὐτὸν οὕτω φοβηθῆναι. καὶ αὖθις ἐν τῇ αὐτῇ. ἔτι καὶ

ϛῆσαι ἐλπὶς ὀρθῶς. καὶ ἐν τῇ ἕκτῃ. οὐκ ἀνέλπιστον τὸ τοιοῦτον ξυμβῆναι.

Κ αὶ τὸ φοβοῦμαι δὲ μέλλοντι συντάσσεται. ὁ αὐτὸς ἐν τῇ πέμπτῃ. ὃ φοβούμενοι ἐλασσώσεσθε.

Τ ὸ δὲ δοκῶ καὶ τὸ νομίζω, καὶ τὸ οἴομαι, καὶ τοῖς τρισὶ χρόνοις συντάσσονται. ὁ αὐτὸς ἐν τῇ ἑβδόμῃ. ἔδοξε τῷ δημοσθένει πρότερον ἀποπειρᾶσαι. καὶ ἐν τῇ τετάρτῃ. αὐτοὶ κυριώτεροι νομίζοντες εἶναι δοῦναι. καὶ ἀριστείδης ἐν τῷ περὶ ὁμονοίας. ταῖς πόλεσιν ἐάσειν μοι δοκῶ.

Τέλος τοῦ β' στοιχείου.

ΑΡΧΗ ΤΟΥ Γ'.

γ ἀμους ποιεῖν ἀττικοὶ λέγουσιν, οὐχὶ γάμον.

Γραῦς, οὐχ αἱ γρᾶες. οὐδὲ αἱ γραῖαι. ποιητικὸν γάρ.

Γῆμαι οὐ γαμῆσαι. λιβάνιος ἐν τῇ μελέτῃ τῆς λάλου. ἔδει μὲν ὦ βουλὴ πεπειρᾶσθαί με πρὶν ἢ γῆμαι. καὶ ἔγημεν ὁ ἀνήρ. ἐγήματο δὲ

Γ αστρίδουλος μὴ εἴπῃς, ἀλλὰ γαστρὸς (ἢ γαστρὶ. δοῦλος. ἢ γαστρὶ δουλεύων. ἢ γαστρὸς ἥττων.

Γ νωσιμαχῶ, τὸ διά τι προγεγονὸς ἐμαυτῷ μάχομαι, ὅπως τοῦτο εἰργασμένον. λέγε δὲ γνωσιμαχῶ, καὶ μὴ ἐμαυτῷ κατὰ νοῦν μάχομαι.

Γ αργαλισμὸς μὴ εἴπῃς. γάργαλος δέ. λουκιανὸς ἐν τῷ μίκυλος, ἢ ἀλεκτρυών. τοιοῦτον γάργαλον παρεῖχετό μοι τὰ ὁρώμενα. γαργαλίζω μέντοι. ἀριστείδης ἐν τῷ κατὰ ἐξορχουμένων. καὶ τὰ ὦτα γαργαλίζουσι.

Γ ιγνόμενον, οὐ μόνον τὸ ἐνεργούμενον, ἀλλὰ καὶ τὸ ἀνῆκον τινί, καὶ ἁρμόζον. οἱονεὶ τὸ πρὸς αὐτὸν ἐρχόμενον. καὶ αὐτῷ συμβαῖνον. λιβάνιος ἐν τῇ δικάζεται ποσειδῶν ἄρει, ὑπὲρ ἁλιρροθίου μελέτῃ. θεῖος γὰρ οὗτος, καὶ τιμῶ τὰ γιγνόμενα. ἤγουν ὅσον ἀνήκει καὶ ἐπιβάλλει τῷ θείῳ. καὶ ἡ γιγνομένη τινὶ εὐφημία. ἤγουν ἡ πρέπουσα καὶ ἐπιβάλλουσα.

Γ εγυμνασμένος ῥητορικῆς, καὶ ῥητόρων δοκιμώτερον ἂν εἴποις, ἢ μέτοχος. φιλόστρατος ἐν τοῖς βίοις τῶν σοφιστῶν. γεγύμναστο δὲ ἱκανῶς τῆς ἀττικιζούσης λέξεως. καὶ πάλιν. ἄνδρα γεγυμνασμένον τῆς τοιᾶσδε ἰδέας. εἰδέναι δὲ χρή, ὅτι ἕνεκα λαμβάνεται ἔξωθεν. ὡς εἶναι τὸ ἐντελὲς τῆς ἐννοίας, ὅσον εἰς τοῦτο γεγυμνασμένος ἦν.

Γ υναικὸς ἀδελφός, οὐ γυναικάδελφος. κοινὸν δέ.

Γ αστρίζειν, ἀντὶ τοῦ τὴν γαστέρα τύπτειν οἱ μὲν ὕστεροι. οἱ δὲ ἀρχαῖοι, ἀντὶ τοῦ τὴν γαστέρα ἐμπιπλᾶσθαι.

Ο ὐ μόνον ἄγεται γυναῖκα, ἀλλὰ καὶ γαμεῖ.

Γ ρυλίζειν ἀττικοί, δι' ἑνὸς λ.

Γ ογγύλη. οἱ μὲν παλαιοί, ἀντὶ τοῦ στρογγύλου τιθέασιν. οἱ δὲ νῦν, ἀντὶ τοῦ λαχάνου. ὅπερ γογγυλίς, οὐ γογγύλη γράφεται.

Γ ενέματα, ἀντὶ καρπῶν τινὲς τιθέασιν, ἀδοκίμως. σὺ δὲ καρποὺς λέγε.

Γ ράψαι καὶ λέγειν, ὅμηρος λέγει. γράμμα δὲ καὶ λόγον οὐχί.

Γ ραφεὺς κάλλιον, ἢ ζωγράφος. εὐριπίδης ἐν ἑκάβῃ. ὡς γραφεύς τ' ἀποσταθείς.

Γ ράφομαί σε τοῦ δεῖνος, οὐ γράφω. εἰ καὶ συνέσιος ἐνεργητικῶς τε ἅμα καὶ οὕτως ἁπλῶς προήγαγεν ἐν τῇ ἐπιστολῇ τῇ, σὺ μὲν δὴ καὶ φιλόσοφος εἶ καὶ φιλάνθρωπος λέγων, ἐφ' ᾧ γενέθλιον ἔγραψε. καὶ λουκιανὸς ἅπαξ, ἐν τῷ δὶς κατηγορουμένῳ. γράψαι μὲν αὐτὴν μοιχείας οὐκ ἐδοκίμαζεν.

Γ ήμεν ὁ ἀνὴρ λέγε. ἐγήματο δὲ ἡ γυνή.

Γ ενέθλια, δοκεῖ μοι οὐ γενέσια. καὶ γενεθλιακοὶ λόγοι, οὐ γενεσιακοί.

Γ εννηθεὶς ἀντὶ τοῦ γενόμενος, ἀλλ' εἰς τὴν δοκιμασίαν

Ε γεγόνειν γὰρ καὶ ἐγεγόνειν ῥήτορες λέγουσιν. ἐγεννήθη δὲ καὶ τὴν καθεξῆς ἅπαντας χρόνους, παρ' οὐδενὶ τούτων εὑρήσεις. εἰ μὴ ἀριστείδης ἅπαξ ἐν τῷ πρὸς βασιλέα εἰπεῖν λόγῳ. ὅπερ μοι δοκεῖ ἁμάρτημα εἶναι τῆς γραφῆς. λέγει δὲ οὕτω. πολλοῖς δὲ ἀνηκέστων συμφορῶν αἴτιοι γεννηθέντες.

Γ ελοῖος, ὁ καταγέλαστος. γελοῖος δὲ ὁ γελωτοποιός. γελοῖον δὲ οὐδέτερον, μόνον τὸ γέλωτος ἄξιον. δημοσθένης ἐν τῷ δευτέρῳ τῶν ὀλυνθιακῶν. μίμους γελοίων καὶ ποιητὰς αἰσχρῶν ᾀσμάτων.

Γ οργώ, γοργοῦς, ἀττικοί. ὡς σαπφώ, σαπφοῦς. (των. γοργὼν δὲ γοργόνος, ἁπλῶς ἕλληνες. εὐριπίδης ἐν ὀρέστῃ. τὸ γοργοῦς δὲ οὐκ ἀέτοι δ' ἐνῶ καίρα. λουκιανός, ἐν τῷ περὶ εἰκόνος. ἀλλ' ἢ τοιοῦτό τι ἔπαθον οἱ τὴν γοργὼ ἰδόντες. λιβάνιος ἐν τῇ μελέτῃ τοῦ τρισαριστέως. ὥσπερ τινὰ γοργὼ, τὴν ἐμὴν ὁρῶντες ἀσπίδα.

Γ αῦρος, ὁ χαίρων. ἀριστείδης ἐν τῇ μονῳδίᾳ τῆς σμύρνης. τὸ ὑπὲρ πάσης τῆς πόλεως ἑστηκὸς γαῦρος.

Κ αὶ γαυροῦμαι, τὸ ἡδονῆς καὶ χάριτος πληροῦμαι. ὡς ὁ αὐτός. τίς οὐχὶ καὶ ἐν ταῖς τραγῳδίαις ἰδὼν ἐγανώθη. καὶ γεγανωμένα πρόσωπα, τὰ χάριτος γέμοντα.

Γ αμβρὸς, ποιητικώτερον. κηδεστὴς δὲ παρὰ τοῖς

Γ είτων εἰμὶ τοῦ δεῖνος, καὶ γείτων εἰμὶ (ῥήτορσι. τῷ δεῖνι. τῆς μὲν γενικῆς, πρὸς τὸ γείτων. τῆς δὲ δοτικῆς, πρὸς τὸ ὑπαρκτικὸν ῥῆμα, εἴτε ὄν, εἴτε νοούμενον. μάρτυς ἀμφοτέρων αἰσχύλος λέγων ἐν τῷ ἑπτὰ ἐπὶ θήβαις. γείτονας πύλαις ἔχων ὅπλα σθένος. καὶ πάλιν ἐν τῷ αὐτῷ δράματι. ὑπ' ἀγχίπολις πύλαισι γείτων.

Τ ὸ γοῦν, καὶ ἀντὶ τοῦ κἂν, καὶ ἀντὶ τοῦ γάρ. ὡς ἀριστοφάνης ἐν πλούτῳ. κρατοῦσι γοῦν κἂν τοῖς πολεμίοις ἑκάστοτε. καὶ ἀργὸν δὲ οὐδὲν χάριν κόσμου τιθέασιν οἱ ποιηταί. σοφοκλῆς ἐν ἠλέκτρᾳ. τὰ γοῦν σά. ὡσαύτως καὶ τὸ γε, οὐ μόνον ἀργὸν εὑρίσκεται. ἀλλὰ καὶ ἀντὶ τοῦ γάρ. ἀριστοφάνης ἐν πλούτῳ. ἔστω γέ τοι διὰ μακρὸν ἀρ-

γνείδιον δοῦλος γεγένημαι. λιβάνιος ἐν ἐπιστολῇ. τοῖς μέν γε κάλλεσιν οὐκ ἔπεστι. καὶ ἀριστείδης ἐν τῷ ὑπὲρ ῥητορικῆς πρώτῳ. βαδίζουσί γε εἰς ἀδελφοὺς, καὶ παύονται περὶ τὴν πολιτείαν.

Γ ηραιὰ, καὶ καταγηράσαι ἀρχαιότερον. οἱ δ᾽ ὕστερον γηράσαι, καὶ καταγηράσαι. τὰ παρὰ τὸ γῆρας. καὶ κρέας. καὶ κέρας συνθέμενα ὀνόματα, διὰ τοῦ ω μεγάλου γραφόμενα, τὰ μὲν παρὰ τὸ γῆρας καὶ κρέας, κατὰ ἀποβολὴν τοῦ. ο. κλίνεται. οἷον ἀγήρως, ἀγήρω. καλόγηρως, καλογήρω. τὰ δὲ παρὰ τὸ κέρας, οἱ μὲν κοινοὶ, διὰ τοῦ τος κλίνουσι μονόκερως μονοκέρωτος. αἰγόκερως, αἰγοκέρωτος. οἱ δὲ ἀττικοὶ, κατὰ ἀποβολὴν τοῦ. ο. καὶ ταῦτα. χρυσόκερως χρυσοκέρω. ἀριστείδης ἐν τῷ εἰς ῥώμην. ποιητὴς μὲν οὖν ἤδη τις εἶπε σκώψας. εὔξασθαι κατὰ χρυσοκέρω λιβανωτοῦ.

Γ ανὰ, ἀνὴρ παιδεία. καὶ γενναῖος. πλάτων τὸν ἀνδρεῖον, ἀντὶ τοῦ γενναῖον λέγει. τὸ γελάσω, καὶ ὅσα δευτέρας συζυγίας τῶν περισπωμένων ὄντα, πρὸ τοῦ. α. σύμφωνον ἔχοντα πλὴν τοῦ. ρ. βραχὺ τὸ α. ἔχουσιν. ὅσα δὲ πρὸ τοῦ α. φωνῆεν ἢ τὸ ρ. μακρὸν ἔχει τὸ α. οἷον, ἐῶ, ἐάσω. ἐάσαι. περῶ περάσω, περάσαι.

Γ αμεῖ τις ἀμεταβάτως ἀντὶ τοῦ γάμον ἔχει. τουτέστι, συνοικεῖ ἐπὶ γυναικί. καὶ γαμεῖ τὴν δεῖνα μεταβατικῶς, ἀντὶ τοῦ εἰς γάμον λαμβάνει. ἢ λαβὼν ἔχει.

Γ έγονα ἔτη τοσαῦτα κάλλιον, ἢ γέγονα ἐτῶν. πλάτων ἐν τῇ τοῦ σωκράτους ἀπολογίᾳ. ἔτη δὲ γεγονὼς πλείω ἑβδομήκοντα. καὶ ἡρόδοτος ἐν τῷ τρίτῳ. ταῦτα εἰπεῖν αὐτὸν ἔτη ὡς δώδεκα γεγονότα.

τέλος, τοῦ γ. στοιχείου.

ΑΡΧΗ ΤΟΥ. Δ.

Ιακόνους γράφει τις λέγεται, οὐ διακόνους.

Δ Διακονοῦμαι καὶ διακονῶ λουκιανὸς ἐν τῷ φιλοψευδεῖ ἢ ἀπιστοῦντι. δεξιὰς ὑπηρέτησεν καὶ διηκονεῖτο ἡμῖν.

Δ ιηρουν, οὐ δίηρουν. ἀπὸ τοῦ διηρέω γάρ.

Δ εσμὰ κάλλιον, ἢ δεσμοί. ἰδὲ δὲ τὴν ἑνικῶν, τὸ τοῦ ἀρσενικοῦ μόνον ἐν χρήσει. ὁ δεσμὸς γὰρ τοῦ δεσμοῦ. καὶ ὅσα μέχρι τῶν πληθυντικῶν.

Δ ειμαλέος κάλλιον, ἢ δειλός. καὶ δέον ἢ δεσμῶν. δημοσθένης. δέον, ἀπαίτων, βοῶν.

Δ ιηλλάγη δοκιμώτερον, ἢ κατηλλάγη. καὶ διαλλάττεται πληθυντικῶς, οὐ διηλλάγη. τὸ δὲ καταλλαγὰ καὶ εἰ εὕρηταί που, ἀλλ᾽ οὐ δόκιμον. ἐναντίως καὶ ἰδὲ τὸ διαλλάττω καὶ καταλλάττω, νόει. οὐ μόνον δὲ ἀντὶ τοῦ φιλιῶ τὸ καταλλάττω εὕρηται, ἀλλὰ καὶ ἀντὶ τοῦ παραλλάττω. ἀριστείδης ἐν τῷ αἰγυπτίῳ. πλειόνως ὡς εἰπεῖν διαλλάττει, ἢ ἄλλο ἔθνος πρὸς αὐτὴν αἰγυπτίων. θουκυδίδης δὲ καὶ ἐνηλλάγη, ἀντὶ τοῦ διηλλάγη λέγει. ὅσοι μὲν ἀθηναίοις ἤδη ἐνηλλάγησαν καὶ συνηλλάγη, ὥσαύτως ἐν τῇ ὀγδόῃ. ἐπιστείλαντες ξυναλλαγῆναι πρὸς τοὺς λακεδαιμονίους. καὶ πάλιν ἐν τῇ τρίτῃ. καὶ ἔρκει ὅπου ἄρα γένοιτο ξυναλλαγῆς. διαλλαχθήσομαι δὲ κάλλιον, ἢ διαλλαγήσομαι. ὡς ἐπὶ τὸ πολὺ γὰρ οἱ μέλλοντες πρῶτοι, προτιμῶνται τῶν δευτέρων μελλόντων.

Δ ιαπαίζει, οὐ καταπαίζει.

Δ ιαφῆκε δοκιμώτερον, ἢ ἀφῆκε.

Κ αὶ Διακούει, ἢ ἀκούει.

Δ ιαλοιδορεῖται καὶ λοιδορεῖται, ἢ λοιδορεῖ. συντάσσεται δὲ ἀεὶ πρὸς δοτικὴν τὸ παθητικὸν, εἰ καί τινες πρὸς αἰτιατικὴν ἀδοκίμως. καὶ διαλυμαίνεται, καὶ λυμαίνεται.

Δ ισκοβόλος οὐ δεῖ λέγειν, ἀλλὰ δισκευτής.

Δ ουλοῦμαι τὸ δεῖνα ἀττικοὶ οὐ δουλῶ. δημοσθένης δουλοῦται τὰς πόλεις.

Δ ιαχρῶμαι τὸ δεῖνα καὶ διαχειρίζομαι, καὶ διεργάζομαι, κρεῖττον, ἢ φονεύω. λιβάνιος ἐν διηγήματι δραματικῷ, τῷ ὑπὲρ τῆς ἑαυτοῦ γυναικὸς ὄντος δειλαίας, διαχρησαμένης τὸν δεσπότην. καὶ πάλιν ἀλλαχοῦ. διεχειρίσατο ἑαυτόν. ἀριστείδης ἐν ἱερῶν λόγων. ἄγ᾽ οὖν ὁδὸς αὐτ. καὶ διεργάσαιμ᾽ ἄνων ὡσαύτως καὶ διαχείρισις. καὶ διεργασίς ἐστί τοι καὶ διεργασμὸς οὐχ εὕρηται.

Ε στι δὲ καὶ διαχείρισις, ἢ διοίκησις. θουκυδίδης. ἐν πολέμῳ τε καὶ διαχειρίσει πραγμάτων.

Κ αὶ διαχειρίζω, τὸ διεξάγω. ἡρόδοτος δὲ καὶ καταχρῶμαι ἀντὶ τοῦ φονεύω λέγει ἐν τῇ πρώτῃ. αὐτοῦ μιν ἐν τῇσι θύρῃσι, καταχρήσασθαι ἑαυτόν. καὶ αὖθις ἐν τῇ αὐτῇ. τῷ δὲ μέρει τὸν παῖδα κατεχρήσατο, τόν τοι παρέδωκε. ὁ αὐτὸς δὲ καὶ τὸ διαχρῶμαι, πρὸς δοτικὴν λέγει, ἀντὶ τοῦ χρῶμαι. ὡς ἐν τῇ αὐτῇ. οὗτοι μὲν τῶν φωκαιέων, τοιούτῳ μόρῳ διεχρήσαντο. καὶ πάλιν ἐν τῇ αὐτῇ. καὶ τῷ ὀνόματι τῷ αὐτῷ αἰεὶ διαχρεωμένους τῷ ποταμῷ.

Δ ιαπεπραγμένον, καὶ τὸ γεγενημένον, καὶ τὸ ἠφανισμένον. αἰσχύλος ἐν τῷ ἑπτὰ ἐπὶ θήβαις. διαπεπραγμένου στρατοῦ. πλοῦτος ἔχεσ᾽ ἐν παραλλάλοις περὶ δημάδου. ὥσπερ ἱερείου διαπεπραγμένου, ἡ γλῶσσα καὶ ἡ κοιλία λείπεται. ὅθεν καὶ συνέσιος ἐν ἐπιστολῇ, λαβὼν χρῆται οὕτω πως. ὥσπερ ἱερείου διαπεπραγμένου, τοῦ ἔνδον τὸ δέρμα λείπεται, γνώρισμα τοῦ πάλαι ζώου.

Δ ίκη, ἡ δημοσία γραφή. ἡ ἰδία. πλάτων ἐν τῷ εὐθύφρονι, ἢ περὶ ὁσίου, εἰσάγει γὰρ πρῶτον τὸν εὐθύφρονα δίκην τοῖς ἰδίοις λέγοντα. εἶτα τὸν σωκράτην ἐπιδιορθούμενον τὸ ὄνομα διὰ τῶν τοιούτων. οὐ δήπου ἀθηναῖοί γε ὦ εὐθύφρον δίκην αὐτὴν καλοῦσιν, ἀλλὰ γραφήν.

Δ ιάπειρα κρεῖττον, ἢ πεῖρα. Πίνδαρος. διάπειρά τοι βροτῶν ἔλεγχος.

Δ ιέχει δοκεῖ μᾶλλον, ἢ ἀπέχει. Ξενοφῶν, δύο σταδίους διέχει. καὶ Θουκυδίδης. διεῖχον δὲ πολὺ ἀπ' ἀλλήλων.

Κ αὶ διέχω τὸ διΐστημι. Ἡρόδοτος ἐν τῇ ἐνάτῃ. ῥέει κάτω ἐς τὸ πεδίον, διέχοντα ἀπ' ἀλλήλων τὰ (ῥέεθρα.

Δ ιαγράφω, οὐκ ἀπαλείφω.

Δ ίαγμα, οὐ δίαξις. ἀπόλαξις δέ.

Κ αὶ δίαγμα διὰ τοῦ ᾱ. οὐ δίαξις.

Δ ιελέχθη κάλλιον, ἢ διελέξατο.

Δ ύναμαι, δύνασαι. δύνῃ δὲ οὐδεὶς τῶν δοκίμων εἶπεν, εἰ καὶ Συνέσιος ἐν ἐπιστολῇ. σὺ μὲν οὖν, καὶ δύνῃ καὶ δικαίως. ἐὰν δικαιῶς δὲ Πλάτων ἐν Φαίδωνι. ἀλλὰ πειρῶ ὡς ἂν δύνῃ, ἀκει βέλτιστα διελθεῖν.

Δ ιχῇ διελών, οὐ δίχα. (ποιοῦνται.

Δ ιεσπαρμένην, καὶ ἐσπαρμένην, οὐ διαλελυμένην. Ἀριστείδης ἐν τῇ πρὸς τοὺς βασιλέας ἐπιστολῇ. πρὸς δὲ τοὺς στρατιώτας, τοὺς χιτῶνας ἐσπάρατο.

Δ ιέπαυσέ τις τινὰ, καὶ διεπαύσατο αὐτός. καὶ ἔπαυσε καὶ ἐπαύσατο, καὶ ἀνέπαυσε, καὶ ἀνεπαύσατο. Λιβάνιος ἐν μελέτῃ τῇ διδούσῃ, τις ἐμπρησμοῦ γενομένου τὸν ἑαυτοῦ πατέρα. μόλις ὦ ἄνδρες δικασταὶ, τὴν ἤδη τῷ πατρὶ θρήνων ἀναπαυσάμενος. τὸ δὲ μετὰ τῆς κατὰ ἐκφέρειν ταῦτα ἀδόκιμον.

Δ ικάζω φόνον. ὡς Εὐριπίδης ἐν Ὀρέστῃ. ἐν ᾧ καλῶ μὲν ἔσω ἐρινύθεν θεῶν, φόνον δικάζων. καὶ δικάζω ἀνθρώποις. δικάζομαι δὲ τῷ δεῖνι φόνου, ἀντὶ τοῦ παρὰ δικασταῖς ἐγκαλῶ. ὡς ἔχει παρὰ Λιβανίῳ ἐν ἐπιγραφομένῃ μελέτῃ, ὁ, δικάζεται Ποσειδῶν Ἄρει ὑπὲρ Ἁλιρροθίου.

Δ άκρυσι λέγε, μὴ δακρύοις. ποιητικὸν γάρ. Λιβάνιος ἐν μελέτῃ, τῇ φιλαργύρου παῖς ἀριστεύσας. τοῖς τῶν δανειζομένων δάκρυσι μηδὲν ἐνδιδόναι.

Δ ειδίττομαι τὸν δεῖνα, ἤγουν ἐκφοβῶ. καὶ παρὰ ποιηταῖς καὶ λογογράφοις. ἀντὶ δὲ τοῦ ἐκφοβοῦμαι, παρὰ ποιηταῖς μόνοις. Ὅμηρος ἐν β' Ἰλιάδος. οὔ σε ἔοικε κακὸν, ὣς δειδίσσεσθαι.

Δ ευσοποιὸς, καὶ ὁ βαφεὺς, καὶ ἡ ἐς βάθος βεβαμμένη βαφή. λέγε οὖν δευσοποιὸς βαφὴ, μὴ ἀνέκπλυτος. εἰ καὶ Συνέσιος ἐν ἐπιστολῇ τῇ, ὥσπερ ἄλλο τι πολλάκις χρῆται, καὶ ἀμφοτέροις. λέγων, ὅταν ἁμαρτῇ δευσοποιόν τι καὶ ἀνέκπλυτα.

Δ ικαστήριον καὶ ὁ τόπος ἐν ᾧ αἱ δίκαι τελοῦνται, καὶ αὐτοὶ οἱ δικάζοντες. καὶ ὁ τῆς πόλεως ἄρχων. ἀπὸ τοῦ τὰς ἐν αὐτῇ δίκας διοικεῖν, οὕτω καλούμενοι. Συνέσιος περὶ Μαρκελλίνου τοῦ ἄρχοντος τὸν λόγον ποιούμενος, οὕτω λέγει. παρεῖναι μὲν οὖν ἡμῖν καὶ τὸ δικαστήριον ἐβουλόμεθα, ἐπειδὴ τυγχάνει ὂν ὑπερόριος.

Δ ιετὲς παιδίον κάλλιον εἰπεῖν, ἢ διετής. καὶ διέτης πόλεμος, ἢ διετής. Λιβάνιος ἐν τῷ ὑπὲρ τῆς ἀντιοχέων ὀργῆς. οὔτ' αὐτὸς οὗτος ὁ διέτης πόλεμος.

Δ ιετὴς μέντοι διάστημα χρόνου, οὐ διέτες. καὶ διετὴς χρόνος, οὐ διέτης. ὡσαύτως καὶ δεκαέτες. καὶ πεντάετες. καὶ ἑξάετες. Ἀριστείδης ἐν δευτέρῳ τῶν ἱερῶν. οὐ γὰρ πεντάετες, οὐχ ἑξάετες ἀρκεῖ.

Δ εδήσομαι, οὐ δεθήσομαι. ἀπορήσειε δ' ἄν τις, πῶς ἀπὸ τοῦ δέδεμαι δέδεσαι, ὁ δὲ δεδήσομαι γινόμενον, οὐ δεδέσομαι γράφεται. φαμὲν οὖν, ὅτι τοῦ δέω δῶ τὸ δεσμῶ, οἱ μέλλοντες διὰ τοῦ η ἐκφέρονται. δήσω γὰρ καὶ δήσομαι. διὰ τοῦτο καὶ δεδήσομαι. οἱ δὲ ἄλλοι χρόνοι διὰ τοῦ ε. δέδεκα. δέδεμαι. ἐδέθην. καὶ οἱ ἐξ αὐτοῦ, πλὴν τοῦ ἐνεργητικοῦ ἀορίστου τοῦ ἔδησα. καὶ τὴν ἐξ αὐτοῦ. τοῦτο δὲ γίνεται, διὰ τὸ τὴν πρώτην συζυγίαν, ἤδη τοῦ μέλλοντος ἔχειν, τὸ η. ὁ τὸ ε. ποτὲ δὲ καὶ ἀμφότερα. Ἀριστείδης ἐν Διονύσῳ. οὐδ' ἂν ἄρα οὕτω βέβαιον δεδήσεται. καὶ Συνέσιος ἐν ἐπιστολῇ. ἂν ἐκεῖνοι σωφρονῶσι, δεδήσεται.

Τ ὸ δυσωποῦμαι, παρὰ μὲν τοῖς ἀρχαίοις, ἀντὶ τοῦ ὑφορῶμαι καὶ ὑποπτεύω τίθεται. καθὰ καὶ Πλάτων ἐν Φαίδρῳ χρῆται. παρὰ δὲ τοῖς ὕστερον, ἀντὶ τοῦ ἐντρέπομαι καὶ οὐκ ἀντέχω δι' αἰδῶ. ὃ βούλεται καὶ Πλουτάρχῳ τὸ περὶ δυσωπίας βιβλίον.

Δ ιέφθορεν, ἀντὶ τοῦ ἐφθάρη. Λουκιανὸς ἐν τῷ Ἡρακλέους καὶ Ἀσκληπιοῦ διαλόγῳ. ὑπ' ἀμφοῖν διεφθορὼς τὸ σῶμα. ἅπαξ δὲ, ἀντὶ τοῦ ἔφθειρε. Σοφοκλῆς ἐν Ἠλέκτρᾳ. τὰς οὔσας τέ μοι καὶ τὰς ἀπούσας ἐλπίδας διέφθορεν. ἔστι δὲ καὶ ὁ παρακείμενος ἐν χρήσει. Ἀριστείδης ἐν Περικλεῖ. εἰ τοὺς Ἀθηναίους εἴη διεφθαρκώς.

Δ ιαιτητὴς λέγε, καὶ μὴ αἱρετὸς κριτής.

Δ ιέδρασαν ὡς Θουκυδίδης καὶ ἕτεροι, οὐ διέδρων ὡς Ξενοφῶν.

Δ ιακεκναισμένος τὸ χρῶμα, ποιητικόν. Ἀριστοφάνης ἐν Νεφέλαις. οὐ γὰρ ἂν τλαίην ἰδεῖν τοὺς ἱππέας τὸ χρῶμα διακεκναισμένος.

Δ ιεφθαρμένος λογογράφοι.

Κ αὶ διεβίβων, καὶ διεβίβαζεν. Ἀριστείδης ἐν τῷ Παναθηναϊκῷ. καὶ διεβίβαζον εἰς τὴν Ἀσίαν, τὰς πολλὰς καὶ μεγάλας ἀποικίας. ἰστέον ὅτι ἡ τετάρτη συζυγία τῶν εἰς μι, προτιμοτέρα τοῖς Ἀττικοῖς τῆς βαρυτόνου. δείκνυμι γὰρ, καὶ ζεύγνυμι λέγουσιν, οὐ δεικνύω. οὐδὲ ζευγνύω.

Δ ρεπάνη, οὐ δρέπανον.

Δ ελφὶς, οὐ δελφίν. καὶ ὅσα τῆς αὐτῆς εἰσὶ κλίσεως. πλὴν τοῦ θὶς καὶ θὶν. καὶ ἀμφότερα γὰρ ἐν χρήσει. τὸ μὲν ῥὶς, τὸν σωρόν. τὸ δὲ θὶν, τὸν αἰγιαλὸν σημαίνει. ἔστι μέντοι δελφὶς, οὐ μόνον τὸ ζῶον, ἀλλὰ καὶ μολίβδινον ὄργανον, ναυμαχουσῶν νεῶν. ὅθεν καὶ Θουκυδίδης, ναῦς δελφινοφόρους.

Δ ιῆρες, οὐχ ὑπερῷον. Εὐριπίδης ἐν Φοινίσσαις. ἐς

διῆρες ἔσχατος

Δ ίαιτα, οὐ διαγωγὴ οὐδὲ διαφορά. καὶ ἀμφότερα γὰρ σημαίνει ἡ δίαιτα.

Κ αἰ διαιτώμενος δὲ καὶ διαίτων. οὐ μὴν καὶ διαβιφόμενος.

Δ ιαίνει ἐλαίῳ ἢ ὕδατι ἢ ἄλλῳ τῳ, οὐχ ὑγραίνει, ὡς οἱ ἰατροὶ λέγουσιν. ἀριστείδης ἐν δευτέρῳ τῶν ἱερῶν. καὶ ἀψίνθιον προσενεγκὼν, προστάξει πιεῖν, ἔξω διαμένειν.

Δ ιεῖναι, ἀντὶ τοῦ ἀφεῖναι. ὁ αὐτὸς ἐν τῷ πρὸς θηβαίους περὶ συμμαχίας δευτέρῳ. ἢ συνεισβαλεῖν εἰς τὴν ἀττικὴν, ἢ διεῖναι.

Δ υοῖν, οὐ δυσίν. ὅσα γὰρ μὴ συνεμφαίνει γένος, οὐδὲ πλῆθος δέχεται. ὥσπερ οἱ τρεῖς, τῶν τριῶν, τοῖς τρισὶν, ἔχει τὴν κλίσιν. παράκειται γὰρ αὐτοῖς, οὐδέτερον τὰ τρία. ὁμοίως καὶ τῷ τέσσαρες, τὰ τέσσαρα. καὶ ταῦτα μὲν φρύνιχος ἀπαγορεύων καθάπαξ τὸ δυσίν, εὕρηται μέντοι καὶ τοῦτο παρὰ τοῖς ῥήτορσι. θουκυδίδης. ἐμβιοτευσάμεναι δυσὶν ἡμέραις. καὶ ἀριστείδης ἐν τῷ περὶ ῥητορικῆς πρώτῳ. ἀλλ' ἐπιδώσει δυσὶ καὶ τρισὶν αὐτὴ εἰπεῖν. κράτιστον μέντοι δυοῖν. γίνωσκε δὲ καὶ τοῦτο. ὅτι τὸ δύο, οὐ μόνον ἀντὶ εὐθείας καὶ αἰτιατικῆς, ἀλλὰ καὶ ἀντὶ γενικῆς καὶ δοτικῆς τίθεται. θουκυδίδης. διελθόντων δύο ἐτῶν. καὶ λιβάνιος. δύο λιμέσι, τοὺς εἰς αὐτὸ καταφεύγοντας ἐδέξατο.

Δ ιδῴη, καὶ δῴη εὐκτικῶς, φησὶ φρύνιχος, οὐδ' εἰς τῶν ἀρχαίων εἶπεν. ἀλλὰ διδοίη. τὸ μέντοι διδῴη καὶ δῴη, ἀντὶ ὑποτακτικοῦ τίθεται. τεκμαίρεται δὲ ὅμηρος, ἐὰν μὲν ὑποτακτικῷ χρῆται, διὰ τοῦ ω ἐκφέρων. δῷ, αἴ κεν αὐτὸς δῴη κῦδος ἀρέσθαι. δῶσι γὰρ, εἰ δ' ἄν σοι δώῃ αὐτὸς ἵσταν ὀζάδος. εἰ δὲ εὐκτικῶς, οὕτω. σοὶ δὲ θεοὶ τόσα δοῖεν, ὅσα φρεσὶ σῇσι μενοινᾷς. οὐ καλῶς δὲ ταῦτά φησιν ὁ τοιοῦτος φρύνιχος. ὥσπερ γὰρ ἀπὸ τοῦ βιοῦς, βιοῦντος, οὐ βιοίη φαμὲν, ἀλλὰ βιῴη, ἰωνικῷ ἔθει. ἐκεῖνοι γὰρ τὴν οι δίφθογγον, εἰς ω μέγα τρέπουσιν, οὕτω καὶ ἀπὸ τοῦ δοὺς δόντος, δοίη καὶ δῴη. ὡς καὶ ἁλοὺς, ἁλοῦντος, ἁλοίη καὶ ἁλῴη. ἡρόδοτος ἐν τῇ ἑβδόμῃ. οὔτε γὰρ ἂν τις δῴη θυγατέρα τὴν ἐμήν. ὥς τι οὐκ ἔδει λέγειν, ὅτι ὑποτακτικὰ ταῦτά ἐστιν. ἀλλ' ὅτι τὸ διδοίη καὶ δοίη, ἐν χρήσει μᾶλλον τοῦ διδῴη καὶ δῴη. καὶ ἀλέξανδρος γὰρ ὁ σοφιστὴς καὶ λιβάνιος καὶ ἕτεροι, ἀντὶ εὐκτικοῦ τούτοις εὑρίσκονται χρώμενοι.

Δ ιώκω τοὺς πολεμίους. οὐκ ἐπελαύνω.

Δ ιώκω τὸν δεῖνα κλοπῆς, ἤγουν κατηγορῶ.

Δ ιώκω λόγους ἤτοι ζητῶ. καὶ διώκω, τὸ κινῶ ποιητικῶς. αἰσχύλος ἐν τῷ ἑπτὰ ἐπὶ θήβαις. σπουδῇ διώκων πομπίμους χνόας ποδῶν.

Δ ιέστραφαι φρένας, τοῦ μαινομένου, καὶ διάστροφος μορφὴν, ὁ ἕτερον εἶδος μετειληφώς. αἰσχύλος ἐν προμηθεῖ. εὐθὺς οὖν μορφὴ, φρένες διάστροφοι. καὶ διάστροφοι ὀφθαλμοί. οὐ μόνον οἱ παρὰ τὸ πονηρὸς ἔχοντες, ἀλλὰ καὶ οἱ τοιοῦτοι μὲν μὴ ὄντες, λοξοβλεποῦντες δέ. ἀπόστροφοι δὲ οἱ ἀπεστραμμένοι. οὐ μόνον ἐπὶ ὀφθαλμῶν, ἀλλὰ καὶ ἐπὶ ἀνθρώπων. συνέσιος ἐν ἐπιστολῇ. τὴν ἀνακοποιοὶ δυνάμεις. αἱ δὲ τιμωροὶ φύσεις, εἰσὶν αἱ παντάπασιν ἀπόστροφοι τοῦ θεοῦ.

Δ ημόσιος, καὶ βασανιστὴς, ὁ στρεβλῶν καὶ βασανίζων. πλούταρχος ἐν τῷ περὶ τῆς ὑπὸ τοῦ θείου βραδέως τιμωρουμένων. ἐνίοις γὰρ ἐν κολασταῖς ἑτέρων πονηρῶν, ὥσπερ δημοκοίνοις, ἀπεχρήσατο τὸ δαιμόνιον. ὡσαύτως καὶ δημόσιος, ὡς παρ' αἰσχίνῃ. παρέστω δὲ ὁ δημόσιος καὶ βασανιεῖ ἐναντίον ὑμῶν. ἔνιοι δὲ βασανιστὴν λέγουσι, τὸν ἀντὶ τοῦ βασανίζειν, ἢ τὸν τὰ πρὸς τὴν βάσανον ἐνεργοῦντα.

Δ ιῶρυξ διώρυχος. καὶ ἅπασα ἡ κλίσις διὰ τοῦ χ' οὐ διὰ τοῦ γ. ἀριστείδης ἐν τῷ αἰγυπτίῳ. καὶ διώρυχας εἰς αὐτὰς στρέφουσιν. ὡσαύτως καὶ διώρυχι, οὐ διώρυγι. ὁ αὐτὸς ἀριστείδης ἐν τῷ παναθηναϊκῷ. καὶ τῆς περὶ τὸν ἄθω διώρυχος. καὶ ἐν τῷ σμυρναϊκὸς πολιτικός. διώρυχι συμφυεῖ ἐκπεσὼν εἰς θάλατταν.

Δ ραχμὴ, οὐ δαρχμή.

Δ ιφρηλάτης. οὐ διφρελάτης.

Δ ρόμος, καὶ ἐπὶ τοῦ τρέχοντος, καὶ ἐπὶ τοῦ πεδιώδους τόπου τῷ βουλομένῳ τρέχειν. ἐν ᾧπερ λέγομεν.

Δ οκῶ μοι, οὕτω καὶ μοι δοκοῦμεν, ἐπὶ πληθυντικοῦ. πλάτων ἐν θεαιτήτῳ. καί μοι δοκοῦμεν. τί δ' αὖ πη τάχιστα εὑρεῖν. καὶ δημοσθένης. ὑμεῖς δὲ, οὐκ ἄλλ' ἄν τινά μοι δοκοῦμεν τρόπον ἔχειν πρὸς αὐτά.

Δ ικαστήρια πάντες λέγουσι. διαφερόντως δὲ, πλάτων. μόνος ἐν θεαιτήτῳ.

Δ ιαθύμενος καλλίστου, ὁ γελωτάζων. γελωτοποιὸς δὲ, μὴ εἴπῃς ἀπόθεμα ἀλλὰ, δόχμην, ὡς οἱ ἀρχαῖοι.

Δ ρῦ κοινότερον, πάντα ἐκάλουν δένδρα οἱ παλαιοί. οὕτω καὶ ἀκρόδρυα πᾶσαν ὀπώραν. καὶ δρυφάκτους τοὺς ἐκ δρυῶν. ἀλλὰ καὶ τοὺς ἐξ ἑτέρου δή ποτε οὖν ξύλου. καὶ δρυπετεῖς ἐλαίας.

Δ ημότης ἀττικοὶ, ἀντὶ τοῦ συν. ἀριστοφάνης ἐν πλούτῳ. ἄνδρες φίλοι καὶ δημόται. ὡσαύτως καὶ πολίτης. καὶ ἡλικιώτης. καὶ στασιώτης. συμπότης δέ.

Δ ιφρεία, ἀττικοί. διφρεύσις, κοινόν.

Δ ιήγησις, ὅλον τὸ σύγγραμμα, ἤγουν, ἡ ἰλιὰς, ἢ ἡ ὀδύσσεια. διήγημα δὲ μέρος τι. οἷον, ἡ τοῦ ἕκτορος καὶ αἴαντος μονομαχία. ὥσπερ καὶ ποίησις. καὶ ποίημα. παραχρῶνται δέ τινες.

Δ ιπλοῦν, κατὰ μέγεθος. διπλάσιον δὲ, ἐπὶ ἀριθμοῦ.

Δ ιαβόητος. ὁ ἐπὶ κακίᾳ ἁπλῶς φημιζόμενος. συνέσιος ἐν ἐπιστολῇ, τῇ ὥσπερ ἄλλοτε πολλάκις. ὁ διαβεβοημένος ἀσσίταλος. ἐπίβοητος, ὁ ἐφ' ἑνί τινι καλῷ. ἴσθι δὲ ὅτι ἁπλᾶ μὲν ταῦτα τιθέμενα, οὕτως ἐν, ἐμφάσει ἔχουσι. μι-

τὰ δὲ πρὸς θήκης, ἐνίοτε καὶ ἐναλλάττουσι. λουκιανὸς ἐν τῷ μενίππῳ, ἢ νεκυομαντείᾳ. μετὰ πολλῶν καὶ σοφῶν. καὶ σφόδρα ἐπὶ συνέσει διαβεβοημένων. γρ. βοήτος δὲ, ὁ ἐπὶ ἀρετῇ ἐγνωσμένος.

Δ ιορθοῦν κυρίως, ἐπὶ δοράτων βολῆς. ἐπανορθοῦν ἐπὶ λόγων.

Δ ιδάσκαλος, λόγων καὶ ἀρετῆς. ἐπιστάτης δὲ ἔργων.

Δ οῦλοι, οἱ ταῖς ἡδοναῖς κάτοχοι, καὶ ὑποτασσόμενοι βασιλεῦσιν. οἰκέται δὲ, οἱ ὠνητοί.

Δ άμαλις ἡ θήλεια. μόσχος δὲ κοινὸν, ἐπ᾽ ἀμφοτέρων.

Δ ασύ, ἀττικοί. τὸ δὲ δάσος, κοινόν.

Δ έδρακε τὴν φυλακήν. ἀπέδρα, ὅταν ἀφύλακτος ᾖ.

Δ ιαβόλιμον θουκυδίδης λέγει, τὸ διαβεβλημένον, καὶ οὐ πάνυ διαβόλιμον ὂν, ἀπὸ τῶν μεγάρων τὴν σαλαμῖνα περιπλεῖν. σὺ δὲ, διαβεβλημένον λέγε.

Δ υσπρόσοδος ἀγρός. ἔνθεν δυσκόλως προσόδους ἤτοι κέρδη, οἱ δεσπόται ἀποφέρονται. καὶ δυσπρόσοδος ἄνθρωπος, ὁ δύσκολος καὶ δυσέντευκτος. θουκυδίδης, δυσπρόσοδόν τε αὑτὸν παρεῖχε, καὶ τῇ ὀργῇ οὕτω χαλεπῶς ἐχρῆτο ἐς πάντας. καὶ δυσπρόσοδον χωρίον, τὸ δύσκολον περὶ τὴν εἴσοδον. ὡς ὁ αὐτός. ἐρυμνόν τε καὶ δυσπρόσοδον. λέγει δὲ πάλιν, καὶ δύσοδος χώρα, ἐπὶ τῆς αὐτῆς σημασίας, οἷον δύσοδος γὰρ ἡ γεράνεια. κάλλιον δὲ τούτου τὸ δυσπρόσοδος. καὶ πάλιν ἑτέρως. ταύτῃ γὰρ δυσεκβολώτατος ἡ λοκρίς. καὶ πάλιν. πρὸς τῷ λόφῳ, ὄντι δυσπροσβάτῳ.

Δ ιάγω τὸ διατρίβω καὶ διάγω τὸ διεξάγω. φιλόστρατος, διῆγε τὰς βασιλείους φροντίδας. καὶ διάγωσι τούτου, ἀντὶ τοῦ ἀριστῶ. ὡς ὁ αὐτὸς ἐν ἡρωϊκοῖς. μὴ καὶ θρύπτεσθαί με φῇς, διάγοντά σε ἀπ᾽ αὐτοῦ. διάγω καὶ τὸ βραδύνω. θουκυδίδης. διῆγε προὐφασίζετο. καὶ διάγω, τὸ διαβιβάζω. ὡς ὁ αὐτὸς ἐν τῇ τετάρτῃ. ἀξιοῦντος διάγειν ἑαυτὸν καὶ τὴν στρατιάν. καὶ διάγω, τὸ διαζῶ. ὡς δημοσθένης ἐν τῷ περὶ τῶν ἐν χερρονήσῳ. ἀφ᾽ ὧν ἀγείρει, καὶ προσαιτεῖ, καὶ δανείζεται, ἀπὸ τούτων διάγει.

Δ ίδωμί σοι δίκας, οὐ μόνον ἀντὶ τοῦ κολάζομαι ὑπὸ σοῦ, ἀλλὰ καὶ ἀντὶ τοῦ συνάπτω μετὰ σοῦ κρίσιν, περὶ ὅτου δήτινος ἀμφιβαλλομένου. θουκυδίδης. δίκας μὲν τῶν διαφορῶν ἀλλήλοις διδόναι καὶ δέχεσθαι. ἤγουν κριτικὰς ἐξετάσεις. εὐριπίδης ἐν ὀρέστῃ. ὅθεν κἀκεῖνα παρῆκται. κολάζεται γὰρ ὁ ἐν τῇ τοιαύτῃ κρίσει ἐκφανεὶς ὑπεύθυνος.

Δ ιαγνώμη ἀττικοί, οὐ διάγνωσις λέγουσι. θουκυδίδης. ἡ δὲ διαγνώμη αὕτη τῆς ἐκκλησίας.

Δ ουλεία, οὐ μόνον αὐτὸ τὸ δουλεύειν, ἀλλὰ καὶ τὸ ἄθροισμα τῶν δούλων. ὡς ὁ αὐτός. ἣν δὲ ἡ δουλεία ἐπανιστῶνται.

Δ ρῶ σε τόδε ἀττικοί, οὐ δρῶ σοι. ἀριστοφάνης ἐν πλούτῳ. ὁ ζεύς με ταῦτ᾽ ἔδρασεν ἀνθρώποις φθονῶν. οὕτω καὶ ἐργάζομαί σε τόδε. καὶ ποιῶ σε τόδε.

Δ ῖνος ἡ κύκλῳ στροφή. ἀφ᾽ οὗ καὶ τὸ κύκλῳ στρεφόμενον σῶμα, δῖνος. οἷον, ὁ οὐρανός, καὶ τὸ κυκλικὸν μέν τι σῶμα. οὐ μὴν δὲ καὶ στρεφόμενον κύκλῳ. δῖνος λέγεται, διὰ τὸ κυκλοτερὲς ὡς αὐτὸ εἶναι πάντως τὰ στρεφόμενα κύκλῳ.

Δ εσποτεία. καὶ λιβάνιος ἐν τῷ πρὸς ἰουλιανὸν ὑπατικῷ. οὐκ ἐμὸν εὐθύνας δοῦναι παρ᾽ αὐτῷ τὴν δεσποτείαν τῶν ἡδονῶν. αὐθεντία δὲ, παρ᾽ οὐδενὶ τῶν δοκίμων ῥητόρων εὕρηται ἐπὶ τοῦ, τῆς δεσποτείας ὀνόματος. εἰ καὶ συνήθως λέγεται. τὸ γὰρ αὐθέντης οἱ παλαιοί, ἐπὶ τοῦ φονέως τάττουσιν. ἡρόδοτος ἐν τῇ πρώτῃ. μήτε θυγατρὶ τῇ σῇ, μήτε αὐτῷ σοὶ εἶναι αὐθέντας.

Δ υνάστης, καὶ ὁ τύραννος, καὶ ὁ βασιλεύς.

Ω σαύτως καὶ δυναστεία οὐ μόνον ἡ τυραννίς, ἀλλὰ καὶ ἡ βασιλεία. αἰσχίνης. ἐξήλασε παυσανίαν ἐκ μακεδονίας, καὶ τὴν δυναστείαν ὑμῖν ἔσωσε. τὰ τοιαῦτα δὲ καὶ περὶ τοῦ δυναστεύειν γίνωσκε. παραδυναστεύειν δὲ, τὸ τοῖς δυνάσταις παρεδρεύειν. ὅπερ καὶ δυναστεύειν παρὰ τῷ δίωνι γράφεται. συνέσιος ἐν ἐπιστολῇ τῇ, τῆτες ἐξήνεγκα δύο βιβλία. πρὸς ἄνδρα παρὰ βασιλεῖ δυναστεύοντα. εὕρηται δὲ τὸ δυνάστης καὶ δυναστεία, καὶ ἐπὶ τοῦ ἁπλῶς βιαίου.

Δ υσκλεία λέγε. τὸ δὲ δύσκλεια, ποιητικώτερον. ἴσθι ὅτι, οἱ ἀκριβολογούμενοι περὶ τὰ τῶν λέξεων σημαινόμενα, τὴν δόξαν ἀπὸ τοῦ κλέους διαιροῦσι. καὶ φασὶ τὴν μὲν δόξαν εἶναι, τὸν ἀπὸ τῶν πολλῶν ἔπαινον. τὸ δὲ κλέος, τὸν ἀπὸ τῶν ἀγαθῶν. ὁμοίως καὶ τὴν τιμὴν διαιροῦσι φάσκοντες, τὴν μὲν, ἀξίαν τινὰ εἶναι καὶ ἐπὶ τῶν σπουδαίων ἅπασιν, γέρως οὖσαν ἀξίωσιν. τὸ δὲ γέρας, ἆθλον ἀρετῆς τίθενται. τὴν δέ τινα παρὰ τῶν τυχόντων, τοῖς οὐ πάνυ ἀποδεκτέοις γινομένην ἀντίδοσιν.

Δ είλης ἑῴας, καὶ δείλης μεσημβρίας. καὶ δείλης ὀψίας, ἀττικοί. τὸ δὲ ἀντὶ τοῦ δείλης ὀψίας, δείλης μόνον λέγειν ἁπλῶς, ἑλληνικόν.

Ο ὐ μόνον διδάσκομαι παρ᾽ ἄλλου, ἀλλὰ καὶ διδάσκομαι ἕτερον, ἀντὶ τοῦ διδάσκω. λουκιανὸς ἐν τῷ ἐνυπνίῳ. καὶ διδάσκου παραλαβὼν λίθων ἐργάτην ἀγαθὸν εἶναι.

Τ ὸ δοκός, ἐπὶ θηλυκοῦ καὶ ἀρσενικοῦ εὕρηται. λιβάνιος ἐν τῇ εἰς τὸν νεὼν τοῦ ἀπόλλωνος μονῳδίᾳ. δοκοὶ δὲ ἐφ᾽ ἑτέροις, καὶ τὸ φέρουσαι πῦρ. λουκιανὸς ἐν τοῖς ἀληθινοῖς. μεγάλοις δοκοῖς τὸ στόμα διερείσαντες.

Κ αὶ διασῴζομαι ὑπὸ σοῦ καὶ διασῴζομαί σε. θουκυδίδης ἐν τῇ τετάρτῃ καὶ κακοπραγίαν

ὡς εἰπεῖν

ὡς εἰπεῖν ῥᾷον ἀποθανοῦνται, ἢ ἐνδείᾳ μετρίων διασώζονται.

Δ ιεσκεδασμένην. ὡς ἀπὸ τοῦ διασκεδῶ διεσκέδασμαι. ὁ αὐτός φησιν ἐν τῷ αὐτῷ. τὴν δὲ διεσκεδασμένην, ὑπόμνησιν ποιησόμεθα.

Δ ιακωχὴ, ἤτοι διάλειμμα τινὸς πράγματος ἐνεστῶτος. ὁ αὐτὸς ἐν τῇ αὐτῇ. ἐγένετο δέ τις ὅμως διακωχή. ἀνακωχὴ δὲ, πρόσκαιρος εἰρήνη πολέμου. ὁ αὐτὸς ἐν τῇ πρώτῃ κερκυραίοις δὲ οὐδὲ διακωχὰς πώποτε ἐγένετο.

Δ ιάπαυστος ἀδιάπαυστος, καὶ ἀδιάπαυστος. ὁ αὐτὸς αὖθις ἐν τῇ πέμπτῃ. ἀδιάπαυστος γὰρ φύσει.

Δ ιαβέβλημαι ὑπὸ σοῦ. καὶ διαβέβλημαί σοι. καὶ πρὸς σέ. ἤγουν ἀντὶ τοῦ διεβλήθην ὑπὸ σοῦ καὶ ἀντὶ τοῦ διαβεβλημένως ἔχω πρὸς σέ. ὁ αὐτὸς ἐν τῇ ὀγδόῃ. καὶ πρότερον τῷ παντὶ φοβερῷ ἀπιστοῦντες, πολλῷ δὴ μᾶλλον ἔτι διεβέβληντο. δημοσθένης. χαριεῖται μὲν οὐδετέροις. διαβεβλήσεται δὲ πρὸς ἀμφοτέρους. καὶ φιλόστρατος ἐν τῷ τοῦ ἡρώδου βίῳ. διαβάλλονται πρὸς τὸν υἱόν. ἀντὶ τοῦ κακὸν αὐτὸν ἡγεῖτο. καὶ διαβόλως, ἀντὶ τοῦ κακῶς, καὶ εὐθὺ διαβολῇ. θουκυδίδης ἐν τῇ ἕκτῃ. καὶ ὅτι αὐτοῦ διαβόλως ἐμνήσθη.

Δ ιδᾶσι λέγε, καὶ οὐ διδοῦσιν.

Ο ὐ μόνον διάκορος ἡ διακορηθεῖσα, ἀλλὰ καὶ ἡ κεκορεσμένη ἥτις καὶ κατάκορος λέγεται. ἡρόδοτος ἐν τῇ τρίτῃ. ἐπεὰν δὲ διάκορος ἡ γῆ σφέων γένηται.

Δ ιατίθεμαι παθητικῶς, τὸ διάκειμαι. καὶ τὸ πωλῶ. ὡς παρὰ τῷ θεολόγῳ. ὅπως ἂν διαθώμεθά τι τῶν ὄντων. διατίθημι δὲ ἐνεργητικῶς, τὸ καθιστῶ, καὶ οἰκονομῶ. λουκιανὸς ἐν τῷ βίων πράσει. σὺ μὲν διατίθει τὰ βάθρα, καὶ διαθέτης ὡσαύτως, ὁ καθιστῶν, καὶ οἰκονομῶν. ἡρόδοτος ἐν τῇ ἑβδόμῃ. χρησμολόγον καὶ διαθέτην χρησμῶν τῶν μουσαίου.

Δ ιαπρέπω τούτοις, ἀντὶ τοῦ κάλλιστα καὶ πρεπόντως διάγω. ὡς τὸ, διέπρεψε τῇ ἀρχῇ. καὶ διαπρέπω τὸν δεῖνα, ἤτοι καλλωπίζω. πλάτων ἐν γοργίᾳ. φύσει ψυχῆς δὲ γενναίας, μειρακιώδει τινὶ διαπρέπεις μορφώματι.

Δ ιασκοπῶ, καὶ διασκοποῦμαι.

Τέλος τοῦ δ' στοιχείου.

ΑΡΧΗ ΤΟΥ Ε.

Ε πὶ κόρρης πατάξαι λέγουσιν ἀττικοί, τὸ, τὴν γνάθον πλατείᾳ πλῆξαι χειρί. ὃ ῥάπισμα λέγουσι. πλάτων. τί δὲ χεῖρον εἰπὼ, ἂν ὁ δεῖνα εὐθὺ κόρρης ἀδίκως πατάξῃ με. καὶ λιβάνιος ἐν τῇ πρὸς ὀδυσσέα ἀπολογίᾳ ἀχιλλέως. κἂν εὐθὺ κόρρης πατάξῃ τις, μὴ χαλεπαινέτω. καὶ ὁ αὐτὸς ἀλλαχοῦ, ῥάπισμα λέγει ἀδόκιμον.

Ε δίδαξα αὐτούς. ἐδιδαξάμην δὲ ἑτέρους. ἀριστοφάνης ἐν νεφέλαις. ἐδιδαξάμην αὐτὸν μέλλει τοῖσι δικαίοις ἀντιλέγειν. ἀριστείδης ἐν τῷ ἀσκληπιάδαις. οὐκ ἐδιδάξατο τὴν τέχνην τὴν ἰατρικὴν, ἀλλ' ἐδίδαξεν αὐτός. εὕρηται μέντοι παρά τισι, καὶ ἀντὶ τοῦ ἁπλῶς ἐδίδαξα.

Ε ἵστατο. οὐκ ἠνίστατο.

Ε κ ποδῶν τῷ δεῖνι ἐγένετο κρεῖττον, ἢ ἐκ ποδῶν τοῦ δεῖνος. εὐριπίδης ἐν ἑκάβῃ. γεραιὰ δ' ἐκ ποδῶν χωρήσομαι ἐκβῆ. ἀριστείδης, ἐν τῷ πρὸς ἀχιλλέα πρεσβευτικῷ. ὑβρίζειν δὲ ἀμφοτέροις ἐκποδὼν ἑστηκώς. γίνεται δὲ τοῦτο, ἀποδιδομένης τῆς συντάξεως πρὸς τὸ ῥῆμα, οὐ πρὸς τὸ ἐκποδών. τοῦτο γὰρ γενικῇ συντάσσεται.

Ε ξίσης κάλλιον. ἢ ἐπίσης.

Ε ξέχυρα ἀττικοί. ἐνέχυρα ἕλληνες. τὸ δὲ ἐνεχυρασμένον λέγειν ὡς ἱπποκλείδης, ἀδόκιμον.

Ο ὐ μόνον ἔπαρχοι τοῦ δεῖνος φαμὲν ἀντὶ τοῦ ἐπήρχοντο, ἀλλὰ καὶ ἔξαρχοι. θουκυδίδης. ἑλληνικοῦ μὲν πολέμου ἔξαρχοι οἱ ἀθηναῖοι. ἑαυτοὺς δηλονότι. καὶ ἔξαρχοι, ἀντὶ τοῦ, ἐνελιμένισαν. ὁ αὐτὸς ἐν τῇ δευτέρᾳ. ἄρχοντες δ' ἐκ τῷ παράπλῳ ἐς [illegible]. καὶ αὖθις ἐν τῇ ἑβδόμῃ. ἔπλεον ἔχοντες πρὸς ταῖς πόλεσιν.

Ε ὔκολος, ὁ ἀφελὴς καὶ ἕτοιμος, εἰς ὅ τι ἄν τις αὐτῷ χρήσασθαι βούλοιτο. ἀριστοφάνης ἐν βατράχοις. εὔκολος μὲν ἐνθάδε. εὔκολος δ' ἐκεῖ. καὶ εὔκολον πρᾶγμα, τὸ εὐκατοχείριστον. καὶ εὐκολίαν ἔχει τόδε, ἤγουν ἑτοιμότητα εἰς μεταχείρισιν. ἔστι δὲ καὶ εὐκολία, τὸ εὐκόλως φέρειν τὰ συμπίπτοντα δυσχερῆ, καὶ μὴ δυσφορεῖν, μὴ δὲ καταπίπτειν ὑπ' ἐκπλήξεως. ἀριστείδης ἐν παναθηναϊκῷ. καὶ τὴν μὲν τῶν τρόπων εὐκολίαν καὶ σωφροσύνην. δείκνυσι γὰρ διὰ τοῦ ἐπαγαγεῖν σωφροσύνην, ὡς εὐκολίαν λέγει τὴν γενναιότητα.

Ε λευθερία, οὐ μόνον ἡ ἄνεσις. ἀλλὰ καὶ ἡ ἐν ταῖς μεταδόσεσιν ἑτοιμότης. καὶ [illegible]. ὁ αὐτὸς ἐν τῷ αὐτῷ λόγῳ. ἐλευθερίας ἐφόδιον καὶ μεγαλοψυχίας παρασκευάσασθαι τῇ πόλει. λέγεται δὲ τὸ αὐτὸ καὶ ἐλευθεριότης.

Ε ὐθύνη, ἡ ἐξέτασις. ὡς δημοσθένης ἐν ταῖς εὐθύναις τῶν στρατηγῶν. ὅθεν καὶ εὐθύνη ἡ τιμωρία, διὰ τὸ τοὺς ἐξεταζομένους κολάζεσθαι, ἐμφαινόντας κακούς. καὶ εὐθύνω ῥῆμα, τὸ εἰς ἐξέτασιν ἄγω, καὶ τὸ κολάζω. καὶ τὸ κατ' εὐθεῖαν ἄγω. ὅθεν καὶ εὔθυνος παρὰ λιβανίῳ, ἐν τῷ ἀντιοχικῷ. δικαιοσύνης ἐκεῖ βωμὸς εὐθύνου ἵδρυται ἢ τοῦ δικαίου. ὅσιον, ὀρθότης. καὶ σταθμικόν. ἔτι δὲ εὐθύνω, καὶ τὸ εὐθὺς ποιῶ. ὃ καὶ ἀπευθύνω λέγεται. καὶ ἀ-

ἐνθυμοῦμαι, τὸ εἰς ἐξέτασιν ἄγομαι, ἢ κολάζομαι. ἀποθυμοῦμαι δὲ ἀντὶ τούτων, οὐκέτι.

Ε δεδοίκειν. ἐδεδοίκειν. ἐπεφύκειν ἐπεποίθειν, παρατατικῶν ταῦτα σημασίαν ἔχουσιν. ἐπειδὴ καὶ οἱ τούτων παρακείμενοι, ἀντὶ ἐνεστώτων λαμβάνονται. ὡσαύτως δὲ καὶ ὅσα ἕτερα, τοιούτους ἔχει τοὺς παρακειμένους. ὁ δὲ μὴ ἀντὶ παρατατικῶν λαμβάνων ταῦτα, ἀλλὰ ἀντὶ ὑπερσυντελικῶν, ἁμαρτάνει.

Ε πεξελευσόμενος ἀρσίτης, καὶ ὁ φαβωρῖνος. σὺ δὲ ἐπεξιὼν καὶ ἐπέξειμι, ὡς ἀττικοί.

Ε μποδὼν ὁ λέξις τῷ λέγειν γίνεται, ἀντὶ τοῦ εἰς ἐμπόδιον. εἴρηται δὲ, ἀπὸ τοῦ ἐν ποσὶ κειμένου καθ' ὁδὸν, καὶ οὐκ ἐῶντος βαδίζειν. εὕρηται δὲ καὶ ἑτέρως ἐπίρρημα, ἐμποδὼν, ἀντὶ τοῦ ἐν ποσίν. αἰσχύλος ἐν τοῖς ἑπτὰ ἐπὶ θήβαις. ἀλλ' ἐμποδὼν μάλιστα, ταῦθ' ἥκω φράσων. ἤγουν, ἅτινα προκείμενά εἰσι. καὶ ἡρόδοτος ἐν τῇ πρώτῃ. κτείνειν πάντα τὸν ἐμποδὼν γινόμενον.

Ε ξαμβλῶσαι, καὶ ἄμβλωμα, καὶ ἀμβλίσκειν, καὶ ἀμβλωθρίδιον. οὐκ ἐκτρῶσαι, οὐδ' ἔκτρωμα. οὐδ' ἐκτιτρώσκειν.

Ε μβριθής, ἐπὶ ἀνθρώπου. οὐ σταθερὸς, οὐδὲ εὐσταθής. καὶ ἐμβρίθεια. καὶ ἐμβριθὴς, οὐκ εὐστάθεια, οὐδὲ εὐσταθής. σταθερὸς δὲ ἥλιος, καὶ σταθερὰ μεσημβρία. φιλόστρατος. ἐμβριθὴς δὲ καὶ τὸ ἦθος γινόμενος.

Ε φόδια τὰ ἐπὶ τῆς ὁδοῦ ἀναλώματα. καὶ ἐπιτήδεια τὰ ἁπλῶς ἀναλώματα. καὶ ἐφόδιον δὲ ἑνικῶς. οὐ μὴν καὶ ἐπιτήδειον. ἔστι δὲ ἐφόδιον καὶ ἡ ὡσανεὶ πάροδος καὶ ἀφορμή. ἀριστείδης. ἐλευθερίας ἐφόδιον καὶ μεγαλοψυχίας. λιβάνιος ἐν μελέτῃ τῇ, δικάζεται ποσειδῶν ἄρει ὑπὲρ ἁλιρροθίου. τὸ, ποσειδῶνος εἶναι παῖς, ἐφόδιον εἰς τὸ ἀδικεῖν ἔχων.

Ε πῳδή. οὐκ ἐπαοιδή. καὶ ἐπῳδὸς, οὐκ ἐπαοιδός.

Τ ὸ ἔξω. καὶ ἐπὶ στάσεως, καὶ ἐπὶ κινήσεως. οἷον, ἔξω διατρίβει. καὶ ἐξῆλθεν ἔξω.

Τ ὸ δὲ ἐκτὸς, ἐπὶ κινήσεως ἀεί. ἀριστοφάνης ἐν βατράχοις. ἐκτὸς ἄγει τὴν ἐλάαν. σοφοκλῆς. σὺ δ' ἐκτὸς ἧξας πρός τι. εὕρηται δὲ καὶ ἅπαξ ἐπὶ στάσεως παρὰ πλάτωνι. οἷον, καὶ ὅσα ἐκτός ἐστιν. ἔστι δὲ τὸ ἐκτὸς, καὶ ἀντὶ τοῦ χωρίς. λουκιανὸς ἐν τῷ βίων πράσει. ἐκτὸς εἰμὶ κατὰ τὸν θάμυριν ἐκεῖνον. ὡσαύτως καὶ τὸ ἔξω. θουκυδίδης. ἔξω τῶν βασιλέων καὶ τῶν μάλιστα ἐν τέλει.

Ε ἴσω, καὶ ἐπὶ κινήσεως καὶ ἐπὶ στάσεως. ἀριστείδης ἐν τῇ πρὸς τὸν βασιλέα ἐπιστολῇ. εἴσω παρελθόντες. ὅπερ ἐστὶ κινήσεως. ὁ αὐτὸς ἐν τινι τῶν ἱερῶν. ἔτυχον μὲν εἴσω πεφραγμένος. ὅπερ ἐστὶ καὶ αὐτὸ ἐπὶ κινήσεως. καὶ πάλιν ὁ αὐτὸς ἐν τῷ παναθηναϊκῷ, ἐπὶ στάσεως. πᾶσαν δὲ εἴσω χαλεπωτέραν τε καὶ ἔξω χαλεπωτέραν θάλατταν. καὶ δημοσθένης ἐν τῷ περὶ στεφάνου. οὐδεὶς οὔτε τῶν ἔξω πυλῶν ἐλλιμένων, οὔτε τῶν εἴσω. λιβάνιος ἐν ἐπιστολῇ τινι, ὡς τετόλμηται. καὶ τοῦ εἴσω θυρῶν. ὥστε οὐ καλῶς λέγει φρύνιχος ἀπαγορεύων τοῦτο μὴ εἶναι ἐπὶ στάσεως παρὰ τοῖς παλαιοῖς. τὸ δὲ ἐντὸς καὶ ἔνδον, ἀεὶ ἐπὶ στάσεως. θουκυδίδης ἐν πρώτῃ. ἐντὸς αὐτὸν ἀπολαβόντες.

Ε ὐαγγελίζομαι, οἱ πάντες δοτικῇ. ἅπαξ δέ που, καὶ αἰτιατικῇ συντασσόμενον εὕρηται, ὡς παρὰ χαρικλείδῃ. καὶ ἐν τῇ θείᾳ γραφῇ. σὺ δὲ δοτικῇ ἀεὶ σύνταττε.

Ε λξαι κάλλιον, ἢ ἑλκύσαι. καὶ ἕλξω, ἢ ἑλκύσω. δημοσθένης. οὐ καθέλξετε τὰς ναῦς.

Ε ὕρημα, οὐχ εὕρεμα. εὐριπίδης ἐν ἑκάβῃ. πολλῶν λόγων εὑρήμαθ', ὥστε μὴ θανεῖν. φιλόστρατος. οἷον οὔπω ἔγνωκα τὸ ἐμαυτοῦ καιρῶν εὕρημα.

Ε ξείλοχεν. οὐκ ἐκλέλοχε.

Κ αὶ ἐνίπτειν, οὐκ ἐνίζειν.

Ο ὐδεὶς τῶν δοκίμων τὸ ἐπιπολῆς εἶπεν, ἀλλὰ πάντες χωρὶς τῆς. οἷον. ἀριστείδης ἐν τῷ αἰγυπτίῳ. ἐπειδή σοι διὰ βραχέων, καὶ ἐπὶ πολλῆς ἀπεκρινάμην. θουκυδίδης ἐν τῇ ἕκτῃ. διὰ τὸ ἐπιπολῆς τοῦ ἄλλου εἶναι.

Κ αὶ ἐπιστολὴ καὶ ἐπιστολαὶ πληθυντικῶς ἐντολικοί. ἐπιστάλματα δὲ, μόνοι οἱ σοφισταί.

Ε πίτηδες. καὶ ἐξεπίτηδες.

Ε ξαναχωρῶ, καὶ τὸ ἐκχωρέομαι, καὶ τὸ παραβαίνω. θουκυδίδης ἐξαναχωρεῖ τὰ εἰρημένα, ἤτοι παρέβαινον.

Ε πίμαχον στράτευμα, τὸ ἐπιτήδειον μάχεσθαι. ἐπίμαχον δὲ χωρίον, ἐφ' ᾧ δύναταί τις μάχην ἐπιχειρεῖν. θουκυδίδης. ἐκ τῆς γῆς ὄντα ἐπίμαχον.

Ε πέχω, τὸ κωλύω, καὶ τὸ ἐπί τινι ἔχω, καὶ ἐφίστημι. λουκιανὸς ἐν τῷ τοῦ ἀλεξάνδρου βίῳ. ἀλλ' ἀεὶ τοῖς μεγίστοις ἐπεῖχε τὸν νοῦν. καὶ ἐπίστασις ὄνομα ἐπὶ τοῦ αὐτοῦ.

Ε πὰν, καὶ ἐπειδὰν, εὕρηται. ἐπὶ πλεῖον δὲ τὸ ἐπειδάν. πλάτων ἐν τῷ δευτέρῳ τῶν πολιτειῶν. ἐπὰν ἀνασκευάσωμαι τὸν θρασυμάχου λόγον.

Ε ἰ καὶ παρά τισι τῶν ποιητῶν καὶ τῶν ῥητόρων εὕρηται τὸ συντυγχάνω ἀντὶ τοῦ ἐντυγχάνω, ἀλλὰ σὺ ἐντυγχάνω λέγε ὡς κρεῖττον. τὸ γὰρ συντυγχάνω, ἀντὶ τοῦ κατὰ τύχην συμβαίνω, κυρίως εὑρίσκεται. θουκυδίδης. οὕτω που ξυντυχόν.

Κ αὶ ἐφόρμισας καὶ ἔφορμος, ὡς ὁ αὐτός. τόπω

ἔφορμον

ἔφορμον οὐκ εἶχον, χωρίων ἀλιμένων ὄντων. καὶ ἐφορμεῖν ῥῆμα, ὡς ὁ αὐτὸς ἐν τῇ ἕκτῃ. καὶ τῷ πεζῷ ἅμα ἐκ γῆς ἐφορμεῖν.

Ἐς νέωτα ἀττικόν. καὶ ἐσέπειτα. ἐς τοὐπιὸν δὲ κοινόν.

Ἐρμιονέας. βασιλέας. ἱερέας. καὶ ὅσα τοιαῦτα, ἀττικοί. τὸ δὲ συνῃρημένως ταῦτα λέγειν, οὐκ ἔστιν ἑλληνικόν.

Ἐπήλυτος, ὁ προσηλυθεὶς παρά τινος. θουκυδίδης, οἵ τ' ἐπήλυτοι, ὡς περὶ τοὺς ἀδίκους ἐλθόντες.

Ἐπιστρέφομαι ἐγώ. ὡς πλάτων ἐν τῷ ἀξιόχῳ, καὶ περὶ θανάτου. ἐπιστραφεὶς δὲ κλινίαν ὁρῶ τὸν ἀξιόχου. καὶ ἐπιστρέφω ἕτερον, τὸ τὰς ἀπόντων ὄψεις εἰς ἑαυτὸν ἐπιστρέψας.

Ἔρρει. ἔπλει. ἔθει, καὶ ἔχει. οὐκ ἔχεον. οὐ δὲ ἔθεεν. οὐδὲ ἔπλεεν. οὐδὲ ἔρρεεν. οὐδ' ὅσα τοιαῦτα.

Ἐσωσάμην, καὶ ἀπεσωσάμην, καὶ διεσωσάμην. τὸ δὲ χωρὶς τοῦ ε λέγειν ταῦτα, ἀνάττικον.

Ἕως, οὐκ ἠώς. θουκυδίδης. ἅμα ἕῳ.

Ἐπίθημα, οὐκ ἐπίθεμα.

Ἔφθακα πάντες. συνέσιος ἐν ἐπιστολῇ. ἐφθάκεις γὰρ ἄρα πυθόμενος. τὸ δὲ πέφθακα βάρβαρον. ὥσπερ γὰρ οὐ πέφθαρκα λέγομεν, ἀλλ' ἔφθαρκα, οὕτω καὶ ἔφθακα. μὴ δυναμένων ποτὲ δύο δασειῶν ἐν ἀναδιπλασιασμῷ συνελθεῖν.

Οὐ μόνον ἐνδέχεται, ἀντὶ τοῦ ἐνδεχόμενόν ἐστιν, ἀλλὰ καὶ ἀντὶ τοῦ ἀσμένως δέχεται. θουκυδίδης. γνόντες νῦν μᾶλλον ἂν ἐνδεξαμένους. καὶ ἀντὶ τοῦ ἁπλῶς δέχεται. ὁ αὐτός. λογισμοὶ ἥκιστα ἐνδεχόμενα, κινδύνου τοῦ ταχίστου προσδεῖται.

Καὶ ἐπιλείπει μοι τόδε. καὶ ἐπιλέλοιπέ με τόδε. συνέσιος ἐν ἐπιστολῇ, οὐκ ἐπιλείψουσι τῷ θεῷ στρατιῶται. αἰσχίνης ἐν τῷ κατὰ τιμάρχου. ἡ δὲ τόλμα ἤδη αὐτὸν ἄρχεται ἐπιλείπειν. καὶ λιβάνιος ἐν μελέτῃ τῇ, περὶ τῆς λάλου. δέος μὴ τὰ φρύγανα τὸν ἀρτοποιὸν ἐπιλίπῃ.

Ἐνθύμιον, ἡ ἐνθύμησις. ἐνθυμία δὲ, ἡ ὑπόμνησις. θουκυδίδης. ἐς ἐνθυμίαν τοῖς λακεδαιμονίοις ἀεὶ προβαλλόμενοι ὑπ' αὐτῶν, ὁπότε τι πταίσειαν. τουτέστι, προτείνοντες ἀθηναῖοι τοῖς λακεδαιμονίοις τοῦτο, καὶ ὑπομιμνήσκοντες, ὅτι δι' αὐτὸν ἔπταισαν.

Ἔρημος χώρα. ἐρήμη δὲ δίκη. ἐρήμη δὲ χώρα παρὰ ποιηταῖς.

Ἐς γειτόνων βαδίζω. ἐν γειτόνων εἰμί. ἀεὶ γὰρ ἡ ἐν πρόθεσις στάσιν δηλοῖ. ἡ δὲ ἐς, κίνησιν. οἷον, ἔρχομαι. βαδίζω. πορεύομαι. καταφοιτῶ. καὶ ὅσα τοιαῦτα.

Ἔμπνους ἄνθρωπος, ὁ ζῶν. καὶ πνοὴν ἔχων. καὶ ἔμπνους αὐλὸς, ὁ ἐμπνεόμενος, καὶ φυσώμενος. ἔστι δὲ τεχνικός.

Μὴ εἴπῃς ἑκοντὴς, ἀλλ' ἐθελοντὴς, ὡς πάντες οἱ δοκιμώτατοι. ἐπὶ δὲ τοῦ ἐπιρρήματος καὶ ἀμφότερα λέγε. καὶ ἐθελοντὶ γὰρ, καὶ ἑκοντὶ, ῥητορικά. ἀριστείδης. ἑπτὰ ἐπιχειρήματα, ἑκοντὶ ἐξεκόλαπτεν. καὶ ἐθελοντὰς, πρὸς τὸν ἄκοντα χωρεῖ λέγε, μὴ ἐθελουσίως.

Ἔσται, καὶ ἔσεται. ἔσσεται δὲ ποιητικόν.

Ἐκβάλλει καὶ ἐκδίδωσιν ὁ ποταμὸς εἰς τὴν θάλατταν. καὶ ἐξίησιν, οὐκ εἰσβάλλει, οὐδὲ εἰσδίδωσιν. οὐδὲ εἰσίησιν. ὡσαύτως καὶ ἐκβολὴ, οὐκ εἰσβολή. ἀριστείδης ἐν τῷ σμυρναϊκῷ πολιτικῷ. πρὸς δὲ ταῖς ἐκβολαῖς, ἥκιστα βέβρεχε. καὶ θουκυδίδης. ἡ βόλβη λίμνη ἐξίησιν εἰς θάλασσαν.

Ἐσβαίνω εἰς τὴν ναῦν καὶ ἐμβαίνω εἰς τὴν ναῦν. ἀμφότερα γὰρ θουκυδίδης λέγει. ἐμβαίνω δὲ νηὶ, ἀνάττικον.

Εὐπατρίδης, καὶ εὖ γεγονώς. τὸ δὲ εὐγενὴς ποιητικόν. ἐκάλουν δὲ εὐπατρίδας τοὺς εὐγενεῖς, ὡς αὐτόχθονας. ὅθεν γὰρ πολλοῦ τινος ἄξιον ἔκειντο.

Ἐλάω, καὶ ἐλῶ, ἀντὶ τοῦ ἐλαύνω, ἕλληνες λέγουσιν. οἱ δὲ ἀττικοὶ ἀντὶ τοῦ ἐλάσω. ἀριστοφάνης ἐν νεφέλαις, ἀλλ' ἐξελῶσ' ἐκ τῆς οἰκίας. ἡρόδοτος ἐν τῇ πρώτῃ. οὐ τὸ ὀπίσω φεύξονται. ἀλλ' ἐπ' ἀρχὰς τὰς σὰς ἐλῶσιν. ἑπόμενος οὖν ἀττικοῖς, μὴ δὲ ἐλάσω εἴποις, ἢ ἐξελάσω, ἀλλ' ἀντὶ τούτων, ἐλῶ. καὶ ἐξελῶ ὡς εἴρηται. ὥσπερ καὶ ὀλῶ, ἀντὶ τοῦ ὀλέσω. ὡς ὁ αὐτὸς ποιητὴς ἐν πλούτῳ. ἀπὸ σ' ὀλῶ κακὸν κακῶς. καὶ καλῶ, ἀντὶ τοῦ καλέσω.

Ἐξείλετο αἰτίας κάλλιον λέγειν, ἢ ἐξέβαλον. εἷλε τὴν πόλιν καὶ ἐξεῖλε καὶ ἐξαιρεῖ. καὶ ἐπόρθησε. καὶ παρεστήσατο. μαρτυρία τοῦ ἐξαιρεῖ παρὰ δημοσθένει. ἀλλὰ καὶ νῦν ἐξαιρεῖ πολλὰ τὴν φρονείαν. καὶ τοῦ ἐξεῖλε, παρὰ θουκυδίδῃ. σκιωναίους ἐξελεῖν, καὶ ἀποκτεῖναι. οὐ μόνον γὰρ ἐπὶ πόλεων λαμβάνεται τὸ ἐξεῖλεν, ἀλλὰ καὶ ἐπὶ ἀνθρώπων. ὁμοίως καὶ τὸ παρεστήσατο, καὶ ἐπὶ γνώμης λαμβάνεται. οἷον, παρεστήσατο τοῦδε τὴν γνώμην. τὸ δὲ εἷλεν, ἐπὶ πόλεως ἀεὶ καὶ χωρίων. οὕτω γὰρ θουκυδίδης χρῆται. ἐξεῖλε τῷ δεινῷ ὕβριας. καὶ ἐξῄρει, θουκυδίδης. δημοσθένει ἐξῃρέθησαν τριακόσιαι πανοπλίαι. καὶ ἀριστείδης, ἐν τῷ εἰς δία. τὰς ἀκροπόλεις ἐξεῖλον δι᾽. καὶ ἐξαίρω, τὸ ὑπερβάλλω. ἀριστείδης ἐν τῷ περὶ ὁμονοίας. ῥᾳδίως ἐξαίρει πᾶσαν ἀνθρώπων ἄνοιαν.

Ἐπίτιμος καὶ ὁ ἐκτιμώμενος ὑπό τινος. οἷον, ἐπίτιμος ἀγρὸς, ἢ οὐσία, ὡς θουκυδίδης. ἐπιτίμους τὰς οὐσίας ἐποίουν. καὶ ἐπίτιμος, ὁ ἐπὶ τιμῆς καὶ ἀξιώματος. ὁ αὐτός. μὴ ὄντες ἐπίτιμοι νεωτερίσωσι.

σιν ἄρχηται δὲ καὶ ἔντιμος. ἀριστείδης ἐν τῷ τετάρτῳ τῶν ἱερῶν. καὶ μάλ' ἔντιμα καὶ λαμπρά.

Καὶ ἐπιτιμῶ, τὸ μέμφομαι. τὸ δοξάζω καὶ τὸ τιμωρεῖν ἐπιτίθημι. ἡρόδοτος ἐν τῇ δ'. ἀνεσκολόπισε τὴν ἀρχαίαν δίκην ἐπιτιμῶν. ὡσαύτως καὶ ἀντιτιμῶμαι. καὶ ἀντὶ τῶν τελῶν.

Ἔσωγε, καὶ ἐσώτερω κάλλιον, ἢ ἔσω.

Ἐλάα, καὶ ἐπὶ τοῦ καρποῦ, καὶ ἐπὶ τοῦ δένδρου κρεῖττον, ἢ ἐλαία. ἀριστοφάνης ἐν βατράχοις. ἐκ τῆς οἴσει τῶν ἐλαῶν. θουκυδίδης ἐν τῇ ἑβδόμῃ. κύκλῳ μὲν, τειχίον περιεῖναι. ἐλάας δὲ οὐκ ὀλίγας εἶχε. καὶ ἀριστείδης. τῶν ἐλαῶν ἕνεκα τῆς συλλογῆς.

Ἔχθιστος. οὐκ ἐχθρότατος.

Ἐντειλάμενος, παρ' οὐδενί. ἐπιτειλάμενος δὲ, καὶ ἐπέστειλα, παρὰ θουκυδίδῃ. καὶ κατὰ τάχος ἔπλεον, κατὰ τὰ ἐπεσταλμένα ὑπὸ δημοσθένους. καὶ πάντα ἐπιστείλαντες ἀπέπεμψαν. καὶ δημοσθένης δὲ καὶ ἄλλοι, καὶ ἐπέστειλα λέγουσι, καὶ ἐπέσταλκα. καὶ ἐπιστολὴ ἀντὶ τοῦ πρόσταγμα. ὃ δὴ καὶ ἐπιτολὴ παρ' αἰσχύλῳ διὰ τὸ μέτρον, ἐν προμηθεῖ. ἐπιτολὰς, ἅς σοι πατὴρ ἐφεῖτο. ἐπιστεῖλαι μὲν γὰρ τὸ αὐτοπροσώπως προστάξαι. ἐπιστεῖλαι δὲ, οὐ μόνον τὸ διὰ γραμμάτων, ἀλλὰ καὶ τὸ αὐτοπροσώπως κελεῦσαι. καὶ ἐπιστολὴ ὡσαύτως.

Ἐρρύπηκα. ἐκεκάθηρκα ἀττικοί. οὐκ ἐρύπανα. οὐδ' ἐκάθαρα.

Ἐπαγωγός. οὐ μόνον ὁ ἕλκων εἰς εὔνοιαν ὥσπερ καὶ ἀγωγὸς λέγεται, ἀλλὰ καὶ ὁ κομιστής. ἐν δὲ τοῖς θηλυκοῖς, ἐπὶ μὲν τοῦ ἕλκειν εἰς εὔνοιαν ἀγωγὸς, καὶ ἐπαγωγός. ἐπὶ δὲ τῆς κομιδῆς καὶ φορᾶς, ἀγωγὴ, καὶ ἀπαγωγή. καὶ ἐπαγωγή. θουκυδίδης ἐν τῇ τετάρτῃ. οὐδ' οἱ διέκπλοι ἀσφαλεῖς ἦσαν τοῖς ἐπαγωγοῖς τῶν ἐπιτηδείων. ἤγουν, τοῖς κομίζουσι τὰ ἐπιτήδεια.

Ἑκασταχῆ, καὶ ἑκασταχοῦ, ἔτι δὲ καὶ ἑκασταχόσε, καὶ ἑκασταχόθε κάλλιον λέγειν, ἢ πανταχῆ. πανταχοῦ. πανταχόσε. καὶ πανταχόθε, τίθεται δὲ τὸ μὲν ἑκασταχόσε, ἐπὶ κινήσεως. ἀριστείδης, ἐν τῷ πανηγυρικῷ ἐν κυζίκῳ περὶ τοῦ ναοῦ, οὓς ἀπέστειλεν ἑκασταχόσε. τὸ δὲ ἑκασταχῆ, καὶ ἑκασταχοῦ. ἐπὶ στάσεως.

Οὐ μόνον ἀνάντες τὸ ἀνωφερὲς, ἀλλὰ καὶ, ἐπάντες. θουκυδίδης ἐν τῇ ἕκτῃ. τοῦ λόφου ἐπάντους ὄντος.

Εὐθὺ ἀθηνῶν ἀττικοί, οὐκ ἐπ' ἀθήνας.

Ἔκδημος, οὐκ ἀπόδημος. ἐκδημῶ δὲ καὶ ἀποδημῶ. ἀριστοφάνης ἐν βατράχοις. ποῖ γῆς ἀποδήμεις.

Ἔποικος, καὶ ὁ ἁπλῶς κατοικῶν ἐν τινι πόλει. καὶ ὁ ἐξελαθέντος τοῦ πρώην οἰκοῦντος, αὐτὸς ἐπελθὼν καὶ οἰκήσας. ὥσπερ θουκυδίδης λέγει, ἐποίκους ἔπεμψαν ἀθηναῖοι.

Εἰσῆχα κάλλιον, ἢ εἰσαγήοχα. ἀπὸ τοῦ εἰσάγω, εἰσάξω. εἰσῆχα.

Ἐπίκειμαί τινι, ἀντὶ τοῦ, βαρέως πρός τινα διάκειμαι καὶ ἐπίκειμαι, ἀντὶ τοῦ πλησίον τινὸς κεῖμαι. ἀριστείδης ἐν τῷ σμυρναϊκῷ πολιτικῷ. ἐπικείμενα τοῖς λιμέσι τὰ νεώρια.

Ἐπιμέλομαι κάλλιον, ἢ ἐπιμελοῦμαι. καὶ μεταμέλομαι, ἢ μεταμελοῦμαι.

Ἕρκος, οὐ περίφραγμα. κοινὸν γάρ.

Εὐπρεπὴς καὶ ἀστεῖος τὴν ὄψιν κάλλιον λέγειν, ἢ ὡραῖος. τὸ δὲ εὔμορφος, κοινόν. πλάτων μέντοι ἐν νόμοις, καὶ ξενοφῶν, εὐμορφίαν λέγουσι. σπανίως δὲ καὶ ἀριστείδης, ἐν τῷ αἰγαίῳ. καὶ τῶν ἐν τῇ γῇ πάντων, οὗτος ὡραιότατος. ὥς τε καὶ σύμβολον εἶναι τοῦ αἰγαίου, τὸ τῆς εὐμορφίας ἴδιον.

Οὐ λέγουσιν ἀττικοὶ εἰς τρίτην ἡμέραν, ἀλλ' εἰς τρίτην μόνον. συνέσιος ἐν ἐπιστολῇ. εἰς τρίτην ἥκειν ἐπήγγελε. καὶ πάλιν ἐν ἑτέρᾳ. τρίτη μὲν ἦν αἰσχίνῃ καὶ μέδῳ. ἀριστείδης. καὶ ἥκειν εἰς τρίτην.

Ἑτερόφθαλμος, ὁ τὸν ἕνα πηρωθεὶς τῶν ὀφθαλμῶν. οὐ μονόφθαλμος. μονόφθαλμος γὰρ ὁ ἕνα ὀφθαλμὸν ἔχων φυσικῶς, οἷοι μυθεύονται οἱ κύκλωπες.

Ἑπτέτης, οὐκ ἑπταέτης.

Τὸ, ἑκὼν εἶναι, οἱ παλαιοὶ μετὰ ἀπαγορεύσεως τιθέασιν. οἷον, οὐδεὶς ἑκὼν εἶναι. καὶ τί, τις ἂν ἑκὼν εἶναι ποιήσειε. τὸ γάρ τι ἐνταῦθα, ἀπαγόρευσιν δηλοῖ. καὶ θουκυδίδης. οὐκ ἐν τῷ κόλπῳ ἑκὼν εἶναι τὴν ναυμαχίαν ποιήσομαι. καὶ χωρὶς δὲ ἀπαγορεύσεως, ἀριστείδης ἅπαξ εἶπεν, ἐν τῷ περὶ ὁμονοίας ταῖς πόλεσιν. οἵτινες ἂν τῆς ὁμονοίας ἄρξωσιν ἑκόντες εἶναι. καὶ ἡρόδοτος ἐν πολυμνίᾳ. ἑκών τε εἶναι καὶ δεινοῦ ἐπιόντος οὐδενός. ἀλλὰ ἀπὸ δικαιοσύνης ἐς μέσον κῴοισι καταθεὶς τὴν ἀρχὴν, ᾤχετο ἐς σικελίην. χρῶνται δὲ καὶ ἑκόντες ὄντες. ἀριστείδης ἐν τῷ παναθηναϊκῷ. ἑκόντας ὄντας ταῦτα τιμῆσαι. καὶ λουκιανὸς ἐν τῷ περὶ τῶν ἐπὶ μισθῷ συνόντων. καὶ ἑκόντες ὄντες ἐπιλανθάνεσθε ἑαυτῶν.

Ἔγγιον ἐπὶ συγκριτικοῦ μὴ λέγε, ἀλλ' ἐγγύτερον. ἔγγιον δὲ, ἀντὶ τοῦ ἐγγὺς, ἄριστον. δημοσθένης. ἔγγιον τόκου. καὶ ἡ παροιμία. γόνυ κνήμης ἔγγιον, ἐπὶ τῶν τοὺς οἰκείους εὐεργετούντων.

Ἐξεκόπη τοὺς ὀφθαλμοὺς λέγων καὶ ἐκκόπτειν, κάλλιον, ἢ ἀφῃρέθη. ἀριστοφάνης ἐν νεφέλαις. εἶθ' ἐξεκόπην πρότερον τὸν ὀφθαλμὸν λίθῳ. φιλόστρατος ἐν ἡρωϊκοῖς. τὰς ὄψεις ἐκκοπείς.

Τὸ δὲ ἐτυφλώθη, κοινόν. ἐπιπολὺ, τάττεται μὲν καὶ ἐπὶ ἱματίων. ὡς ἐπὶ τὸ πλεῖστον δὲ

ἐπὶ

ἀντὶ παντοίων σκευῶν. θουκυδίδης. ἃ ἦν ἐν τῷ τείχει ἔπιπλα, χαλκὸς καὶ σίδηρος. καὶ λιβάνιος, ἐν τῇ τῆς λάλου μελέτῃ. καὶ καταλέγεσθαι ἐντεῦθεν τὴν ἐπίπλων μέχρι τῆς ληκύθου. καὶ τῆς ἐτνηρύσιας.

Ε δομαι, καὶ κατέδομαι. οὐ βρώσομαι. ἀλλ' οὐδὲ φάγομαι.

Ε καύσαν, οὐκ ἐκαυσάτην. θουκυδίδης. ἀλλ' ἐκαύσαι σποδιαί.

Ε πυάζει, οὐκ ἐπικάθηται ὠοῖς.

Ε ὁ ἔπης ἐριστικῶς ἐρωτᾷ ὁ λέγει, ἀλλ' ἐρεσχελεῖ. καὶ ἐρεσχελεῖται ὑπό τινος. ἔστι δὲ τὸ ἐρεσχελεῖ, καὶ ἀντὶ τοῦ φλυαρεῖ. καὶ ἐρεσχελία, ἡ φλυαρία. καὶ ἐρεσχελεῖν τὸ ἀτιμάζειν. λιβάνιος ἐν τῇ τοῦ φθονεροῦ μελέτῃ. τὴν πενίαν ἐρεσχελῶν τὴν ἐμήν.

Ε ἴθ' ὤφελον. οὐκ εἴθ' ἔμελον. ἀριστοφάνης ἐν νεφέλαις. εἴθ' ὤφελ' ἡ προμνήστρια ἀπολέσθαι κακῶς. εὐριπίδης ἐν μηδείᾳ. εἴθ' ὤφελ' ἀργοῦς μὴ διαπτάσθαι σκάφος.

Ε πίστω κάλλιον, ἢ ἐπίστασο. σοφοκλῆς ἐν αἴαντι μαστιγοφόρῳ. εὖ μέν τοι τοῦτ' ἐπίστω.

Ε πιον οἴνου. καὶ ἔφαγον σίτου, ἀττικοί. οὐκ οἶνον. οὐδὲ σῖτον.

Ε ντρίβεται τὸ πρόσωπον. οὐ ψιμυθοῦται.

Ε πιτρίβεται πολλὰς λέγε, μὴ πολλὰς πληγὰς δέχεται. ἀριστοφάνης ἐν νεφέλαις. ἐπετρίβετο πολλάς, ὡς τὰς μούσας ἀφανίζων. ἀντὶ δὲ τοῦ τὰς πληγὰς ἐπιφερόντων, ξαίνει τὸν δεῖνα πολλάς, κατὰ τοῦ νώτου τυχὸν, ἢ κατ' ἄλλου τινὸς μέρους τοῦ σώματος. οὕτω γὰρ δημοσθένης λέγει. καὶ προστρίβεται τῷ δεῖνι πληγάς. ἀριστοφάνης ἐν ἱππεῦσι. πληγὰς ἀεὶ προστρίβεται τοῖς οἰκέταις.

Ε πιξενώθη. οὐκ ἐπιξενιάσθη.

Ε ὖ λέγει καὶ κακῶς λέγει. κρεῖττον, ἢ εὐλογεῖ καὶ κακολογεῖ. ὡσαύτως καὶ εὖ πράττει. καὶ κακῶς πράττει. ἢ εὐπραγεῖ. καὶ κακοπραγεῖ. δυσπραγεῖ δὲ καὶ δυσπραγία καὶ κακοπραγία καὶ εὐπραγία, καὶ εὐπραξία. θουκυδίδης ἐν τῇ τρίτῃ. καὶ κακοπραγίαν ὡς εἰπεῖν, ῥᾷον ἀπωθοῦνται. καὶ πάλιν εὐλογία καὶ κακολογία οὐχ ἑλληνικά.

Ε φ' ᾧ, ἀντὶ τοῦ διότι εἰς παρῳχημένον, συνέσιος ἐν ἐπιστολῇ. ἐφ' ᾧ χλανίδιον ἐγεγράφει. ἐφ' ᾧ ἀντὶ τοῦ, ἀντὶ τῷ, εἰς ἀπαρέμφατον. οἷον, ἐφ' ᾧ μεμνῆσθαι. καὶ ἐφ' ᾧ, ἀντὶ τοῦ ἵνα, εἰς μέλλοντα. θουκυδίδης. ἐφ' ᾧ τοὺς ἄνδρας κομιοῦνται. καὶ συνέσιος. οὐκ ἐφ' ᾧ στρατεύσομαι μεμισθωμένος. καὶ πάλιν ἐν ἑτέρᾳ. ἐφ' ᾧ θρέψει οὐκ ἐγκαλεῖται τῇ ποίμνῃ.

Ε ταῖρα ἀττικοί, οὐχ ἑταιρίς. ἑταιρῶ δὲ ἑταιρήσω. καὶ ἑταίρησις, τὸ τὸν ἄνδρα πάσχειν τὰ τῶν ἑταιρῶν. ἑταιρεῖ μὲν οὖν καὶ πορνεύεται, ὁ πασχητιῶν. ἀλλ' ἑταιρεῖ μὲν ὑπὸ ἐραστοῦ. πορνεύεται δὲ ὑπὸ τοῦ τυχόντος. αἰσχίνης ἐν τῷ κατὰ τιμάρχου. οὐκ ἔτι δή που μόνον φαίνεται ἡταιρηκὼς, ἀλλὰ μὰ τὸν διόνυσον, οὐκ οἶδ' ὅπως δυνήσομαι περιπλέκειν ὅλην τὴν ἡμέραν, καὶ πεπορνευμένος. κυρίως δὲ πορνεύεται ἡ γυνή. δημοσθένης ἐν τῷ περὶ τοῦ στεφάνου. τοῦ μὲν, τὸν πατέρα ἡταιρηκέναι. τοῦ δὲ, τὴν μητέρα πεπορνεῦσθαι. καὶ πορνεύει, ὁ ταύτῃ χρώμενος. ἡρόδοτος δὲ ἀντὶ τοῦ εἰς πορνείαν ἐκδίδωσι χρῆται τῷ ὀνόματι ἐν τῇ πρώτῃ. ὅτι τὰ θήλεα τέκνα καταπορνεύουσιν.

Ε βουλόμην. καὶ ἐβουλήθην, πλειστάκις οἱ δοκιμώτατοι λέγουσιν. ἠβουλόμην δὲ καὶ ἠβουλήθην, ἅπαξ. ὅτι δὲ καὶ ἀντὶ τοῦ ἐδυνάμην, καὶ ἐδυνήθην, νόει.

Ε φίεσθαι, ῥητορικόν. ἔπεσθαι δὲ καὶ ἐθέλεσθαι, ποιητικόν.

Ε νεάζω λέγε. μὴ τὴν νεότητα διαβιβάζω. συνέσιος. ὁ γὰρ ἐνεάσας τῇ κατὰ φιλοσοφίαν ἀρχῇ.

Ε πίταγμα κάλλιον. ἢ πρόσταγμα καὶ ἐπιτάττω, ἢ προστάττω.

Ε ἰ, μετὰ ὁριστικοῦ καὶ εὐκτικοῦ ἀεὶ, καὶ ἀντὶ τῶν τελικῶν χρόνων. ἐν μετὰ ὑποτακτικοῦ δὲ πολὺ ἀντὶ τῶν αὐθυποτάκτων. οἷον εἰ λάβωμαι. εἰ γράψωμαι. εἰ δὲ σοφοκλῆς λέγει ἐν ἀντιγόνῃ, κἄν τις ᾖ σοφὸς, ἠνάγκασται διὰ τὸ μέτρον. τὸ δὲ ἐὰν, τὸ ἄν. τὸ κἄν, τὸ ἤν, καὶ τὸ ὅταν, ἀεὶ μετὰ ὑποτακτικοῦ παρὰ τοῖς ἀκριβεστάτοις. εἰ γὰρ εὕρηται ἅπαξ παρὰ θουκυδίδῃ ἐν τῇ τρίτῃ. ἢν τε καὶ ἔχοντές τι ξυγγνώμης εἶεν. καὶ παρὰ λουκιανῷ ἐν τοῖς ἀληθινοῖς. ἐὰν καταχθείημεν εἰς τὰς νήσους. καὶ αὖθις ἐν τῷ, βίων πράσεις. καὶ ταῦτα ἢν ἐθελήσειεν ἀποδόσθαι οὑτοσὶ, ἀλλ' οὐ δεῖ ζηλοῦν τὸ ἅπαξ ῥηθέν. εἰ δὲ τῷ, ἄν. τὸ. εἰ. προστεθείη, μετὰ εὐκτικοῦ, καὶ ὁριστικοῦ ἐκφέρεται. τὸ δὲ ἵνα καὶ τὸ ὅπως, καὶ μετὰ ὑποτακτικοῦ, καὶ μετὰ εὐκτικοῦ. ἀριστείδης ἐν τῷ ῥοδιακῷ. ἵνα πανταχοῦ τὴν μεγίστην τετυχηκυῖα ἡ πόλις φαίνηται. καὶ αὖθις ἐν τῷ αἰγαίῳ. ἵν' εἶεν τέλειοι τὴν μουσικήν. καὶ θουκυδίδης ἐν τῇ δευτέρᾳ. ὅπως μὴ κατὰ φῶς θαρσαλεωτέροις οὖσι, προσφέροιντο, καὶ σφίσιν ἐκ τοῦ ἴσου γίγνωνται, ἀλλ' ἐν νυκτὶ φοβερώτεροι ὄντες, ἥσσους ὦσι τῆς σφετέρας ἐμπειρίας. τὸ δὲ κἂν μετὰ σφοδροῦ τόνου, καὶ μετὰ εὐκτικοῦ, καὶ μετὰ ὁριστικοῦ παρῳχημένου. ἀριστοφάνης ἐν νεφέλαις. κἂν πρὸς καταθεῖμ' ἔτ' ἐμβάσαι τριώβολον. σοφοκλῆς ἐν αἴαντι μαστιγοφόρῳ. κἂν ἐξέπραξεν ἂν κατημέλησ' ἐγώ. ταῦτα πρὸς τούτων καὶ μὴ ἄλλως φρονεῖ.

ἀκριβῶς γὰρ ἄγαν ἐξήτασται, καὶ μεμελέτηται. γίνωσκε δὲ καὶ τοῦτο. ὅτι οὐδέ ποτε ὑποτακτικὸς σύνδεσμος μέλλοντι συντάσσεται. οἷον, ἂν ἔσται. ἢν γενήσεται, καὶ ὅσα τοιαῦτα. καὶ εὑρήσεις ἅπαξ ἐν τῇ κοινῇ ἐκκλησίᾳ, πρὸς μέλλοντα τὸ κἂν συντάξει λέγων. κἂν μηδενὸς ἀνθρώπων μεμνήσονται. καὶ πλάτων ἐν γοργίᾳ, τὸ ὅταν μετὰ μέλλοντος. λέγων, ὅταν βουλήσεσθε παρ' ἐμὲ ἥκειν οἴκαδε. καὶ θουκυδίδης ἐν τῇ ὀγδόῃ. ἢν καὶ ἂν μὴ ὑπακούωσι, πολεμήσονται. οὐ μόνον δὲ ἐν τῇ ἀρχῇ τιθέμενος ὁ ἂν σύνδεσμος, οὐ συντάσσεται μέλλοντι, ἀλλ' οὐδὲ ἐν τῷ μέσῳ. οἷον, ὅπερ ἂν ἔσται.

Ἑβδόμη, οὐ μόνον ἡ μετὰ τὰς ἓξ μονάδας μονάς, ἀλλὰ καὶ ἅπας ὁ ἑπτὰ ἀριθμός. αἰσχύλος ἐν τοῖς ἑπτὰ ἐπὶ θήβαις, ἑπτὰ δ' ἀγήνορες πρέποντες στρατοῦ δορυσσόοις σταγαῖς, πύλαις ἑβδόμαις προσίστανται. ὥσπερ τοὐναντίον. καὶ ἡ ἑβδομάς, οὐ μόνον τὰ ἑπτά, ἀλλὰ καὶ αὐτὴ ἡ μετὰ τὰς ἓξ μονάδας, μονὰς ὡς ἄλλοι τε πολλοί, καὶ ὁ θεολόγος. τὴν ἑβδομάδα τιμῶσιν ἑβραίων παῖδες. ἤγουν τὴν ἑβδόμην.

Ἐπανορθοῦμαι κάλλιον, ἢ ἐπανορθῶ. πλάτων ἐν τῇ πρώτῃ τῶν πολιτειῶν. καὶ δεῦρο ἰὼν ἐπηνωρθούμην.

Ἐνταῦθα. ἐνθάδε. αὐτοῦ δὲ. δεῦρο. τῇδε. καὶ ὧδε. πάντα ταῦτα, ἐφ' οὗ εὑρίσκεταί τις τόπου τίθενται. τὸ δὲ αὐτόθι, αὐτόθεν. αὐτοῦ, ἐφ' οὗ ἂν εἴη, ὁ πρὸς ὃν τοὺς λόγους ποιεῖται γράφων. εἰ δέ ποτε τὸ ἐνταῦθα καὶ τὰ ἑξῆς, ἐπ' ἄλλου τόπου, καὶ οὐκ ἐφ' οὗ ἐστιν ὁ λέγων τίθεται, ἀλλὰ τότε τοῦτο γίνεται, ὅτε ὁ τόπος προδηλωθῇ, καὶ τὸ πρόσωπον πρὸς ὃν οἱ λόγοι. οἷον, ἐλθόντες τινὲς πρὸς ὑμᾶς, πολλῶν ἀγαθῶν ἐνταῦθα ὤναντο. καὶ θουκυδίδης. ἕως ἀφίκοντο εἰς ῥήγιον. καὶ ἐνταῦθα ἠθροίζοντο. εὕρηται δὲ ἅπαξ καὶ μὴ προδηλωθέντος τοῦ τόπου, ὡς παρὰ συνεσίῳ ἐν ἐπιστολῇ. σὺ μὲν οὖν εὐτυχούσης τῆς ἐνταῦθα παιδείας πολυανθρίας σοφίας. ἤγουν τῆς αὐτόθι. οὐ δεῖ δὲ τῷ ἅπαξ εἰρημένῳ χρῆσθαι. ἔστι δὲ τὸ ἐνταῦθα, καὶ ἀντὶ τοῦ τότε. ἔτι δὲ καὶ ἀντὶ τοῦ εἰς τοῦτο. οἷον. ἐνταῦθα τύχης ἰὼν καὶ ἐς δεῦρο τύχης.

Τὸ δὲ ἐκεῖ. ἐκεῖσε. καὶ ἐκεῖθεν, οὐ μόνον ἀντὶ ἄλλου τόπου, ἀλλὰ καὶ ἐφ' οὗ ἐστιν ὁ, πρὸς ὃν τοὺς λόγους ποιούμεθα, τίθεμεν. λιβάνιος ἐν ἐπιστολῇ. τῶν ἐκεῖθεν ἡκόντων, ἕκαστον ἐρωτῶ μὲν ὅπως ἔχει σοι τὸ σῶμα. ἤγουν, τοὺς αὐτόθεν. καὶ πάλιν ἐν ἑτέρᾳ. ἀλλ' ἀντὶ τὰ ἐκεῖ τεθεραπευκότας.

Ἔννους ἁπλῶς, ὁ ἔχων νοῦν, ὡς πᾶς ἄνθρωπος. κατεχρήσαντο δὲ τῇ λέξει, ἀντὶ τοῦ συνετοῦ. καὶ φρονίμου.

Ἐκκέκληκα. οὐκ ἐξκέκληκα. διότι τὸ διπλοῦν μετὰ τοῦ συμφώνου τιθέμενον, βραχύτητα ποιεῖ τῆς φωνῆς. καὶ δῆλον, ἀπὸ τοῦ ἐκ τοῦ.

Ἔρρανται, οὐ ῥέρανται, διὰ τὸ εὐφωνότερον. ὁ αὐτὸς δὲ λόγος, καὶ ἀντὶ τοῦ ἔρρευκε. καὶ ἐρρητόρευκε, καὶ τῶν ὁμοίων.

Ἐπὶ ὄρεσι κάθηται, οὐκ ὀρειοσκοπεῖ.

Ἐρωτῶ, τὸ ἀπόκρισιν ζητῶ τινά. τὸ ἐπερωτῶ δὲ, ἔστι μὲν καὶ ἀντὶ τοῦ ἁπλῶς ἐρωτῶ. κυρίως δὲ, ὅταν ἀντὶ τῇ ἐρωτήσει, ἑτέρᾳ ἐρωτήσει χρῶμαι. προσεπερωτῶ δὲ, τὸ μετὰ τὴν δευτέραν, καὶ τρίτην ποιοῦμαι ἐρώτησιν. τὸ αὐτὸ καὶ ἀντὶ τοῦ εἶπον. ἐπεῖπον. προσεῖπον.

Ἐξ ἐκείνου, οὐκ ἔκτοτε. οὐδ' ἀπὸ τότε.

Καὶ ἐκ παλαιοῦ, οὐκ ἔκπαλαι. οὐδὲ ἀπόπαλαι. οὐδὲ πρόπαλαι. καὶ καθόλου δὲ τοῖς χρονικοῖς ἐπιρρήμασιν οὐ συντάσσουσι τὰς προθέσεις ἀττικοί.

Οὐκ ἐδέετο. καὶ ἐπλέετο, ἀλλ' ἐδεῖτο καὶ ἐπλεῖτο. ἰωνικὰ γάρ.

Ἐκλιπών, οὐκ ἐκλείψας. ἀδόκιμον γάρ.

Ἐσχάτως ἔχει, ἀντὶ τοῦ μοχθηρῶς, οἱ σύρφακες. οἱ δὲ παλαιοί, ἀντὶ τοῦ ἄκρως τιθέασιν. ἐσχάτως φιλόσοφος.

Ἔζων, οὐκ ἔζην. ὡς οἴονταί τινες. συνέσιος ἐν τῷ αἰγυπτίῳ. ἢ περὶ προνοίας πρώτῳ λόγῳ. αἰσθήσει τε γὰρ ἔζων καὶ νοῦς ἀπῆν. ἔζης δὲ, καὶ ἔζη.

Ἐπίδοξος, οὐχ ὁ ἔνδοξος ὥς τινες, ἀλλ' ὁ προσδόκιμος.

Ἔνδοξος μέντοι, καὶ εὔδοξος γράφεται παρὰ θουκυδίδῃ. καὶ ἅμα ἐλευθέραν, καὶ εὐδοξοτάτην πόλιν διὰ παντός.

Τῇ ἐπιούσῃ ἡμέρᾳ, οὐ προσθεὶς τὸ, ἡμέρᾳ. τῆς ἐπιούσης δὲ ἡμέρας.

Ἐθελοντὶ κάλλιον, ἢ ἐθελοντήν. ἐθελοντία δὲ οὐ λέγουσιν. οὐδ' ἐθελονία, ἀλλ' ἐθελοντεία.

Εἰς τάχος γράφει λέγε. καὶ εἰς κάλλος γράφει. μὴ ταχυγράφος δὲ, μηδὲ καλλιγράφος.

Ἐδάφων, οὐκ ἐδαφῶν. εἰ καὶ λιβάνιος ἐν τῷ εἰς κωνστάντιον καὶ κώνσταντα. ὥς τε τὰς προσπίπτους ἐκείνας πόλεις εὕροις ἄν, τῷ μὲν χρόνῳ πρεσβυτάτας. τῇ δὲ τῶν ἐδαφῶν κατασκευῇ νεωτάτας.

Ἔτι, οὐκ ἀκμήν. εἰ καὶ ξενοφῶν ἅπαξ ἐχρήσατο.

Ἔσχατον χρὴ λέγειν, οὐκ ἐσχατώτατον.

Καὶ ἑρμηνεία, καὶ ἀγγελία. ἑρμηνεύω δὲ, οὐ μὴν καὶ ἀγγέλλω. φιλόστρατος ἐν τοῖς βίοις τῶν σοφιστῶν. ἡ δὲ ἐπίπαν ἑρμηνεία τοῦ λόγου. καὶ πάλιν. τὸ δὲ κατὰ φύσιν ἑρμηνεύειν. καὶ αὖθις ἐν τῷ αὐτῷ λόγῳ. σεμνοπρεπὴς τὴν ἀγγελίαν δοκεῖ, καὶ βεβηκώς. ἡ δὲ φράσις, κοινόν.

Ἐπειράσουσιν, οὐ πειρέσουσιν.

Ἐν χρῷ κουρίας ἔσθη, καὶ μὴ ψιλόκουρος. συνέσιος ἐν τῷ περὶ φαλάκρας λόγῳ. καὶ

τις ἐν

τις ἐν χρῷ κουρίας ἀποθανών.

Ἔναυλον, τὸ ἔνηχον ἀπὸ τοῦ αὐλεῖν. καὶ ἔναυλον, τὸ ἔνοικον, καὶ ἐφέστιον ἀπὸ τοῦ αὐλῆς. ὡς τὸ ἔναυλός ἐστιν, ὁ θυραῖος.

Ἐπίκληρος καὶ ἐπὶ ἀρσενικοῦ, καὶ ἐπὶ θηλυκοῦ, ὁ ἐπὶ πάσῃ τῇ πατρικῇ περιουσίᾳ κληρονόμος καταλελειμμένος παῖς. μὴ ὄντος αὐτῷ δηλονότι αὐταδέλφου. καὶ ἐπικληρεῖ τις δὲ θηλυκῶς μόνον εὕρηται.

Τὸ ἔχω μετὰ ἐπιρρήματος συντεθὲν, οὐ μόνον πρὸς γενικὴν, ἀλλὰ καὶ πρὸς αἰτιατικὴν, ἔστιν ὅτε συντασσόμενον εὑρίσκεται. ὡς ἀριστείδης ἐν τῷ ὑπὲρ ὁμονοίας. ἡ μὲν οὕτως ἔχον ὦ ἄνδρες ῥᾳδίως τὸ σῶμα. εὐριπίδης ἐν ὀρέστῃ. ἅλις δὲ μύθος αἷμ' ἔχω. τοῦτο δὲ γίνεται ἀποδιδομένης τῆς συντάξεως πρὸς τὸ ἔχω. ὅταν μέντοι πρὸς γενικὴν συντάσσεται, τὸ εἶναι ἔξωθεν νοούμενον. ὥσπερ ἔχει καὶ τὸ, φρενῶν εὖ ἥκει. καὶ παρ' ὁμήρῳ τὸ, τόξων εὖ εἰδώς.

Ἐξενεγκεῖν, καὶ ἀντὶ τοῦ ἁπλῶς ἐκβαλεῖν, καὶ ἀντὶ τοῦ νεκρὸν ἐξαγαγεῖν.

Ἐ[illegible] καὶ τὸ ἐκφέρειν. ἐκφέρουσι μέντοι τὸν νεκρὸν ἐπὶ ἡμέρας καὶ οὐχ ἐπὶ νυκτός. ἵνα πάντες αὐτὸν ἴδωσι, μὴ φαρμάκοις ἢ τοιούτοις τισὶ, καὶ οὐ θανάτῳ φυσικῷ τέθνηκεν. ἐξενεχθῆναι δὲ καὶ ἐξεφορά τις μέμψιν κατά τινος. ἴστεον δὲ ὅτι τὸ ἐξαγωγὴ καὶ ἐπὶ τῶν [illegible] τούτων λέγεται.

Τὸ δὲ ἐκφορὰ, ἐπὶ μέμψεως οὐ λέγεται. ἀλλ' ἐπὶ νεκροῦ, καὶ ἐπὶ ἁπλῶς ἐκβολῆς.

Ἕδος, οὐ μόνον τὸ ἔδαφος, ἀλλὰ καὶ ἡ εἰκών. σοφοκλῆς ἐν ἠλέκτρᾳ. πατρῷα προσκυνήσαντες ἕδη θεῶν. ἀριστείδης ἐν τινὶ τῶν ἱερῶν. πρῶτον μὲν ὤφθη τὸ ἕδος τοῦ ἀσκληπιοῦ, τρεῖς κεφαλὰς ἔχον. καὶ πάλιν. ἐν δὲ τῷ τοίχῳ, οὗ τὰ ἕδη τῶν θεῶν.

Ἐκεῖ. ἐπίρρημα τοπικὸν, ἀναφορικόν. αὐτὰ ποιοῦνται δὲ τὸ ἐνθάδε πρὸς αὐτό. τοῦτο δὲ ἀπαντᾷ, πρὸς τὸ ποῦ ἐρωτηματικόν. λέγεται πρὸς μὲν γὰρ τὴν ἐρώτησιν τοῦ ποῦ, τὸ ἐκεῖ ἀναφορικόν. ὧδε. ἐκεῖ. ἐν θαλάττῃ. ἴστεον δὲ ὡς οἱ δοκιμώτατοι τῶν παλαιῶν, ἐπὶ στάσεως τιθέασι τὸ ἐκεῖ. οἷον ἐκεῖ τυγχάνω. καὶ ἐκεῖ εὑρίσκομαι. τὸ δὲ ἐκεῖσε, ἐπὶ κινήσεως. οἷον ἐκεῖσε ἀπέρχομαι. οἱ δὲ ἐναλλὰξ ἀμφότερα γράφοντες, ἁμαρτάνουσιν. ὅμηρον γὰρ καὶ τοὺς ἄλλους δοκίμους τῶν ποιητῶν, καὶ θουκυδίδην καὶ πλάτωνα καὶ δημοσθένην, καὶ ἀριστείδην, εἴ τις ἀκριβῶς ἐξετάσει, οὕτως ὡς ἔφημεν, εὑρήσει χρωμένους. εἰ δέ τις τὸ τοῦ εὐριπίδου ἐν φοινίσσαις προσφέρει, τὸ, λόγοισι μὲν χαίρει, τὸν δὲ νοῦν ἐκεῖσ' ἔχει, καὶ πάλιν τὸ τοῦ αὐτοῦ ἐν τῷ αὐτῷ δράματι, τὸ, τὸν νοῦν οὐκ ἔτι πρὸς αὐτὸν ἔχων. ἐκεῖσε δὲ, οὐδὲν ταῦτα ἐναντιοῦνται τῷ λόγῳ. τὸ γὰρ ἐκεῖσε ἔχει τὸν νοῦν ἀντὶ τοῦ ἄγει καὶ φέρει, ὡς τὸ καὶ παύεσθαι ἐπὶ κινήσεως τῇ οἰκίᾳ καὶ τῇ ἐρημίᾳ, τὸ ἐκεῖσε δεῖ. Καὶ εἰσῄει με πάθος. καὶ εἰσῄει μοι πλάτων ἐν τῷ φαίδωνι, ἐπ' ἀνδρὶ ψυχῆς. διὰ δὴ ταῦτα, οὐδὲν πάνυ μοι ἐλεεινὸν εἰσῄει. καὶ πάλιν ἐν τῷ αὐτῷ. οὔτε ὡς θανάτῳ παρόντα με ἀνδρὸς ἐπιτηδείου ἔλεος εἰσῄει.

Οὐ μόνον, εἴργουσι τοῦδε, καὶ εἴργουσι τόδε, ἀντὶ τοῦ κωλύω. ἀλλὰ καὶ εἴργουσι τόδε, ἀντὶ τοῦ ἀποσοβῶσιν. αἰσχύλος ἐν ἑπτὰ ἐπὶ θήβαις. ἔργει τεκούσῃ μητρὶ, πολέμιον δόρυ.

Ἕλκος κυρίως, χρόνιον πάθος ἐκ σιδήρου γενόμενον. ὠτειλὴ δὲ ἡ ἐκ τοῦ συνέγγυς ἀπὸ σιδήρου πληγή.

Ἐμβάδες τὰ κωμικὰ ὑποδήματα. ἐμβάδια δὲ, τὰ ἁπλῶς ὑποδήματα. ἀριστοφάνης ἐν πλούτῳ. τοῖς δ' ἐμβαδίοις τί χρήσεταί τις. Ἔμβαται δὲ καὶ ἐμβάται, βάρβαρα.

Ἐμπειρία, ἡ ἐπὶ πολλῶν κατάληψις βεβαία. ὡς ἔχει καὶ ὁ τῆς γραμματικῆς ὅρος. ἐμπειρία, τῶν παρὰ ποιηταῖς τε καὶ συγγραφεῦσιν, ὡς ἐπὶ τὸ πολὺ λεγομένων. πεῖρα δὲ ἡ ἐφ' ἑνὸς ἢ δύο γνῶσις δοκιμαζομένη.

Ἐνθύμημα, ποιοῦ λόγου σχῆμα.

Ἐνθύμιον δὲ, ἡ ἐνθύμησις.

Εὔχομαι τῷ θεῷ. ἤγουν, εὐχὴν πρὸς αὐτὸν ὑπέρ τινος ποιοῦμαι. καὶ εὔχομαι ἀνθρώπῳ, ἀντὶ τοῦ ὑπὲρ αὐτοῦ εὐχὴν πρὸς θεὸν ἀναπέμπω. εὔχομαι, καὶ τὸ ὑπισχνοῦμαι. καὶ εὐχὴ, ἡ ἐν ἱκετηρίαις ὑπόσχεσις. ἀριστείδης ἐν τῷ εἰς ῥώμην. εὐχὰς ποιεῖσθαι καθ' ὧν ἂν ἕκαστος ἐπίστατο. ὅπερ καὶ εὐχωλὴ παρὰ ποιηταῖς λέγεται. εὔχομαι δὲ τὸ καυχῶμαι, παρὰ μόνοις τοῖς ποιηταῖς.

Ἐπαγγέλλω ὡς ἐπὶ τὸ πολὺ τὸ αἰτῶ. λιβάνιος ἐν ἐπιστολῇ, τῇ τὸ μὲν τοὺς σοφιστὰς διασύρειν. καὶ ἐπαγγέλλειν καὶ ἐπικαλεῖν τὸ παιδεύειν. σπανίως δὲ τὸ ὑπισχνοῦμαι. ὁ αὐτὸς ἐν ἑτέρᾳ. συνουσίαν ἐς τὴν ὑστεραίαν ἐπήγγελλε. καὶ τὸ, οἰονεὶ παραγγέλλω. συνέσιος ἐν ἐπιστολῇ. δηλώσαις ἅπαντα ἐπὶ τὴν κλεοπάτρας ἐπήγγελλε. καὶ πάλιν ἐν ἑτέρᾳ. ἐπαγγέλλεσθαι ἥκειν ἀκροασομένους ἐλλογίμων γραμμάτων. ἐπαγγέλλομαι, δὲ ὡς ἐπὶ τὸ πολὺ μὲν τὸ ὑπισχνοῦμαι, σπανίως δὲ καὶ τὸ αἰτῶ. σοφοκλῆς ἐν ἠλέκτρᾳ. καλῶς ὕδειν τ' ἀπορρίψουσαν ἃ ἐπηγγελλόμην. ἤγουν, ἃ ᾔτουν. καὶ ἀριστείδης ἐν τῇ παλινῳδίᾳ ἐπὶ σμύρνῃ. καὶ ἐπηγγέλλοντο βουλομένους.

Ἐρῶ καὶ ἔρως κυρίως ἐπὶ τῶν παρόντων. ποθῶ δὲ καὶ πόθος ἐπὶ τῶν ἀπόντων. λιβάνιος ἐν ἐπιστολῇ. ἄκων δὲ ἐξέλιπον. ἐπόθουν δὲ καὶ οἴκοι καθήμενος. ἀριστοφάνης ἐν πλούτῳ. ποθεῖς τὸν οὐ παρόντα καὶ μάτην ζητεῖς. καταχρηστικῶς δὲ ἐναλλὰξ ἀμφότερα.

Ἕτερος ἐπὶ δυοῖν. ἄλλος ἐπὶ πολλῶν.

Εὐφυὴς, ὁ εἰς πάντα δεξιός.

Εὐμαθὴς ὁ εἰς τὸ μαθεῖν ταχύς. λουκιανὸς ἐν τῷ δὶς κατηγορούμενος. καὶ ἐπεὶ ἐδόκει μοι εὐμαθὴς εἶναι. καὶ εὐμαθὴς, ὁ εὔγνωστος. καὶ εὐμαθὲς ἤδη οὐ δευτέρου.

Εὐειδὴς, ὁ τὸ εἶδος παντὸς τοῦ σώματος κάλλιστα διακείμενος. καλὸς δὲ, ὁ τὴν ὄψιν ἀστεῖος.

Ἐχθρὸς κυρίως ὁ πρώην φίλος καὶ ὕστερον καταστὰς εἰς ἔχθος. πολέμιος δὲ ἁπλῶς, ὁ μεθ' ὅπλων χωρῶν. δυσμενὴς δὲ, ὁ χρόνιον πρὸς τὸν ποτὲ φίλον τὸ μῖσος διατηρῶν.

Ἑστάτω ἀττικοί. οὐχ ἑστηκέτω. σοφοκλῆς ἐν Αἴαντι μαστιγοφόρῳ. ἀλλ' ἑστάτω μοι καὶ Διὸς, τῇ καίειον. τὰ πρὸς πεῖσιν ἢ δρᾶσιν αἰτιατικῇ συντάσσεται.

Ἔπαθον τὴν ψυχήν. συνέτριψα τὴν λήκυθον. οἱ ἀττικοί,

Καὶ ἐγείρομαι καὶ ἔγρομαι λέγουσι. καὶ ἠγειρόμην, καὶ ἠγρόμην. καὶ ἐγειρόμενος καὶ ἐγρόμενος. ἀριστοφάνης ἐν βατράχοις. καὶ τί ἔστιν ὃ ἐξεγρόμην. καὶ λουκιανὸς ἐν τῷ μίκυλος, ἢ ἀλεκτρυών. μὴ ὄναρ πλουτῶν λιμώττεις ἀνεγρόμενος.

Ἐρυγγάνειν λέγουσιν ἀττικοί, ὅταν τις ἀπόσιτος ᾖ. ἐρεύγεται δὲ, μετὰ τὴν τροφήν.

Ἐς κόρακας ἀττικοί, οὐκ εἰς κόρακας. καὶ ἐς μακαρίαν, οὐκ εἰς μακαρίαν.

Ἔγχουσα, οὐκ ἄγχουσα. ἔστι δὲ ῥίζα τις ἐρυθρὰ ᾗ τὰ πρόσωπα βάφουσιν αἱ γυναῖκες.

Ἐξήμεσε κάλλιον, ἢ ἐξέμεσεν.

Ἔστιγμαι, οὐκ ἔστιζε.

Εὐνοῦχος. τὸ δὲ σπάδων αἰσχρόν.

Ἑάλωκεν, οἱ ἀττικοί. οὐχ ἥλωκε. καὶ ἑάλω, οὐχ ἥλω. τὸ δὲ ἐλήφθη, κοινότερον.

Εἰσφρήσει κάλλιον, ἢ εἰσφθαρῇ. ἀριστοφάνης ἐν ἱππεῦσιν. ἐπεὶ γὰρ εἰσφρήσουσ' εἰς τὴν οἰκίαν.

Ἐξήρτημαι, ἀντὶ τοῦ ἐκκρέμαμαι. οὐ μόνον πρὸς γενικήν, ἀλλὰ καὶ πρὸς δοτικήν. αἰσχύλος ἐν προμηθεῖ. ἐκηβόλοις τόξοισιν ἐξηρτημένοι.

Ἐξήρτημαι δὲ, ἀντὶ τοῦ εἰς ἑαυτὸν κρεμῶ, αἰτιατικῇ, συνέστιος, ἐν τῇ τρίτῃ μὲν τῇ αἰσχίνου κειμένῃ ἐπιστολῇ. χρυσία καὶ λίθους ἐξήρτητο. καὶ πάλιν, ἐν ἐπιστολῇ τῇ ἕως ἔτι παιδεύει ὁ μακαρίτης θεόδωρος. διαφερόντως δὲ τῶν ἡμετέρων γονέας ἐξήρτητο. ἀπήρτημαι δὲ, τὸ ἀποδιίσταμαι. κυρίως ἤδη θαλάσσης γενικῇ. ὁ αὐτὸς ἐν τῇ, λύσαντος ἐκ βενδιδείου ἐπιστολῇ. τὸ ἀπηρτῆσθαι τοσοῦτο τῆς γῆς. ἀπήρτημαι, καὶ τὸ ἐκκρέμαμαι. λουκιανὸς ἐν τῷ ἰκαρομενίππῳ, ἢ ὑπερνέφελος. ἄνω που τῆς διηγήσεως ἐκ τῶν ὤτων ἀπηρτημένον.

Ἐσθής. εὕρηται παρὰ λογογράφοις. καὶ ἔσθημα. ἔσθησις δὲ, παρὰ ποιηταῖς. καί τισι τῶν ῥητόρων. ἰστέον ὅτι, ἐσθὴς καὶ στολὴ διαφέρει. τῷ τὴν μὲν ἐσθῆτα, ἤδη τῶν ἁπλῶς ἐνδυμάτων τάττεσθαι. τὴν δὲ στολὴν, ἤδη τῶν διαφόρων σχημάτων τῶν ἐσθήτων. οἷον ἄλλη στολὴ τῶν ἑλλήνων, καὶ ἄλλη τῶν βαρβάρων,

Η' ἐξ, ἔστιν ὅτι καὶ ἀντὶ τοῦ ἔξω τίθεται. ὡς τὸ ἐξ ἀνθρώπων ἐγένετο. καὶ ἐρρέθη ἐν τῇ δευτέρᾳ τετράσιν ἔλεγον ἐξ ἰδίων τὸν ἥλιον ἀνατεῖλαι. ἤγουν, ἔξω τῆς συνηθείας.

Ἐληλάμενος δεῖ γράφειν προπαροξυτόνως, ὡς οὐ τάμενος. ἐπειδὴ γὰρ ἐληλασμένος καὶ ὑποταθμένος ἐστιν, ἔπαθον δὲ τὴν τοῦ σ ἀπὸ τῶν ἀποβολήν, διὰ τοῦτο δὴ καὶ πάλιν τὸν τόνον ἐκαινοτομήθησαν. ὥσπερ καὶ τὸ ἄσμενος. ἀσμένος γὰρ ὄν, εἶτα παθὸν τὴν τοῦ ν εἰς α τροπήν, ἀνεβίβασε τὸν τόνον. ἰστέον δὲ, ὡς ὅταν ἡ δευτέρα συζυγία τῶν περισπωμένων, ἢ καθαρὸν, ἢ μετὰ τοῦ ρ ἔχει τὸ α, ἀναγκαίως ἀεὶ τὸν παθητικὸν παρακείμενον, δίχα τοῦ σ ἐκφέρει. ὡς τεθέαμαι. καὶ ἑώραμαι. καὶ πεπείραμαι. καὶ ὅσα τοιαῦτα. μὴ ἔχουσα δὲ οὕτω, μετὰ τοῦ σ τοῦτον ποιεῖ. ὡς γεγέλασμαι. καὶ τὰ παραπλήσια. οὕτω καὶ τὸ ἐλήλαμαι ἐλήλασμαι ὄν, ὡς μήτε καθαρὸν ἔχοντα τὸ α μήτε μετὰ τοῦ ρ, ἐκβολῇ τοῦ σ ἐλήλαμαι γέγονε. καὶ διὰ τοῦτο καὶ ἤδη τῆς μετοχῆς ἀνεβιβάσθη ὁ τόνος. ὥστε οἱ ἐληλαμένος καὶ οὐκ ἐληλάμενος γράφοντες, ἁμαρτάνουσιν.

Ἐπ' ἀμφότερα εἰπεῖν, ἱκανῶς βέλτιον, ἢ κατ' ἄμφω.

Ἐξειλεγμένος. οὐκ ἐκλελεγμένος.

Ἔνθεος οἱ δόκιμοι, οὐκ ἔνθους.

Ἕλξις, οὐχ ἕλκυσις.

Οὐ μόνον ἐναρίθμιος, ἀλλὰ καὶ ἐνάριθμος. συντάσσονται ἀμφότερα καὶ πρὸς δοτικήν, καὶ πρὸς γενικήν. πλάτων γὰρ, ἐνάριθμον τῶν πολλῶν λέγει.

Ε ἰσάν τὸν ἀγαπώμενον καὶ ὑπείδη κάλλιον ἂν εἴποις, ἢ ὑπηκείθη. λουκιανὸς ἐν τῷ ἀναβιοῦντες, ἢ ἁλιεύς. ἥ τις ἐπανέκειτο τῆς ἀθηνᾶς ποσειδῶνα. ἢ διὰ ὑποδεδυκώς.

Εὐκταῖον εἰκῶς, παρ' οὐδενὶ τῶν παλαιῶν. τὸ μὲν παρὰ πλάτωνι ἐν νόμοις. ἀλλ' εὐκταῖα, καὶ εὐκταιότατα.

Ἐγχυτρισμὸν ἔλεγον, τὴν τοῦ βρέφους ἔκθεσιν, ἐπεὶ ἐν χύτραις ἐξετίθουν αὐτά.

Εὐήθης κατ' εὐφημισμὸν, τὸ ἀσύνετον. παρὰ δὲ δημοσθένει, εἰς χρηστότητος τάξιν κεῖται. τὴν ἡμετέραν εὐήθειαν καὶ φιλανθρωπίαν. καὶ θουκυδίδης ἐν τῇ τρίτῃ. καὶ τὸ εὔηθες, οὗ τὸ γενναῖον πλεῖστον μετέχει. τό.

Εὐλαβεῖσθαι δὲ ἀντὶ τοῦ φοβεῖσθαι, καὶ ἀντὶ τοῦ φυλάττεσθαι. ὡς δημοσθένης ἐν τοῖς φιλιππικοῖς.

Καὶ εὐλάβεια ὡσαύτως.

Εὐλαβὴς μέν τοι, καὶ ἤδη ἀρσενικοῦ καὶ ἤδη θηλυκοῦ, ὁ εὐλύπιτος καὶ εὐλαβὴς, ἤδη τοῦ αὐτοῦ.

Ἐπιτροπεύω τὸν παῖδα κάλλιον, ἢ ἐπιτροπεύω τοῦ παιδός.

Ἐλαύνεται

Ἐλαύνεται τὴν γνώμην κάλλιον λέγειν, ὃ μηνύεται.

Ἐγκαλῶ, τὸ κατηγορῶ. καὶ ἔγκλημα. καὶ ἐπικαλῶ, καὶ ἐπίκλημα. Θουκυδίδης· ἐπικαλοῦντες ἐπεργασίαν τοῖς Μεγαρεῦσι τῆς γῆς τῆς ἱερᾶς. καὶ Εὐριπίδης ἐν Ὀρέστῃ· ἐπίκλημ' ἔχουσαν ὅ, τι τύχοι.

Ἐκβολὴ λόγου λέγε, καὶ μὴ παρέκβασις. Θουκυδίδης. καὶ τὴν ἐκβολὴν τοῦ λόγου ἐποιησάμην. Ἀριστείδης ἐν τῷ Παναθηναϊκῷ. καὶ τὰς ἐκβολὰς ὁπόσας ἔχει.

Ἐξαπιναίως Θουκυδίδης. Φίλων. καὶ τινὲς ἄλλοι. οἱ δὲ ῥήτορες καὶ, ἐξαπίνης. τὸ δὲ ἐξάπινα, οὐχ ἑλληνικὸν ὅλως.

Ἐπίτηδες καὶ ἐξεπίτηδες.

Φροντίζω. καὶ ἐκφροντίζω, γενικῇ. καὶ αἰτιατικῇ. ὅτε μὲν ἀντὶ τοῦ φροντίδα ἔχω κεῖται, γενικῇ συντάσσεται. ὅτε δὲ ἀντὶ τοῦ ἐννοῶ, αἰτιατικῇ. Θουκυδίδης. ὡς μὲν τὴν ἐπιβουλὴν ἐκφροντίζοντες.

Ἐπίφορος ἄνεμος λέγε, οὐ πρόσφορος.

Οὐ μόνον ἐπανάστασις, ἀλλὰ καὶ ἐπαναχώρησις. Θουκυδίδης. ἐγένετο μέν τοι καὶ ἐν τῷ Εὐρίπῳ, κύματος ἐπαναχώρησίς τις. ὅπερ ἐδήλωσεν, ὡς ἀντὶ τοῦ ἐπανάστασις κεῖται.

Ἕνεκα καὶ εἵνεκα, Πλάτων. Δημοσθένης καὶ οἱ ἄλλοι. Θουκυδίδης δὲ ἀεὶ ἕνεκα.

Ἐφολκὰ τὰ παρακολουθήματα. Θουκυδίδης· ἐφολκὰ καὶ οὐ τὰ ὄντα λέγεται.

Ἐκπλήγνυσθαι. ὁ αὐτὸς μόνος. ὅπερ φιλεῖ, μεγάλα στρατόπεδα ἀσαφῶς ἐκπλήγνυσθαι. σὺ δὲ, ἐκπλήττεσθαι λέγε.

Εὐεπίθετος, ὁ εὐκόλως εἰς ἐπίθεσιν. ἤτοι ὁ εὐεπιχείρητος. Θουκυδίδης ἐν τῇ ἕκτῃ. καὶ ἡμῖν εὐεπίθετος εἴη.

Τὸ ἐπειδὰν, ὡς ἐπὶ τὸ πολὺ, ἐπὶ συμφορᾶς τίθεται. Λιβάνιος, ἐν τῇ ἔχων τις γυναῖκα καὶ ὢν ἀπὸ πατρὸς μελέτῃ. ἐπειδὰν χειμαζομένην τὴν ναῦν. ἅπαξ δὲ καὶ ἐπὶ εὐθυμίας, Θουκυδίδης. καὶ τὴν ὑπάρχουσαν σφίσι παρασκευὴν νικήσαντες πάλιν ἐπιδεῖν.

Ἔνεστιν, ἀντὶ τοῦ ἐνυπάρχει. καὶ ἀντὶ τοῦ δυνατόν ἐστι. Ἔξεστιν, ἀντὶ τοῦ ἀληθές ἐστι. Σύνεστιν, ἀντὶ τοῦ συνυπάρχει, καὶ διαλέγεται. λαμβάνεται δὲ καὶ ἀντὶ τοῦ συνουσιάζει. Πρόσεστιν, ἀντὶ τοῦ, σὺν τῷ δὲ, ἔστι καὶ τόδε. Μέτεστιν ἀντὶ τοῦ μετουσία ἐστί. Πάρεστιν, ἀντὶ τοῦ παρών, ἢ παροῦσά ἐστιν. Ἔπεστιν, ἀντὶ τοῦ ἐπ' ἐμοί ἐστι, καὶ ἀντὶ τοῦ ἐνυπάρχει. Ἀριστοφάνης ἐν Πλούτῳ. τὰ ἐπόντα ἀντὶ τοῦ πλοῦτος. Περίεστιν. ἀντὶ τοῦ περιουσία ἐστίν. ἤγουν, πλῆθος. καὶ ἀντὶ τοῦ ζῇ. καὶ ἀντὶ τοῦ νικᾷ. Ἄπεστιν, ἀντὶ τοῦ μακρὰν ἐστί.

Τὸ εἱμαρμένη. ὄνομα μετοχικόν ἐστιν οὐ μετοχὴ ὥσπερ καὶ τὸ ἐρωμένη. ἐνίοτε δὲ καὶ τὸ ἄρχων, ὡσαύτως. καὶ τὸ κλαύσων. καὶ τὸ ἑκών. καὶ ὅσα ἐξέπεσον τοῦ ἰδιώματος τοῦ ῥήματος. τὸ μὲν οὖν εἱμαρμένη, καὶ ἐρωμένη παθητικὰ ὄντα, καὶ ὀφείλοντα πρὸς δοτικὴν συντάσσεσθαι, ὡς τὰ τοιαῦτα παθητικὰ ῥήματα, ταῦτα πρὸς γενικὴν λέγονται. ἡ εἱμαρμένη γὰρ τοῦ δεῖνος λέγεται, καὶ ἡ ἐρωμένη τοῦ δεῖνος. τὸ δὲ ἄρχων, ὃ ὤφειλεν ἐπίρρημα ἔχειν ἀεὶ ἐπαγόμενον, δηλοῦν τῆς ἀρχῆς τὴν ἐνέργειαν ὁποία ἐστὶν, ὅπερ ἐστὶ τί τὸ ῥῆμα. οἷον ἄρχει τις δικαίως. ἐν γὰρ τῷ ἄρχει, τὸ δικαίως, οὐ πρὸς τὸ ἄρχειν τέτακται, ἀλλὰ πρὸς ὃν ἔχει τὴν ἀρχήν. τοῦτο ἐνίοτε μὲν ἔχει ἐπίρρημα ἐπαγόμενον, ὅτε καὶ μετοχή ἐστιν. ἐνίοτε δὲ ὄνομα ἐπίθετον, ὅτε ἐξ ἀνάγκης ὄνομά ἐστιν. ὡς ἐν τῷ ἄρχων τ', ἀγαθὸς κρατερός τ' αἰχμητής. τὸ δὲ ἑκὼν, ὀφεῖλον ἀπαρεμφάτῳ συντάττεσθαι ὡς τὰ τῆς θελήσεως πάντα ῥήματα, οἷον, θέλω συνθεῖναι, τοῦτο δὲ οὐδέποτε οὕτω συντάττεται. τὸ δὲ κλαύσων. καὶ αὐτὸ ὤφειλε μεταβατικὸν εἶναι ὡς τὸ κλαίω, τὸ δὲ οὐ μεταβαίνει. Εὔκαρπα δένδρα ὧν ὁ καρπός ἐστι χρήσιμος ἀνθρώποις εἰς τροφήν. ἄκαρπα, τὸ ἐναντίον. ὧν τοῖς καρποῖς οὐ χρῶνται οἱ ἄνθρωποι. ἄκαρπον δὲ τὸ μὴ ποιοῦν καρπὸν, παρ' οὐδενὶ τῶν παλαιῶν εὕρηται. ἀλλ' ἀντὶ τοῦ ἄκαρπόν ἐστιν, οὕτω λέγουσιν. οὐκ ἔρρωται πρὸς καρπούς. καὶ οὐκ ἐπιτηδείως ἔχει πρὸς καρπούς.

Ἐπίκωποι, οἱ ἔχοντες τὰς κώπας καὶ τὰ πηδάλια.

Ἐπιβάται δὲ κυρίως, οἱ ἐπ' ἀλλοτρίαις τὸν πλοῦν ποιούμενοι διδόντες ναῦλον. ἀττικῶς δὲ, οἱ ἔνοπλοί τε ὄντες καὶ παρεσκευασμένοι εἰς μάχην. ἐν δὲ τοῖς ἅρμασιν, ὁ μὲν μαχόμενος, παραβάτης λέγεται παρ' Ὁμήρῳ. ὁ δὲ τὰς ἡνίας ἔχων, ἡνίοχος.

Ἐπέδωκε τινὶ ἐπιστολήν. ἀντὶ τοῦ παρέδωκε, ὥστε διακομίσαι. καὶ ἀντεπιτίθησιν, ὁ ἀντὶ τῆς κομισθείσης αὐτῷ ἐπιστολῆς, ἑτέραν δίδωσι.

Καὶ ἐπίθετος ἐπιστολὴ, ἡ δοθεῖσα τινὶ ὥστε διακομίσαι ταύτην. ἰστέον ὅτι τὰ βραχυκατάληκτα ῥήματα προπερισπώμενα, τὰ μὲν ἐν ταῖς συνθέσεσι τῶν προθέσεων, ἀναβιβάζει τὸν τόνον. οἷον, οἶδα, σύνοιδα. οἶδε, σύνοιδε. κεῖμαι πρόσκειμαι, καὶ ἕστηκα. τὰ δὲ, οὐκ ἀναβιβάζει. οἷον, εἶπε, κατεῖπε. εἶχον, κατεῖχον. Οὐ μόνον ἐπίδειξις ἀλλὰ καὶ ἐπίδειγμα. Ἀριστείδης ἐν τῷ εἰς βασιλέα. καὶ ταῦτα οὐ μόνον σεμνότητός ἐστιν ἐπίδειγμα.

Ἐπέκεινα, ῥήτορες λέγουσιν. Ἀριστείδης ἐν τῷ πρὸς Καπίτωνα. οὗτος ἐμοὶ φίλος ἀνὴρ, καὶ φίλων ἐπέκεινα. ὑπερέχει: τὰ δὲ μόνοι οἱ σύρφακες.

Ἐκ νέας ἡλικίας, οὐδεὶς τῶν ῥητόρων εἶπεν, ἀλλὰ μόνον ἐκ νέας. Συνέσιος ἐν ἐπιστολῇ. ὅτι δὲ ἀρετὴν ἐκ νέας ἀσκεῖ. σὺ δὲ ἐκ νέου λέγε. καὶ ἐκ παιδὸς, καὶ ἐκ μειρακίου.

Εὔχομαι, καὶ προσεύχομαι παρὰ τοῖς ῥήτορσιν ἀεί.

Εὐχὴ δὲ καὶ προσευχὴ ἅπαξ. ὡς ὁ Πλάτωνος

λόγος, ἀλλὰ βιάζης εὐθὺ γραφόμενος, ἢ περὶ προσευχῆς. συντάσσεται δὲ τὸ προσεύχομαι πρὸς δοτικήν. ἅπαξ δὲ καὶ πρὸς αἰτιατικήν. ἀριστοφάνης ἐν πλούτῳ. ἵνα προσεύξηται θεόν.

Ἐκπλήττω, οὐ μόνον τὸ εἰς ἔκπληξιν ἄγω. ἀλλὰ καὶ τὸ ἐκπλύνεσθαι ἅπαξ λουκιανὸς ἐν τῷ χάρωνι, ἢ ἐπισκοποῦντες. ἐκπλύνειν ἐνίοτε, καὶ ἀποπλύνειν τινά. ἔστι δὲ ἐκπλήσσω, καὶ τὸ ἀφανίζω, καὶ ἐκβάλλω. εὐριπίδης ἐν ὀρέστῃ. ὅ μ' ἐκπλήσσει φόβου. θουκυδίδης ἐν τῇ ὀγδόῃ. ὧν καθ' ἡμέραν ἡ τέρψις, τὸ λυπηρὸν ἐκπλήσσει. καὶ αὖθις ἐν τῇ αὐτῇ. φόβος γὰρ μνήμην ἐκπλήσσει.

Εὑρίσκομαι οὐ μόνον ἐπὶ παθητικοῦ, ἀλλὰ καὶ ἐπὶ ἐνεργητικοῦ. λουκιανὸς ἐν τῷ ἀναβιοῦντες, ἢ ἁλιεύς. ἐπεί τινα ἀπονήσας εὑρισκόμενος.

Ἐλλέβορος ἐπὶ φαρμακοῦ. οὐ τὸ ἑλλέβορον. λουκιανὸς ἐν τοῖς νεκρικοῖς. οὐ δὲ τὸν ἐλλέβορον ἀναίνομαι πιεῖν.

Ἐλπίζω, οὐ μόνον τὸ προσδοκῶ, ἀλλὰ καὶ τὸ εἰς ἐλπίδας ἐμβάλλω. ὁ αὐτὸς ἐν τοῖς αὐτοῖς. ὃς μάλα διαβουκολεῖ αὐτοὺς καὶ ἐλπίζει. θουκυδίδης ἐν τῇ ὀγδόῃ. ἐπόσοι τότε αὐτοὺς ἐπαίροντες ἐπήλπισαν, ὡς λήψονται σικελίαν.

Ἐπιλανθάνομαι. ὡς ἐπιτοπλεῖστον μὲν, γενικῇ συντάσσεται. καὶ αἰτιατικῇ δὲ ἅπαξ παρὰ λουκιανῷ, ἐν τοῖς ἑταιρικοῖς. οἶδ' αὐτὸν, ἢ ἐπελέλησαι τὸν ἄνθρωπον. Οὐ μόνον, εὐπρόσοδος ἀγρὸς, ὁ πολλὰς προσόδους ἔχων, καὶ εὐπρόσοδος ἄνθρωπος ὁ εὐέντευκτος, καὶ εὐπρόσοδον χωρίον, τὸ ῥᾳδίαν εἴσοδον ἔχον, ὧν ἐναντία, τὸ, δυσπρόσοδος ἀγρὸς καὶ ἄνθρωπος. καὶ δυσπρόσοδον χωρίον, περὶ ὧν εἴρηται ἐν τῷ δέλτα, ἀλλὰ καὶ εὐπρόσοδος πάλιν ἄνθρωπος, ὁ τοῖς δεομένοις ἐπαρκῶν. πλούταρχος. ὅτι πᾶσιν εὐπρόσοδος ἦν τοῖς δεομένοις. καὶ τὴν οἰκίαν ἀνεῳγμένην ἀεὶ παρεῖχεν.

Ἐπικαλοῦμαι, οὐ μόνον τὸ πρὸς βοήθειάν τινα παρακαλῶ. ἀλλὰ καὶ τὸ ἐπονομάζομαι. ὡς παρ' αἰσχίνῃ ἐν τῷ κατὰ τιμάρχου. ἀριστείδης ὁ τὴν ἀνόμοιον ἔχων ἐπωνυμίαν τιμάρχῳ τουτωΐ, δίκαιος ἐπικαλούμενος. Μὴ μόνον ἐπισταμένως λέγε, ἀλλὰ καὶ ἐπιστρεφῶς. ὡς ὁ αὐτὸς αἰσχίνης. ἔτι καὶ μάλα ἐπιστρεφῶς καὶ ῥητορικῶς.

Καὶ μὴ μόνον ἐπισταμένως, ἀλλὰ καὶ εἰδότως. ὡς ὁ αὐτός. καὶ μάλα εἰδότως καὶ σαφῶς διδάξας δὴ ταῦτα.

Εὐφημία, οὐ μόνον ὁ ἔπαινος, ἀλλὰ καὶ ἡ τῶν λόγων καλλιρρημοσύνη. ἤγουν τὸ καλοὺς καὶ πρέποντας λόγους λέγειν. ὡς ὁ αὐτὸς πάλιν. φιλιππον νῦν μὲν, διὰ τὴν τῶν λόγων εὐφημίαν ἐπαινῶ. ὡσαύτως καὶ εὐφημῶ, οὐ μόνον τὸ ἐπαινῶ, ἀλλὰ καὶ τὸ καλὰ καὶ πρέποντα λέγω. ἀριστοφάνης ἐν νεφέλαις. εὐφημεῖν χρὴ τὸν πρεσβύτην, καὶ τῆς εὐχῆς ὑπακούειν.

Τὸ εὐνομεῖσθαι, οὐκ ἐπὶ πόλεως μόνον, ἀπὸ νόμων διοικουμένης τίθεται, ἀλλὰ καὶ ἐπὶ οἰκίας σωφρόνως καὶ ὡς δεῖ οἰκονομουμένης. αἰσχίνης κατὰ τιμάρχου. οἰκίαν πλουσίαν καὶ οὐκ εὐνομουμένην.

Οὐ μόνον περιδέξιος, ἀλλὰ καὶ ἐπιδέξιος. ὡς ὁ αὐτός. ἐπιδέξιοι δ' οἶμαι φαύλως ἑτέρων μᾶλλον. καὶ πάλιν τῆς ἐν τοῖς πότοις ἐπιδεξιότητος.

Ἐπιψηφίζω ἐπὶ τοῖς παροῦσιν. ἀντὶ τοῦ ἐπιβεβαιῶ καὶ ἐπιψηφίζω ἕτερον, καὶ ἀντὶ τοῦ μαρτυρῶ ἐφ' οἷς λέγω καλῶς. πλάτων ἐν γοργίᾳ. μὴ οὖν μή με κέλευε ἐπιψηφίζειν τοὺς παρόντας. καὶ αὖθις ἐν τῷ αὐτῷ λόγῳ. καὶ οὐκ ἐπιψηφίζειν ἠπιστάμην.

Ἑταιρότερος οὐχ εὕρηται ἐμοὶ δοκεῖν, διὰ τὸ οὐκ εὔφωνον. ἑταιρότατος δὲ ὁ αὐτὸς ἐν τῷ αὐτῷ λόγῳ. ταῦτα ἐμοὶ συμβουλεύεις, ἀπὸ τοῖς αὐτοῦ ἑταιροτάτοις. καὶ ἐν φαίδωνι. οὓς αὖ ἡγήσατο οἰκειοτάτους τε καὶ ἑταιροτάτους.

Ἐνιστασθαι, οὐ μόνον τὸ ἐνίστασθαι πρὸς τὸν τοῦ κατηγόρου λόγον, ἤγουν μάχεσθαι καὶ ἀντιπίπτειν καὶ τἀναντία ἀντικατασκευάζειν ἀλλὰ καὶ τὸ διατίθεσθαι καὶ οἰκονομεῖν. ὡς ὁ αἰσχίνης. ἢ μὲν ποίνυν ἐξ ἀρχῆς ἐνστᾶσα τῶν ὅλων πραγμάτων. καὶ ἐνεστηκυῖαν τὸν ἀγῶνα. ἀντὶ τοῦ διέθηκε καὶ ᾠκονόμησε.

Οὐ μόνον διαδοχὴ, ἀλλὰ καὶ ἐκδοχή. ὡς ὁ αὐτός. τὴν ἐκδοχὴν ἐποιήσατο πρὸς τὴν πόλιν τοῦ πολέμου.

Εὐστομεῖ. ἀντὶ τοῦ εὐγλωττεῖν, καὶ ἀντὶ τοῦ εὐφημεῖν. εὔστομα κείσθω. παρ' ἡροδότῳ ἀντὶ τοῦ εὔφημος εἰρήσθω.

Ἐροῖεν. ἀντὶ τοῦ λέξαιμι. λιβάνιος ἐν τῇ περὶ τῆς ἑαυτοῦ τύχης.

Ἐρυθριῶμαι κάλλιον, ἢ ἐρυθριῶ. ὁ αὐτὸς ἐν τῷ αὐτῷ λόγῳ. καὶ ἡ διερυθριωμένη νοῦν τε ἔχουσα καταμαθοῦσα τὸν φόβον.

Ἐλπὶς, ἐπὶ καλοῦ. προσδοκία, καὶ ἐπὶ καλοῦ, καὶ ἐπὶ κακοῦ. συνέσιος. ἐλπὶς ἀγαθῶν, καὶ φόβος χειρόνων. ἅπαξ δὲ ἡ ἐλπὶς, καὶ ἐπὶ κακοῦ. λιβάνιος ἐν τῷ περὶ τῆς ἑαυτοῦ τύχης. ἐμοὶ δὲ ἡ τῶν δεινῶν ἐλπὶς, ὅτι ἂν εἶναι κακὸν τοιαύτης εὐχῆς ἐφαίνετο.

Εὐγνώμων μὴ λέγε ὡς εὐδαίμων, ἀλλ' εὐγνώμων. ἀγνώμων δὲ καὶ συγγνώμων. λουκιανὸς ἐν τῷ δὶς κατηγορουμένῳ. ἀγνώμων γοῦν ἐπ' ἐμὲ τὴν ἐμὴν μάχαιραν ἠκόνησε. θουκυδίδης. ξύγγνωμον δὲ, τὸ ἀκούσιον. ἀγνώμων δὲ ἀνθρώπιον ὁ αὐτός φησι.

Οὐ μόνον ἐπιθαλάττιος ἀλλὰ καὶ ἐπιθαλαττίδιον. λιβάνιος ἐν τῷ ἀντιοχικῷ. πόλιν γὰρ ἐπιθαλαττίδιον ναυτικῆς ἀπειροκαλίας, ἀνάγκη γέμειν.

Ἐλληνίζω. οὐ μόνον ἐπὶ, ἀλλὰ καὶ ἄλλον ἑλληνικῶς ἔχειν ποιῶ. ὡς ὁ αὐτὸς ἐν τῷ αὐτῷ λόγῳ.

ἑλληνίζων διετέλεσε τὴν βάρβαρον.

Οὐ μόνον ἐκτάδην, ἀλλὰ καὶ ἐκταδόν. ὡς ὁ αὐτὸς ἐν τῷ αὐτῷ λόγῳ. ἐκταδὸν οὕτω στοαὶ τῶν οἰκιῶν προκείμεναι.

Ἐπιπρέπει, οὐ μόνον ὁ μείζων τῷ ἐλάττονι, ἀλλὰ καὶ τὸ ἐναντίον. θουκυδίδης ἐν τῇ πρώτῃ. ἤθελον δὲ καὶ τῷ ἐν δελφοῖς μαντείῳ ἐπιτρέψαι. ἀριστείδης ἐν τῷ ῥοδίοις περὶ ὁμονοίας. ὑπὲρ μὲν τὴν κατ᾽ ἐμαυτὸν τοῖς θεοῖς ἐπιτρέπων.

Εὐμένεια, καὶ ἀπὸ τοῦ ἐλάττονος πρὸς τὸν μείζονα, καὶ ἀπὸ τοῦ μείζονος πρὸς ἐλάττονα. εὐμενὴς δὲ ἀεὶ ἀπὸ τοῦ μείζονος πρὸς ἐλάττονα. εὕρηται δὲ καὶ τὸ ἐναντίον. αἰσχύλος ἐν τοῖς πέρσαις. εὐμενὴς δ᾽ ἡμῖν καλεῖς. θουκυδίδης ἐν τῇ πέμπτῃ. τῆς πρὸς τὸ θεῖον εὐμενείας. καὶ ἀριστείδης ἐν τῷ περὶ τοῦ πέμπειν βοήθειαν τοῖς ἐν σικελίᾳ. καὶ παντάπασιν ἔχειν εὐμενῶς τοῖς δεσπόταις.

Ἑρμογλύφος καὶ ἑρμογλυφεύς. ὁ λιθοξόος. λουκιανὸς ἐν τῷ περὶ τοῦ ἐνυπνίου. ὁ πρὸς μητρὸς θεῖος, ἄριστος ἑρμογλύφος. καὶ αὖθις ἐν τῷ αὐτῷ λόγῳ. λίθων ἐργάτην ἀγαθὸν εἶναι καὶ συναρμοστήν. καὶ ἑρμογλυφεία.

Ἐνδεδυκώς, ὁ ἐνδεδυμένος. οὐχ ὁ ἐνδύσας. ὁ αὐτὸς ἐν τῷ αὐτῷ. οὐκ ἔτι τὴν ἐσθῆτα ἐκείνην ἐνδεδυκότα. καὶ αὖθις ἐν τῷ δὶς κατηγορουμένῳ. καὶ κάνδυν ἐνδεδυκότα, ἐς τὸν ἀσσύριον τρόπον.

Ἐπιδρομὴ ἡ καταδρομή, ἀλλὰ καὶ ἡ συνδρομή. ὁ αὐτὸς ἐν τῷ δημοσθένους ἐγκωμίῳ. καὶ μυρίαι γεγόνασιν αὐτοῖς ὑπὲρ ταύτης τῆς διανοίας ἐπιδρομαί.

Ἐφιέμενος, καὶ ὁ ὀρεγόμενος. καὶ ὁ ἐντελλόμενος. καὶ ὁ πέμπων. θουκυδίδης ἐν τῇ πρώτῃ. ἐφιέμενος τῆς ἑλληνικῆς ἀρχῆς. καὶ αὖθις ἐν τῇ τετάρτῃ. ὁ δὲ εἰς τὴν λακεδαίμονα ἐφιέμενος, στρατιάν τε προσαποστέλλειν ἐκέλευεν. ἀπὸ τοῦ ἐνδοιάζω τὸ ἀμφιβάλλω. καὶ ἐνδοιαστῶς ἀντὶ τοῦ ἀμφιβόλως. ὁ αὐτὸς ἐν τῇ ἕκτῃ. καὶ ἄλλοι τινὲς κατὰ τὰς ἠπείρους ἐνδοιαστῶς ἀκροῶνται.

Καὶ δοχή, καὶ ἐπιδοχή. ὁ αὐτὸς ἐν τῇ αὐτῇ. ῥᾳδίας ἔχουσι τῶν πολιτειῶν τὰς μεταβολὰς καὶ ἐπιδοχάς.

Οὐ μόνον συμμαχῶ, ἀλλὰ καὶ ἐπιμαχῶ. καὶ συμμαχία. καὶ ἐπιμαχία. θουκυδίδης ἐν τῇ πέμπτῃ. πρὸς ἀργείους ξυμμαχίαν ποιεῖσθαι, ὥστε τῇ ἀλλήλων ἐπιμαχεῖν.

Ὥσπερ ἐξερῶ τὸ ἀκριβῶς λέγω, οὕτω καὶ ἐξερήσομαι τὸ ἀκριβῶς ἐρωτήσω. ἀριστείδης ἐν λευκτρικῶν πέμπτῳ. ἐξερήσομαι δὲ τοὺς ὑπὸ ἑκατέρων εἰρηκότας.

Οὐ μόνον ἐπινίκιος, ἀλλὰ καὶ ἐπίνικος. ἰστέον δὲ ὅτι, τὸ μὲν ἐπινίκιος, καὶ μετὰ προσθήκης. καὶ χωρὶς προσθήκης λέγεται. οἷον, ἐπινίκιος λόγος. καὶ ἁπλῶς ἐπινίκιος. τὸ δὲ ἐπίνικος, οὐδέποτε μετὰ προσθήκης. ἀριστείδης ἐν τῷ περὶ τοῦ παραφθέγματος. ὥσπερ αὐτὸς τὸν ἐπίνικον ποιῶν. λιβάνιος ἐν τῷ εἰς τὸν ἰουλιανὸν ἐπιταφίῳ. καθήμενον ἐπὶ τοῦ βασιλείου θρόνου, δέχεσθαι τοὺς ἐπινίκους.

Εὐθὺς τὸ ἀληθές, παρὰ μόνῃ τῇ θείᾳ γραφῇ εὕρηται, ἀπὸ τῆς, ὁ εὐθὴς ἀρσενικῆς εὐθείας διὰ τοῦ η γραφομένης. παρὰ οὐδενὶ δὲ τῶν ἑλλήνων εὕροις ἄν. ἀλλ᾽ εὐθὺ τὸ ἐναντίον τοῦ σκαμβοῦ. ὡς γὰρ ὀξὺς ὀξέος ὀξύ, καὶ ἡδὺς ἡδέος ἡδύ, καὶ ὅσα τοιαῦτα, οὕτω καὶ διὰ τοῦ υ ψιλοῦ, εὐθὺς εὐθέος. εὐθύ.

Τέλος τοῦ ε στοιχείου.

ΑΡΧΗ ΤΟΥ Ζ.

Ζῶμα, ὁ ζωστήρ. καὶ ζώσματα. σοφοκλῆς ἐν ἠλέκτρᾳ. καὶ ζῶμα τὸ μὲν ὀχλιδαῖς ἐσημείωσε. καὶ θουκυδίδης, διαζώματ᾽ ἔχοντες περὶ τὰ αἰδοῖα οἱ ἀθληταὶ ἠγωνίζοντο.

Ζητήσομαι, οὐ ζητήσω.

Ζηλῶ ἀττικοὶ λέγουσιν, οὐ ζηλοτυπῶ. ὡς τό, ζηλοῖ δέ τε γείτονα γείτων παρ᾽ ἡσιόδῳ. ἔστι δὲ τὸ ζηλῶ καὶ ἀντὶ τοῦ, μιμοῦμαι. ἀφ᾽ οὗ καὶ ζῆλος, καὶ ζηλωτής, καὶ ζήλωσις. ἐκ μὲν τοῦ ζηλῶ τοῦ ζηλοτυπῶ, ὁ ζῆλος, καὶ ζηλωτής. ἀλλ᾽ ὡς ἀπὸ τοῦ ζηλοτυπῶ ζηλοτυπία καὶ ζηλότυπος. ἀριστοφάνης ἐν πλούτῳ. οὕτω σφόδρα ζηλότυπος ὁ νεανίσκος ἦν. Ζηλῶ καὶ τὸ πάσχω ὑπέρ τινος ἀδίκως πονουμένου καὶ ζῆλος. ὅθεν φαμέν, καὶ ζήλου τὴν ψυχὴν ἐνεπλήσθην καὶ ζηλωτής. ζηλῶ καὶ τὸ μακαρίζω. ἀπὸ αἰτιατικῆς εἰς γενικὴν συντασσόμενον. ὡς τὸ ζηλῶ σε τοῦ νοῦ παρὰ σοφοκλεῖ. καὶ ζῆλος, ὡς δημοσθένης. καὶ ζήλου καὶ χαρᾶς καὶ ἐπαίνων ἦν ἡ πόλις μεστή. καὶ ζηλωτὸς ὁ μακαριστός.

Ζωννύς. οὐ ζωννύων.

Ζωπυρῶ. οὐ πυρός τι ἀποκρύπτω ἀφ᾽ οὗ καὶ ζώπυρον. λουκιανὸς ἐν τίμωνι. ζώπυρον τοῦ ἀνθρωπείου γένους. ἤγουν ὑπόλειμμα. εἴληφε τοῦτο ἐκ τοῦ πλάτωνος λέγοντος. μικρὰ ζώπυρα τοῦ τῶν ἀνθρώπων γένους.

Ζυγὸς ἀρσενικῶς, ἐπὶ ἁμάξης. ἐπὶ δὲ σταθμοῦ οὐ ζυγός, ἀλλὰ τὰ ζυγὰ οὐδετέρως πληθυντικῶς. τὸ ζυγὸν ἀδόκιμον.

Ζώνιον κυρίως, ἐπὶ γυναικός. πλούταρχος, ἐν συμποσίῳ τῶν ἑπτὰ σοφῶν. καὶ διαπλέκουσιν ὥσπερ ζώνια καὶ κεκρυφάλους προσβάλλειν ταῖς γυναιξί. ζώνην δὲ ἐπὶ ἀνδρός. καὶ ἐπὶ γυναικὸς δὲ καταχρηστικῶς. ἀριστείδης ἐν τῷ παναθηναϊκῷ. λυσαμένη τὴν ζώνην, ἐν ζωστῆρι τῆς ἀττικῆς.

Ζωοπλόκος. οὐ ζωοπλόκος. διὰ τὸ ὡς ἐπὶ τὸ-

πλεῖστον δ᾽ εἶμαι τὰ τῶν γυναικῶν ζώνια εἶναι πεπλεγμένα.

Ζ ἄκορος, καὶ νεωκόρος, διαφέρει. ὁ γὰρ ζάκορος, σεμνότερόν τι ἦν νεωκόρου,

Ζ άπλουτος κάλλιον ἢ μεγαλόπλουτος. οὐ μόνον δὲ ζάπλουτος, ἀλλὰ καὶ ζάχρυσος. λιβάνιος ἐν τῷ ἀντιοχικῷ. οὐ μὲν ἀμαθὴς ἡ βουλὴ καὶ πάνυ ζάχρυσος δέ.

Ο ὑδεῖ λέγειν περὶ τοῦ φίλου, ὡς πρὸς τὸν δεῖνα περὶ τοῦ δεῖνός τινος ἐζυγομάχησαν, ἀλλὰ ὑμφισβήτουν καὶ ἤριζον. καὶ ἐφιλονείκουν. τὸ γὰρ ἐζυγομάχησαν, ἐπὶ ἐχθροῦ λαμβάνεται. ὡσαύτως, καὶ τὸ ἐδικαζόμην. δεῖ, ἐδικαζόμην τῷ δεῖνι, περὶ τοῦ δε.

Ζ εῦγμα καὶ τὸ ζευγνύον δύο τινὰ, καὶ αὐτὸ τὸ ζεῦγος. γίνεται δὲ ἀπὸ τοῦ ἔζευγμαι. οὐ θέμα δὲ τὸ ζεύγω. οὐκ ἐν χρήσει ὄν. ἀντ᾽ αὐτοῦ γὰρ τὸ ζεύγνυμι.

Ζ ευγνύασι κάλλιον, ἢ ζευγνῦσι. τὸ δὲ ζευγνύουσι, κοινόν.

Ω ὡσαύτως καὶ κτιννύασι, ἢ κτιννῦσι. πλάτων ἐν γοργίᾳ. τί δ᾽ οὐχ ὥσπερ οἱ τύραννοι ἀποκτιννύασί τε, ὃν ἂν βούλωνται. καὶ δεικνύουσι, ἢ δεικνῦσι. ἡρόδοτος ἐν τῇ δευτέρᾳ. ἐπεὰν σφι κομισθῇ ὁ νεκρὸς, δεικνύασι τοῖσι κομίσασι.

τέλος τοῦ ζ᾽. στοιχείου.

ΑΡΧΗ ΤΟΥ Η.

Η ρω ἀττικοὶ, οὐχ ἥρωι, καὶ ἥρως ἐπὶ αἰτιατικῆς τῶν πληθυντικῶν. οὐχ ἥρωας. ἥρωες δὲ οὐχ ἥρως. εἰ καὶ ἅπαξ ἀριστοφάνης ὑπὸ τοῦ μέτρου βιασθεὶς οἱ ἥρως εἶπε. τῷ δ᾽ ἠναγκασμένῳ οὐ χρηστέον.

Η δυσμα, οὐκ ἄρτυμα.

Η κω, ἀντὶ τοῦ ἔρχομαι. ὡς αἰσχύλος. ἥκω γὰρ εἰς γῆν τήνδε καὶ κατέρχομαι. καὶ ἀντὶ τοῦ ἦλθον. ὡς τὸ ἥκω νεκρῶν κευθμῶνα καὶ σκότου πύλας λιπὼν, παρὰ εὐριπίδῃ, ἐν ἑκάβῃ. καὶ λιβάνιος δὲ ἐν μελέτῃ τῇ τοῦ ῥήτορος. ἥκω τοὺς ἐπιόντας ἐχθροὺς μόνος ὠθήσας τῇ γλώττῃ. οὕτως ἀττικοὶ τῷ ἐνεστῶτι ἀντὶ παρῳχημένου χρῶνται. τὸ δὲ ἧκον. κοινότερον.

Η φίν, οὐκ ἀφίν.

Η θα οὐκ ἀντὶ τοῦ ὑπάρχεις, ἀλλ᾽ ἀντὶ τοῦ ὑπῆρχες. σοφοκλῆς. οὐκ ἂν ἦσθα λυπηρὰ κλύειν. καὶ ἁπλῶς ἅπαντες οἱ δοκιμώτατοι, ἐπὶ παρῳχημένου τοῦτο λέγουσι. ὥς τε οἱ ἀντὶ ἐνεστῶτος χρώμενοι, ἁμαρτάνουσι.

Η μελλεν ἀττικοὶ, οὐκ ἔμελλεν.

Η ρόμην οὐκ ἠρώτησα.

Η χῆκεν ἠχώ. οὐκ ἦχος. συνέσιος ἐν ἐπιστολῇ. ἡ θαυμαστὴ τῶν ἱερῶν συνλόγων ἠχώ.

Η πλους, καὶ ἥπλω οὐδετέρως ἐπὶ εὐθείας καὶ αἰτιατικῆς τῶν πληθυντικῶν ἀττικοὶ λέγουσι. καὶ ἁπλῶς τὴν τοιαύτην κρᾶσιν, ἐπὶ πᾶσι τοῖς εἰς ῶν συγκριτικοῖς. καὶ ἐν τοῖς τρισὶ γένεσι ποιοῦσιν.

Η λίθιος ἀνὴρ, ὁ μαλακὸς καὶ ἀνόητος τὴν γνώμην. οὐ μόνον ὁ ἀσύνετος. ἠλίθιος καὶ ὁ πρὸς τὰ ἀφροδίσια ἀκίνητος.

Η βαῖ καὶ ἀνηβαῖ κάλλιον, ἢ ἡβάσκειν καὶ ἀνηβάσκειν. φιλόστρατος. καὶ τὰς αἰσθήσεις ἡβῶν. συνέσιος ἐν ἐπιστολῇ. ὅν φασιν αἱ ποιήσεις δὶς ἀνηβῆσαι.

Η ρπάσθην οὐχ ἡρπάγην.

Η λθε κοινὸν, ἐλήλυθε δὲ ἀττικόν.

Η ρακλέα. ὡσαύτως καὶ θεμιστοκλέα, καὶ περικλέα. καὶ ὅσα τοιαῦτα, ἐπεκτείνει τὴν τελευταίαν συλλαβὴν λέγε. ἢ ἡρακλῆ χωρὶς τοῦ ν. καὶ θεμιστοκλῆ. ἀλλὰ μὴ ἡρακλῆν, θεμιστοκλῆν, καὶ περικλῆν.

Η θέλησα ἀττικοὶ λέγουσιν, ἀπὸ τοῦ ἐθέλω ἐθελήσω, ἠθέλησα. τὸ δὲ ἐθέλησα ἀλεξανδρινωτικὸν ἀπὸ τοῦ θέλω κατασχηματιζόμενον.

Α μαρτάνουσιν οἱ τὰ ἡμίση λέγοντες. καὶ οὐ τὰ ἡμίσεα. τὰ γὰρ τρία γένη τῶν ὀνομάτων, ἐπὶ τῶν οὐδετέρων διῃρημένας ἔχουσι τὰς τοιαύτας πτώσεις. οἷον, οἱ γλυκεῖς, αἱ γλυκεῖαι, τὰ γλυκέα οἱ ὀξεῖς, αἱ ὀξεῖαι, τὰ ὀξέα. οὕτως ἄρα, καὶ οἱ ἡμίσεις, αἱ ἡμίσειαι, τὰ ἡμίσεα. καὶ ἐπὶ τοῦ ἀρσενικοῦ ἡμίσεις λέγε, ὡς ὀξεῖς. καὶ γλυκεῖς, ἀλλὰ μὴ ἡμίσους. διὸ ὁ ἡμίσους λέγων, ἁμαρτάνει. θουκυδίδης ἐν τῇ ὀγδόῃ. τρίτον μέρος ἀνθ᾽ ἡμίσεος τῆς τροφῆς ἐδίδου. ἐπὶ δὲ τῆς αἰτιατικῆς τῶν πληθυντικῶν καὶ τοῦ ἀρσενικοῦ καὶ τοῦ θηλυκοῦ, καὶ συνῃρημένως καὶ ἀσυναιρέτως ἐκφέρουσι. ὡς ὁ αὐτός. τῶν πρέσβεων τοὺς ἡμίσεις. καὶ πάλιν. τὰς ἡμισείας τῶν νεῶν. κάλλιον δὲ τὸ ἀσυναίρετον.

Η ρμοσαι τὴν γλῶτταν ῥητορικῶς κάλλιον ἢ ἔποις ἢ κατὰ ῥήτορας, λέγειν ἢ γράφειν.

Η μαρτον δόκιμον καὶ ἁμαρτεῖν. ἡμάρτησα δὲ ἀδόκιμον, καὶ ἁμαρτῆσαι, εἰ καὶ ἀριστείδης ἅπαξ εἶπεν ἐν τῷ ὑπὲρ ῥητορικῆς πρώτῳ, ἁμαρτήσεσθαι.

Η συχαίτερον, οὐχ ἡσυχώτερον. θουκυδίδης. μᾶλλον δὲ καὶ ἡσυχαίτερα καὶ τοῖς ἄλλοις διηλλαγμένα.

Η ν ἠόνος κάλλιον, ἢ ἠϊὼν ἠϊόνος.

Η μωδία, ἐπὶ τῶν ὀδόντων κάλλιον ἢ αἱμωδία.

Η θος οὐ μόνον ἐπὶ ἀνθρώπων λέγεται, ἀλλὰ καὶ ἐπὶ πόλεως. ὡς δημοσθένης. τὸ τῆς πόλεως ἦθος. ἤγουν, τὴν κατάστασιν καὶ τὴν γενναιότητα. καὶ ἤθους, ἡ εὔλογος αἰτία. ἀριστείδης ἐν τῷ παναθηναϊκῷ. οὐδὲ τὰ τολμήματα τῆς πόλεως ἀσπάσασθαι μᾶλλον δεῖν, ἢ τὸ τῶν ἔργων ἦθος.

Η νία, καὶ ῥυτῆρες, οἱ ἱμάντες τοῦ χαλινοῦ οὓς κατέχουσιν οἱ ἱππεύοντες ταῖν χεροῖν. χαλινὸς δὲ

ἰδίως μὲν, τὰ ἐν τῷ στόματι τοῦ ἵππου λέγονται· καταχρηστικῶς δὲ καὶ τὸ ὅλον. φάλαρα δὲ τὰ ἐν τῷ μετώπῳ.

Ἥλιος λέγεται καὶ μία ἑκάστη ἡμέρα. διὰ τὸ ἕν ἥλιον τῇ τοῦ οὐρανοῦ φορᾷ ἀποκαθιστάμενον ὅθεν ἤρξατο ἡμέραν ποιεῖν. καὶ Λιβάνιος ἐν ἐπιστολῇ, τῇ οὔπω μοι τῆς λύπης ὑφῆκας. αὐτὸς ἐν πολλοῖς ἡλίοις ἐφύλαξας. ἥλιος, καὶ ὁ διωρισμένος καιρὸς, ὅτι διὰ διωρισμένων διέρχεται τὸν ἑαυτοῦ κύκλον ὁ ἥλιος.

Ἤτοι, ποτὲ μὲν ἐστὶν ἐπίρρημα διαστατικὸν, ἀντὶ τοῦ ὄντως. ἐν ἄλλοις δὲ καὶ σύνδεσμός ἐστι παρὰ τοῖς ποιηταῖς, συμπλεκτικὸς ὁ αὐτὸς τῷ μέν. τούτῳ μόνον διαφέρων αὐτοῦ. ὅτι ἐκεῖνος μὲν ὑποτάσσεται. οὗτος δὲ προτάσσεται. οἷον ἤτοι ὅγ᾽ ὣς εἰπὼν κατ᾽ ἄρ᾽ ἕζετο. ἀνταποδοτικὸς δέ ἐστιν αὐτοῦ ὁ αὐτάρ. ὃς καὶ ἀτάρ λέγεται. ὥσπερ ὁ δὲ τοῦ μὲν, τούτου καὶ οὗτος διαφέρων τοῦ δὲ, ὥσπερ ὁ ἤτοι τοῦ μέν. τἄλλα δὲ ὁ αὐτός. παρὰ δὲ τοῖς ἀττικοῖς τὸ ἤτοι, σύνδεσμός ἐστι διαζευκτικὸς, ἀντὶ τοῦ ἤ, τοῦ τοί, παραπληρωματικοῦ λαμβανομένου παρ᾽ αὐτοῖς ἐνταῦθα, ὥσπερ τοῦ γὲ, ἐν τῷ ἔγωγε. καὶ ἄλλου ἐν ἄλλῳ. δι᾽ ἣν παρέστιν τοῦ λόγου καὶ ὄγκου. Σημείωσαι δὲ, ὡς κατ᾽ ἀρχὰς μὲν τὸ ἤτοι τίθεται ἀεί. ὕστερον δὲ τὸ ἤ. οὕτω γὰρ φαμέν. ἤτοι τόδε, ἢ τόδε. ἑτέρως δὲ οὐκ ἄν ποτε εὕροις. πλὴν ἐν Πινδάρῳ ἅπαξ, διὰ τὴν ἀνάγκην τοῦ μέτρου.

Τέλος τοῦ η στοιχείου.

ΑΡΧΗ ΤΟΥ Θ.

Θαρρεῖ. ἀττικοὶ, οὐ θαρσεῖ. καὶ θάρρος, οὐ θάρσος. καὶ θαρρύνω, οὐ θαρσύνω. ὥσπερ θαρρῶ, εἰ μὲν ἀντὶ τοῦ ἐλπίζω ἐστὶ, δοτικῇ συντάσσεται. εἰ δὲ ἀντὶ τοῦ τολμῶ, αἰτιατικῇ. συνέσιος ἐν ἐπιστολῇ. καὶ οὐδὲ ἐλεῖ θαρρήσει.

Θριδακίνη οὐ θρίδαξ.

Θημὼν, οὐ θημωνία.

Θεσμὸς ὁ ἄγραφος. νόμος ὁ ἔγγραφος.

Θέρεται, οὐ θερμαίνεται.

Θρυαλλὶς οὐκ ἐλλύχνιον.

Θαμὰ οὐ πυκνῶς. ἡσίοδος. θαμὰ τοῦ ἔρδοις.

Θαμινὰ οὐ πυκνά. ἀριστοφάνης ἐν πλούτῳ. ἀλλ᾽ ὡς τίκτει θαμινὰ ἐπαναβοῶντες.

Θαλῆς θαλοῦ. οὐ θάλης θάλητος.

Θοιμάτιον, κάλλιον. τὸ ἱμάτιον διαλελυμένον.

Θᾶττον ἀττικοί. τάχιον ἕλληνες. ἔστι δὲ οὐ μόνον ἐπίρρημα, ἀλλὰ καὶ ὄνομα τριγενές. ὁ θάττων ἡ θάττων. τὸ θᾶττον. ὥσπερ καὶ ἐπὶ τοῦ ῥᾷον. καὶ θῆλυ, καὶ μαστός.

Θῆς ἀττικοί, οὐ μίσθαρνος. καὶ θητεύει, οὐ μισθαρνεῖ. πλάτων ἐν εὐθύφρονι. ὡς ἐγεωργοῦμεν ἐν τῇ νάξῳ, ἐθήτευεν ἐκεῖ παρ᾽ ἡμῖν. καὶ θῆσσα οὐ θῆττα.

Θράφον, ὁ παγίς. γράφεται ἀντὶ τούτου πάγη. ἢ πληθυντικῶς τὰς πάγας κάλλιον.

Θεῶ, οὐ θέα. ἃ καί τινες γράφουσιν. ἀριστοφάνης ἐν βατράχοις ἀφειμένην τὴν λαμπάδα θεῶ.

Θᾶκος, ἀττικόν. θρόνος ἑλληνικόν. θῶκος δὲ ποιητικόν. ἀριστοφάνης ἐν τῷ εἰς τὸν διόνυσον. ἐν δ᾽ αὐτῷ θᾶκος τούτου χωρίς.

Θλάζει τὸ θλᾶν μεταβατικῶς, ἀττικά. καὶ θλάζουσι τὰ τεχθέντα ἀμεταβάτως.

Θλάσις, καὶ θλᾶν ἐπὶ τῶν χαύνου μελῶν, καὶ παραλυομένων τι, τῆς ἑαυτῶν συμπήξεως ὑπὸ πληγῆς, ἢ τοιούτου τινὸς ὃ παρὰ ποιηταῖς φλᾶν λέγεται. οὐκέτι δὲ καὶ ὄνομα φλάσις.

Θήλατον, τὸ θηλάζειν ἐλθόν. λέγεται δὲ ἀεὶ ἐπὶ κακοῦ. οἷον, θήλατος πληγή. εἰ δὲ εὕρηταί που ἀντὶ τοῦ ἀπὸ θηλῆς ἐλαθεὶς καὶ ἀποδοχεὺς, καὶ ἀλλ᾽ οὐκ ἔστιν ἑλληνικόν.

Θέσθαι, τὸ θεῖναι καὶ τὸ ἀρεσθῆναι. ὡς τὸ τούτοις ἐθέμην, ἀντὶ τοῦ ἠρέσθην, καὶ συνήνεσα. ἀποθέσθαι δὲ τό, τι δοῦναί τινι εἰς ἀποθήκην καὶ τὸ συμβουλεῦσαι. καὶ τὸ ὡς ὁμολογούμενον θεῖναι τῶν δυναμένων γενέσθαι. ὡς τὸ ὑπόθου ὅτι ὁ σωκράτης καθεύδει. εἰ γὰρ καὶ μὴ καθεύδῃ, ἀλλὰ δυνατός ἐστι καθεύδειν.

Θύειν. ἐπὶ τῶν σφαττομένων ἱερείων. σφάττειν δὲ ἐπὶ τοῦ τυχόντος ζώου. καὶ θύεται, οὐ μόνον ἀντὶ τοῦ σφάττεται, ἀλλὰ καὶ ἀντὶ τοῦ θύει. θουκυδίδης ἐν τῇ πέμπτῃ. περὶ τὸ ἱερὸν τῆς ἀθηνᾶς θυομένου. καὶ αὖθις ἐν τῇ αὐτῇ τὰ διαβατήρια θυομένοις οὐ προυχώρει.

Θόρυβος. οὐ μόνον ἐπὶ ὄχλου, ἀλλὰ καὶ ἐπὶ μεγίστου ἐπαίνου. ὡσαύτως, καὶ θορυβεῖ. ἀριστείδης ἐν τῇ εἰς σμύρναν μονῳδίᾳ. νέων πρεσβυτέρων σύνοδοι καὶ θόρυβοι. διδόντων ἅπαντα. συνέσιος ἐν τῷ δίων, ἢ περὶ τῆς ἑαυτοῦ διαγωγῆς. βούλοιτο γὰρ ἂν ὁ διδάσκαλος αὐτὸς εὐδοκιμεῖν ἐν τοῖς μαθηταῖς, καὶ θορυβεῖν ἐπὶ τοῖς λόγοις αὐτοῦ τὰ παιδεία.

Θερμότης καὶ θέρμη, ἀττικοί. θερμασία ἕλληνες.

Θῆλυ, θήλεος. καὶ ἡ θῆλυς τῆς θήλεος. ἔστι ὁ θῆλυς ἀετός. λέγεται δὲ ἡ θῆλυς, καὶ ὁ θηλυδρίας. καὶ ἡ θῆλυς δὲ παρ᾽ εὐριπίδῃ καὶ ἡ θήλεια πρὸς τούτοις,

Θυμέλην οἱ ἀρχαῖοι, ἀντὶ τοῦ θυσίαν ἐτίθουν. οἱ δὲ ὕστερον ἐπὶ τοῦ τόπου τοῦ ἐν τῷ θεάτρῳ ἐφ᾽ ᾧ αὐληταὶ, καὶ κιθαρῳδοὶ, καὶ ἄλλοι τινὲς ἀγωνίζονται μουσικήν. ἄλλοι δὲ εἶδος μουσικῆς τὴν θυμέλην λέγουσι.

Θαρσεία ἐλπὶς, ἡ ὁμολογουμένη καὶ ἀναμφίβολος. θουκυδίδης. ἐλπὶς θαρσεία τοῦ μέλλοντος.

Θεράπων, καὶ θεραπαινὶς, καὶ θεραπαινίδιον. καὶ οἰκέτης, καὶ παῖς, καὶ παιδίσκην λέγε.

Θ ριάσιον, πεδίον τι ἐν τῇ ἀττικῇ. ἐκλήθη δὲ ἀπὸ τῶν ἐμβληθεισῶν ἐν αὐτῷ θριῶν, ὑπ' ἀθηνᾶς. θριαὶ δὲ αἱ μαντικαὶ ψῆφοι.

Θ εοπρόπους ἐκάλουν τοὺς δι' εὐλάβειαν πεμπομένους εἰς τὸ μαντεῖον. ἐφ' ᾧ δέξασθαι μαντείας ὡς τῷ θεῷ πρεπούσας καὶ ἁρμόζοντας, διὰ τὴν προσοῦσαν ἐπιείκειαν. αἰσχύλος ἐν προμηθεῖ. ἐς τε πυθῶνα καὶ τὰς δωδώνης συχνοὺς θεοπρόπους ἴαλλε. καὶ θεοπρόπιον, τὸ τούτοις διδόμενον μάντευμα. λέγεται δὲ θεοπρόπιον, καὶ τὸ ἁπλῶς μάντευμα.

Θ εοπρόπον δὲ τὸν μάντιν, ἄλλος τῶν ἀρχαίων εἶπεν.

Θ εσπὶς κυρίως ἐπὶ ἀοιδοῦ.

Θ εωρὸς ὁ τὴν θυσίαν ἀπάγων εἰς τὸ ἱερὸν πρὸς τὸ θῦσαι καὶ θεραπεῦσαι τὸν θεόν. ἀριστείδης. τῶν θεωρῶν ἡκόντων καὶ τεθυκότων. καὶ θεωρία ἡ θυσία. πλάτων ἐν φαίδωνι. ἑκάστου ἔτους θεωρίαν ἀπάξειν εἰς δῆλον. ὅθεν καὶ αἱ ὁδοὶ δι' ὧν ἐπορεύοντο οἱ θεωροί, θεωρίδες κέλευθοι ἐκαλοῦντο. καὶ θεωρὶς ἡ ναῦς ἡ ἀπάγουσα ἀθήνηθεν εἰς δῆλον τῷ ἀπόλλωνι θυσίαν. καταχρηστικῶς δὲ καὶ τὴν τοῦ χάροντος ναῦν, θεωρίδα αἰσχύλος λέγει, ἐν τοῖς ἑπτὰ ἐπὶ θήβαις. ναύστολον μελάγκροκον θεωρίδα. καὶ θεωρός, ὁ ἐπὶ τῇ τοιαύτῃ θυσίᾳ ἐπιθυσιάζων ἱερεύς. λέγεται δὲ θεωρία, καὶ ἡ περὶ τὸν θεὸν σχολή, καὶ διηνεκὴς αὐτοῦ φαντασία. καὶ θεωρία, ἡ πράγματός τινος κατανόησις. ὡς ὁ θεολόγος. θεωρία γάρ ἐν τὸ φῶς, ὡς ἡ ἐμὴ θεωρία. θεωρία καὶ ἡ ἐν τῷ θεάτρῳ θέα. ὁ αὐτὸς ἐν πατρίς(?) ἀριστείδης. ὥσπερ ἐν θεωρίᾳ πάντα εἰς ἅμιλλαν καθέστη. καταχρηστικῶς δὲ καὶ ἡ πανήγυρις. ὁ αὐτὸς ἐν τῷ αὐτῷ λόγῳ. προσαγαγεῖν δ' αὐτὴν κομίσασα ἡ μήτηρ ὡς εἰς θεωρίαν πέμπουσα.

Θ έαμα τοι, οὐ μόνον ἡ θεωρία τινὸς πράγματος. ἀλλὰ καὶ ὁ τόπος ἐν ᾧ καθήμενοι ἐθεώρουν τὰ ἐν τῷ θεάτρῳ τελούμενα. ὁ αὐτὸς ἐν τῷ αὐτῷ λόγῳ. οἱ μὲν γὰρ ἄλλοι, καθάπερ θέαν καταλαβόντες, καὶ ἅπαν τὸ θέατρον.

Θ ηρίκλειον, εἶδος ἐκπώματος. ἀπό τινος θηρικλέους τοῦ πρώτου εὑρόντος ἐστὶν ὥς φησιν εὔβουλος. καθαρώτερον δὲ τὴν κεραμεὰν ἐργασίαν, ἣν θηρικλῆς τὰ ἐκπώματα.

Θ ερίζω, καὶ ἐνθερίζω ἀμεταβάτως τὸ, θέρος που διάγω. θερίζω δὲ μεταβατικῶς, τὸ λήιον τέμνω.

Θ υρεὸς παρὰ μὲν τοῖς πολλοῖς ἡ ἀσπίς. παρὰ δὲ ὁμήρῳ καὶ τοῖς λοιποῖς ἀρίστοις λίθος μέγας τὴν τῆς θύρας χρείαν παρέχων. καὶ συνέσιος ἐν ἐπιστολῇ τῇ, ὥσπερ ἀθλητὴς(?) ἐπειδὴ τὸν πολύφημον. μόνον ἀπόστηθι σὺ τὴν θύραν ἀποκινῆσαι. μᾶλλον δὲ τὸν θυρεὸν εἰπεῖν.

Θ εμέλιος οἱ κοινοί. τὸ θεμέλιον δὲ ἑτέρως, ἀττικοί.

Θ υώματα οἱ δοκιμώτατοι. οὐ θυμιάματα. ἀριστείδης ἐν δ'. τῶν ἱερῶν. ἀπολαύειν εὐωδίας θαυμαστῆς θυωμάτων. λιβανίου. λιβανωτοῦ καὶ σμύρνης καὶ τῶν ἄλλων θυωμάτων.

Θ εραπεία καὶ ἡ δουλεία καὶ τὸ τῶν θεραπόντων ἄθροισμα. ὁ αὐτὸς ἀριστείδης ἐν πέμπτῳ τῶν ἱερῶν. θεραπεία τε οὐ παρῆν, διὰ τὸ προεκπεμψαι.

Θ έρμος, οὐ θέρμιον. λουκιανὸς ἐν τοῖς νεκρικοῖς. θέρμους εἰ θέλεις.

Θ ηρῶ, καὶ θηρᾶσθαι, ἐπὶ ἐνεργητικῆς, καὶ παθητικῆς σημασίας. καὶ θηρατὴς λέγε, οὐ θηρευτής. καὶ τὸ θηρεύειν καὶ τὸ θηρεύεσθαι. καὶ θηρευτής.

Θ ύλακος καὶ θυλάκιον λέγε ὡς τὸ παρὰ τὸν αἰσχύλον(?) ξαρχου θύλακον. καὶ συνέσιος ἐν ἐπιστολῇ. τοῦ θυλακίου τῶν κριθιδίων οὐκ ἀσκός. λ' στοιμάτα(?) δὲ πληθυντικῶς τὰ δέματα ἀριστοφάνης ἐν βατράχοις. ἀσκώματα καὶ λίνα. καὶ τὰ στρώματα διαπέμπων εἰς ἐπίδαυρον.

Τέλος τοῦ θ' στοιχείου.

ΑΡΧΗ ΤΟΥ Ι.

[Ι]λὺς μὲν ἐπὶ τῆς ἐπὶ οἴνου, ἀλλ' ἐπὶ ποταμοῦ. ἐπὶ δὲ οἴνου, τρύξ. ἣν τινες ὑποστάθμην καὶ ὑπόστασιν λέγουσιν.

Ἐξιδιάζονται, φαβωρῖνος λέγει. σὺ δέ, ἐξιδιοῦνται.

Τ ὰ ἴδια πράττω καὶ τὰ ἴδια πράττε, καὶ τὰ ἴδια πραττέτω μὴ λέγε. ἀλλὰ τὰ ἐμαυτοῦ πράττω. καὶ τὰ σαυτοῦ πράττε. καὶ τὰ ἑαυτοῦ πραττέτω. οὕτω γὰρ ἀττικοὶ λέγουσιν.

Ι δρεία, ἀπὸ τοῦ ἱδρώς, ὥσπερ ἀπὸ τοῦ ὀδύνας ὀδύνασθαι παρώνυμόν ἐστιν. οἱ δὲ λέγοντες ἀπὸ τοῦ ἱδρώω ῥήματος ἐστὶ γίνεσθαι καὶ ἐστὶ παροξυτόνως ἀξιοῦντες ἱδρεία λέγεσθαι, ὡς ἀριστεία ἰατρεία, οὐκ ἴσασιν ὅτι τὸ μὲν ἀριστεία ὃ δηλοῖ τὴν ἀνδραγαθίαν, καὶ τὸ ἰατρεία, ὃ δηλοῖ τὴν ἰάτρευσιν, ἐνέργειαν δηλωτικά. τὸ δὲ ἱδρεία, οὐκ ἔργον δηλοῖ. ἱδρατεία γὰρ τὸ ἔργον. ὥστε οὐκ ἀπὸ τοῦ ἱδρώω γίνεται ἱδρεία, ἀλλ' ἀπὸ τοῦ ἱδρὼς ὡς ἔφημεν.

Ι κτῖνος, οὐκ ἰκτῖνος. ἔστι δὲ εἶδος ὀρνέου.

Ι μονιά. οὐχ ἱμαντελήσειεν.

Ι χανᾶν καὶ ἐχανᾶν, οὐ ἔχειν.

Ι σοτελῆ ἐκάλουν οἱ παλαιοὶ τὸν τῶν νόμων καὶ πάντων τῶν πραττομένων μετέχοντα ξένον, πλὴν ἀρχῆς.

Ι σότης οὐκ ἰσότης. ὡς βραδυτὴς καὶ ταχυτής. ἐπὶ δὲ ἀρσενικοῦ ἰσότης λέγουσιν ὡς ἀρετῆς. οἱ δὲ ἁπλῶς. ἰσοτὴς ὡς βραδυτής.

Ι διόξενος, ὁ μὴ δημοσίᾳ προσκείμενος πόλει τινὶ ἀλλὰ ἰδίᾳ τινὶ τῶν τῆς πόλεως. πρόξενος δὲ ὁ κοινὴ τῆς πόλεως φίλος. λουκιανὸς ἐν τῷ φαλάριδι προτέρῳ. οὔτε ἀρχαιοτέρου(?) ὁ δηλφοὶ πρόξενος ὢν ὁ ἀπόλλων, οὔτε ἰδιόξενος αὐτοῦ φαλάριδος. δορύξενος δὲ ὁ κατὰ πόλεμον

γινόμενος φίλος. σοφοκλῆς ἐν ἠλέκτρᾳ. ὁ γὰρ μέγιστος αὐτῆς τυγχάνει δορυξένων.

ι σηγορία, οὐκ ἰσολογία.

ι στάναι οὐχ ἱστάνειν.

ι λυσπώμενος, οὐχ ἱλούμενος.

ι σασιν οὐκ οἴδασιν.

ι να ὦσι λέγε, οὐχ ἵνα ἔσονται. πάνυ γὰρ ἀμαθὲς ἐπὶ τοῦ μέλλοντος, ἵνα. ἢ ἐάν, ἢ ἄν, ἢ ἤν, ἢ ὅταν τίθεται.

κ αὶ ἱδρᾶσθαι, καὶ ἱδρύεσθαι, ἐπὶ τῶν θυομένων ἱερείων. ἱδρᾶσθαι δὲ μόνον, ἐπὶ τῶν εἰς ἱερέας πλουτούντων. ἱδρῶσαι μέν τοι καὶ καθιδρῶσαι, ἐπὶ τῶν ἀναθημάτων.

ι στορῶ, τὸ πολὺν τόπον διέρχομαι. καὶ ἱστορῶ, τὸ παλαιὰ πράγματα διηγοῦμαι. καὶ ἱστορῶ ποιητικῶς, τὸ ἐρωτῶ. αἰσχύλος ἐν προμηθεῖ. ἱστόρει τίσοι φίλον. καὶ ἱστορῶ, τὸ ζητῶ. εὐριπίδης ἐν ὀρέστῃ. ὃ δ' εἶμ' ὀρέστης, ὃν ἱστορεῖς. ἤτοι ζητεῖς ἢ βλέπεις. ἀμφότερα γὰρ ἐπὶ τούτου νοεῖται.

κ αὶ ἱκεσία καὶ ἱκέτευμα. θουκυδίδης. μέγιστον ἦν ἱκέτευμα τοῦτο. ὥσπερ ἀπὸ τοῦ ἴσου φαμέν, οὕτω καὶ ἀπὸ τῆς ἴσης. οἷον ἀπὸ τῆς ἴσης τὸν δεῖνα φιλῶ. καὶ ἀπὸ τῆς ἴσης ἐχθρός εἰμι.

ι δρύθη. οὐχ ἱδρύνθη. θουκυδίδης. καὶ αὐτοῦ συλλεγεὶς ἱδρύθη. καὶ πάλιν, τὸ ἐν τῇ κεφαλῇ πρῶτον ἱδρυθὲν κακόν.

ι άλεμος, οὐ μόνον ὁ θρῆνος, ἀλλὰ καὶ ὁ ψυχρὸς, καὶ ἔκπληκτος ἄνθρωπος.

ι κταρ ἀντὶ τοῦ ἐγγύς. αἰσχύλος. ἴκταρ μελάθρων. ὡς ἔχει τὸ τῆς παροιμίας. οὐδ' ἴκταρ βάλλει. ἐπὶ τῶν ἀποτυγχανόντων λεγόμενον. ἐκ μεταφορᾶς τῶν τοξοτῶν, τῶν οὐχ ὅπως τοῦ σκοποῦ μὴ τυγχανόντων, ἀλλ' οὐδὲ ἐγγὺς βαλλόντων.

ι δοὺ ἀττικοὶ λέγουσιν, οὐκ ἰδέ. εὐριπίδης ἐν ἑκάβῃ. ἰδού με κἀνάθρηνον ἃ ἔχω κακοῖς. ι πταμαι, οὐχ ἵπταμαι. καὶ λιβάνιος ἐν τῇ δι' ὅτι σε εὐφραίνει κῶμμα ἐμόν, ἐπιστολῇ. σὺ γὰρ ἐκεῖνος ὁ πετόμενος μὲν, ὅπως ἂν ἡμῶν ἀκούσαις. πετόμενος δὲ αὖθις ἀπὸ τῶν λόγων ἐν τῷ συλλόγῳ. καὶ ἔπτη καὶ ἀπέπτη.

ι σταται, ἀντὶ τοῦ φθ. καὶ ἵσταται ἀξ.

ι διαίτατον ἀπὸ τοῦ ἴδιον. οὐκ ἰδιαίτερον δὲ ἀπὸ δὲ τοῦ ἴδιον, καὶ ἰδιώτερον καὶ ἰδιώτατον. ἀριστείδης ἐν τῷ αἰγυπτίῳ. οὕτω δή τι τό γε τοῦ νείλου θειότερόν τε καὶ ἰδιώτερον ἔοικεν εἶναι.

ι δέα. ἡ μορφή. καὶ ἀπὸ τούτου ἰδέαι, αἱ ὁδοὶ καὶ οἱ τρόποι. καὶ παρὰ πλάτωνι ἰδέαι, οἱ τύποι τῶν οὐσιῶν. ἀνθρωπότητος, καὶ βοότητος, καὶ τῶν ἄλλων. ἰδέαι καὶ παρὰ τοῖς ῥήτορσιν, αἱ τῶν λόγων μορφαὶ καὶ ποιότητες. δεινότης. γλυκύτης. εὐκρίνεια, καὶ τἆλλα. σημείωσαι δὲ ὡς οὐδεὶς τῶν δοκιμωτάτων, ἰδέαν ἐπὶ ἀνθρώπου λέγει, ἀλλὰ εἶδος καὶ ὄψιν. οἷον, ἀγαθὸς τὸ εἶδος, καὶ ἀγαθὸς τὴν ὄψιν. ἀριστείδης δὲ ἐν τῇ εἰς σμύρναν μονῳδίᾳ, καὶ ἰδέαν ἐπὶ πόλεως λέγει. οἵαν ἰδέαν ἐπὶ πόλεως ἐξ ἀγρίων καὶ τεχνησάμενος.

ι ππασία, λέγε ποιῶ. ἱππασίαν δὲ ποιεῖται.

ι άμβων ἐργάτης λέγε. μὴ στιχουργός. μὴ δὲ στιχιστής. μὴ δὲ στιχοπλόκος. ὅταν δὲ οὐκ ἰάμβους γράφῃ τις, ἀλλ' ἕτερά τινα μέτρα, τότε λέγει τ' αὐτὸ τοιοῦτος ποιητικὸς, καὶ ἐπῶν ἐργάτης, καὶ ἐποποιὸς καὶ ὅσα τοιαῦτα.

ι σχύω, οὐ μόνον τὸ, ἰσχυρός εἰμι, ἀλλὰ καὶ τὸ, ἰσχυρὸν ἕτερον ποιῶ. ἀριστείδης ἐν λευκτρικῶν δευτέρῳ. οὓς αὐτοὶ καθ' ἡμῶν αὐτῶν καὶ κατὰ τῶν ἄλλων ἰσχύσατε.

ι στημι τὸ δὲ κινούμενον. καὶ ἵστημι τόδε, ἀντὶ τοῦ ζυγοστατῶ. λουκιανὸς ἐν τῷ τοῦ δημώνακτος βίῳ. στῆσον ἔφη τὴν σποδόν.

τ ἰὼν, καὶ ἰέναι, καὶ ἐπὶ τῶν τριῶν χρόνων εὕρηται. ὡς πλάτων ἐν φαίδωνι. ἐπὶ μὲν ἐνεστῶτος ἀεὶ ἀπόλλυται τοῦ σώματος διεξιέναι. ἐπὶ δὲ παρῳχημένου καὶ μέλλοντος, ὥς τε μὴ παρεῖναι. ἐκεῖνον μήτ' εἰς ἅδου ἰόντα, ἄνευ θείας μοίρας ἰέναι, ἀλλὰ καὶ ἐκεῖσε ἀφικόμενον, εὖ πράξειν. ἐνταῦθα γὰρ τὸ μὲν ἰόντα παρῳχημένος. τὸ δὲ ἰέναι μέλλοντος. ἐπειδὴ καὶ τὸ ἐπαγόμενον τὸ εὖ πράξειν. τὸ δὲ ἄπειμι, καὶ δίειμι, καὶ τὰ τοιαῦτα, ἐπὶ ἐνεστῶτος μόνου καὶ ἐπὶ μέλλοντος. ἐπὶ δὲ παρῳχημένου, ἀπῄειν καὶ διῄειν. τοδί.

ι θι, ὡς ἐπιτοπλεῖστον μὲν ἐπὶ παρῳχημένου, ἀντὶ τοῦ ἐλθέ. εὑρίσκεται δὲ καὶ ἐπὶ ἐνεστῶτος, ἀντὶ τοῦ ἔρχου. πλάτων ἐν πρώτῳ τῶν πολιτειῶν. ἀλλὰ ἴθι δέ τε τοῖς νεανίαις ξύνισθι, καὶ δεῦρο παρ' ἡμᾶς φοίτα.

τέλος τοῦ ι στοιχείου.

ΑΡΧΗ ΤΟΥ Κ.

κ οινωσάμενος, οὐ κοινώσας.
Κρέως ἀττικοὶ, οὐ κρέατος.
Κατάβα, οὐ κατάβηθι. ἀριστοφάνης ἐν βατράχοις. κατάβα πανοῦργε.

κ ατεαγέναι, καὶ κατεαγέναι. καὶ κατεάξαι. πλάτων ἐν γοργίᾳ. κἄν τινα δόξῃ μοι τῆς κεφαλῆς αὐτῶν κατεαγέναι δεῖν, κατεαγὼς ἔσται αὐτίκα. οὐ κατεαγέναι οὐδὲ κατεάξαι. βάρβαρα γὰρ ἀμφότερα. ἀποβάλλειν γὰρ ὀφείλει τὸ ἀπαρέμφατον. ἐπεὶ τὸ κατέαξα αὔξησις οὖσα πρῶτον, κατῆξα γὰρ ἦν, κατὰ ἀττικὴν διάλυσιν κατέαξα γέγονεν. ἴσμεν δὲ ὡς αἱ μετοχαὶ καὶ τὰ ἀπαρέμφατα καὶ τὰ ὑποτακτικὰ τοῦ ἀορίστου καὶ ὅσα τοιαῦτα ἀποβάλλουσι τὰς αὐξήσεις. ἔτυψα γὰρ τύψας. καὶ ἔτυπον, τυπὼν λέγομεν. μόνου δὲ τοῦ παρακειμένου καὶ τοῦ παθητικοῦ καὶ τοῦ μέσου αἱ αὐξή-

σειε, καὶ ἐν τοῖς λοιποῖς χρόνοις τηρεῖται· κατέαγα γὰρ καὶ κατεαγὼς, καὶ τἄλλα. ὥς τε καὶ ἐν τῷ βασιλικῷ κατεάγωσι δεῖ λέγειν, ὡς πεπίφασι. οὐ κατεαγῶσι. τοῦτο γὰρ ὡς ἐλέγξαμεν βάρβαρον. ὡς οἴονταί τινες, καινίζεται τοῦ τὸ ἀρχὴ τοῦ κατεάγην παθητικοῦ ἀορίστου. ἐκεῖνος γὰρ ἀποβάλλει τὴν αὔξησιν ἐν τοῖς ὑποτακτικοῖς, καὶ τοῖς ἄλλοις ὡς ἔφημεν. Ἰστέον ὅτι, κατέαγα τῆς κεφαλῆς ἀττικοὶ λέγουσιν, οὐ τὴν κεφαλήν. ἔγωγ' οὖν κατὰ τῆς κεφαλῆς τὴν πληγὴν ἐδεξάμην. λουκιανὸς ἐν τίμωνι. κατέαγα τοῦ κρανίου.

Κ ολοκύντη. οὐ κολόκυνθα. ἀριστοφάνης· εἰ μὴ λημᾶς κολοκύνταις.

Κ εντεῖ, οὐ κεντᾷ. σοφοκλῆς. κέντει τι μὴ φείδου πανδήμου στρατοῦ. καὶ λιβάνιος ἐν μελέτῃ τῇ περὶ τῆς λάλου. καὶ κεντοῦμαι τοῖς φλυάροις.

Κ ονδυλίζω. καὶ κονδυλισμὸς καὶ κόνδυλος. λιβάνιος ἐν τῇ αὐτῇ. πρὸς ἀπάντησιν ἑαυτὴν κονδυλίζει τὸ δέ.

Κ ολαφίζω καὶ κολαφισμὸς, καὶ κόλαφος, ἀνάττικα.

Κ ουφότης. καὶ κουφοτὴς, ἀττικοί. ὡς βραδυτής.

Κ ερασὸς τὸ δένδρον. κέρασος δὲ ὁ καρπός.

Κ λαδεῖν τὰς ἀμπέλους, οὐ κλαδεύειν.

Κ άθοδος ἀττικόν. ἐπάνοδος δὲ ἑλληνικόν. συνέσιος ἐν ἐπιστολῇ. ἴδοι παρὰ τὴν μητρόπολιν τὴν ἐκκλησίαν ἀδελφὲ κύριλλε. αὐτὸν γὰρ ἐκεῖνον ὅτι ὅσιον ἱερέα νομίζεσθαι δεδωκέναι τὴν κάθοδον. λέγεται δὲ κάθοδος καὶ ἐπὶ τῆς καταβάσεως. λουκιανὸς ἐν τῷ μενίππῳ, ἢ ἐν νεκυομαντείᾳ. τῆς ἐπανόδου τῆς καθόδου ἐγένετο.

Κ αταλεχθεὶς κάλλιον, ἢ καταλεγείς.

Κ εραία πλοίου, οὐ κέρας. ὃ καὶ συνέσιος ἐν τῇ λύσαντις ἐκ βασιλείου ἐπιστολῇ, τὸ κέρας ἐπετείχισε λέγει. λουκιανὸς ἐν τῷ ζεὺς τραγῳδός. τὸ δὲ, κατακολυμβήσει τε δεινὰ, καὶ ἐπὶ τὴν κεραίαν ἀναπηδῆσαι ῥάδιον.

Κ έρας μέντοι ἐπὶ ζώου καὶ ἐπὶ πολέμου. θουκυδίδης ἐν τῇ τρίτῃ, περιέσχον τὸ κέρας οἱ πελοποννήσιοι.

Κ όπτει τὴν θύραν ἔξωθεν. καὶ γίνεται τῆς θύρας, ἀριστοφάνης ἐν νεφέλαις. τίς ἐσθ' ὁ κόψας τὴν θύραν. καὶ πάλιν ἐν τῷ αὐτῷ. γεύσαι τῆς θύρας. ψοφεῖ μέντοι ἔνδοθεν οὐ κροτεῖ. ἔστι δὲ καὶ κόπτω τὸ καίνω. ἐξ οὗ καὶ κόμμα καὶ κομμάτιον. καὶ τὸ χαράσσω, ἐξ οὗ κόμμα μόνον.

Κ υκεῶ ἀττικοί, οὐ κυκεῶνα. (θίσει.

Κ αθιζεῖται, καὶ καθιεῖται κάλλιον λέγε, ἢ κα-

Κ αθότι καὶ καθό. τὸ δὲ καθὼς, παρὰ τοῖς δοκίμοις οὐκ ἔστι.

Κ ατεσκεύασε τινὸς, ἢ τινὶ τί. καὶ κατέχεον ὡσαύτως.

Κ ατεδήδοκε, οὐ καταβέβρωκε.

Κ ατήγορος, ὁ κατήγορος. ἀριστείδης ἐν τῷ κατὰ

ἐξορχουμένων. καὶ τὸ ξίφος ἀντὶ χαλκοῦ καττιτέρινον.

Κ αταγλωττίσματα, οὐ κομψοὶ λόγοι. συνέσιος ἐν τῷ δίωνι. ἀττικῶν καταγλωττισμάτων. χρῶνται δὲ τούτῳ τινὲς, καὶ ἐπὶ τῶν περιέργων καὶ ἀσήμων φιλημάτων. καὶ ἀριστοφάνης ἐν νεφέλαις. μύρου κρόκου καταγλωττισμάτων.

Κ αὶ κάλλιον, ἢ κατὰ γαστρὸς ἔχει.

Κ ραμβοῦν σικύας βέλτιον λέγειν, ἢ ὀστράκινον.

Κ εκραγμὸς ἀττικὸν, οὐ κραγμός, οὐδὲ κραυγασμὸς, οὐδὲ κραυγή. βοὴ δέ.

Κ ηδεσταὶ, καὶ οἱ διδόντες, καὶ οἱ λαμβάνοντες κόρας οὐ πενθεροὶ, οὐδὲ γαμβροί. εὕρηται δὲ τοῦτο καὶ ἐπὶ τοῦ τῆς γυναικὸς ἀδελφοῦ, παρ' εὐριπίδῃ ἐν ἑκάβῃ. φησὶ γὰρ, τοῦτον δὲ δρῶντα κηδεστὴν ἐμὸν. ὧ δράσεις. λέγει δὲ τοῦτο περὶ πολυδώρου ἀδελφοῦ τῆς κασσάνδρας ὄντος, ἢ ἀγαμέμνων ὡμίλει.

Κ νίττειν, οὐ κνηθίζειν.

Κ λᾶν, οὐ κλάδειν. λιβάνιος ἐν τῇ δύσκολος μελέτῃ. κατέαγε τὴν κλεῖν.

Κ λάειν, καὶ κάειν, ἀττικοί. κλαίειν δὲ καὶ καίειν, κοινά. καὶ κλαύσομαι, καὶ κλαήσομαι. δημοσθένης ἐν τῷ περὶ παραπρεσβείας. καὶ τὰ παιδία κλαήσεται. καὶ ἀριστοφάνης ἐν πλούτῳ οὐκοῦν κλαύσεται.

Ο κάλως τοῦ κάλω, οὐχ ὁ κάλος τῆς κάλου. ἀριστείδης ἐν τῷ παναθηναϊκῷ. ὥσπερ κάλω ῥαγέντος, ἐνεχώρησαν ὀπίσω. γράφεται δὲ καὶ καλώδιον. συνέσιος ἐν τῇ λύσαντις ἐκ βασιλείου ἐπιστολῇ. παρέχει ἡμῖν καὶ χρῆσθαι τοῖς καλωδίοις.

Κ άθησο κάλλιον, ἢ κάθου. καὶ καθήμενος, ἢ καθεζόμενος. καὶ καθῆστο ἢ ἐκάθητο. ἀριστείδης. δικαστὴς αὐτὸς τῷ περικλεῖ καθῆστο, καὶ καθῆντο ἢ ἐκάθηντο. ὁ αὐτὸς ἐν τῷ παναθηναϊκῷ. καθῆντο ἐκπεπληγμένοι. καὶ καθῆσθαι, οὐ καθεσθῆναι.

Κ νᾶσθαι τὸ οὖς οὐ κνήθειν.

Κ αθήκοντα καὶ τὰ πρέποντα καὶ τὰ κατορχόμενα. ἀριστείδης ἐν τῷ αὐτῷ. τείχη καθήκοντά ποτε ἐπὶ θάλατταν.

Κ οροπλάθος, οὐ κοροπλάστης.

Κ αὶ κηλῶ. καὶ θέλγω ἀμφότερα.

Κ ατὰ χειρὸς ὕδωρ ἐδέξατο λέγε, οὐ κατὰ χειρῶν.

Κ ότινος, οὐκ ἀγριέλαιος.

Κ αταπλήξεται. ἤγουν κατά τινος πλεονεχθήσεται καὶ καταφρονήσει.

Κ αθεῖτο τὴν ὑπήνην λέγε, οὐ μακρὰν εἶχε.

Κ ατέρχομαι, ὅταν εἰς τὴν πόλιν ἀφ' ἧς ἐξῆλθον ἐπανέλθω. καὶ αἰσχύλος. ἥκω γὰρ εἰς γῆν τήνδε καὶ κατέρχομαι.

Κ ατεκαύθη ἀττικόν. κατεκάη, ἑλληνικόν.

Κ ίβδηλος τὸν τρόπον λέγε ἐκ μεταφορᾶς τῶν κιβδήλων νομισμάτων, καὶ μὴ δόκιμος.

Κατόπιν, οὐ κατόπισθεν. Πλάτων ἐν Γοργίᾳ· κατόπιν ἑορτῆς ἥκομεν.

Καὶ κωμῳδοποιὸς, καὶ κωμῳδιοποιός.

Κατώρυκται κοινόν. κατορώρυκται ἀττικόν.

Καταλῦσαι, καὶ κατάγεσθαι· ὡσαύτως καὶ καταλύειν. κατάλυμα δὲ, οὐδεὶς εἶπε τῶν δοκίμων.

Καταγνὺς τὸ σκέλος κάλλιον λέγειν, ἢ συντρίβειν.

Καθυφεὶς, καὶ καθυφεῖναι, ἢ ἐνδοὺς καὶ ἐνδοῦναι. Ἀριστοφάνης ἐν Βατράχοις· ὑφίεσθαι μοι δοκεῖς.

Κυνηγέτης, οὐ κυνηγός.

Κολούειν τὴν προθυμίαν κάλλιον λέγειν, ἢ ἀμβλύνειν.

Κατὰ μικρὸν ἐγγίζειν λέγε, οὐ ποσῶς. Συνέσιος ἐν ἐπιστολῇ· τοὺς γεωμετρικοὺς ὅρους ἀληθεστάτους ἡγοῦ. κἂν κατὰ μικρὸν εἰς τὰς ἀποδείξεις αὐτῶν ἐκ γεωμετρίας τι συμποιῶσιν.

Κατηγορῶ, οὐ μόνον ἐπὶ κακοῦ, ἀλλὰ καὶ ἐπὶ καλοῦ ποτέ. Φιλόστρατος ἐν τῷ Ἰσοκράτους βίῳ· ἀκουσίως κατηγορεῖ τῆς αἰδοῦς. ἤγουν ἐπαινεῖ αὐτοῦ ἀγορεύειν, ἐνταῦθα γὰρ ἡ κατὰ, τὴν ἐπαίνου φύσιν δηλοῖ. ὡς ἔχει καὶ ἡ παρὰ τοῖς φιλοσόφοις κατηγορία. ἀρετῇ ἀεὶ μὲν ἐνεργητικῶς. ἅπαξ δὲ καὶ παθητικῶς.

Κατηγοροῦμαι ἀντὶ τοῦ κατηγορῶ. Πλάτων ἐν Γοργίᾳ· εἰ αὐτοῦ τις κατηγοροῖτο. Ἴσθι δὲ ὅτι ὅτε τίθεται ἐπὶ κακοῦ ἡ κατὰ, δεῖ καὶ προσθήκης τινὸς ὀνόματος. οἷον τῶν ἐπαίνων τῶν κατὰ σοῦ. ἀπὸ γὰρ τῶν ἐπαίνων. δηλοῦται καὶ ἡ δύναμις τῆς κατά. οὕτω τε εὑρίσκεται πανταχοῦ. ἐγκώμια κατὰ τοῦ δεῖνος διέξειμι καὶ λόγους ᾄδουσι. καὶ ἐπαίνους. καὶ τοιαῦτά τινα. εἰ δὲ εἴποι τις ἐπὶ τῆς αὐτῆς σημασίας λόγους κατὰ τοῦ δεῖνος διέξειμι, οὐ καλῶς ἐρεῖ.

Κάλαμος, ἐπὶ γραφίδος. ὁ δόναξ. δόνακα γὰρ ἐπὶ τῆς εἰς ὀροφὰς καὶ αὐλοὺς συντελούντων καλάμων.

Καταπτύω σου. ἐμπτύω σοι δὲ, οὐδεὶς τῶν δοκίμων.

Κόριον, καὶ κορίδιον καὶ κορίσκη. καὶ κόρη, οὐ κοράσιον.

Κακοδαιμονεῖν οἱ νόθως ἀττικίζοντες. οἱ δὲ γνήσιοι, κακοδαιμονᾶν. καὶ θαυμάσαι ἄν τις, πῶς εὐδαιμονεῖν μὲν λέγουσιν οὐκέτι δὲ κακοδαιμονεῖν.

Κόρημα χρὴ λέγειν, οὐχὶ σάρον, οὐδὲ σάρωθρον. καὶ κορεῖν. καὶ παρακορεῖν. καὶ ἐκκορεῖν, ἀλλὰ μὴ σαροῦν. Συνέσιος ἐν ἐπιστολῇ τῇ ἐξ ὀασίτου· ἐπειδὴ τὸν πολύσημον. καὶ ἐκκορήσειάς τι. καὶ ἐκπλυνεῖς καὶ ἐνθυμιάσειας τὸ δωμάτιον.

Κυνίδιον, οὐ κυνάριον. εἰ καὶ Θεόπομπος ὁ κωμῳδὸς, ἅπαξ τοῦτο φησί. Λουκιανὸς ἐν τῇ θεῶν ἐκκλησίᾳ. τὸ ξαίνεσθαι ἐκεῖνο καὶ ὅπερ ἠγάπα κυνίδιον

Κρίβανος ἀττικοί, οὐχὶ κλίβανος διὰ τοῦ λ. διὰ τὸ τὴν πρώτην ἀνθρώπων τροφὴν δοκεῖν κριθὰς εἶναι. ἀπὸ τοῦ κριθὴ κριβάριον, καὶ τοῦ βαιὸς τὸ πῦρ.

Καθιδρῶσαι λέγε, ἀλλὰ μὴ ἀφιδρῶσαι, ὡς Φαβωρῖνος.

Κόλοπας ἐν τῇ λύρᾳ κάλλιον λέγειν, ἢ κολάβους.

Ἐκαθέσθην. καθεσθεὶς, καθήσομαι καθεσθῆναι καὶ ὅσα ἀπὸ τούτων βάρβαρα. λέγε οὖν. καθίζομαι ἐκαθεζόμην. καθεδοῦμαι. καθεδούμενος. καθεδεῖσθαι. καὶ ὅσα ἀπὸ τούτων.

Καθίζω ἐγὼ καὶ καθίζομαι, καὶ καθίζω ἕτερον.

Κατ' ἐκεῖνο τοῦ καιροῦ βέλτιον λέγειν, ἢ κατ' ἐκεῖνον τοῦ καιροῦ. ἀεὶ τε μετὰ ἄρθρου, Θουκυδίδης λέγει.

Κατάδεσμος οὐκ ἐπίδεσμος. ἐπίδεσμον δὲ οὐδέτερον, καὶ ἐπίδεσμα οἱ ἀρχαῖοί φασιν.

Ὁ κόρις. οὐχ ἡ κόρις. καὶ κλίνεται κόρεως. τὸ δὲ κορίζειν ἰδιωτικόν.

Κατὰ κοιλίας ποιεῖν, οἱ γυμναστικοὶ λέγουσιν. οὐκ οἶδα δ' ὅθεν λαμβάνοντες. οἱ γὰρ παλαιοὶ τὴν γαστέρα ὑπάγειν λέγουσι.

Καρῶσαι, καὶ ἐκάρωσε κυρίως οἱ ἀττικοὶ λέγουσιν ἐπὶ ἀνθρώπων ἀντὶ κατακεκλῖσθαι.

Τὸ δὲ κείρασθαι, οὐκ ἐπὶ ἀτίμου. καὶ Λιβάνιος ἐν ἐπιστολῇ τῇ. εἶμαι καὶ δάκρυσιν ὑπὸ σοῦ τετιμῆσθαι κουρᾷ. τὴν μὲν γὰρ πόλιν, καὶ δημοσίᾳ κείρασθαι νομίζω. τίθεται δὲ καὶ ἐπὶ προβάτων.

Κατωφερὴς, τινὲς μὲν λέγουσιν, ἐπὶ τῶν πρὸς ἀφροδίσια ἀκολάστων. οὐκ οἶδα ὅθεν λαβόντες. σὺ δὲ ἀκόλαστος λέγε, καὶ δοῦλος τῆς ὑπογαστρίας.

Κολυμβιστὴς, ἐπὶ τοῦ ἀργυραμοιβοῦ φασὶν ὁ Μένανδρος ἀδόκιμον. τὸ μὲν γὰρ κόλυμβος, ὅπερ ἐστὶν εἶδος νομίσματος, δόκιμον. τὸ δὲ κολυμβιστὴς, παρασεσημασμένον.

Κίλιξ ἀνήρ. κίλισσα δὲ γυνή. ὥσπερ καὶ λίβυς, καὶ λίβυσσα. καὶ θρᾷξ, θρᾷσσα. μάγνης μάγνησσα. κρὴς, κρῆσσα.

Κάρ, ὁ ἀπὸ Καρίας ἀνὴρ, καὶ ὁ δοῦλος ἁπλῶς. διὰ τὸ τοὺς Κᾶρας πρώτους μισθοφορῆσαι. κάειρα δὲ γυνή. Ὅμηρος ἐν τῷ δ' ῥαψῳδίας. γυνὴ μῃονὶς, ἠὲ κάειρα.

Κατορθῶσαι, ἐπὶ πολέμου καὶ τῶν τοιούτων. κατόρθωμα δὲ οὐκέτι, εἰ καὶ Ἀριστείδης ἅπαξ. ἀλλ' ἀντὶ τούτου, κατορθωμένον λέγε. Λιβάνιος ἐν τῇ τοῦ Νεοκλέους μελέτῃ. ἀποδίδωσί μοι τὰ κατορθωμένα τὸν υἱόν. ἐπανορθῶσαι δὲ ἐπὶ λόγων. ἅπαξ δὲ καὶ τὸ κατορθῶσαι ἐπὶ λόγων κεῖται. Πλάτων ἐν Πολιτείαις. καὶ δὴ ἰδὼν, ἐπηνωρθούμην. τὸ δὲ διορθῶσαι, ἐπὶ τῶν διαστρόφων.

Κῶμος τὸ συμπόσιον. ἀφ' οὗ καὶ ἐγκώμιον. ἐγκώμιον δὲ καὶ ἔπαινος, ὡς αὐτοῖς λέγεται. καὶ ὁ μὲν ἔπαινος, ἐν βραχεῖ λόγῳ. τὸ δὲ ἐγκώμιον καὶ ἐπὶ τοῦ ἁπλῶς βραχέος λόγου ἐγκώμιον ἔχοντος λέγεται. καὶ ἐπὶ κατὰ τέχνην ἐγκωμιαστικοῦ λόγου. ὕμνος δὲ, ἐπὶ θεοῦ μόνου.

τὸ δὲ ὑμνῶ, ἐπὶ θεοῦ καὶ αἰῶνι. αἰσχύλος ἐν τοῖς ἑπτὰ ἐπὶ θήβαις. ὑμνεῖθ' ὑπ' ἀστῶν φρενιμόροις πολυῤῥόθοις.

Καταβολὴ, ἡ ἔκτισις. καὶ καταβάλλω, ῥῆμα. ὡς τὸ κατέβαλετ' ἀργύριον. καὶ καταθέσις καὶ κατατίθεμαι. καταβολὴ δὲ καὶ ἐπὶ νόσου. ἀριστείδης ἐν τῷ παναθηναϊκῷ. ἐν καθαρῷ τῆς μεσημβρίας ἐῤῥίπωσι, τῆς καταβολῆς ἐπελθούσης.

Καταχύσματα, τὰ καταχεόμενα ὕδατα ἐπὶ τοῦ λουτρῶνος, καὶ τῶν ὁμοίων. καταχύσματα δὲ, αἱ κατὰ τῶν νεωνήτων δούλων καταχεόμεναι ἰσχάδες, καὶ τἄλλα τραγήματα. ὡς ἀριστοφάνης ἐν πλούτῳ. εἶτ' οὐχὶ δέξει ταῦτα τὰ καταχύσματα.

Κάδδος, τὸ ἀντλητήριον. καδίσκος δὲ, ἀγγεῖόν τι ἐν ᾧ τὰς ψήφους ἔβαλλον.

Καθάρσια, πόματα καθαρσίως ἕνεκα γινόμενα.

Καθάρματα δὲ, τὰ μετὰ τὸ καθαρθῆναί τινα ἀπορριπτούμενα ῥυπάσματα. καθάρματα καὶ τὰ εἰς ἀπαλλαγὴν ἐξαισίων κακῶν θυόμενα. ὅθεν καὶ κάθαρμα, ὁ πάντων ἀνάστατος. τοιοῦτον γάρ τινα ἐπικειμένου λοιμοῦ ἢ ἄλλου κακοῦ τινὸς ζητοῦντες ἔθυον, καὶ αὐθὺς ἐπαύετο ταῦτα.

Καιρὸς, μέρος χρόνου. ἡ μεμετρημένων ἡμερῶν σύστημα. χρόνος δὲ πολλῶν καιρῶν περιοχὴ, καὶ σύλληψις. ἄλλως τε. ὁ μὲν καιρὸς δηλοῖ ποιότητα χρόνου. οἷ πόλεμος ἦν, ἡ εἰρήνη. χρόνος δὲ, ποσότητα. ὡς τὸ, πρὸ δέκα χρόνων.

Κάλλεα ἔδει, τὰ τῶν ἀλεκτρυόνων. ἐπὶ δὲ τῶν αἰθίων κάλλη.

Κέδρος θηλυκῶς, τὸ δένδρον. κέδρον δὲ οὐδετέρως ὁ καρπός.

Κέλης, ὁ μονόζυξ ἵππος. καὶ κέλης πλοιάριόν τι, ταῖς κώπαις ἐφελκόμενον. ὅπερ καὶ κελήτιον λέγεται. ἐπακτροκέλης δὲ, κακοῦργον καὶ λῃστρικὸν πλοῖον.

Κιβωτὸς καὶ κιβώτιον, ἐκ ξύλου. κίστη δὲ, ἡ πλεκτή.

Κόρδαξ, αἰσχρά τις ὄρχησις. καὶ κορδακίζω. κάρδαξ δέ τις στρατιώτης βάρβαρος.

Κραιπάλη, ἡ ἐκ τῆς χθὲς γενομένης οἰνοποσίας κάρωσις. μέθη δὲ, ἡ ἐπὶ τῆς αὐτῆς ἡμέρας.

Κεφαλὴ, ἐπὶ τῶν ζώντων. κρανίον δὲ, καὶ ἐπὶ τῶν ζώντων καὶ ἐπὶ τῶν ἀποθανόντων, ὅταν ἐπιλιπουσῶν τῶν σαρκῶν, τὸ ὀστοῦν καταλίπηται μόνον. λουκιανὸς ἐν τίμωνι, ἐπὶ ζώντων. κατέαγα τοῦ κρανίου, ὁ αὐτὸς ἐπὶ ἀποθανόντων. κρανία γυμνὰ τοῦ κάλλους. ἴστεον δὲ, ὡς κεφαλὴ καὶ κρανίον καὶ κορυφὴ, μόνοι λογογράφοι. ποιηταὶ δὲ ἡ κρὰς, καὶ τὸ κάρα. ἐπὶ θηλυκοῦ δὲ ἡ κάρα παρ' οὐδενὶ εὕρηται.

Τοῦ κύκλου τῶν ῥητόρων ὁ λεῖος ἔστι δοκιμώτερος λέγειν, ἢ τοῦ χοροῦ.

Καὶ κεκοιμημένος, καὶ κεκοιμημένοι.

Κελεύω, τὸ προστάττω. καὶ κελεύω, τὸ ἁπλῶς λέγω. λιβάνιος ἐν ἐπιστολῇ. αὐτήν τε ταύτην ἱδρύνασα τὴν πόλιν. κελευόντων ἀναγινώσκειν ἢ ὁμολογεῖν ἀδικεῖν. συνέσιος ἐν τῇ λύσαντες ἐκ βασιλείου ἐπιστολῇ. ἔῤῥωσο, καὶ τὸν υἱὸν διόσκορον κέλευε μετὰ τῆς μητρὸς ἐῤῥῶσθαι, καὶ

Ω'' ὅπερ συνεχῶς φαμὲν, οὕτω καὶ (τῆς τίτθης. καταινῶ, ἀντὶ τοῦ κατὰ πολὺ αἰνῶ, καὶ ἀποδέχομαι, καὶ τίθεμαι τοῖς δέ τισι. θουκυδίδης. ἀριστόδημος δὲ τοῖς μὲν ἄλλοις κατῄνει.

Κομπάζω. καὶ κομπέω κομπῶ, καὶ κομποῦμαι. σοφοκλῆς ἐν αἴαντι. μέγ' αὐτὸ κομπάσειας. θουκυδίδης ἐν τῇ ἕκτῃ. ὅσοι πρὸ κομποῦνται. ἤγουν, κομπαστικῶς λέγουσι. καὶ αὖθις ἐν τῇ τετάρτῃ. ἄποθεν ἀπειλαῖς τὸ ἀνδρεῖον μαλύνει, ἐπικομποῦσι.

Οὐ μόνον ἐπὶ πολεμίων, τὸ κατασκοπὴ τίθεται, ἀλλὰ καὶ ἐπὶ ἁπλῶς θεωρίας. θουκυδίδης. ἐς τὴν κατασκοπὴν τῶν χρημάτων.

Καὶ κρύφα, καὶ κρύβδην. δημοσθένης. οὐ γὰρ ἀκρύβδην ἔστιν ἡ ψῆφος.

Κίναιδος ἀρσενικῶς, ὁ πόρνος. συνέσιος ἐν τῇ ὥσπερ ἄλλοτε πολλάκις ἐπιστολῇ. καὶ λέγεταί τις αὐτοῖς ἀπείροις κιναίδοις προσκεῖσθαι. κίναδος δὲ οὐδετέρως ὁ ἀναιδὴς καὶ ἀναίσχυντος. σοφοκλῆς ἐν αἴαντι. ὅτ' οὐ σάφιππον κίναδος ἐξεύρουν ὅπου. καὶ δημοσθένης ἐν τῷ περὶ τοῦ στεφάνου. ἔστι δὲ καὶ φύσει κίναδος τὸ θηρίον ἐστί.

Κέφαλοι ἀττικοὶ λέγουσιν, οὐ γνέφαλον. ἔστι δὲ ἡ τίλη.

Κρίνω, καὶ τὸ δικάζω καὶ τὸ χωρίζω.

Κλέπτης καὶ ὁ κλέπτων, καὶ ὁ δυνάμενος κλέπτειν. ὅπερ καὶ κλεπτικὸς λέγεται καὶ κλεπτίστατος ὑπερθετικῶς. λαμβάνεται δὲ καὶ ἐπὶ τῶν πανούργων. ἀριστοφάνης ἐν πλούτῳ. τῶν ἐμῶν οἰκετῶν πιστότατον ἡγοῦμαί σε καὶ κλεπτίστατον.

Καταπλέμενος, οὐ καταπλάς.

Κίρνημι ἀττικοί, οὐ κιρνῶ.

Κορυφαῖον. οὐ κορυφαιότατον δεῖ λέγειν. οὐ γὰρ πρὸς τῇ ὑπερθέσει, καὶ ἑτέραν ὑπερθέσιν δεῖ ἐπάγειν. καὶ ὁ λουκιανὸς παίζων λέγει. ὁ αὐτὸς γὰρ ἐν τῷ σολοικιστῇ τοῦτ' ἐλέγχει.

Οὐ καθεὶς, ἀλλὰ καθ' ἕκαστος δεῖ λέγειν.

Ἄλλο κάθησαι, καὶ ἄλλο καθῆσθαι. τὸ μὲν γὰρ κάθισον, πρός τινα ἱστάμενον λέγεται ἵνα καθίσῃ. τὸ δὲ κάθησο, πρὸς καθήμενον ἵνα κάθηται καὶ μὴ ἐξαναστῇ. ὡς τὸ παρ' ὁμήρῳ. ἧσο ξεῖν'. ὑμεῖς δὲ, καὶ ἄλλοθι δήομεν ἕδρην. τὸ δὲ καθίζω, οὐ μόνον ἀντὶ τοῦ ἕτερον ποιῶ καθίζειν, ἀλλὰ καὶ ἐμαυτόν.

Κυκλέω κυκλῶ, τὸ στρέφω. κυκλόω δὲ κυκλῶ, τὸ περιλαμβάνω. κυκλοῦμαι δὲ, καὶ τὸ περιλαμβάνω, καὶ τὸ περιλαμβάνομαι. θουκυδίδης

κυδίδης ἐν τῇ τετάρτῃ· περιϊόντες τὸ κέρας οἱ πελοποννήσιοι καὶ ἐκυκλοῦντο τὸ δεξιὸν τῶν ἐναντίων. καὶ αὖθις ἐν τῇ πέμπτῃ· τὸ δεξιὸν τῶν λακεδαιμονίων καὶ τεγεατῶν, ἐκυκλοῦντο τοὺς ἀθηναίους.

Κύβος αὐτὸ ὁ κυλέτης καὶ διαχώρησις τῶν δι' τινες σκέλους.

Κύβδα λέγονται τὰ ἐστιγμένα ὀστᾶ, οἷς χρῶνται οἱ ταυλίζοντες.

Κύθηρα, πόλις θηλυκῶς· καὶ οὐδετέρως τὰ Κύθηρα, ὃ καὶ κρεῖττον.

Κυρέω κυρῶ, τὸ βεβαιῶ. κυρέω δὲ κυρῶ τὸ περιτυγχάνω· τὸ δὲ ἀντὶ τοῦ ὑπάρχω, ποιητικόν· ὃ καὶ μετὰ ὑπαρκτικοῦ πάλιν ῥήματος τίθεται. οἷον, κυρεῖ ὤν, ὥσπερ καὶ τυγχάνει ὤν.

Κυβιστῶ, τὸ κολυμβῶ, καὶ κυβιστής. λέγεται δὲ κυβιστᾶν, καὶ τὸ ἁπλῶς ἐν γῇ κυλιόμενον, στρέφειν χεῖρας καὶ πόδας.

Κυβεύω δὲ, τὸ κύβοις χρῶμαι. καὶ κυβευτὴς, καὶ κυβιστής.

Κόρυδος καὶ κορυδαλὸς, καὶ κορυδαλὶς, τὸ στρουθίον τὸ ἔχον ἐπὶ τῆς κεφαλῆς ἀνεστηκότα πτερὰ ὥσπερ λόφον. ἔστι δὲ τὸ μὲν κόρυδος ἀττικόν. πλούταρχος ἐν τῷ περὶ ἀδολεσχίας· κόρυδος ὤπται πετόμενος. τὸ δὲ κορυδαλὸς, κοινὸν, εἰ καὶ εὔβουλος χρῆται. ἔστι δὲ καὶ Κορυδαλὸς, δῆμος ἀθήνησι. τὸ δὲ κορυδαλὶς, ποιητικόν. ὡς θεόκριτος· ἐπιτυμβίδιοι κορυδαλλίδες.

Κατασκευάζω, τὸ ἐργάζομαι, καὶ ποιῶ. λέγεται δὲ ἐπὶ τῶν ποικίλως συνισταμένων. καὶ ὄνομα ἐκ τούτου κατασκευὴ, ἡ ἐν ἔργοις τῶν κατασκευαζομένων. καὶ τὸ ἔργον τὸ κατασκευασθέν. λέγεται δὲ κατασκευὴ, καὶ τὸ ῥητορικὸν προγύμνασμα τὸ ἐναντίον, ἡ ἀνασκευή. καὶ κατασκευὴ, ἡ αἰτία ἐπίλογος. συσκευάζω δὲ, τὸ σκευωρῶ. ἀφ' οὗ καὶ σκευὴ ἡ σκευωρία. μετασκευάζω, τὸ μεταποιῶ. παρασκευάζω, τὸ εὐτρεπίζω καὶ οἰκονομῶ. ὅθεν καὶ παρασκευή. διασκευάζω, τὸ λεπτομερῶς διηγοῦμαι. καὶ διασκευὴ, καὶ ἐν διασκεύοις λόγος. κατασκευάζει ὁ ναυπηγὸς τὴν ναῦν. κατασκευάζεται δὲ ὁ ἐπὶ τῇ κατασκευῇ ταύτης, τὰ ἀναλώματα διδούς. τοιοῦτον ἐστὶ καὶ τὸ οἰκοδομεῖ, καὶ τὸ οἰκοδομεῖται. οὕτω γὰρ δημοσθένης περὶ φιλίππου λέγει, ἐν τῷ περὶ ἁλοννήσου· ὁ δ' ἀδεῶς μένων τριήρεις κατασκευάζεται, καὶ νεωσοίκους οἰκοδομεῖται. καὶ λιβάνιος· τί μαθὼν ὦ βέλτιστε, τὰς δυνάμεις συνέχεις, καὶ ὅπλα κατασκευάζει.

Καταθέω, οὐ μόνον τὸ κατατρέχω, ἀλλὰ καὶ τὸ καταδέχομαι. ἀριστείδης ἐν τῷ πανηγυρικῷ ἐν κυζίκῳ περὶ τοῦ ναοῦ· ἀλλ' εἰς αὐτὴν καταθέουσί τε καὶ ἀναθέουσι.

Καιρὸς, οὐ μόνον ἐπὶ χρόνου ἁπλῶς τίθεται, ἀλλὰ καὶ ἐπὶ τοῦ ἁρμοδίου καὶ πρέποντος. ὡς εὐριπίδης ἐν ὀρέστῃ· ἀλλ' ὦ ἀδελφὲ, καιρὸς ἐκπνεῖν ἐμέ. καὶ αἰσχίνης· οἱ δὲ λόγοι πρὸς τὰς ἐμβρίας καιροὺς λέγονται. ἤγουν, πρὸς τὰ ἁρμόζοντα ἑκάστοτε, καὶ πρέποντα. τινὲς δὲ ἐνταῦθα τὸ, καιροὺς, ἀντὶ τοῦ χρείας φασί.

Κατάσχεσις, καὶ κάθεξις, θουκυδίδης ἐν τῇ τρίτῃ· καὶ ὅσῳ πολλῷ ξυμφορώτερον ἡγοῦμαι ἐς τὴν κάθεξιν τῆς ἀρχῆς.

Καθίσταμαι ἀρχὴν ἤτοι γίνομαι. καὶ καθίσταμαι τὴν ἀρχὴν, καὶ καθίστημι, ἤγουν οἰκονομῶ. ὁ αὐτὸς ἐν τῇ τετάρτῃ· τῶν πόλεων ἄρχοντας καθιστάναι. καὶ αὖθις ἐν τῇ αὐτῇ· ἅπερ εἶχε τῶν χωρίων καθίστατο. τὸ καταφρονῶ, ὡς ἐπὶ τὸ πλεῖστον μὲν γενικῇ συντάσσεται. ἔστι δ' ὅπη καὶ αἰτιατικῇ. ὁ αὐτὸς ἐν τῇ ἕκτῃ· τὸ μὲν καταφρονεῖν τοὺς ἐπιόντας ἐκ τῶν ἔργων τῇ ἀλκῇ δείκνυσθαι.

Οὐ μόνον κέκλεισμαι, ἀλλὰ καὶ κέκλειμαι ἄνευ τοῦ σ. ἀριστείδης ἐν τῷ αἰγυπτίῳ· καὶ ὑπὸ τῶν ὀρῶν συγκέκλειται.

Κληρονομῶ. ὡς ἐπὶ τὸ πλεῖστον μὲν γενικῇ συντάσσεται. ἔστι δὲ ὅπη καὶ αἰτιατικῇ. ὁ αὐτὸς ἐν λευκτρικῶν τετάρτῳ· πῶς ἀλλοτρίων ἂν κακῶν ἄξιοι κληρονομήσαι. λουκιανὸς ἐν τοῖς νεκρικοῖς· πῶς κληρονομήσαιμι τῆς βακτηρίας αὐτοῦ. ὁ αὐτὸς ἐν τοῖς αὐτοῖς· κληρονομεῖν ἀποθανόντος ἐμοῦ τὰ κτήματα.

Οὐ μόνον καταλύομαι ἐγὼ ὑπό τινος, ἀλλὰ καὶ καταλύομαι τὸν δεῖνα. ἤγουν, καταλύω. θουκυδίδης ἐν τῇ ἕκτῃ· τὸν ἐκεῖ πόλεμον, μήπω βεβαίως καταλελυμένους.

Κομίζομαι, οὐ μόνον τὸ ἐνδέχομαι, ἀλλὰ καὶ τὸ ἀπολαμβάνω. λιβάνιος ἐν ἐπιστολῇ· καὶ ἔδοξας οὐ φαύλους κεκομίσθαι καρπούς.

Κάτοπτα λέγε, καὶ μὴ ὀπτὰ, ἤτοι θεατά. θουκυδίδης ἐν τῇ ἑβδόμῃ· ὥστε τὰ ἐν τῇ ἐπέκεινα αὐτοῦ, μὴ κάτοπτα εἶναι. καὶ ἀριστείδης ἐν ἀθηναΐῳ τῶν ἱερῶν· καὶ πάντ' ἦν κάτοπτα ἀπὸ τῆς γεφύρας. κάτοπτα δὲ τὰ ὑψηλὰ καὶ περίβλεπτα. ἢ ἐφ' ὧν τις ἱστάμενος δύναται μακρὰν βλέπειν.

Καθάπαξ, ἀντὶ τοῦ παντελῶς. εἰσάπαξ δὲ, καὶ ἀντὶ τοῦ ἅπαξ, καὶ ἀντὶ τοῦ παντελῶς καὶ διόλου. δημοσθένης· ἀλλ' εἰς μὲν ἅπαξ βραχὺν χρόνον ἀντέχει. λουκιανὸς ἐν τίμωνι· τὸ μηχανὸς ἐστιν καὶ εἰς τὸ ἅπαξ ἀπεπιεσμένον. λιβάνιος ἐν μελέτῃ τινὶ, ὅτι πρῶτον ὑμᾶς εἶδε τῆς ἀναμνήσεως βασιλείας εἰσάπαξ καταγνωκότας.

Κατέσχημαι. κατίσχημαι δὲ, βάρβαρον. οὐ γάρ ἐστιν ἰσχύω ἰσχῶ. ἀλλὰ σχέω, σχῶ. ὡσαύτως καὶ κατεσχημένος, καὶ ἐνεσχημένος καὶ συνεσχημένος. καὶ, περιεσχημένος. λουκιανὸς ἐν τίμωνι· πρὸς αὐτοῦ ὑπὸ τηλικούτου στρατοπέδου περιεσχημένον.

Καὶ κεγχρεαὶ, καὶ κεγχρειαί. λουκιανὸς ἐν τῷ

πολλὰ τοῦ πρὸς δὲ ἱστορίαν συγγράφειν. οὐδ' ἄχρι κεγχρεῶν ἀποδημήσας. καὶ θουκυδίδης ἐν τῇ ὀγδόῃ. πλέων ἐκ τῶν κεγχρεῶν.

Οὐ μόνον κέκτημαι, ἀλλὰ καὶ ἔκτημαι χωρὶς τοῦ κ' γράφουσιν. αἰσχύλος ἐν προμηθεῖ. κοινὸν ὅμμ' ἐκτημέναι. φιλόστρατος ἐν τῷ τοῦ ἀπολλωνίου βίῳ. ὁ τὴν ἀρχὴν ἀπολωλέκασιν αἱ ἐκτημένοι. καὶ ἐν πολλαῖς δὲ ἄλλαις τῶν λογοποιῶν εὑρήσεις.

Καπνοδόκη. οὐ καπνοδόχη. λουκιανὸς ἐν τῷ ἰκαρομενίππῳ ἐ καθεδεῖται σοι, ἀντὶ τῆς καπνοδόκης.

Κατεύχομαι, τὸ καταρῶμαι. παρ' ἡροδότῳ δὲ, τὸ ἐναντίον εὔχομαι ὡς ἐν τῇ πρώτῃ. πᾶσι περσῇσι κατεύχεται εὖ γίνεσθαι.

Οὐ μόνον καταστρέφομαι παρ' ἄλλου, ἀλλὰ καὶ καταστρέφομαι τόν δεῖνα. ὁ αὐτὸς ἐν τῇ αὐτῇ. ἔτι δὲ μέσω τε καταστραμμένου γῆν πολλήν.

Οὐ μόνον καθάπτομαι τοῦ δεῖνος, ἀλλὰ καὶ ἅπτομαι ἀντὶ τοῦ αὐτοῦ. ὁ αὐτὸς ἐν τῇ πέμπτῃ. ἀλλήλων ἅπτοντο καταπτόμενοι.

Οὐ μόνον κοινωνῶ σοι τοῦ δεῖνος, ἀντὶ τοῦ συμμετέχω σοι, ἀλλὰ καὶ κοινωνῶ σοι ὧν ἔχω, ἀντὶ τοῦ μεταδίδωμι. πλάτων ἐν δευτέρῳ τῶν πολιτειῶν. τετραπλάσιον χρόνον τε καὶ πόνον ἀναλίσκειν, ἀντὶ σῖτον παρασκευῇ, καὶ ἄλλοις κοινωνεῖν. ἤγουν, μεταδιδόναι τούτου. καὶ πάλιν ἐν τῷ αὐτῷ καὶ μὴ ἄλλοις κοινωνοῦντα πράγματα ἔχειν. καὶ κοινωνῶ ἁπλῶς τὸ μετέχω. πρὸς γενικὴν μόνον συνταττόμενον.

Τέλος τοῦ κ' στοιχείου.

ΑΡΧΗ ΤΟΥ Λ.

Λαμπρὰ ἐσθὴς κάλλιον λέγεται, ἢ λευκή.

Λαμπρὸς ὄμβρος, οὐ καθαρός.

Λαγχάνω δίκην τῷ δεῖνι, ὅπερ οἱ νῦν κρίσιν ἀττικοὶ λέγουσιν, οὐκ ἐπιφέρω. δικαλήρου γὰρ τὰς δίκας ἐποίουν. ἀριστείδης ἐν τῷ παναθηναϊκῷ. καὶ λαγχάνει ποσειδῶν ἀρεῖ τὴν ὑπὲρ τοῦ παιδός.

Λοῦμαι πάντες ἀττικοὶ, καὶ λούμενος, καὶ λοῦσθαι.

Λυσιτελὲς, καὶ λυσιτελεῖν. οὐ λυσιτελεῖ, ὠφελεῖ δέ.

Λαισήιον. οὐχ ἀσπιδίσκιον. ἀσπὶς δέ.

Λευκόχρως λευκόχρωτος, λευκόφρων. οὐ λευκόχρους λευκόχρου.

Λεὼς, οὐ λαός.

Λατόμος, καὶ λιθουργὸς, καὶ λατομία, καὶ λιθουργία, καὶ λατομῶ, καὶ λίθον ξέω, καὶ λαξεύω, καὶ λαξευτὴς, καὶ λίθων ἐργάτης, καὶ λιθολόγος, θουκυδίδης ἔχουσαι καὶ λιθολόγους, καὶ τέκτονας. τὸ δὲ λιθοκόπος, ἀδόκιμον, εἰ καὶ ἀντιφῶν λέγει.

Λοιμὸς ἀνὴρ καὶ φθόρος. ἀριστείδης. λοιμοὶ καὶ φθόροι πόλεως. οὐ λυμεὼν, οὐδὲ φθορεύς.

Ληρῶ, καὶ φλυαρῶ, καὶ φλυαρία, οὐ ληρωδία.

Λοπάδιον, οὐχὶ λοπάς. ἀριστοφάνης ἐν πλούτῳ. ὄξις δὲ πᾶσα καὶ λοπάδιον καὶ χύτρα. λεπάς. ὀξυτόνως ὄστρεόν τι μονόπτυχον ταῖς πέτραις προσπεφυκός. λέπας δὲ ἀπόσπασμα ὄρους.

Λέμφος ἡ κόρυζα. ὡς τὸ κορύζης καὶ λέμφου ἔμπλεως παρὰ λιβανίῳ. καὶ λέμφος ἀρσενικῶς, ὁ κορυζώδης καὶ μυξώδης.

Λεχοκλίνη. εὐνὴ δὲ ἡ ἀντὶ ταύτης στρωμνή.

Λίβανος καὶ τὸ δένδρον, καὶ τὸ θυμιώμενον. λιβανωτὸς δὲ μόνον, τὸ θυμιώμενον.

Λυχνοῦχον καὶ λαμπτῆρα φασί. φανὸν δὲ τὴν λαμπάδα. καὶ οἱ μὲν κωμικοὶ, διὰ τοῦ φ. οἱ δὲ τραγικοὶ, διὰ τοῦ π. πανόν.

Λυχνίον δὲ τὴν λυχνίαν.

Λαγὼς διὰ τοῦ ω μεγάλου ἀττικοί. οἱ δὲ ἴωνες μικρὸν γράφουσιν.

Ἡλιμος, οἱ λυκικοί. σὺ δὲ ὁ λιμὸς λέγε.

Λύφειν οὐχὶ λυτήριον.

Λίθαργος καὶ λιθιώδης νόσος, καὶ ὁ ταύτην νοσῶν. ἀττικοὶ μὲν οὖν λίθαργον, ἀντὶ τῆς νόσου φασί. ἀντὶ δὲ τοῦ ταύτην νοσοῦντος, ἐπιλήσμων. μελάνδρυος δὲ καὶ τὸν νοσοῦντα, λίθαργον λέγει.

Λιθίδιον λέγε, ἀλλὰ μὴ λιθάριον.

Τὸν λάρυγγα ἀρσενικῶς ἀττικοί. τὴν φάρυγγα δὲ θηλυκῶς, εἰ καὶ ἐπίχαρμος ἀρσενικῶς λέγει. καὶ ἀριστείδης ἐν πέμπτῳ τῶν ἱερῶν ἅπαξ. ἰδὼν δὲ τὸν χρόνον ἐρυθρώδη ἐσῶν τὰ πολλὰ τὸν φάρυγγα. ἀριστοφάνης ἐν βατράχοις. ὅσον χανδάνει ὑμῶν ἡ φάρυξ, ἔστι δὲ φάρυγξ μὲν, ἡ τῆς φωνῆς διέξοδος. λάρυγξ δὲ, ἡ τῶν σιτίων εἴσοδος. ὡς ὁ αὐτὸς ἐν τῷ αὐτῷ δράματι. ἐπεὶ δὲ τὸν λάρυγγά σου ἐκτέμοι μέσον, ὥς τοῦ κώλακας κατήσθιες. καὶ θαῦμα, πῶς ἐκεῖ μὲν οὐ ποιοῦμεν, ῥῆμα. ἀντὶ δὲ τοῦ λάρυγγος ποιοῦμεν οὐ τὸ τούτου, ἀλλὰ τὸ τοῦ φάρυγγος σημαινόμενον ἔχει. λαρυγγίζω γὰρ φαμὲν οὐ τὸ ἐσθίω. ἀλλὰ τὸ εὐήχως λέγω.

Λευκὴν ὀμφαλὸν διαγαγεῖν λέγουσιν, ἤγουν ἀδεῶς καὶ ἱλαρῶς.

Λειμὼν, τόπος δίυγρος, ψυχρὰ καὶ πόαν ἔχων. τὸ κοινῶς λεγόμενον λιβάδιον. κῆπος, ὁ τῶν λαχάνων καὶ τῶν δένδρων. παράδεισος, ὁ δένδρα ἔμβρα ἔχων. ἄλσος δὲ, καὶ δρυμὼν καὶ λόχμη, ἀντὶ ἀγρίων δένδρων ἱσταμένων ἀντὶ ξηρᾶς. ἕλος δὲ, τόπος λιμνώδης καὶ καλαμώδης.

Λαλιὰ, καὶ προσλαλιὰ, καὶ προλαλιὰ, δόκιμα. καταλαλιὰ δὲ, οὐδεὶς εἶπε τῶν ἀρχαίων ἀλλὰ αὐτὸ

λὰ αἰτὶ τούτου κατηγορία. ἢ σιωπῶς καὶ ἐρυπτίειν. καὶ λαληστίειν.

Λ ηστρικὸν πλοῖον. λῃστικὸν δὲ σύνταγμα θουκυδίδης. τό, τε λῃστικόν, ὡς εἰκὸς καθῄρει.

Λ ογογράφος, οὐ μόνον ὁ λόγους γράφων, ἀλλὰ καὶ ἐπὶ διαβολῆς εὕρηται. οἷον ὁ ψευδογράφος. δημοσθένης ἐν τῷ περὶ τοῦ στεφάνου. λογογράφους τοίνυν καὶ ὑβριστὰς ἀποκαλῶν. καὶ τοιαῦθ' ὑβρίζων. καὶ αἰσχίνης περὶ δημοσθένους λέγων. τῷ λογογράφῳ τῷ δὲ καὶ σκύθρωπῷ. αὐτὸ δὲ καὶ ἐπὶ τοῦ λογοποιοῦ. καὶ γὰρ λογοποιὸς ὁ λόγους τε γράφων, καὶ ὁ ψευδῆ συντιθείς. συνέσιος ἐν ἐπιστολῇ τῇ ὡς παρ' ἄλλοτε πολλάκις. ὡς ὁ λογοποιός, ὁ τιτρώσκων ὑπ' ἀφανοῦς.

Ο ὐ μόνον λειποτάξιον, καὶ λειποταξίας φαμέν, ἀλλὰ καὶ λειποστρατίαν. καὶ λειποστράτιον. θουκυδίδης. λειποστράτιον, εἴπω ἐγένετο.

Λ επτὸν κυρίως, τὸ μὴ πάχους μετέχον ξύλον. ἀλλ' ἄγαν περιεξεσμένον. ἀπὸ τοῦ λέπω λέψω, λέλεφα. λέλεμμαι. λέλεψαι λέλεπται. ἐκεῖθεν δὲ εἰς διαφόρους σημασίας ἐξῆκται. λεπτὸν γὰρ νόμισμα λέγομεν, τὸ μὴ τοῖς πολλοῖς εὔληπτον. καὶ λεπτότητα φρενός. καὶ ὅσα τοιαῦτα. λεπτὸν καὶ τὸ μικρὸν καὶ ἀσθενές, ὡς θουκυδίδης ἐν τῇ ζ'. ἐν τοῖς λεπτοῖς πλοίοις. ἀριστείδης ἐν θεμιστοκλεῖ. ὥστε καὶ περὶ τοῦ μέλλοντος λεπτὰς ἔχειν ἐλπίδας. καὶ λιβάνιος ἐν ἐπιστολῇ. εἰ τῇ σῇ δυνάμει χρησαίμην. ἡ γὰρ ἐμή, λεπτή, τις. λεπτόν, καὶ τὸ δυσμεταχείριστον. οὐκ εὐάγωγον. φιλόστρατος. τὸ δὲ ἔθνος τοῦτο, ἀγέρωχον. καὶ λεπτοὶ ἀρχολεῦσαι.

Λ ύζω, τὸ τῷ κοινῶς λεγομένῳ κλαύζω κατέχρησαι. ὡς λιβάνιος, ἐν τῇ τῆς λαΐδου μελέτῃ. οὔτε λύζων ἄνθρωπος, οὔτε χρεμπτόμενος. οἱ δὴ περιδραχόμενοι εἰς παθητικὸν παρακαλοῦσι, ἀπὸ μὲν τοῦ πρώτου προτίθησι τὸν λυγμὸν ποιεῖ. ἀπὸ δὲ τοῦ β', τὴν λύσιν. ἀπὸ γὰρ τοῦ λέλυξαι, λύγξ. ὅπερ ἐστὶ κάλλιον τοῦ λυγμοῦ. θουκυδίδης ἐν τῇ πρώτῃ. λύγξ τε τοῖς πλείοσιν ἐνέπεσε κενή.

Λ αίλαψ. οὐχ ὁ λαῖλαψ. ἀριστείδης ἐν τετάρτῳ τῶν ἱερῶν. λαίλαπι ἀγρίᾳ.

Λ οιδοροῦμαί σοι, καὶ διαλοιδοροῦμαι. λοιδοροῦμαι δὲ μόνον ὑπὸ σοῦ.

Λ ωφᾷ τις κυρίως ὅταν διαλίπῃ λυπούμενος καὶ λωφᾷ τὸ πάθος. λέγεται δὲ καταχρηστικῶς, καὶ ἐπὶ θυμοῦ καὶ νόσου καὶ τῶν ἄλλων. ὄντι δὲ ἀμεταβάτῳ, μεταβατικῶς αἰσχύλος χρῆται ἐν προμηθεῖ. ὁ λωφήσων γὰρ οὐ πέφυκέ πω.

Λ ύδιον. πεδίον, παροξυτόνως ἀττικοὶ λέγουσιν οὐχὶ λυδίον. λύδιον δὲ ἅρμα.

Λ ινοπὰξ, ὡς ἀγκυλοπλὴξ. οὐ λινόπαξ.

Λ αμυρία, ἡ εὐτραπελία. πλούταρχος, ἐν τῷ πῶς ἄν τις διακρίνειε, τὸν κόλακα τοῦ φίλου. ἀνύπιστα φαίνεται λαμυρίας καὶ θρασύτητος. λέγεται δὲ λαμυρία, καὶ ἡ κατάπληξις, καὶ ἡ ἡδύτης, καὶ ἡ καθαρότης. ὅθεν καὶ λαμυρὰ πηγή, ἡ καθαρὰ καὶ ἡδεῖα παρὰ θουκυδίδῃ. ἔστι οἱ δὲ καὶ λαμυρὰ γραφὴν λέγουσιν. οὐδεὶς μέντοι τῶν ῥητορικῶν τῷ ὀνόματι τούτῳ ὅλως ἐχρήσατο.

Λ ογίους τοὺς πολυΐστορας οἱ ἀρχαῖοι ὠνόμαζον, ὡς καὶ ἡρόδοτος. λογίους δὲ τοὺς διαλεκτικοὺς οἱ ὕστερον. ἔστι δὲ καὶ λόγιος, ὁ λόγου ἔφορος. ἀριστείδης ἐν τῷ ὑπὲρ ῥητορικῆς πρώτῳ. καλῶ δ' ἐπὶ τούτῳ τῷ τολμήματι καὶ ἑρμῆν λόγιον. καὶ λογεῖον, ὁ τόπος τοῦ θεάτρου. συνέσιος ἐν τῷ ὑπὲρ φαλάκρας. μικρὸν ἀποδειθειάσασιν ἐν τῷ λογίῳ ἀποδύεται. καὶ λόγιμον καὶ ἐλλόγιμον, τὸ λόγου ἄξιον. ἡρόδοτος ἐν τῇ πρώτῃ. ὅτι γὰρ μὴ ἀθηναῖοι ἦσαν οὐδὲν ἄλλο. πόλισμα λόγιμον ὡσαύτως.

Ο ἱ μὲν λειτουργός, διὰ τοῦ ι. ἤγουν ὁ τὰ λῆϊτα ἔργα ἔχων. λῆϊτα γὰρ λέγεται τὰ δημόσια. οἱ δὲ διὰ δι. φθόγγου.

Κ αὶ λαμπὰς καὶ λαμπάδιον.

Λ οιδορισμὸς μὴ εἴπῃς ἀλλὰ λοιδορία.

Λ ύτρα καὶ σῶστρα λαφυραγωγία. ἄποινα δὲ ποιεῖται εἰσὶ δὲ ταῦτα τὰ ἐπὶ ἐλευθερίᾳ διδόμενα, ὑποφόνια δέ, ἅπερ διδόασιν οἱ φονεῖς εἰς λύσιν τοῦ ἐγκλήματος. ἀριστείδης ἐν τῷ πρεσβευτικῷ πρὸς ἀχιλλέα. ποινὰ τὰ ὑποφόνια καταθεῖναι, ἀμείνους τυχεῖν.

Τέλος τοῦ λ' στοιχείου.

ΑΡΧΗ ΤΟΥ Μ.

Μ έλλω ποιεῖν. καὶ μέλλω ποιήσειν. οὐ μέλλω ποιῆσαι. ἀλλὰ μετὰ τοῦ ἐνεστῶτος, μέλλω ποιῆσαι σε, προστιθέμενον δὲ τὸ σε, ἵνα τὸν παρωχημένον διὰ τούτου ὡς μέλλοντα δεξώμεθα. οἱ δὲ μὴ οὕτω γράφοντες, ἁμαρτάνουσιν. ὁ καὶ αἰσχύλος ἐν προμηθεῖ διὰ τὸ μέτρον ἀναγκασθείς, ἐπὶ παρῳχημένου ἅπαξ εἶπε. λέγων, μή τι με κρύψῃς τοῦθ' ὅπερ μέλλω παθεῖν. νοουμένου ἔξωθεν τοῦ σε. εὕρηται δὲ καὶ παρὰ πλάτωνι ἐν τῇ τοῦ σωκράτους ἀπολογίᾳ. οὐδ' εἰ πολλάκις μέλλω τεθνάναι. ὅπερ μοι δοκεῖ ἁμάρτημα τῶν γραφέων εἶναι, διὰ τοῦ μηδαμοῦ ἑτέρωθι τὴν αὐτοῦ λέξιν τοῦτο εὑρίσκεσθαι. ὤφειλε γὰρ μετὰ τοῦ σε εἶναι. οὐδ', οὐδ' εἰ πολλάκις σε μέλλω τεθνάναι.

Μ αθύλλεται, οὐχὶ μαλοῦται.

Μ νήσεται κάλλιον, ἢ μνησθήσεται. καὶ

Μ αχοῦμαι, κάλλιον ἢ μαχήσομαι.

Μ ελίπηκτον, καὶ πόπανον, οὐ μελίπηγμα.

μελίττη καὶ δι' ὕδατος ἅλφιτα αὐχεῖ δ' ἄλλοι μελίᾳ μέλιτι, ὃ μελιτοῦται λέγει. τινὲς δὲ μελιτοῦται φασίν, ἐν ᾧ ἐξ ἀλεύρου καὶ μέλιτος φύραμα. ἀλλὰ τὸ ἁπλῶς πέπανται. ὡς ἀριστοφάνης ἐν νεφέλαις. δός μοι μελιτοῦτταν εἰς τὴν χεῖρα.

M ἔνθεν, οὐχ ἐνδύσιμον.

M οἰχεῖται ὁ ἀνήρ. μοιχεύεται δ' ἡ γυνή.

M μεταπέμπομαι ἐν μεταπέμπω, ᾧ καὶ θουκυδίδης ἐχρήσατο ἐν τῇ ἕκτῃ. αὐτὴν τὴν λακεδαιμονίων μεταπεμψάντων. καὶ ἐν τῇ ἑβδόμῃ. ἣν μὴ ὡς τάχιστα ἢ σφᾶς μεταπέμψωσι.

M κηνύω τὸν λόγον κάλλιον, ἢ ἐκτείνω. ἐκπετάννυμι τὴν χεῖρα. ὡς ἀριστείδης ἐν περικλεῖ. τὴν χεῖρα ἐκπεπτακώς.

M μεσέγγυος, ὁ μεσίτης.

M ὕλη, οὐ μύλος.

M μεθύση γυνὴ ἀττικόν. ὡς ἀριστοφάνης ἐν νεφέλαις. γραῦν μεθύσην τῆς κόρδακος εἵνεκα.

M μέθυσος δὲ ἐπὶ μὲν ἀρσενικοῦ οὐδεὶς τῶν δοκίμων εἶπεν. ἐπὶ δὲ θηλυκοῦ, λιβάνιος ἐν τῇ περὶ τῆς λάλου μελέτῃ. οὐκ ἔστιν ἡ γυνή μοι μέθυσος. οἱ τοίνυν ἀττικοὶ ὑπόνοιες, ἐπὶ μὲν ἀρσενικοῦ, μεθύων λέγει, καὶ μεθυστικὸς, ὡς φιλόστρατος. εὕρηται δὲ αὐτὸ καὶ μεθυστικὸν, καὶ ἀσώτως δρῶντα. ἐπὶ δὲ θηλυκοῦ, μεθύουσα καὶ μεθύση. οὐ μόνον δὲ ἐπὶ οἴνου τὸ μεθύω λέγουσιν, ἀλλὰ καὶ ἐπὶ τοῦ ἁπλῶς ὑβρίζειν, καὶ μὴ ἐθέλειν σωφρονεῖν ὑπό τινος τυχὸν ἐξουσίας ἢ πλούτου, ἢ τοιούτου τινὸς ἄλλου. ὡς δημοσθένης περὶ φιλίππου λέγει. μεθύων τῷ μεγέθει τῶν πεπραγμένων. καὶ λιβάνιος ἐν τῇ τοῦ ἀχιλλέως ἀπολογίᾳ. καὶ κατὰ στρατηγοῦ μεθύοντι.

M μεθύω ἐγὼ ἀμεταβάτως. καταμεθύω δὲ ἕτερον, πλάτων ἐν γοργίᾳ. ξενίσας αὐτὸν καὶ καταμεθύσας.

M μοχλὸς οὐδεὶς τῶν ἀττικῶν. μάχλη δὲ λουκιανός. ὑπὸ μάχλης γυναικὸς ἐπιβεβουλευμένος.

M μεῖραξ. καὶ μειρακίσκος ἀδόκιμα. μειράκιον δὲ οὐκ ἐντελῶς πάντες οἱ ῥήτορες.

M μεῖραξ μέντοι ἐπὶ θηλυκοῦ. καὶ μειρακίσκη, μόνος ἀριστοφάνης ἐν πλούτῳ. οὐδ' ἄπιθι χαίρων, συλλαβὼν τὴν μείρακα. καὶ πάλιν ὦ μειρακίσκη. πιθανὴ γοῦν ὠρικῶς. σὺ δὲ μειράκιον καὶ ἐπὶ θήλεος λέγε.

M μελάγχρως μελαγχρῶτες. εὐριπίδης ἐν ὀρέστῃ. μελαγχρῶτες εὐμενίδες. οὐ μελάγχρους, μελάγχρου.

M μαίνεται περὶ λόγους κρεῖττον καὶ βακχεύει, ἢ ἐνθουσιᾷ.

M μελαίνεσθαι τὰς τρίχας λέγε, μὴ βάπτεσθαι.

M μαθητεὶς, ὡς αὐλητεὶς. οὐ μαθήτρια.

M μύρον ὄζει ἀττικοί. οὐ μύρου.

M μύκης μύκητος. οὐκ ἀμανίτης.

M μυρρίνη ἀττικοί, οὐ μυρσίνη.

M μεταβολεὺς, οὐ μεταβόλος.

M μαστὸς ἐπὶ γυναικός. εὐριπίδης ἐν ἑκάβῃ. ὦ στέρνα. μαστοί θ' οἵ μ' ἐθρέψαθ' ἡδέως. μαζὸς δὲ ἐπὶ ἀνδρός. ὡς τὸ, θυρεὸν μὲν μαζῷ πέλασε παρ' ὁμήρῳ. ἐν τῷ γάμμα ἰλιάδος. εὕρηται δὲ καὶ μαζὸς ἐπὶ θήλεος, καταχρηστικῶς. θεόκριτος. ἡ ῥαλεαίνης μαζὸν θήλασε. φασὶ μέντοι οἱ τεχνικοὶ, ἐπὶ μὲν τοῦ θήλεος διὰ τοῦ σ' μαστὸς ἐκφέρεται. οἱονεὶ μασητής. ἐπὶ δὲ ἀνδρὸς διὰ τοῦ ζ'. ὁ μὴ ἐσθιόμενος.

M μεγαλαυχῶ, οὐδεὶς τῶν ἀρχαίων. ἀλλὰ μεγαλαυχοῦμαι. λιβάνιος ἐν ἐπιστολῇ. καὶ μεγαλαυχούμεθά γε σύροι ῥωμαίοις διδόντες ἄνδρα.

T ὁ μὴ, ἀπαγορευτικόν ἐστι. καὶ ἐπὶ μὲν ἐνεστῶτος, προστακτικῷ συντάσσεται. ἐπὶ δὲ ἀορίστου καὶ τῶν ἄλλων, ὑποτακτικῷ. οὐ γὰρ ὀρθῶς ἐπὶ ἐνεστῶτος μὴ τύψῃς, ἀλλὰ μὴ τύπτε. μὴ τύψῃς δὲ ἐπὶ ἀορίστου, καὶ τῶν ἄλλων χρόνων. ἥλειξε δὲ ἀμφότερα ἀριστείδης ἐν τῷ πρὸς ἀχιλλέα πρεσβευτικῷ εἰπών. μηδ' ἀπέχου μὲν ὡς φίλων, πρόσιθι δὲ ὡς πολεμίους. ἐπὶ μὲν τοῦ ἐνεστῶτος προστακτικὸν θεὶς τὸ ἀπέχου. ἐπὶ δὲ παρῳχημένου ὑποτακτικὸν ἐπενεγκὼν τὸ πρόσιθι. εἰ δὲ καὶ εὕρηται τὸ μὴ ἐπὶ ὑποτακτικοῦ ἐπὶ ἐνεστῶτος ὡς τὸ μὴ δοκῶμεν δρῶντες παρὰ σοφοκλεῖ ἐν αἴαντι, καὶ παρὰ λιβανίῳ ἐν τῇ εἰς τὸν ναὸν τοῦ ἀπόλλωνος μονῳδίᾳ, μήτε καλὴν μήτε μεγάλην καλῶμεν ἔτι τὴν δὲ τὴν πόλιν, ἀλλὰ τούτου χάριν γέγονε τοῦτο. ἐπειδὴ ὁ μὲν ἀπαγορεύων ἐπὶ ἐνεστῶτος προστακτικῷ ἐξ ἀνάγκης χρῆται. ἑτέρῳ γὰρ ἀπαγορεύει. ὁ δὲ πρὸς ἑαυτὸν τὴν ἀπαγόρευσιν ποιούμενος, ἀδυνάτως ἔχει προστακτικῷ χρῆσθαι. οὗτοι τοίνυν ἐφ' ἑαυτῶν τὴν ἀπαγόρευσιν ποιούμενοι, καὶ κατὰ τοῦτο μὴ δυνάμενοι προστακτικοῖς χρῆσθαι, διὰ τὸ ἐν τοῖς προστακτικοῖς ἐπὶ παντὸς ἀριθμοῦ πρῶτον πρόσωπον μὴ εὑρίσκεσθαι, οὐδεὶς ἑαυτῷ προστάσσει, ἐξ ἀνάγκης ὑποτακτικοῖς ἐνεστῶσιν ἐχρήσαντο. λέγοντες μὴ δοκῶμεν καὶ μὴ καλῶμεν. γίνωσκε δὲ καὶ τοῦτο. ὅτι ἐπὶ τῶν ἑνικῶν πρώτων προσώπων τοῦ ὑποτακτικοῦ ἀορίστου καὶ παρακειμένου, καὶ τῶν καθεξῆς χρόνων, οὐ χρώμεθα μόνῳ τῷ μή. οἷον μὴ τύψω καὶ μὴ τυπῶ. καὶ μὴ τετύφω, ἀλλὰ μετὰ τῆς προσθήκης τοῦ οὐ. οἷον οὐ μὴ τυπῶ. ἰστέον δὲ ὅτι καὶ τὸ μὴ καὶ τὸ οὐ μὴ, οὐ μόνον ἐπὶ ὑποτακτικῶν τίθενται, ἀλλ' ἔστιν ὅτε καὶ ἐπὶ μελλόντων ἁπλῶς. οἷον παρ' αἰσχύλῳ ἐν προμηθεῖ. ὅπως μὴ σαυτὸν οἰκτιεῖς. καὶ παρ' ἀριστοφάνει ἐν βατράχοις. ἀλλ' ἐκεῖνο ὅπως μὴ ῥεῖς. καὶ πλάτων ἐν πρώτῳ τῶν πολιτικῶν.

πολιτικῶν. ἔπειτα ἔτι καὶ δεῖται περὶ τούτων ἀπειρηκόσιν αὐτῷ εἶπεν, ὅπως μηδὲν τούτων δρῴη. καὶ παρὰ συνεσίῳ ἐν ἐπιστολῇ. οὐ μὴν δρέψεις ὡς ἔλαθεν ὑμᾶς. τὸ τοιοῦτον δὲ μὴ, οὐ μόνον ἐπὶ ὑποτακτικοῦ τίθεται, ἀλλὰ καὶ ἐπὶ εὐκτικοῦ. ἀριστείδης ἐν πρώτῳ τῶν ἱερῶν. καὶ σφόδρα δείσας μὴ ἐπιθοῖντό μοι. εὕρηται δὲ παρὰ λουκιανῷ ἅπαξ, καὶ ἐπὶ ὁριστικοῦ ἐνεστῶτος ἐν τοῖς νεκρικοῖς. ὅρα γοῦν μὴ τὸ ἐναντίον ἐστί.

M εγαλοψυχία, καὶ ἡ γενναιότης, καὶ ἡ ἐν ταῖς μεταδόσεσιν ἕτοιμος εὐχέρεια. ἀριστείδης ἐν τῷ παναθηναϊκῷ. ἐλευθεριότητος ἐφόδιον καὶ μεγαλοψυχίας.

M εσονύκτιον, καὶ μεσονύκτιος ποιητικόν. εὐριπίδης ἐν ἑκάβῃ. μεσονύκτιος ὠλλύμαν. σὺ δὲ, μεσούσης νυκτὸς λέγε. καὶ μέσης νυκτός. καὶ μέσων νυκτῶν.

M άλη. ἐπὶ εὐθείας οὐχ εὕρηται, ἀλλ᾽ ἐπὶ γενικῆς μόνον. ὡς τὸ ὑπὸ μάλης ἔκρυπτον τὰς ἀσπίδας, παρὰ συνεσίῳ ἐν τῷ περὶ προνοίας. ἤτοι μασχάλης. ἔστι δὲ μασχάλη κοινὸν, ἀφ᾽ ἧς καὶ μασχαλιστὴς κατ᾽ αἰσχύλον.

M εγιστᾶνες, ἀδόκιμον. σὺ εἰπὲ μέγα δυνάμενοι λέγε.

M άγειρος, καὶ σιτοποιὸς καὶ ὀψοποιὸς, δόκιμα.

M αγειρεῖον δὲ ἀδόκιμον, καὶ ὀπτανεῖον μέν τοι, οὐδεὶς τῶν ῥητόρων εἶπε.

M ιαρὸς, καὶ παμμίαρος. καὶ μιαρώτατος. ὡς ἀριστοφάνης ἐν βατράχοις. οὐ μιαρία δὲ, ἀλλὰ βδελυρία.

M άτην λέγε, μὴ ματαίως. ἀριστοφάνης ἐν νεφέλαις. μάτην ἐμοὶ κεκλαύσεται. καὶ σοφοκλῆς ἐν ἠλέκτρᾳ. μάτην ἄρ᾽ ἡμεῖς ὡς ἔοικεν ἥκομεν.

M αχαιρίδες. αἱ τῶν κουρέων. μάχαιραι. αἱ τῶν μαγείρων καὶ τῶν ἄλλων.

M έσον ἡμέρας. καὶ μεσημβρία. καὶ μεσοῦσα ἡμέρα. μέση δὲ ἡμέρα κοινόν.

M άρτυς, καὶ ἐπὶ ἀγαθοῦ, καὶ ἐπὶ κακοῦ. ἔλεγχος δὲ, ἐπὶ κακοῦ μόνον.

M νήμη κυρίως τῶν ἀπελθόντων. καταχρηστικῶς δὲ, καὶ τῶν ζώντων. μνεία δὲ μόνον τῶν ζώντων.

M ισθὸς ἀδιάβλητος. διαβεβλημένον δὲ τὸ μίσθωμα, ἐπὶ πόρνης λέγεται. ὡς παρὰ τῷ θεολόγῳ γρηγορίῳ ἐν τοῖς τετραστίχοις. μίσθωμα πόρνης ἁγνὸς οὐ μολίζεται.

O ὁ λογογράφων τὸ λέγειν, μᾶλλον πλουσιώτερος. καὶ μᾶλλον ἀνδρειότερος. οὐ μὴν οὐδὲ μάλιστα πλουσιώτατος. περιτταὶ γὰρ καὶ ἄκαιροι αἱ τοιαῦται προσθῆκαι. τὸ γὰρ πλουσιώτερος, συγκριτικὸν ὂν, οὐ δεῖται ἑτέρου συγκριτικοῦ τοῦ μᾶλλον. ἐν οὕτως καὶ τὸ πλουσιώτατος ὑπερθετικὸν ὂν, οὐ δεῖται ἑτέρου ὑπερθετικοῦ τοῦ μάλιστα. ποιηταὶ δὲ ὥσπερ καὶ ἕτερα πολλὰ καινοτομοῦσι, καὶ τοῦτο ἔστιν ὅτε ποιοῦσιν. αἰσχύλος ἐν τοῖς ἑπτὰ ἐπὶ θήβαις.

καλῶς τεθνάναι κάλλιον αὖ μᾶλλον, ἢ σεσῶσθαι. καὶ ἀριστοφάνης. τί δ᾽ ἂν γένοιτο μᾶλλον ὀλβιώτερον. οὐδεὶς δὲ τῶν δοκίμων ῥητόρων οὕτως εἶπε.

M αρτύριον κρεῖττον ἢ μαρτυρία. θουκυδίδης. μετὰ ἀμαρτύρου μαρτυρίων.

M ενετὸς, ὁ δυνάμενος μένειν. ὡς ὁ αὐτὸς τοῦ δὲ πολέμου οἱ καιροὶ, οὐ μενετοί.

M αίνομαι. τὸν νοῦν βεβλαμμένον ἔχω, καὶ μὴ καθεστηκότα. καὶ μανία τὸ πάθος. μαίνομαι καὶ τὸ ἐνθουσιῶ. καὶ μανία. καὶ μανικὸς ἐραστὴς ὁ πρὸς ὃν ἐρῶσι βιαζόμενος, καὶ τοῦ ἐρᾶν ὅλως γινόμενος. καὶ μανικὸς ἁπλῶς ὁ ἔνθεος. ὡς ἔχει τὸ τοῦ ἀριστείδου ἐν τῷ εἰς δία. δότε μανικὸν γενέσθαι τὸν λόγον. μαίνομαι, καὶ τὸ δίχα νόσου ἁπλῶς μωραίνω. καὶ μανιώδης ὁ μωρός. θουκυδίδης ἐν τῇ τετάρτῃ. καὶ περὶ μανιώδης οὖσα ἡ ὑπόσχεσις ἀπέβη.

M ίσγω τὸ ζημιῶ. μίξω. μέμιχα. μέμιγμαι. μεμιγμένος. ἀριστοφάνης ἐν πλούτῳ. μεμιγμένον σκῶρ ἐσθίειν. καὶ θουκυδίδης ἐν τῇ τετάρτῃ. σῖτον ἐκπέμπειν τακτὸν, καὶ μεμιγμένον.

K αὶ μεταχειρίζομαι, καὶ μεταχειρίζω.

M εταξὺ, ἀντὶ τοῦ διὰ μέσου. καὶ μεταξὺ, ἀντὶ τοῦ ἐν ὅσῳ. λιβάνιος, ἐν τῷ ἦλθες τηλέμαχε, καὶ δέομαι, μὴ μεταξὺ λέγοντος ἀπαντᾶν.

M όλις ἀντὶ τοῦ βραδέως.

M όγις, ἀντὶ τοῦ μετὰ βίας.

M ονώτατος παρὰ ποιηταῖς. μονώτερος δὲ, οὐκέτι. ἀριστοφάνης ἐν πλούτῳ. μονώτατος γὰρ εἶ σὺ πάντων αἴτιος.

T ὁ μὴν παρὰ ποιηταῖς ἀργόν. παρὰ δὲ ῥήτορσιν, ἀντὶ τοῦ δέ. καὶ ἰδίᾳ τιθέμενον, καὶ μετὰ τοῦ γε ἢ προηγουμένου, ἢ ἑπομένου, οἷον, οὐ μὴν γε τόδε ἐγένετο. καὶ τό γε μὴν εἰς πατέρας ἧκον.

M οχθηρὸς, οὐ μόνον ὁ γεωργὸς, ἀλλὰ καὶ ὁ φαύλους ἔχων τρόπους. ὁ μοχθηρός.

M ονητὴ, ἡ μάσσουσα ἀξία γυνή.

M ισήτη δὲ βαρυτόνως, ἡ καταφερής.

M έδιμνος παροξυτόνως, οἱ κυρίως ἀττικοὶ λέγουσιν, οὐ μέδιμνος.

M ηνύομαι κάλλιον, ἢ μηνίομαι.

M ίγνυται ὁ ἀνὴρ τῇ γυναικί. οὐχ ἡ γυνὴ τῷ ἀνδρί.

O' ταν τεθῇ τὸ μὰ, ἢ προκειμένην ἔχει τὴν ἄρνησιν, ἢ νοουμένην. καὶ οὕτω μὲν εὕρηται δι᾽ ὅλου. λιβάνιος δὲ ἅπαξ ἐχρήσατο ἐπὶ συγκαταθέσεως, ἐν τῇ περὶ τῆς λάλου γυναικὸς μελέτῃ τοῦ δυσκόλου. λέγων ὀνείρατα διηγουμένη πλάττουσα καὶ κἀκεῖνα μὰ τοὺς θεούς. καὶ πάλιν. πολλάκις ὀρκωμόσασα μὰ τὸν ἀπόλλω. καὶ λουκιανὸς ἐν τῷ περὶ ἀγνείας. μὰ δία, ἐγκαλέσει σοι φιλόξενος τὰ ἔπη. ὅταν μέν τοι προκ

γυμνὸν ἔχει τὸ ναὶ, τὴν ἰσχὺν ἅπασαν ἔχει τὸ ναί. συνέσιος ἐν ἐπιστολῇ. ναὶ μὰ τοὺς λόγους, ναὶ μὰ καὶ τὰ σὰ παιδικά.

Ε' πὶ ἀνδρὸς τὸ μνᾶται. οἷον, μνᾶται γυναῖκα. ἐπὶ δὲ γυναικὸς, τὸ μνηστεύεται ἀνδρί.

Μ εῖζον φόβου πρόσωπον, τὸ ἄφοβον καὶ μὴ ὑποπτεῦον φόβῳ. μεῖζον δὲ φόβου πρᾶγμα, τὸ ὑπερβολικὸν φόβον ποιοῦν. ἀριστείδης ἐν τῷ παναθηναϊκῷ. καὶ οὐκ ἐπείληψε μὲν οὕτως ἀνθη καὶ ὑπέρδεια, καὶ φόβου μείζω. δύναιτο δ' ἂν καὶ ἐπὶ προσώπου τοῦτο λέγεσθαι.

Α' ρσενικῶς οἱ ἀττικοὶ τὸν μαραθῶνα λέγουσιν. ἀριστείδης ἐν τῷ αὐτῷ. οὐ γάρ ἐστιν ὅστις ἀκούσας τὸ τοῦ μαραθῶνος ὄνομα. ἴωνες δὲ θηλυκῶς.

Μ νηστὴρ, οὐ μνήστωρ.

Μ αρτυρία, ὅταν τοῦ παρόντος τις μαρτυρῇ. ἐκμαρτυρία δὲ, ὅταν τοῦ ἀπόντος καὶ ἀποδήμου. ὡσαύτως καὶ μαρτυρῶ καὶ ἐκμαρτυρῶ. αἰσχίνης. τὴν μαρτυρίαν ἀνάγνωθι τὴν ἀριστοδήμου. καὶ κάλει πρὸς οὓς ἐξεμαρτύρησεν. ἔλαβε τὸ διὰ τοῦ εἰπεῖν κάλει, ὅτι ἀπῆσαν.

Μ ισθοφορῶ, τὸ μισθὸν φέρω. καταμισθοφορῶ δὲ τόδε, ἀντὶ τοῦ εἰς μισθὸν στρατιωτῶν καταδαπανῶ. ὁ αὐτός. ἐπειδὴ κατεμισθοφόρησαν τὰ ὑπάρχοντα.

Μ ήνυτρα, ὁ διδόμενος μισθὸς, τοῖς μηνύουσί τι οὗ ζήτησις ἦν. θουκυδίδης ἐν τῇ ἕκτῃ. μεγάλοις μηνύτροις δημοσίᾳ οὗτοι τε ἐζητοῦντο.

Μ ερίτης. οὐ συμμεριστής. ἀριστείδης ἐν δ λευκτρικῷ. τῶν λευκτρικῶν καλοῦ καὶ λαμπροῦ σχήματος ἡγεῖται μερίτης ἔσται. ὥσπερ μέλει μοι τοῦδε καὶ μέλει μοι τόδε φαμὲν, οὕτω καὶ μέτεστί μοι τοῦδε. καὶ μέτεστί μοι τόδε. ὡς ὁ αὐτὸς ἐν τῷ εἰς ῥώμην. ἔτι δὲ καὶ μέτεστιν αὐτῇ πᾶσιν ἄδεια τοῖς πλήθεσι. καὶ θουκυδίδης ἐν τῇ δευτέρᾳ. μέτεστι δὲ κατὰ μὲν τοὺς νόμους πρὸς τὰ ἴδια διάφορα πᾶσι τὸ ἴσον.

Μ ιμοῦμαι τὸν δεῖνα, ἀντὶ τοῦ μιμητής εἰμι τούτου. καὶ μιμοῦμαι ὑπὸ τοῦ δεῖνος, ἀντὶ μιμητὴν ἐμοῦ τοῦτον ἔχω. πλάτων ἐν γοργίᾳ. οὐκ οἶσθα ὅτι οὗτος ὁ μιμούμενος τὸν μιμούμενον ἐκεῖνον ἀποκτενεῖ ἐὰν βούληται.

τέλος τοῦ μ στοιχείου.

ΑΡΧΗ ΤΟΥ Ν.

ν εοττός. νεόττιον. καὶ νεοττία ἀττικοί, οὐ νεοσσὸς οὐδὲ νεοσσίον. καὶ νεοσσιά.

Νῆσαι πυρὰν λέγουσιν, οὐ συννηγαγεῖν, ἐν δὲ συνθέσει.

Ν εῖν, καὶ νήχεσθαι. οὐ κολυμβᾶν. ἀριστείδης ἐν τῷ ὑπὲρ ῥητορικῆς. καὶ τὰς γ' ἐλάφους νεῖν φασὶν ἐχομένας ἀλλήλων.

Ν ικῶ τὴν δίκην. οὐ νικῶ ἐν τῇ δίκῃ. Ἐνενικήμην

κάλλιον, ἢ ἐνυβρίσαι. ἀριστείδης ἐν τῇ πρὸς τὸν βασιλέα ἐπιστολῇ. πρὸς δὲ τοὺς στρατιώτας, τοὺς χιτῶνας ἐνείμαντο. καὶ νομὴ, ὁ στρατιωτικὸς μισθός. συνέσιος ἐν ἐπιστολῇ. νομὴν στρατιώταις κομίζοντα.

Ν ῆες ἐπὶ εὐθείας, οὐ ναῦς. ἐπὶ δὲ αἰτιατικῆς, ναῦς, οὐ νῆας.

Τ ὸ νῶτον, οὐχ ὁ νῶτος. ὡς τὸ, νῶτα τοῖς πολεμίοις ἔδωκε. τὸ μετά τοι ῥάχις κοινόν.

Ν ωδός. οὐκ ἀνόδους.

Ν ουθέτησις, οὐ νουθεσία.

Ν ἄπυ. οὐ σίνηπι.

Ν ηφόντως. καὶ ἐγρηγορότως. οὐκ ἐγρηγόρως. οὐ γάρ ἐστιν ὁ ἐγρήγορος. ἀλλ' ὁ γρήγορος, εἰ καὶ ἀσύνηθες. ἀντὶ γὰρ τούτου, ὁ νήφων καὶ ὁ γρηγορῶν. δῆλον τὸ ἐγρηγόρως λέγων, ἁμαρτάνει. ἐγρήγορσις μεθ' ὃ γράφεται. ἀριστείδης. μέσως ἔχειν ὕπνου καὶ ἐγρηγόρσεως.

Ν εομηνία μὴ λέγε. τοῦτο γὰρ ἰώνων, ἀλλὰ νουμηνία. ἀριστοφάνης ἐν νεφέλαις. ἵν' αἱ θέσεις γίγνοιντο τῇ νουμηνίᾳ.

Ν έμω νεμῶ, καὶ νέμω νεμήσω, ὡς ἐθέλω, ἐθελήσω. ἔστι δὲ τὸ νέμω, ἀντὶ τοῦ παρέχω. ἀντὶ τοῦ μερίζω. καὶ ἀντὶ τοῦ διοικῶ. θουκυδίδης ἐν τῇ ὀγδόῃ. τὰ δὲ ἄλλα ἔνεμον κατὰ κράτος τὴν πόλιν. ἔστι δὲ ἀπὸ μὲν τοῦ νέμω νεμῶ, τὸ ἔνεμα καὶ ἐνεμόμην ἀπὸ δὲ τοῦ νέμω, νεμήσω, τὸ νεμηθείς. συνέσιος. εὔχομαι τὸν γενόμενον νομέα τοῦ βίου γενέσθαι, καὶ τοῦ νεμηθέντος προστάτην.

Ν αὸς ἐπὶ θεῶν. σηκὸς ἐπὶ ἡρώων. οὕτω γὰρ καὶ πολυδεύκης λέγει.

Ν αύκληροι, ἐπὶ νεῶν.

Ν αύκραροι δὲ παρ' ἀττικοῖς, οἱ εἰσπράττοντες τὰ δημόσια χρήματα, ἢ κτήματα. καὶ ναυκραρεία οἱ τόποι ἐν οἷς ἀπέκειτο τὰ τοιαῦτα χρήματα ἢ κτήματα. ἐλέγοντο δὲ ὁμοίως ναύκραροι, καὶ οἱ μισθωτοί.

Ν αυαγία, συντριβὴ τῆς νεώς. λουκιανὸς ἐν τῷ [illegible]. διὰ τοῦτο αἱ ναυαγίαι μυρίαι. ναυάγια. πληθυντικῶς ἐπὶ οὐδετέρου. τὰ ἐξ αὐτῆς ὑπὸ τῆς θαλάττης ἐκβρασθέντα. ἀριστείδης ἐν τῷ παναθηναϊκῷ. ὡς δὲ ἑώρα τὴν θάλατταν αἵματι καὶ ῥοθίῳ ζέουσαν, καὶ πάντα νεκρῶν καὶ ναυαγίων μεστά. εὕρηται δὲ καὶ ναυάγιον, ὁ τῶν νεῶν κίνδυνος.

Ν εογόνον, οὐ νεογνόν.

Ν υμφεύτεια κυρίως, ἡ προμνήστρια. λιβάνιος, ἐν τῇ ὑπὲρ τῆς λάλου μελέτῃ. ἀνέστης, ἐρχόμεναι παρὰ τὴν νυμφεύτειαν. καταχρηστικῶς δὲ καὶ ἣν φασὶ παράνυμφον. τινὲς δὲ καὶ αὐτὴν τὴν νύμφην, νυμφεύτειαν λέγουσιν. συνέσιος ἐν ἐπιστολῇ. οὐ γὰρ οἶμαι νομίζεται νυμφευτείας βαδίζειν ἐπ' ἐκφοράν. Τὸ νυνὶ, ἀντὶ τοῦ ἀρτίως ὁ καὶ νυνὶ λέγεται ἐπὶ ἐνεστῶτος καὶ τίθεται, καὶ ἐν τῷ τέλει τοῦ κώλου, ὅπως ἂν ὁ ῥυθμὸς διδῷ. τότε δὲ μεθ' ὃ παρῳχη-

μένου

μέλλοντος καὶ μέλλοντος, ὅταν συστομίαν ἔχωσιν ἄμφω οἱ χρόνοι, καὶ ὥσπερ ἔμφασιν ἐνεστῶτος. ὡς τὸ νῦν ἔτυψα, καὶ νῦν ἐλθὼν, ὄψομαι. καὶ πλάτων ἐν φαίδωνι. ὦ σώκρατες. ὕστατον δή σε προσερῶ νῦν οἱ ἐπιτήδειοι. καὶ ὅμηρος ἐν τῷ ε΄ ἰλιάδος. νῦν αὖτ᾽ ἔγχεϊ πειρήσομαι αἴκε τύχωμι. καὶ πάλιν ἐν τῷ γ΄ ἰλιάδος. νῦν δὴ μενέλαος ἐνίκησε σὺν ἀθήνῃ. εἰ δὲ παρὰ ταῦτα δηλοῦσι, τό τε τὸ νῦν τιθέμενον, σολοικισμὸν ποιεῖ. ὡς τὸ νῦν σοφὸς γενήσομαι. δεῖται γὰρ ἡ σοφία χρόνου. τὸ δὲ νῦν ὅπερ ἀκολουθίαν σώζει πρὸς τὸν μέλλοντα χρόνον καὶ οὐ χρόνον δηλοῖ, ἀλλ᾽ ἐπαγόμενόν ἐστιν. οἷον ἐγὼ μὲν ἐβουλόμην, τὰ, καὶ τὰ ποιῆσαι νῦν δὲ τό γε γέγονε. καὶ εἰ ἐποίησα τόδε, τόδε ἂν ἀπήντησε. νῦν δὲ οὐδὲν ἐκ τούτων γέγονε. ἢ γενήσεται. ἢ γίνεται. συντάττεται γὰρ τοῖς τρισὶ χρόνοις, ὅπως ἂν ἀκολουθίαν ὁ λόγος ἔχῃ. ἔστι δὲ καὶ νῦν ἀντὶ τοῦ ποτέ. οἷον, νῦν μὲν ἀγαθὸς δοκεῖ. νῦν δὲ πᾶν τοὐναντίον. χρῶνται δὲ οἱ τραγικοί τε καὶ οἱ κωμικοί, καὶ ἑτέρως νῦν. λαμβάνεται μὲν, ἀντὶ τοῦ δή. ἔχει τι δὲ ἔμφασιν τινα χρόνου. ὡς παρὰ σοφοκλεῖ ἐν αἴαντι. σῖγα νῦν ἑστὼς καὶ μὲν ὡς κυρεῖς ἔχων. καὶ παρ᾽ εὐριπίδῃ ἐν ἑκάβῃ. σῶσον νῦν αὐτόν.

Νήφει τις, ὅταν ἐκτὸς μέθης ᾖ. σωφρονεῖ, ὅταν ἐκτὸς μανίας ᾖ. γρηγορεῖ, ὅταν ἐκτὸς ὕπνου ᾖ.

Νομὴ ἡ βοσκὴ, ἀπὸ τοῦ νέμομαι τὸ βόσκω. καὶ εὐνομία, ὅταν νομὰς εὖ ἔχωσι τὰ ζῶα. ἀπὸ δὲ τοῦ νέμω τὸ μερίζω, νομός. καὶ διανομὴ, ἡ πρὸς πολλοὺς δόσις καθόλου. ὅθεν καὶ εὐνομία, ὅταν καλῶς ὑπὸ νόμων διοικῆται.

Νυκτὸς καὶ ἡμέρας ἀττικοὶ λέγουσιν. ἤγουν, ἤτοι τῆς νυκτὸς, καὶ ἤτοι τῆς ἡμέρας. ἑλληνικῶς ἔξωθεν. ἡ νύκτα καὶ ἡμέραν. ἤγουν, κατὰ τὴν νύκτα καὶ κατὰ τὴν ἡμέραν. τὸ δὲ νύκτωρ καὶ καθ᾽ ἡμέραν, ἁπλῶς ἕλληνες.

Νηρηὶς, καὶ νηρηίς. ἀριστείδης ἐν τῷ εἰς ἀχιλλέα πρεσβευτικῷ. τὰς νηρηίδας τὰς πρὸς μητρὸς συγγενεῖς. λουκιανὸς ἐν τοῖς ἐναλίοις διαλόγοις. τὸ κῦτος ὑμῶν ὦ νηρηίδες.

Οὐ μόνον ὁ ναύσταθμος, ἀλλὰ καὶ τὸ ναύσταθμον. θουκυδίδης ἐν τῇ τρίτῃ. ναύσταθμον δὲ μᾶλλον ἦν αὐτοῖς πλεόντων, καὶ ἀγορᾶς ἡ μαλέα.

Τέλος τοῦ ν΄ στοιχείου.

ΑΡΧΗ ΤΟΥ Ξ.

Ξυρέω ξυρῶ, ἀττικοί. οὐ ξυράω ξυρῶ. ἀριστείδης ἐν περικλεῖ. μὴ λέοντα ξυρεῖν δόξωμεν.
Ξενοδόκος. οὐ ξενοδόχος.
Ξυλισμὸς, ἡ τῶν ξύλων συλλογή. ὡς θουκυδίδης καὶ ἕτεροι.

Ξυστὴρ, οὐ ξύστρον.

Ξενίαι. ξενίων. καὶ φίλαι φίλων. καὶ ὅσα τοιαῦτα, πλὴν τοῦ πόρναι πορνῶν.

Ξένον, τὸ ἀλλότριον καὶ τὸ παρηλλαγμένον. φιλόστρατος ἐν τοῖς βίοις τῶν σοφιστῶν. ξένως ἔχει τῆς λέξεως.

Καὶ ξενίζω, οὐ μόνον τὸ ξένον ὑποδέχομαι, ἀλλὰ καὶ τὸ ἐκπλήττω. ξενίζομαι δέ τινι, τὸ εἰς ξενίαν ὑπό τινος δέχομαι. σὺ δὲ ἐπιξενοῦμαι λέγε, ἤτοι τρίτης συζυγίας τῶν περισπωμένων. καὶ ξένισις, ἡ ξενοδοκία. ὡς θουκυδίδης ἐν τῇ ἕκτῃ. ἴδια ξενίσεις ποιούμενοι, καὶ ξενία τὸ αὐτό. ὡς φίλων ἐν τῷ περὶ ἰωσήφ, τὴν εἰς τὴν ξενίαν ἡκόντων ἀδελφῶν. καὶ ξενίας, ὄνομα δίκης κατὰ ξένων τῶν ἐγγραφόντων ἑαυτοὺς εἰς πολίτας ὡς ἔτυχεν. ἀριστείδης ἐν τῷ παναθηναϊκῷ. οὔκουν ξενίας γε ἔστι τὴν λόγων καταγνῶναι.

Ξενία δὲ ἡ ξενιτεία, κοινόν.

Ξαίνω, τὸ διαλύω. ὡς τὸ ξαίνω ἔρια. καὶ ξαίνω, τὸ μαστίζω. δημοσθένης ἐν τῷ περὶ τοῦ στεφάνου. ξαίνει κατὰ τοῦ νώτου πολλάς.

Ξύω, ἤτοι ξύλον. ξύω δὲ ἤτοι σαρκός. ὡς καὶ ἡ παροιμία. τὸν ξύοντα ἀντιξύειν.

Ξυλήφιον, οὐ ξυλάριον. γίνωσκε ὡς οἱ ἀττικοὶ τὴν σὺν πρόθεσιν ξὺν λέγοντες, τὸ σ΄ προστιθέασι τοῦ κ΄. τὸ γὰρ κ΄ καὶ σ΄ κρᾶσιν, ξ΄ γίνεται. οἷον, συναυλία, ξυναυλία. συμφορά, ξυμφορά. καὶ ὅσα τοιαῦτα.

Τέλος, τοῦ ξ΄ στοιχείου.

ΑΡΧΗ ΤΟΥ Ο.

ὁ μόδυλος, ἀττικόν. ὁ σφόνδυλος. Ὀρεικὸν ζεῦγος. οὐχ ἡμιονικόν. συνέσιος ἐν ἐπιστολῇ τῇ τρίτῃ μὲν ἦν αἰσχρὸν κειμένῳ. ἤτοι τὸ ζεῦγος ἀκριβουμένην τὸ ὀρεικόν.

Ὄχλος καὶ τὸ πλῆθος καὶ ἡ ὄχλησις. λέγε οὖν ὄχλον καὶ μὴ ὄχλησιν. ἡρόδοτος ἐν τῇ πρώτῃ. ἀλλὰ παριέντων δὲ αὐτὴν, καὶ ὄχλον παρεχόντων.

Καὶ ὀχλῶ, καὶ ἐνοχλῶ.

Ὄνθος, ἤτοι βολβῖτον, ὁ κόπρος. ὅμηρος ἐν ψ΄ ἰλιάδος. τῇ ῥα βοῶν κέχυτο ὄνθος ἀποκταμένων ἐριμύκων.

Ὄψον, οὐ προσφάγιον.

Ὀπτὴρ, ποιητικώτερον. κατάσκοπος δὲ ῥητορικόν. σοφοκλῆς ἐν αἴαντι. καί μοι τίς ὀπτὴρ αὐτὸν εἰσιδών. λιβάνιος ἐν τῷ εἰς κωνστάντιον, καὶ κώνσταντα. κατασκόπων τινῶν καμία.

Τὸ ὅπως, καὶ ἀντὶ τοῦ ἵνα, καὶ ἀντὶ τοῦ πῶς. οἷον, ὅπως ἔχεις σοι τὸ σῶμα. καὶ ἀντὶ τοῦ, ἐπεί. οἷον, ὅπως δὴ εἰς αὐτὸν ἥκομεν. καὶ ἀντὶ τοῦ, ὥσπερ. οἷον, ὅπως ἂν εἴξῃ. καὶ ἀντὶ τοῦ οὕτως. ἐποίησα καλοὺς δρυμοὺς, ὅπως τοὺς δέξομαι.

Ὄ ις τὸ πρόβατον. ἀριστείδης ἐν λευκτρικῷ τρίτῳ. ὀρθῶν. ἀπείσηκε τε τοκίσαν ὄϊν αὐτοῖν χρυσῆ, καὶ εἰς μίαν συλλαβὴν ἐνθάδε θηλυκόν.

Ὀ μοῦμαι, οὐκ ὀμνύσω.

Ὄ λβιος, οὐ μακάριος.

Ὀ ψιαίτερον λέγε, καὶ μὴ ὀψιαίτερον.

Ὄ φελον, ἀντὶ τοῦ εἴθε. ὅπερ ἐπὶ εὐκτικῷ μὲν συντάσσεται, ἢ παρεληλυθότι. ὡς τὸ ὄφελον καταπυθεωθείησαν αἱ ὁδοί μου. παρεληλυθότι δὲ, ὡς παρὰ τῷ θεολόγῳ. ὡς ὄφελόν γε μὴ δὲ ἦν πρόεδρος. καὶ ἀπαρεμφάτῳ δὲ, ὅτε ἀντὶ τοῦ εἴθε ἔμελλον τίθεται. ἡρόδοτος ἐν τῇ πρώτῃ. μή τε ἰδεῖν ὄφελον.

Ὀ ξὶς ἀττικοί. οὐκ ἀγγεῖον ὄξους. ἀριστοφάνης ἐν πλούτῳ. ὀξὶς δὲ πᾶσα καὶ λοπάδιον.

Ὀ ρθρεύω καὶ ὀρθρεύομαι. λουκιανὸς ἐν τῷ μύκυλος, ἢ ἀλεκτρυών. ὡς ἔχεις ὀρθρευόμενος. καὶ προσαγορεύειν τὰ πολλὰ τῶν φίλων. ἔστι δὲ ὄρθρος, ὁ πρὸ τοῦ λυκαυγοῦς καιρός. ἐν ᾧ ἔτι λύχνῳ δύναταί τις χρῆσθαι. θουκυδίδης ἐν τῇ δευτέρᾳ. τηρήσαντες ἔτι νύκτα, καὶ αὐτὸ τὸ περίορθρον.

Ὀ ρθρίζω, ὀρθρεύομαι δὲ, οὐκ ὀρθρεύσομαι. ἀλλ' οὐδὲ ὀρθρευθήσομαι.

Ὄ ρθριος, οὐκ ὀρθρινός.

Ὄ ψιος, οὐκ ὀψινός.

Ὀ ρχηστρὶς, οὐκ ὀρχήστρια.

Ὄ μνυμι, οὐκ ὀμνύω.

Ὄ σφραίνομαι κάλλιον, ἢ ὀσφραίνομαι. λιβάνιος ἐν τῇ μελέτῃ τοῦ φθονεροῦ. ὠσφραντο τῆς εὐδαιμονίας οἱ κόλακες.

Ὀ σφρόμενος δὲ καὶ ἐνθάδε ἐνεστῶτος ἀντὶ τοῦ ὀσφραινόμενος, καὶ ἐνθάδε μέσου, ἀντὶ τοῦ ὀσφρησάμενος. ἔστι γὰρ οὐ μόνον ὀσφραίνω, ἀλλὰ καὶ ὀσφρέω ὀσφρῶ. οὗ ὁ δεύτερος ἀόριστος ὤσφρον. ὁ μέσος, ὠσφρόμην. καὶ ὀσφρόμενος. τὸ δὲ ὀσφρησάμενος. ἀττικόν.

Ὄ ρνιθες ἁπλῶς μὲν πάντα τὰ πετόμενα. ἰδίως δὲ, οἱ εἰς μαντείαν συντελοῦντες ὄρνιθες. ἀφ' οὗ καὶ πᾶν τὸ εἰς μαντείαν συντεῖνον, ὄρνιν ἔλεγον. οἷον, πταρμόν. ἢ παλμόν. ἢ τι τοιοῦτον. καὶ τὴν ἁπλῶς δὲ μαντείαν, ὄρνιν ἐκάλουν. ἀριστοφάνης ἐν πλούτῳ. δέχου τὸν ἄνδρα καὶ τὸν ὄρνιν τοῦ θεοῦ. ὄρνις καὶ πᾶν τὸ κατὰ τύχην συμβαῖνον. αἰσχύλος ἐν τοῖς ἑπτὰ ἐπὶ θήβαις. φεῦ τοῦ συναλλάσσοντος, ὄρνιθος βροτοῖς δίκαιον ἄνδρα τοῖσι δυσσεβεστέροις.

Ὀ ξύποδαι, οὐχὶ ὀξύποδες. ὡσαύτως καὶ ὀξύποδα καὶ ὠκύποδα καὶ ἀρτίποδα. καὶ ἀντίποδα. πόδα μὲν γὰρ, οὐχὶ ποῦν.

Ὄ σαι ἡμέραι. καὶ ὁσημέραι λέγε. ὅσαι δὲ ὧραι μόνον.

Ὄ ζεσθαι κάλλιον, ἢ ὄζειν.

Ὀ στοῦν κάλλιον, ἢ ὀστέον.

Ὄ στρεια, οὐχ ὄστρεα.

Ὀ ψὲ ἀττικός, οὐκ ὀψίον.

Ὀ μόρξασθαι, καὶ ἀπομόρξασθαι. οὐκ ἐκμάξασθαι.

Καὶ ὄρεις, καὶ ὄρειοι.

Τὸ οὐκ ἐπέχει τὴν γλῶτταν, δοκεῖ μοι τοῦτο τοῦ ἀθυροστομεῖ.

Ὀ ἰκων δ' ἱκέτης, καὶ τέκτων. οὐκ οἰκοδόμος.

Ὀ σμὴ ἀττικόν. ὀδμὴ δὲ ἰωνικόν, καὶ ξενοφῶν τοίνυν ἰωνικῷ ἔθει, ὀδμὴ λέγει.

Ὀ δοὺς, ἀττικοί. οὐδεὶς ἄλλως.

Ὀ πωρῶν ὠνητὰς, οἱ ἀγοραῖοι. σὺ δὲ ὀπωρώνης λέγε. ὡς καὶ βοώνης. καὶ ὀψώνης. λιβάνιος ἐν τῇ τοῦ φθονεροῦ μελέτῃ. ἑωθεν ὀψώνης καὶ πείσων.

Ὀ νυχίζει καὶ ἐξονυχίζει ταυτόν. συνέσιος ἐν τῷ δίωνι. ἢ περὶ τῆς κατ' αὐτὸν διαγωγῆς. ἀνάγκην ἔχων βιβλίον ἐξονυχίζειν. τίθεται δὲ ἐνθάδε τοῦ πρὸς ἀνάμνησιν διαπίστασθαι, ἢ ἀκριβολογεῖσθαι. τὸ δὲ ἀπονυχίζειν, τὸ τὰς ὑπεραυξήσεις τῶν ὀνύχων ἀφαιρεῖν σημαίνει.

Ὀ ἰκίας δεσπότης ὀρθῶς, οὐχ ὡς ἄλεξις οἰκοδεσπότης.

Ὀ ὑδροποτεῖν μὴ λέγε, ἀλλ' ὑδροποτεῖν.

Ὀ ἰκοδομὴ οὐ λέγουσιν ἀττικοί, ἀλλ' οἰκοδόμημα. καὶ οἰκοδομία.

Ὀ ὐ χρὴ κατ' ὄναρ λέγειν. ὥσπερ οὐδὲ καθ' ὕπαρ, ἀλλ' ὄναρ καὶ ὕπαρ. οἷον, ὄναρ εἶδον τὸν δεῖνα. ἢ ἐξ ὄψεως ὀνάρου, τόδε λέγει τις.

Τὸ ὀξὺ ἐνθάδε μὲν μαχαίρας καὶ ὀφθαλμοῦ λεγόμενον, ἐναντίον ἔχει τὸ ἀμβλύ. ἐνθάδε δὲ τῶν μετεχόντων ὀξώδους ποιότητος. ἔνθα δὴ τὸ ἀρσενικὸν οὐκ ὀξὺς, ἀλλὰ ὀξώδης καὶ ὀξίνης, ἐναντίον ἔχει τὸ γλυκύ. ἐνθάδε δὲ φωνῆς, τὸ βαρύ. τὸ δὲ ὀξέως ἐμηνύθη, καὶ ὀξέως ἀφίκετο, ἐναντίον ἔχει τὸ βραδέως.

Τὸ οὐδέποτε, ἐνθάδε τῶν τριῶν χρόνων. τὸ δὲ οὐδεπώποτε, ἐνθάδε παρωχημένου μόνον. οἷον, οὐδεπώποτε ἐποίησα. λουκιανὸς ἐν τοῖς ἐναλίοις. οὐ πώποτε πομπὴν ἐγὼ μεγαλοπρεπεστέραν εἶδον ἐν τῇ θαλάσσῃ.

Ὄ φλημα, τὸ ἐκ καταδίκης κυρίως.

Ὀ φείλημα, τὸ ἐκ δανείου, καὶ τὸ ἁπλῶς χρέος. ἀριστείδης ἐν τῷ εἰς τὸ αἰγαῖον πέλαγος. τῷ αἰγαίῳ τὸ ὄφλημα ἀποδώσομεν.

Καὶ ὄφλω. καὶ ὀφλισκάνω δίκην.

Ὀ φείλω δὲ, ὀφειλήσω, ὃ ἐδανεισάμην. αἰσχίνης. ὅς ὠφείλησεν ἐκείνῳ πλείους, ἢ τριάκοντα μνᾶς.

Ὀ ἰοῦ οἱ ἀκριβεῖς τεχνικοὶ τὸ μὲν οἶμαι, ἐνθάδε ὁμολογουμένου τίθεται. τὸ δὲ οἴομαι, ἐνθάδε ἀμφιβόλου.

Ὁ μώνυμος καὶ τοῦ δεῖνος, καὶ τῷ δεῖνι. καὶ ἰσόρροπος ὡσαύτως.

Τὸ ὅς τις ἀόριστόν ἐστι. τὸ δὲ ὅς τίς ποτε, ἀμφιβόλου λόγου. οἷον ὅς τίς ποτε ἦν ὁ παράδεισος. ἤγουν εἴτε νοητὸς, εἴτε αἰσθητός.

Ὀ ἴκοι, οὐ μόνον τὸ κατ' οἶκον, οἷον οἴκοι τὸν δὲ τὸν τόπον. ἢ τὰν δὲ τὴν οἰκίαν. ἤγουν ἐν αὐτοῖς κατ' οἶκον. ἀλλὰ καὶ τὸ ὡσανεὶ δημοσίᾳ. αἰσχίνης. τὸν

γὰρ τὴν ἰδίαν οἰκίαν κακῶς οἰκήσαντα, καὶ τὰ κοινὰ τῆς πόλεως παραπλησίως ἡγήσατο διαθήσειν. οἰκίζω δὲ τόπον, τὸ οἰκεῖσθαι ποιῶ. καὶ οἰκίζω τινὰ ἐν αὐτῷ. καὶ οἰκεῖται τόπος, ἤγουν κατοικεῖται. οἰκίζεται δὲ, ἤγουν εἰς κατοίκησιν ἐνεργεῖται, καὶ κατασκευάζεται.

Ὄζος, καὶ ὁ κλάδος, καὶ ἡ τούτου ἀρχὴ ὅθεν φύεται.

Ὀλυμπικὸς ἀττικοί. οὐκ ὀλυμπιακός. θουκυδίδης ἐν τῇ πέμπτῃ. ἐν τῷ ὀλυμπικῷ νόμῳ ἠλεῖοι καταδικάσαντο αὐτῶν. καὶ αὖθις ἐν τῇ αὐτῇ. ἐν ταῖς ὀλυμπικαῖς σπονδαῖς ἐσπέμψαι.

Παρὰ τοῖς λογογράφοις μὲν, οὐδεὶς, οὐδ᾽ ὁστισοῦν. μηδεὶς μηδ᾽ ὁστισοῦν. καὶ μηδὲ μία μηδητισοῦν. καὶ μηδὲν, μηδ᾽ ὁτιοῦν. οὐδὲν, οὐδ᾽ ὁτιοῦν. καὶ μηδὲν, μηδ᾽ ὁτιοῦν. παρὰ δὲ τοῖς ποιηταῖς, οὔ τις, καὶ μή τις, ἐπὶ ἀρσενικοῦ καὶ θηλυκοῦ. καὶ οὔ τι καὶ μή τι, ἐπὶ οὐδετέρου. γίνωσκε μέντοι ὡς οὐδ᾽ αὖ εἷς, καὶ μηδ᾽ αὖ εἷς. δοκιμώτερον λέγειν, ἢ οὐδεὶς αὖ καὶ μηδεὶς αὖ. ἀριστοφάνης ἐν πλούτῳ. οὐδ᾽ ἂν εἷς ἔτι θύσειεν. ὡσαύτως, καὶ μὴ δ᾽ αὖ ἕνα. μηδένα τῶν πάντων. καὶ οὐδ᾽ αὖ οὐδεὶς τῶν ἁπάντων. ἢ μηδένα τῶν ἁπάντων. καὶ μηδεὶς τῶν πάντων. τὸ αὐτὸ δὲ καὶ ἐπὶ οὐδετέρου.

Τὸ οὕτως ἐπαγομένου μὲν φωνήεντος, μετὰ τοῦ σ ἐκφέρεται. οἷον, οὕτως ἔχω δόξης. ἐπαγομένου δὲ συμφώνου, χωρὶς τοῦ σ. οἷον, γέγονεν οὕτω ταῦτα. εἰ δὲ εὕρηται καὶ ἐπαγομένου συμφώνου μετὰ τοῦ σ, ἁμάρτημα τῶν γραφέων ἐστίν. γίνωσκε δὲ ὅτι καὶ μετὰ τοῦ οὕτω τοι καὶ δὴ, ἢ δή τοι θέσεις, ὡραϊσμὸν ἐργάσῃ τοῦ λόγου. φιλόστρατος. οὕτω τοι ἐμπίνουσι. λιβάνιος. οὕτω δὴ καλλίους ἔχων. συνέσιος ἐν τῷ ὑπὲρ φαλάκρας. οὕτω δή τοι λαμπρόν.

Τὸ οὔπω, ἀναιρεῖ τὸ ἐνεστὸς, καὶ τὸ παρεληλυθὸς, καὶ ἐπαγγέλλεται τὸ μέλλον. οἷον, οὔπω ἐστὶ καιρός. καὶ οὔπω γέγονεν ἀλλὰ ἔσται δηλονότι.

Τὸ δὲ οὐκέτι ἀναιρεῖ τὸ μέλλον. οἷον, οὐκέτι ἔσται καιρός. ἤγουν, ἀπὸ τοῦ νῦν οὐκ ἔσται. ἀλλὰ παρῆλθε δηλονότι.

Ὀψὲ, οὐ μόνον ἀντὶ τοῦ μόλις, ἀλλὰ καὶ ἀντὶ τοῦ ἐν ὑστέρῳ. μετὰ γενικῆς ὀνόματος χρονικοῦ, οἷον ὀψὲ τῆς ἡμέρας. χωρὶς δὲ γενικῆς, ἀντὶ τοῦ ἑσπέρας καθαρῶς παρὰ θουκυδίδῃ. οἷον, καὶ ἡ μὲν μάχη ἐτελεύτα ἕως ὀψέ.

Ὀρῶν, οὐκ ὀρέων.

Οὐ μόνον. ὅσον οὔπω πάρεστι φαμὲν, ἀλλὰ καὶ ὅσον οὐ πάρεστιν ὡς ὁ αὐτὸς θουκυδίδης. ἀνέμελλεται αὐτοῖς, τὰς ἐκ πελοποννήσου ναῦς, ὅσον οὐ πα-

Ἐξοστρακίζομαι, καὶ ὀστρακίζομαι. ὡς φησὶν ὁ αὐτὸς ἐν τῇ δευτέρᾳ. ἔτυχε γὰρ ὀστρακισμένος. καὶ ἔχων δίαιταν ἐν ἄργει. καὶ ἐν τῇ ἕκτῃ. μοχθηροὶ ἄνθρωποι ὀστρακισμένοι. ἐγίνετο δὲ ὁ ὀστρακισμὸς, οὐκ ἐπὶ τῶν τυχόντων, ἀλλ᾽ ἐπὶ τῶν ἐνδόξων, καὶ γένει λαμπρῶν. παρήχθη μένοι ἡ λέξις ἀπὸ τῶν ὀστράκων, ἐν οἷς γράφοντες ἐδήλουν τὰς καταδίκας τοῖς ὑπευθύνοις.

Ὁρμίζω, τὸ ἐλλιμενίζω. καὶ ὁρμέω ὁρμῶ. θουκυδίδης πολλάκις. εὐριπίδης ἐν ἑκάβῃ. ἀκταῖσιν ὁρμεῖ. ἀριστείδης ἐν τῷ παναθηναϊκῷ. τοῖς αἰπόλοις ἐφορμούντων καὶ πάλιν ἐν τῷ αὐτῷ. ἐπὶ δυοῖν ὁρμεῖν ἔδοξαν οἱ ἕλληνες. ἐντεῦθεν δοκεῖ παρῆχθαι καὶ τὸ ὑφορμῶ ἤγουν ὑποπτεύομαι. ἐκ μεταφορᾶς τῶν ὑπὸ τοῖς ὅρμοις κρυπτομένων τινῶν, καὶ ὑπόπτων οὐσῶν τοῖς καταίρουσι. συνέσιος ἐν τῇ λύσαντες ἐκ βοηδρομίου ἐπιστολῇ. καὶ ὑφορμεῖ δέος οὐκ ἔλαττον. καὶ λιβάνιος ἐν πρεσβείᾳ μελέτης. τῆς ἔχων τὶς γυναῖκα καὶ ὢν ἀπὸ πατρὶς ἀποδήμησε. δεῖ τὸ ἐφορμοῦν θεραπεῦσαι. ἤγουν, τὸ ὑποπτευόμενον.

Ὄροφος ἐπὶ οἰκίας καὶ χωρίου. ἄλλοθι δὲ οὐκ ὀροφίς.

Ὁμότριχος. οὐ συνότριχες.

Οἰκότριψ, οὐκ οἰκοτραφής.

Ὁπωσοῦν ἕλληνες ἁπλῶς. ὁποιοσοῦν δὲ καὶ ὁπωστοιοῦν, καὶ ὁπητοιοῦν ἀττικοί.

Ὁ δεῖνα, ἐπὶ τρίτου προσώπου μόνον λαμβάνεται, καὶ ἐπὶ τῶν τριῶν γενῶν. δημοσθένης ἐν τῷ ὑπὲρ τοῦ στεφάνου. ὁ δεῖνα τοῦ δεῖνος τὸν δεῖνα εἰσήγγειλε. καὶ παρὰ τῷ θεολόγῳ. εἰς τοῦ δεῖνος, καὶ ἡ δεῖνα μαιεύτης. φιλόστρατος ἐν τῷ τοῦ ἀπολλωνίου βίῳ. τὸ δεῖνα γιγνόμενον καὶ τὸ δεῖνα αὖ.

Τὸ οὖν καὶ τὸ δὴ, καὶ μόνα καθ᾽ ἑαυτὰ τίθεται, καὶ ὁμοῦ ἐκ παραλλήλου. διὰ τῶν τούτων ἤγουν κειμένων, ἢ ἑπομένων. οἷον, ὅσα γοῦν δὴ γέγονε. καὶ ὅσα δὴ οὖν γέγονε.

Ὅπου, καὶ ὅπη, διὰ τοῦ η ἐπὶ στάσεως τίθεται. οἷον, ὅπη εὑρίσκομαι. καὶ ὅπου οἰκῶ.

Ὅποι διὰ τοῦ διφθόγγου οι, ἐπὶ κινήσεως. οἷον ὅποι ἔρχομαι. περὶ δὲ τοῦ ποῖ, καὶ πῆ διὰ τοῦ η. τοῦ τόπου δηλοῦντος. σημειωτέον γὰρ καὶ τὸ πῶς καὶ τὸ ποῖ διὰ διφθόγγου, οὕτω φέρεται. τὸ μὲν γὰρ ἐπὶ κινήσεως, ὡς τὸ ποῖ ἔβη ἀνδρομάχη παρ᾽ ὁμήρῳ ἐν ζ΄ ἰλιάδος. καὶ ποῖ τις ἂν φύγοι, παρ᾽ εὐριπίδῃ ἐν ὀρέστῃ. καὶ ποῖ γῆς ἔλθω, παρ᾽ ἀριστείδῃ, ἐν μονῳδίᾳ τῇ ἐπὶ σμύρνῃ. καὶ τὸ πῆ δὲ διὰ τοῦ η. ἐπὶ κινήσεως. ὡς τῷ πῆ βῶ. παρ᾽ εὐριπίδῃ ἐν ἑκάβῃ. τὸ δὲ ποῦ, ἐπὶ στάσεως, ὡς παρ᾽ ὁμήρῳ. ποῦ δεῦρο κιὼν λίπες ἕκτορα. καὶ ποῦ γῆς μονῳδῶ, παρ᾽ ἀριστείδῃ ἐν τῇ ἐπὶ σμύρνῃ μονῳδίᾳ.

Ὀρειάλωτον μὴ εἴπῃς βάρβαρον γὰρ, ἀλλ᾽ ἐν ὄρει πλανώμενον. τὸ γὰρ ἁλωτὸν οὐ τὸ πλανώμενον δηλοῖ, ἀλλὰ τὸ κρατηθὲν, ὡς ἔχει καὶ τὸ δοριάλωτον.

Οἴαξ καὶ τὸ ἄκρον τοῦ πηδαλίου, καὶ ὅλον τὸ πηδάλιον.

Ὥσπερ οὐ πρωΐ, οὕτω καὶ οὐ πωΐ. ὡς τὸ τελεσμέ-

εἰσὶ οὗτοι· παρ' ἀριστείδῃ· τὸ ν τὴν αἰσχροφάνειαν ἐφ' ὃ λῶλεκασι φέπον. ὡσαύτως καὶ ἐνθάδε θηλυκοῦ καὶ οὐδετέρου.

Ο ϕθαλμιῶ, τὸ τοὺς ὀφθαλμοὺς νοσῶ. ἀριστοφάνης ἐν βατράχοις. ἀλλ' ἔτυχεν ὀφθαλμιῶν. καὶ ὀφθαλμία, ἡ τοιαύτη νόσος. συνέσιος ἐν ἐπιστολῇ, τῇ πῶς δοκεῖ τε δέδηγμαι τὴν καρδίαν. ὅτι δεινῇ τινὶ καὶ παραδείνῳ ὀφθαλμίας παλαίεις. ἔστι δὲ καὶ ὀφθαλμιᾶν, τὸ ἀδίκοις ὀφθαλμοῖς γυναῖκα ὁρᾶν. ὁ γὰρ τοιοῦτος, οὐκ ἐν τῷ καθεστηκότι τοὺς ὀφθαλμοὺς ἔχει, ἀλλ' ὡς νοσοῦντας ὑπ' ἔρωτος.

Ο ἰμώζω. καὶ οἰμώττω. ἀριστοφάνης ἐν πλούτῳ. οἰμώζειν ἔφη κοσσυλιβανίας ἐν τῷ περὶ τῆς ἑαυτοῦ τύχης. οἰμώττουσι δὲ τρὶς ὧδε πιπράσκομένοις.

Ο μιλητὴς ὁ μαθητὴς, καὶ ὁ μιλητικὸς, φιλόστρατος ἐν τῷ ἀπολλωνίου βίῳ. νόμον ἔθετο οἱ ὁμιλητικοὶ ἤγαγον αὐτὸ, καὶ ἐτίμων αὐτὸν ὡς ἐκ διὸς

Ο ψις καὶ ὁ ὀφθαλμὸς, καὶ αὐτὴ ἡ θέα. ζῶντα θεωρίᾳ φιλόστρατος. τὰς ὄψεις αὐτοκοπεῖς.

Ο ψοποιὸς, καὶ ὀψοποιικὸς καὶ ὀψοποιητικὸν πρᾶγμα. καὶ ὀψοποιΐα. καὶ ὀψοποιικὴ κάλλιον, ἢ ὀψοποιητική. πλάτων ἐν γοργίᾳ. ἐν δὲ καὶ ἡ ὀψοποιική. ὃ δοκεῖ μὲν εἶναι τέχνη. καὶ αὖθις ἐν τῷ αὐτῷ ἀπείρων ὄντων τῶν τε ἰατρικῶν, καὶ ὑγιεινῶν, καὶ ὀψοποιικῶν. ὃ μὲν ἐγὼ φημὶ τὴν ῥητορικὴν εἶναι, ἀκήκοας ἀντίστροφον ὀψοποιΐας ἐν ψυχῇ, ὡς ἐκεῖνο ἐν σώματι.

Ο ὐ μόνον οὐδεὶς, καὶ μηδεὶς, ἀλλὰ καὶ οὐδένες καὶ μηδένες καὶ ἐνθάδε τῶν ἄλλων πτώσεων τῶν πληθυντικῶν ἀττικοὶ λέγουσι. οὐδαμοὶ δὲ, καὶ μηδαμοὶ, ἡρόδοτος ὡς ἰωνικὸν, ἐν τῇ ἕκτῃ. ἐβουλεύσαντο γὰρ αὐτοῦ μεταδοῦναι μηδαμοῖσιν ἄλλοισιν ἰώνων οὐ δ' ἐδέχθησαν δὲ οὐδαμοὶ μετασχεῖν.

Ο μοιον τῷ δεῖνι, καὶ ὅμοιον τοῦ δεῖνος. ὁ αὐτὸς ἐν τῇ τρίτῃ. ἔστι δὲ καὶ ταῦτα ὅμοια τοῦ ἡφαίστου. ὡσαύτως καὶ ἴσον τῷ δεῖνι. καὶ ἴσον τοῦ δεῖνος.

Ο πλα, οὐ μόνον τὸ κοινῶς σημαινόμενα, ἀλλὰ καὶ τὰ εἰς ἑτέραν τινὰ κατασκευὴν συντελοῦντα. ἡρόδοτος ἐν τῇ ὀγδόῃ. καὶ ὑπεδέξατο τὴν ὅπλων τῆς πόνου. καὶ αὖθις ἐν τῇ αὐτῇ. παρεσκευάζοντο δὲ καὶ ὅπλα εἰς γέφυραν.

Ο ἰκέται οὐ μόνον οἱ δοῦλοι, ἀλλὰ καὶ πάντες οἱ ἐν τῷ οἴκῳ, γυνὴ καὶ τέκνα. ὁ αὐτὸς ἐν τῇ ὀγδόῃ ἦν κομίσας τοὺς οἰκέτας οἰκεῖν ἐκεῖνῃ. ὡς τε ὑποδεξάμενον τοὺς λοιποὺς τὸν πανιώνιον, κομίσαι τὰ τέκνα καὶ τὴν γυναῖκα.

Τ ὸ οὐκ ἂν, ἀεὶ ἐπὶ δυνητικοῦ τίθεται. οὐδέ ποτε δὲ ἐπὶ ἀποφαντικοῦ οἷον, τὸ τοῦ σοφοκλέους οὐκ ἂν πριαίμην οὐδενὸς λόγου βροτόν. τὸ δὲ ἔστι τις, καὶ ἔστι τις καὶ ἔστι τι μετὰ τοῦ ἂν τιθέμενα, καὶ ἐνθάδε δυνητικοῦ τίθενται. ἀριστείδης ἐν τῷ περὶ ὁμονοίας ῥοδίων, ἄμφω δῆλα ποιῶ. λέγων. οἶμαι δὲ ἅπαντας ἂν ὑμᾶς συμφῆσαι ὡς περὶ τὴν ἐν δικαστηρίῳ λέγων, τούτους ἀληθεστάτους ἡγεῖσθε, ὧν ἂν πλεῖστοι καὶ γνωριμώτατοι μάρτυρες

ὦσιν, οὕτως ἂν καὶ τὴν εἰς συμβουλὴν ἡκόντων οἷς ἂν πλεῖστοι καὶ σπουδαιότατοι μάρτυρες ὦσι, τούτοις μάλιστα χρῆται τις ἔδει.

Τέλος, τοῦ ο στοιχείου.

ΑΡΧΗ ΤΟΥ Π.

Π αίσαι ἀττικοί, οὐχὶ παῖξαι. ἀριστοφάνης ἐν πλούτῳ. βούλει διὰ χρόνου πρός με παῖσαι.

Π ρόσοψις ὁ μολυσμός. συνέσιος ἐν ἐπιστολῇ. ἐθέλων εἰς ἀγοὺς, ἀπολαύει τῆς προσοψῆς. μίασμα δὲ οἱ ῥήτορες γράφουσι καὶ οὐ προσοψί. τὸ δὲ μολυσμὸς, κοινόν. εἰ καὶ συνέσιος τοῦτο λέγει παρὰ τῇ αὐτῇ ἐπιστολῇ. ὁ γὰρ μολυσμὸς, διαδόσιμος γίνεται.

Π ράττω. πράξω, πέπραχα, ἔπραξα, καὶ οἱ ἄλλοι αὐτῶν χρόνοι, μετὰ μὲν τῆς εὖ, ἢ κακῶς προσθήκης, ἢ τοῦ βέλτιον, ἢ τοῦ χεῖρον, ἢ τοιούτου τινὸς ἄλλου, πάθος δηλοῦσι. χωρὶς δὲ προσθήκης ἐνέργειαν. τὸ δὲ πέπραγα καὶ οἱ ἄλλοι αὐτοῦ χρόνοι, καὶ μετὰ προσθήκης ἀεὶ πάθος ἐμφαίνουσι.

Π ολυπλανὴς, καὶ ἀντὶ τοῦ πλήξας, καὶ ἀντὶ τοῦ πληγείς. ἔστι δὲ τὸ μὲν ποιητικὸν, ὡς τὸ ἀεὶ κύνες πληγέντες, παρ' ὁμήρῳ. τὸ δὲ ἀντὶ τοῦ πλήξας, λογογραφικόν.

Π τηνὸν λέγε. τὸ δὲ πετηνὸν ἀδόκιμον.

Π ηχέων, οὐ πηχῶν.

Π λέον, καὶ καταπλέων, δοκιμώτερον ἢ πλήρης.

Π λεῖν ἢ μύριοι, ἀττικώτερον ἢ πλείους ἢ μύριοι. ἀριστοφάνης ἐν πλούτῳ ἀποπατησόμενος.

Κ αὶ πλημμελεῖν, καὶ ὀξυ-(γε), πλεῖν ἢ μύριοι. βρίζειν δρῶς. λαμβάνεται δὲ τὸ ὀξυβρίζειν, καὶ ἐνθάδε πλημμυροῦντος ποταμοῦ, καὶ τὰ γειτονοῦντα παρασύροντος.

Π ιστεύω καὶ πέποιθα. καὶ θαρρῶ καὶ θαρσῶ. καὶ θάρρος καὶ θάρσος. πεποίθησις δὲ οὐκέτι, ἀλλὰ πίστις καὶ πεποιθέναι.

Π ροτέλεια, οὐ προμύησις.

Π ρος... τὴν ποιὰν μάζαν καὶ τὸ ὄψον ἀττικοί. ἐνθάδε δὲ κύλικος, ἢ βυβλίου μὴ λέγε ὡς τινες.

Π ρωὶ καὶ ὀψέ. οὐ πρωΐας, καὶ ὀψίας. πλάτων ἐν φαίδωνι αὐτῷ γὰρ οὐ πρωί. ἔστι δὲ πρωί, καὶ ἀντὶ τοῦ πρὸ τοῦ δέοντος καιροῦ. θουκυδίδης ἐν τῇ τρίτῃ. πρωὶ ἐσβαλόντες, καὶ τοῦ σίτου ἔτι χλωροῦ ὄντος, ἐσπάνιζον τροφῆς τοῖς πολλοῖς.

Κ αὶ παραιροῦμαι, καὶ ἀφαιροῦμαι. (λέγε) ἀφαίρεσις δὲ μόνον, οὐ παραίρεσις.

Π αραιτοῦμαι, τὸ ἀξιῶ μή. ὡς τὸ παρῃτήσατο τὴν ἀρχήν. καὶ παραιτοῦμαι, τὸ ἀπολύω καὶ ἐλευθερῶ. ὡς τὸ, παραιτοῦμαί σε μέμψεως. παραιτοῦμαι τὸ ἀποπέμπω. ὡς τὸ παραιτοῦμαι σε τῆς οἰκίας. παραιτοῦμαι, τὸ συγγνώμην

αἰτῶ. καὶ τὸ ἀπολογοῦμαι. ἀριστείδης ἐν τῷ ὑπὲρ τῶν τεσσάρων. παραιτεῖσθαι μὲν οὐκ οἶδ' ὅτι δεῖ περὶ τῶν αὐτῶν πολλάκις. καὶ παραίτησις, ἡ συγγνώμη. αἴτησις, καὶ ἡ ἀπολογία.

Π όθεν, ἐνίοτε μὲν ὅθεν ὁρῶντι (ἐρωτηματικὸν, καὶ λαμβάνεται ἀντὶ τοῦ, ἀπὸ ποίου τόπου. ἢ ἀπὸ ποίας αἰτίας. ἔστιν ὅτε καὶ ἀπορρηματικόν. ὅτι καὶ ἀντὶ τοῦ οὐδαμῶς. ὡς παρ' ἀδει πίσ ἡ ἐλάβη. ὡς μὲν ἀξίαν πόθεν. καὶ

Π ρούφειλε, καὶ προυφείλετο.

Π αραινέσομαι ἀττικοί, οὐ παρῃνέθην.

Π λειστηριάζειν, τὸ ὑπερβάλλειν τῇ τιμῇ.

Π υραύστης, καὶ πύραυστος, τὸ περιπετόμενον τοῖς λύχνοις ζωΰφιον.

Π ρονομεύειν, τὸ κατατρέχειν καὶ σκυλεύειν. καὶ προνομία ἡ σκύλευσις. οὐχ εὕρηται δὲ οὔτε τὸ προνομεύειν, οὔτε ἡ προνομία παρὰ ῥήτορσιν. ἀλλ' ἀντὶ τούτων, λῄζεσθαι καὶ κατασύρειν. καὶ καταδρομή. τὰ δὲ πράγματα, λεία, καὶ σκῦλα πληθυντικῶς. καὶ λάφυρα. λαφυραγωγῶ δὲ καὶ λαφυραγωγία, ἀδόκιμα.

Π επολέμωται, καὶ ἐκπεπολέμωται, ὁ εἰς ἔχθραν προαχθεὶς τινὶ, καὶ πολέμιος γενόμενος. ἐξεπολέμωσε δὲ, ὁ πολέμιόν τινα ἑτέρῳ ποιήσας. πεπολέμηται δὲ ὁ πολεμηθείς.

Π νεύμονες οἱ πλεῖστοι. ἀριστοτέλης δὲ μόνος, πλεύμονες. καὶ πολλαχοῦ.

Π ειρῶ, ὡς ἐπιτοπολὺ τὸ συνήθως αἰτιατικῇ συντασσόμενον. εὕρηται δὲ ἀντὶ τοῦ δοκιμάζω, αἰτιατικῇ καὶ αὐτό. ὡς παρὰ τῷ θεολόγῳ, ἐν τῷ εἰς τὸν μέγαν βασίλειον ἐπιταφίῳ. ἄλλην τινὰ πεῖραν δεῖ τῶν ἀγενῶν ὁρᾶν. καὶ πρὸς γενικὴν παρὰ θουκυδίδῃ, ἀντὶ τοῦ ἀπόπειραν ποιοῦμαι. ὡς τὸ, πειράσαντες τοῦ χωρίου. καὶ ἀντὶ τοῦ δοκιμάζω δὲ, παρ' αὐτῷ πολλάκις εὑρίσκεται.

Π ειρῶμαι δὲ, ἐπὶ τὸ πολὺ μὲν τὸ ἀπόπειραν ποιοῦμαι. ἅπαξ δὲ τὸ συνουσιάζω. ὡς παρὰ πινδάρῳ. ἀμφότερα γενικῇ. καὶ πειρῶμαι τὸ συνουσιάζομαι. θουκυδίδης ἐν τῇ ἕκτῃ. πειραθεὶς δὲ ὁ ἁρμόδιος ὑπὸ ἱππάρχου τοῦ πεισιστράτου καὶ οὐ πεισθείς. καὶ πείρασις ἡ συνουσία. ὡς ὁ αὐτὸς ἐν τῇ αὐτῇ. ἀπαρνηθέντα τὴν πείρασιν.

Π έπηχμαι, οὐδεὶς τῶν ῥητόρων εἶπεν. ἀλλὰ πέπηγμαι.

Π λινθίον οὐδεὶς ἀττικίζων εἶπεν, ἀλλὰ πλαίσιον. ἀριστείδης ἐν τῷ περὶ ὁμονοίας ταῖς πόλεσιν. ἀνέχει μὲν χορὸν ἐν πλαισίῳ.

Π αρασημειοῦμαι. καὶ ἐπισφραγίζομαι, τὸ σφραγῖδα ἐπιτίθημι, καὶ ἀσφαλίζομαι. ἔστι δὲ κάλλιον τὸ ἐπισημειοῦμαι τοῦ ἐπισφραγίζομαι.

Π αρίσταται ἁπλῶς, ἀντὶ τοῦ πλησίον ἵσταται. καὶ παρίσταται, ἀντὶ τοῦ ὡς δοῦλος ἵσταται. παρίσταται, καὶ ἀντὶ τοῦ συμβαίνει καὶ ἐπέρχεται. ὡς τὸ παρίσταταί μοι θαρρεῖν τι καὶ δεδιέναι παρ' ἀριστείδῃ ἐν τῇ πρὸς τὸν βασιλέα ἐπιστολῇ.

Π αράδειγμα ἐπὶ ἐμψύχου. παραβολὴ ἐπὶ ἀψύχου.

Π ροβολὴ, καὶ αὐτὰ τὰ ἐξ ἀρχῆς ἄχρι τέλους, ὡς ἑρμογένης φησί. καὶ ἡ κατὰ τῶν ἀσεβούντων ἐν τοῖς διονυσίοις κατηγορία. καταχρηστικῶς δὲ καὶ ἡ περὶ πάσης δίκης κατηγορία. ὡς αἰσχίνης. δημοσίᾳ προβολὰς ποιούμεθα.

Π ωλητήριον, οὐ πρατήριον.

Π ρᾶσις δὲ, ἡ πώλησις. λιβάνιος ἐν ἐπιστολῇ. ὁρῶν σε μαχόμενον περὶ τῆς πράσεως καὶ τῆς τῶν ῥητόρων φυγῆς.

Π ειραιῶς, ἀττικοί. πειραιέως, κοινόν.

Π λεῖος κάλλιον, ἢ πλέως. ὡς ἄλλοι τε πολλοὶ καὶ ἰσοκράτης. τοὺς φυγαδικοὺς πλείους.

Π αραφρονῶ, καὶ τὸ μαίνομαι, καὶ τὸ ἀνοηταίνω ἁπλῶς. ἀριστοφάνης ἐν πλούτῳ. δοῦλον γενέσθαι παραφρονοῦντος δεσπότου.

Π ὐ μόνον, τὰς ὀπίσω, ἀλλὰ καὶ τὰς ἐξόπισω εὕρηται ἐκ παραλλήλου.

Π αιδίσκην καὶ τὴν ἐλευθέραν, καὶ τὴν δούλην ἀττικοί ὡσαύτως καὶ παιδισκάριον. λιβάνιος ἐν τῇ περὶ τῆς λάλου μελέτῃ. τῆς αὖθις παιδισκαρίων. ἐπὶ μόνης δὲ τῆς δούλης οἱ ἁπλῶς ἕλληνες χρῶνται τῇ παιδίσκῃ. ὡσαύτως παιδάριον, καὶ τὸ θυγάτριον ἀττικοί. μόνον δὲ τὸ ἄρρεν ἕλληνες.

Π ώποτε, οὐδεὶς τῶν ἀττικῶν. ἑκάστοτε δέ.

Π αρασχήσομαι, ἢ παρέξομαι δὲ, ἢ παρέξω.

Π ανοικί, οὐδεὶς τῶν δοκίμων. πανοικεσίᾳ δὲ λιβάνιος. ἔρρωσο πανοικεσίᾳ. θουκυδίδης ἐν τῇ δευτέρᾳ. πανοικεσίᾳ γενόμενοί τε καὶ οἰκήσαντες.

Π έρκους ἀττικοὶ λέγουσι, οὓς κύρτους ἕλληνες.

Π ροστυχὴς ἐγενόμην, ἄμεινον, ἢ ἐνέτυχον.

Π εντετηρίς, καὶ πεντέμηνον, ἀττικοί. ἀριστείδης ἐν τῷ παναθηναϊκῷ. εἰς τὴν ἐπιοῦσαν πεντετηρίδα. ὡσαύτως ἔχει καὶ τὸ πεντέκλινον καὶ πεντάκλινον.

Π ίομαι καὶ πιόμενος. καὶ πῖθι, ἢ πιοῦμαι, καὶ πιούμενος καὶ πῖε. λουκιανὸς ἐν τῷ δευτέρῳ τῶν ἀληθινῶν. τοῦ μὲν αὐτὸν πιόμενον τοῦ ἐλλεβόρου.

Π αρασίτους καὶ τοὺς δημοσίᾳ σιτουμένους ἐν τῷ πρυτανείῳ ἀττικοί. οὐ μόνον τοὺς ἐν ταῖς τῶν πλουσίων τραπέζαις παρατρεφομένους κόλακας.

Π ροσωπεῖα, τὰ ὑπὸ τῶν ὑποκριτῶν ἐπιτιθέμενα τοῖς προσώποις. λέγεται δὲ ταῦτα καὶ πρόσωπα.

Π ὺξ ἐνάλλεται λέγε, καὶ μὴ πυκτικῶς. συνέσιος ἐν ἐπιστολῇ, τῇ πολλὰ κἀγαθὰ γένοιτο τοῖς ἱερεῦσιν. ὥσπερ πὺξ ἐν θεάτρῳ.

Π αλίμβολος. οὐκ ἀλλοπρόσαλλος. ποιητικὸν γάρ.

Π αρήλλαξα, οὐ μόνον τὸ ἐνήλλαξά τι, ἀλλὰ καὶ τὸ παρεληλυθόν. συνέσιος ἐν τῇ λύσαντι τὰς ἐκ βουλείων ἐπιστολῇ. τὸν φαρίον μύρμηκα παρηλλάξαμεν.

Ο ὐ μόνον, πολιτεύομαι, ἀλλὰ καὶ πολιτεύω. θουκυδίδης. κακῶς ἔσται σφᾶς αὐτοὺς καὶ τοὺς συμμάχους ἐπολίτευσαν. πολιτευτὴς δὲ οὐκέτι, ἀλλὰ δημαγωγός. ἔστι δὲ καὶ πολιτεύομαι τὸ μάχομαι. δημοσθένης. πρότερον μὲν γὰρ εἰσεφέρετε κατὰ συμμορίας, νῦν δὲ πολιτεύεσθε κατὰ συμμορίας. καὶ συνέσιος ἐν ἐπιστολῇ τῇ αὖ γράψωμεν σοι φιλίας ἀδικουμένης. ἐπειδὴ γὰρ ἐκεῖνος, οὐδ' ἐμοὶ δοκοῦν ἐπολιτεύετο, κατὰ σαββατίου τοῦ μακαρείτου φησί.

Π οτνιῶμαι, τὸ δυσφορῶ καὶ μετὰ διαπαθήσεως ἱκετεύω. συνέσιος ἐν ἐπιστολῇ τῇ τῶν δρώντων. οἱ μὲν χαμαὶ ἐρχομένας καὶ ἀνθρωπικὰς τὰς ἀρχὰς ἔχοντες. τί οὖν ποτνιᾷ, καὶ ταῖς ἐπιστολαῖς τῶν δακρύων ἐγχεῖς.

Π λυνὸς οἱ ὕστερον λέγουσιν ἀδόκιμος. οἱ δὲ ἄτιμοι καὶ κιναιδεῖς. πλυνὸς δὲ, ὁ ἄτιμος καὶ ὑβρισμένος, ἐκ μεταφορᾶς τῶν ἀγγείων τῶν δεχομένων τὰ τῶν πλυνομένων ῥυπάσματα. ἀριστοφάνης ἐν πλούτῳ. πλυνόν με ποιῶν ἐν τοσούτοις ἀνδράσι.

Π ταίει λέγε, μὴ σφάλλει. οὐ γὰρ ῥητορικόν.

Π ομπὴ, ἡ ἐν ταῖς τῶν θεῶν πανηγύρεσι πρόοδος. καὶ πομπεῖα, τὰ θυμιατήρια. οἷς ἐχρῶντο ἐν ταῖς πομπαῖς. καὶ αἱ χέρνιβες. ὡς θουκυδίδης. πομπὴ καὶ ἡ μετὰ τὴν νίκην ἐν θριάμβῳ πρόοδος. συνέσιος ἐν ἐπιστολῇ τῇ ἔπεμψά σοι δῶρον ἵππον ἀκροφυέστατον. καὶ ὅταν κατὰ γῆς ἐνθεὶ τῷ λυβικῷ φιταίῳ πομπὴν ἐνθένικεν.

Π ομπεία δὲ καὶ ἡ ὕβρις. ὡς δημοσθένης. τῆς δὲ πομπείας ταύτης ὕστερον. παρῆκται δὲ ἀπὸ τοῦ τοὺς πομπεύοντας χρῆσθαι πρὸς ἀλλήλους σκώμμασι. καὶ πομπεύω, τὸ ὑβρίζω. πομπεία καὶ ὁ μετὰ κάλλους καὶ ὡραϊσμοῦ θεατρισμός. συνέσιος ἐν τῷ ὑπὲρ φαλάκρας. διὰ τὰ κάλλη καὶ τὴν πομπείαν τῆς φύσεως. καὶ πομπεύω τὸ δημοσίᾳ προέρχομαι. ὁ αὐτὸς ἐν ἐπιστολῇ τῇ τρίτῃ μὲν ἦν αἰσχίνη κειμένῳ. ἅπασι τοῖς παρασήμοις ἐπόμπευον εὐθὺ τευχείρων ἐλαύνουσα.

Π ομπὸς, ὁ προπέμπων καὶ ὁδηγῶν. εὐριπίδης ἐν ἑκάβῃ. ἡμᾶς δὲ πομποὺς καὶ κομιστῆρας κόρης. καὶ πόμπιμος, ὁ δυνάμενος προπέμπειν καὶ ὁδηγεῖν τινα. ὡς ὁ αὐτὸς ποιητὴς ἐν φοινίσσαις. πόμπιμος ὁ δαίμων.

Π αροινία καὶ ἡ ἁπλῶς ὕβρις, καὶ ἡ ἐκ μέθης ἀσχημοσύνη. καὶ αἰσχίνης. ἀποστῆναι λέγοντες ὅτι τὸ ὅλον πρᾶγμα παροινία γέγονε.

Π αύω, ἕτερον. παύομαι δὲ ἐγώ. παύομαι ποιῶν, οὐ ποιεῖν. τοῦ ποιεῖν δὲ, εἰ καὶ χωρὶς τῆς προθήκης τοῦ ἄρθρου παρὰ ποιηταῖς εὑρίσκεται διὰ τὴν ἀνάγκην τοῦ μέτρου. ὡς ὅμηρος ἐν βατραχομυομαχίᾳ. παυσόμεθα τοῖς ἀρηγόμενοι.

Π ροτεραία ἐπὶ τάξεως. προτεραία δὲ ἐπὶ μόνης ἡμέρας. πλάτων ἐν τῷ φαίδωνι. ἔτυχε γὰρ τῇ προτεραίᾳ τῆς δίκης.

Π ρῶτος, ἐπὶ πολλῶν. πρότερος δὲ ἐπὶ δύο. καὶ τῷ μὲν πρώτῳ ἀκόλουθός ἐστιν ὁ ἔσχατος. τῷ δὲ προτέρῳ, ὁ ὕστερος. οὕτω καὶ ἐπὶ τοῦ πρῶτα καὶ πρότερα. καὶ πρότερος μὲν ἐπὶ τάξεως. πρῶτος δὲ οὐ μόνον ἐπὶ ἀριθμοῦ, ἀλλὰ καὶ ἐπὶ ποιότητος. ὡς ὅταν λέγωμεν, πρῶτός ἐστι τὴν τέχνην. σημείωσαι δὲ ὅτι ἐπὶ μὲν ἀριθμοῦ, πρῶτος μόνον ὄνομα εὕρηται. οὐκ ἔτι δὲ καὶ ἐπίρρημα πρώτως, ἀλλ' ἀντ' αὐτοῦ πρῶτον. ᾧ ἀκολουθεῖ τὸ ἔπειτα. πλάτων γοῦν διαιρούμενος τὰς πολιτείας, τὴν μὲν, πρώτως ἔχειν φησί. τὴν δὲ, ὑστέρως. δηλόντι, ἡ μὲν προηγεῖται τῇ ποιότητι. ἡ δὲ ἕπεται.

Π αρὰ πολύ. οὐ μόνον ἀντὶ τοῦ κατὰ πολὺ, ἀλλὰ καὶ ἀντὶ τοῦ ἐπ' ἔλαττον. φιλόστρατος. θέατρον παρὰ πολὺ μὲν τοῦ ἀθήνησιν. ἐν ὀλίγοις δὲ τῶν παρ' ἄλλοις ἐπαινουμένων. καὶ παρὰ τῷ θεολόγῳ, ἐν τῷ εἰς τὸν μέγαν βασίλειον ἐπιταφίῳ. παρὰ πολὺ τῆς ἀξίας. συνέσιος δὲ ἐν τῷ ὑπὲρ φαλάκρας, ἐπὶ τῆς αὐτῆς σημασίας. καὶ παρὰ πλεῖστον οὖσαν τῆς ἀκριβείας τοῦ σχήματος. ὁμοίως ἔχει καὶ τὸ παρὰ τοσοῦτον. ἐπ' ἀμφότερα γὰρ καὶ τοῦτο λαμβάνεται. ὡς ὁ θεολόγος ἐν τῷ τίς ἡ τυραννίς. μὴ παρὰ τοσοῦτον ἔλθωμεν τῆς θείας ἰσότητος. ἀντὶ τοῦ ἐπ' ἔλαττον.

Π ρόσχημα καὶ ἡ πρόφασις, καὶ τὸ οἱονεὶ προκάλυμμα. θουκυδίδης. τὸ δὲ σῶφρον τοῦ ἀνάνδρου πρόσχημα. συνέσιος ἐν τῇ ἀγαθὸν πεποιθέναι ἐπὶ κύριον ἐπιστολῇ. ἡ γὰρ δίκη, πρόσχημα τῆς ἀσεβείας ἐστί. ἔτι δὲ καὶ τὸ καλλώπισμα. σοφοκλῆς ἐν ἠλέκτρᾳ. ἐκεῖνος γὰρ ἐλθὼν εἰς τὸ κοινὸν ἑλλάδος πρόσχημα. καὶ ἀριστείδης ἐν τῷ παναθηναϊκῷ. τὸ τῆς ἑλλάδος πρόσχημα καθαρῶς ἀνέρριπται. ἐχρήσαντο δὲ τοῦτο εἰς τοιαύτην σημασίαν, διὰ τὸ, τὸ σχῆμα τῆς ὕλης προέχειν, ἐν δὲ ποιοῦν αὐτὴν καὶ εἰς κάλλος ἄγον. εὕρηται δὲ πρόσχημα καὶ ἁπλῶς τὸ σχῆμα.

Π οῦ καὶ τοπικὸν, καὶ ἐρωτηματικόν ἐστι. καὶ ἀντὶ τοῦ ἴσως. καὶ ἀργώ.

Π ῶς καὶ ἁπλῶς ἐρωτηματικόν ἐστιν. ὡς ἐν τῷ πῶς ἔχει τῶν ἀγρῶν. καὶ ἔμφασιν πρὸς τούτῳ ἔχον τοῦ κατὰ πολύ. ἀριστοφάνης ἐν πλούτῳ. ἐπὶ δὲ τούτου τοῦ τρόπου, πῶς εἰμ' ἀεὶ, ἴσως λίαν ἐμὸς οὗτος ὁ τρόπος. ἔστι δὲ καὶ ἀντὶ τοῦ κατά τινα τρόπον. ὅτε καὶ ἀεὶ ἐγκλίνεται. ἀριστείδης ἐν τῷ παναθηναϊκῷ. δοκῶν γε δήπως εἰς ἑλλήνας τελεῖν. καὶ ἀμφότερα δὲ, τό, τε ἁπλῶς ἐρωτηματικὸν, καὶ τὸ κατά τινα τρόπον, καὶ πῶς, καὶ ὅπως γράφεται καὶ ὅπῃ. ὡς ὁ.

ῥυθμὸς ἀπαιτεῖ.

Π ροσήκει μοι τόδε, ἀντὶ τοῦ πρέπει καὶ ἁρμόττει μοι. καὶ προσήκει μοι τοῦδε, ἀντὶ τοῦ μετοχή ἐστι μοι. ἀριστείδης ἐν τῷ πανηγυρικῷ, ἐν κυζίκῳ περὶ τοῦ ναοῦ. ἅπου ταύτῃ γε λαμπρῶν προσῆκε τῆς προσηγορείας. τὸ δὲ προσήκει, ἀντὶ τοῦ προσίκει λαμβανόμενον, ἀττικόν ἐστιν. ὡς τὸ ἥκει καὶ ὀφέλει, ἀντὶ τοῦ δεῖ.

Π έρσας, πέρσας ἢ μήδους, καὶ μύλους, καὶ περσεΐδας. καὶ ἀχαιμενίδας, λέγουσι. λιβάνιος ἐν τῇ εἰς ἰουλιανὸν μονῳδίᾳ. ὑπ' ἀχαιμενίδου τινὸς κατενήνεκται. συνέσιος ἐν τῷ περὶ φαλάκρας. οὐ γὰρ μειζόνων ἦν τῶν ἡρακλείδας τοῖς ἀχαιμενίδαις παραχωρῆσαι τῶν σκήπτρων.

Ο ὐ μόνον οἱ προσήκοντες τούτῳ, ἀλλὰ καὶ οἱ προσήκοντες τούτου.

Π αράδειγμα λέγε, μὴ ὑπόδειγμα.

Π ᾳθυμία ῥητορικόν. ἀμέλεια, κακόν.

Π ηνίκα μὴ εἴπῃς ἀντὶ χρόνου. ἔστι γὰρ ὥρας δηλωτικόν. οἷον, εἰπόντος τινὸς πηνίκα ἀποδημήσεις, ἐὰν εἴπῃς μετὰ δύο ἢ τρεῖς ἡμέρας, οὐκ ὀρθῶς ἐρεῖς. οὕτω γὰρ ὡς ἔφημεν δέδοκται παρὰ πᾶσι τοῖς δοκίμοις. ὡσαύτως καὶ τὸ τηνικαῦτα. καὶ τηνικάδε. καὶ ὁπηνίκα λέγε. πλάτων ἐν κρίτωνι. τί τηνικάδε ἀφῖξαι ὦ κρίτων, ἢ οὐ πρῷ ἔτι ἐστί; πάνυ μὲν οὖν. πηνίκα μάλιστα. ὄρθρος βαθύς. καὶ αὖθις ἐν φαίδωνι. μὴ αὔριον τηνικάδε οὐκέτι ἦν ἀνθρώπων οὐδείς.

Η πηλὸς συγκοῦσι λέγοντες, ἁμαρτάνουσιν. ὁ πηλὸς γὰρ ἀττικοί.

Π οδαπὸς ἀντὶ γένους λέγων, ὀρθῶς ἐρεῖς. οἷον, ποδαπός ἐστι θηβαῖος, ἢ ἀθηναῖος, ἔστι γὰρ οἷον, ἀπὸ ποίου δαπέδου. καὶ ἀριστοφάνης ἐν νεφέλαις. ταυτὶ ποδαπὰ τὰ θηρία. οἷον ἐκ ποίου γένους. γράφεται δὲ καὶ ὁ ποδαπός. λιβάνιος ἐν ἐπιστολῇ. ἠρόμην τὸν καλὸν φωσφόρον, ὁ ποδαπός τε εἴη, καὶ τίς τοὺς τρόπους. περὶ δὲ τρόπου ἐρωτῶν οὕτως ἐρεῖς. ποταπὸς τὸν τρόπον σωκράτης, ἐπιεικής. καὶ λιβάνιος ἐν τῇ περὶ τοῦ λάλου μελέτῃ. ποταπὴ τὴν γλῶτταν ἡ παρθένος, κάλλιον δ' ἂν εἴη τὸ οὕτως ἐρωτᾶν. ὁποῖος σοί τις δοκεῖ εἶναι, ἢ ποταπός.

Π εινῶ, διψῶ. ἀττικοί. οὐ πεινάω. οὐδὲ διψάω.

Π ροκόπτειν, δόκιμον. τὸ δὲ ὄνομα ἡ προκοπὴ ἀδόκιμον.

Π ολίτης λέγε τῷ λαῷ. ἤγουν, συμπολίτης. πολίτης δὲ πόλεως.

Π αλαιστρικὸς ἄλεξις εἶπε. σὺ δὲ παλαιστικός. λουκιανὸς ἐν τῇ θεῶν κρίσει. γυμνὰς τὰ πολλὰ καὶ παλαιστικά.

Π ροπετῶς δόκιμον. προάλως δὲ μόνος φαβωρῖνος λέγει καὶ συνέσιος ἀδόκιμος.

Π ρόγραμμα λέγε. τὸ δὲ ἔκθεμα ἄχρηστον.

Π αλαιστὴ θηλυκῶς τὸ μέτρον. παλαιστὴς δὲ ἀρσενικῶς, ὁ ἀθλητής.

Π ώματα νεκρῶν. καὶ πτώματα οἴκων ἀρχαῖοι. οἱ δὲ ὕστερον, πτῶμα ὅτι νεκρὸν, ἄνευ τινὸς προσθήκης.

Π ερίστασιν τὴν συμφορὰν λέγουσιν, οἱ νῦν καὶ φιλόσοφοι. οἱ δ' ἀρχαῖοι, τὴν διά τινα ταραχὴν παρουσίαν πλήθους. ὡς τηλεκλείδης. τίς ἥδε ἡ κραυγή, καὶ δήμου περίστασις. περίστασις καὶ ἡ αἰτία. ὡς δηλοῦσι καὶ τὰ τῶν ῥητόρων ἓξ περιστατικά.

Π αρατίλλεσθαι, καὶ τίλλεσθαι ἀρχαῖοι. τὸ δὲ ἀποπατίζειν, ἀδόκιμον.

Π εριεσπάσθη, τινὲς ἀντὶ τοῦ ἐν ἀσχολίᾳ γινομένου φασὶν ἀμαθῶς. δέον ἄσχολος γέγονε λέγειν. τὸ γὰρ περισπᾶσθαι, ἀντὶ τοῦ παραιρεῖν. καὶ παραιρεῖσθαι λέγουσιν οἱ ἀρχαῖοι. λουκιανὸς ἐν τῷ τόξαρις, ἢ φιλία. ἀπῆγε τινα παρὰ καὶ ἐκ τοῦ τείχους μετέωρον περισπάσας.

Π ορνοκόπος μὲν [illegible] λέγει. οἱ δ' ἀρχαῖοι, πορνοτελώνης. ὃ καὶ κρεῖττον. τούτοις καὶ συνέσιος ἑπόμενός φησιν ἐν ἐπιστολῇ τῇ, ὁ καὶ φαῦλος δοῦλος καὶ τὴν προαίρεσιν. ὁ γὰρ ἰδὼν τὸν πορνοτελώνην συμβαίνοντα διὰ τῆς ἀγορᾶς.

Π ύλαι ἀντὶ τείχους. θύραι ἀντὶ οἰκίας.

Π ροσγελῶ αὐτὸν ἀττικοί, οὐκ αὐτῷ. ὡς φιλόστρατος ἐν πρώτῃ τῶν ἡρωϊκῶν. καὶ ἀριστείδης. προσπαίζειν γὰρ ἔξεστι δήπου σέ. ἀντὶ μὲν γὰρ ἐμψύχου αἰτιατικῇ. ἀντὶ δὲ ἀψύχου δοτικῇ. ὡς παρὰ τῷ θεολόγῳ. καὶ προσπαίζει ταῖς ἀκταῖς ἡδύ τι καὶ ἥμερον.

Π ρόεδρος, οὐ συγκάθεδρος. σύνεδρος δέ. πολίτης. δημότης. φυλέτης. ἀντὶ τῆς ζωῆς λέγων ἀττικῶς ἐρεῖς. συνέφηβος δὲ καὶ συνθιασώτης. καὶ συμπότης, ἔτι καὶ πρόσχαιρος αὐτὴν ἡ κοινωνία. ἀντὶ δὲ τῶν προτέρων οὐχ ὁμοίως.

Π λατὺς γέλως ἐρεῖς. οὐχὶ πολύς.

Π ίνει τι, τοῦ οἴνου. πίνει δὲ τὴν κύλικα. τὸ δὲ προπίνω, ἀεὶ αἰτιατικῇ. δημοσθένης ἐν τῷ περὶ παραπρεσβείας. προὔπιε τὴν ἑλλάδα. λιβάνιος ἐν τῷ πρεσβευτικῷ. τὴν μὲν γὰρ φιλοτιμίαν προπιών.

Π εριβάλλω τινά. ἤγουν περιπλέκομαι. καὶ περιβάλλω τὸ περιτίθημι. ὅπερ οὐ μόνον δοτικῇ, ἀλλὰ καὶ αἰτιατικῇ εὕρηται. ἡρόδοτος ἐν τῇ πρώτῃ. ἐδίδου σφι χρήματα τείχεσι περιβάλλεσθαι τὴν πόλιν. καὶ περιβάλλω τὸν λέοντα, ἤγουν ἐνδύω. ὡς ἔχει καὶ τὸ, ὁ περιβάλλων τὸν οὐρανὸν ἐν νεφέλαις. ὅθεν καὶ περιβάλλω τὸ περικυκλῶ. ὡς τὸ, περιβάλλει χαλκοῖς ἄστυ, παρὰ λουκιανῷ. περιβάλλομαι δὲ παθητικῶς, τὸ ἐνδύομαι. καὶ ἀριστοφάνης ἐν νεφέλαις. περιβαλοῦ τὸ ἱμάτιον. ὅθεν καὶ περιβολὴ τὸ ἔνδυμα. λέγεται δὲ περιβολὴ καὶ ἀντὶ λόγων, τὸ ἐξηρμένως καὶ ποικίλως χρῆσθαι τῇ ἑρμηνείᾳ, καὶ τοῖς σχήμασι.

Π έλτην, δόρυ τι. πέλτη δὲ ἡ ἀσπὶς, ἡ ἴτυν οὐκ

ἔχουσα. καὶ πλεῦς καὶ πλατεῖοι καὶ πλωτῆς ὁ χρώμενος τούτῳ.

Παῖς ὁ ἐν τῇ παιδικῇ ἡλικίᾳ. ἀρτίπαις δὲ ὁ ἐκβεβηκὼς τὴν παιδικὴν ἡλικίαν. βούπαις δὲ ὁ μέγας παῖς. Παιδεία μέν ἐστι δύναμις θεραπευτικὴ τιμῆς ψυχῆς, ὥς φησι Πλάτων. Παίδευσις δὲ, παιδείας καὶ ἀρετῆς παράδοσις.

Παραστρίβομαι, οὐ μόνον ἐπὶ κακοῦ, ἀλλὰ καὶ ἐπὶ καλοῦ. ἐπὶ κακοῦ μὲν γὰρ πρὸς τοῖς ἄλλοις, καὶ Ἀριστοφάνης ἐν Ἱππεῦσι. πληγὰς ἀεὶ προστρίβεται τοῖς οἰκέταις. ἐπὶ καλοῦ δὲ Δημοσθένης, ἐν τῷ κατὰ Ἀριστοκράτους. τοιαύτην τινὰ δόξαν προσετρίψατο τοῖς κεκτημένοις.

Πατρῷα τὰ ἐκ πατέρων εἰς υἱοὺς χωροῦντα. καὶ πατρῷοι φίλοι. πάτρια δὲ τὰ τῆς πόλεως ἔθη.

Πεῖρα, ἡ ἐπιστήμη. ἡ ἐμπειρία. καὶ ἡ μετοχὴ καὶ ἡ ἀπόλαυσις. Πήρα δὲ ἱερατικὸν ἐγχειρίδιον. καὶ δερμάτινόν τι ἀρτοφόρον.

Ἀποπλεῖν, τὸ ἐκ τόπου τινὸς ἀπαίρειν. Παραπλεῖν δὲ, τὸ τόπον τινὰ διέρχεσθαι πλέοντα. καὶ τὸ εἴσω τινὸς πλεῖν καὶ περιπλεῖν, τὸ κύκλῳ τινὸς πλεῖν. Ἀριστείδης ἐν τῷ Παναθηναϊκῷ. ὥστε καὶ παραπλεῖν. καὶ περιπλεῖν, καὶ πεζεύειν. καὶ παράπλους, καὶ περίπλους, καὶ εἴσπλους. ὡς ὁ αὐτὸς ἐν τῷ Πανηγυρικῷ ἐν Κυζίκῳ περὶ τοῦ ναοῦ. καὶ παράπλοι. καὶ εἴσπλοι τὴν ἅπασαν οὔποτε λείπουσι.

Πλουσίου. εὐπόρου. ἀφνειοῦ. ὀλβίου. καὶ εὐτυχοῦς, διαφορά. πλούσιος μὲν γὰρ, ὁ πολυούσιος. ἤγουν, ὁ πολλὴν ἔχων οὐσίαν. εὔπορος, ὁ πρὸς τὰς ἐπιβαλλούσας χρείας αὐτάρκης. ἀφνειὸς δὲ ὁ ἀπ' ἐνιαυτοῦ τὴν φορὰν συλλέγων. ὄλβιος δὲ, ὁ λίαν βιούς. ἤγουν, εὖ διὰ μόνως καὶ μέχρι δεῖ τελείας. εὐτυχὴς δὲ ὁ ζῶν ἡδέως καὶ ἀλύπως.

Πλήμας τὰς πλημμυρίδας τῶν ποταμῶν. οὐ δὲ λέγε πλημύρας καὶ πλημμυρίδας. ἀπὸ μὲν γὰρ τοῦ πλημμυρῶ, πλημμυρίς. ἀπὸ δὲ τοῦ πλήμμυρον πλημμύρα οὗ τὸ ἐναντίον ἄμπωτις.

Πόλις μὲν καὶ ὁ τόπος καὶ οἱ κατοικοῦντες. Εὐριπίδης ἐν Ὀρέστῃ. ὦ πόλις Ἀργείων. κλύετ' ὅσια πάσχω, ἄστυ δὲ μόνον ὁ τόπος. Ὅμηρος ἐν τῇ Ἰλιάδι. φράζεο νῦν, ὅπως καὶ πόλιν καὶ ἄστυ σαώσεις.

Πολύτιμον, τὸ πολλοῦ τιμήματος ἠγορασμένον. πολυτίμητον δὲ, τὸ πολλῆς τιμῆς, ἢ δόξης ἀξιωθέν. Ἀριστοφάνης ἐν Νεφέλαις, ὦ πολυτίμητοι νεφέλαι.

Προσδοκῶ ἀπαλλαγήσεσθαι τῆς νόσου. καὶ προσδοκῶ ἀπαλλαγὴν τῆς νόσου. καὶ προσδοκῶ δὲ πείσεσθαι κακά. καὶ προσδοκῶ καλά. ὡσαύτως καὶ ἐλπίζω ἐλευθερωθήσεσθαι, καὶ ἐλπίζω ἐλευθερίαν.

Πάταγος κυρίως, ἐπὶ ἀνέμου. ἦχος δὲ, ἐπὶ μέλους καὶ βροντῆς.

Προξενῶ, οὐ μόνον τὸ αἴτιος τινὶ τοῦ γινομένου, ἀλλὰ καὶ τὸ ξενοδοχῶ, γενικῇ συντασσόμενον. Δημοσθένης ἐν τῷ περὶ παραπρεσβείας.

παρὰ σοὶ κατέλυον Αἰσχίνη, καὶ σὺ προὐξένεις αὐτῶν. ὡσαύτως καὶ πρόξενος, ὁ ξενοδόχος. Σοφοκλῆς ἐν Ἠλέκτρᾳ. φίλης γὰρ προξένου κατήνυσαν. Προξενία δὲ, ἡ κοινὴ πρὸς πόλιν φιλία. Ἀριστείδης ἐν τῷ Παναθηναϊκῷ. ἔσωζον αὐτοῖς τὸ σχῆμα τῆς προξενίας.

Πρυτανεῖον, τὸ κοινὸν ταμεῖον. ὅθεν αἱ κοιναὶ εὐεργεσίαι καὶ σιτήσεις ἐδίδοντο. πρυτανεῖα δὲ πληθυντικῶς, τὰ καταβαλλόμενα ὑπὸ τῶν διωκόντων δίκην. ἦν δὲ τὰ ἐπιδέκατα τοῦ τιμήματος. πρυτανεία δὲ θηλυκῶς, ὁ χρόνος. διῄρητο γὰρ παρὰ τοῖς Ἀθηναίοις ὁ χρόνος, εἰς δέκα πρυτανείας, ὅσαι καὶ φυλαὶ ἦσαν. καὶ ἐπρυτάνευον ἑκάστη φυλὴ κατ' ἐνιαυτὸν ἅπαξ. ὅθεν καὶ τοὺς μισθοὺς, καὶ τὰ δάνεια κατὰ τὰς πρυτανείας, οὐ κατὰ μῆνα ἐτέλουν.

Οὐ μόνον παράλιος χώρα, ἀλλὰ καὶ πάραλος. Θουκυδίδης. ἦν δὲ Ἀθήνησι καὶ ναῦς ἱερὰ πάραλος καλουμένη. ὅθεν καὶ πάραλοι, οἵ τε ἐν τῇ νηὶ τῇ παράλῳ πλέοντες. καὶ οἱ τὴν πάραλον οἰκοῦντες χώραν. Ἡρόδοτος ἐν τῇ ἑβδόμῃ πάραλον ἑλλήνων στρατὸν, εἴη μὲν ἕκτη μέν.

Πρὸ μοίρας θανών. ὁ βιαίως ἀποθανών. πρὸ ὥρας δὲ, ὁ ἐν νεότητι.

Πρεσβεύονται, οἱ τοὺς πρέσβεις χειροτονοῦντες καὶ πέμποντες. καὶ διαπρεσβεύονται. Λιβάνιος ἐν τῇ τοῦ Παφλαγόνος προσφωνήσει. πρεσβεύεται πρὸς αὐτὸν ἀγαμέμνων. πρεσβεύουσι δὲ καὶ πρεσβεύονται, οἱ πεμπόμενοι εἰς πρεσβείαν. Θουκυδίδης ἐν τῇ ὀγδόῃ. τοὺς ἐς τὴν Λακεδαίμονα πρεσβευομένους ἔπεμπον. πρεσβεύω καὶ τὸ παρακαλῶ, δοτικῇ. καὶ πρεσβεύω τὸ τιμῶ, αἰτιατικῇ. πρεσβεύω καὶ τὸ πρεσβύτερός εἰμι γενικῇ. Θουκυδίδης ἐν τῇ ἕκτῃ. διὰ τὸ πρεσβεύειν τε ἀπ' αὐτοῦ καὶ τυραννεῦσαι. καὶ Ἡρόδοτος ἐν τῇ ἑβδόμῃ. τὴν μὲν δὴ πρεσβείαν ἐπρέσβευσεν Ἀρτοβαζάνης.

Πρέσβεις. καὶ τοὺς πρέσβεις ἐρεῖς. οὐ πρεσβευτὰς δὲ, καὶ τὸν πρεσβευτήν. Θουκυδίδης ἐν τῇ πέμπτῃ. πρεσβευτὴς ὑπὸ τὸν αὐτὸν χρόνον ἐξέπλευσεν. ὥστε ἁμαρτάνει ὁ λέγων ἐπὶ πληθυντικοῦ πρεσβευτάς, καὶ πρεσβευτάς. οὐδεὶς γὰρ τῶν δοκίμων εἶπε [illegible]. ὁ καὶ Συνέσιος ἐν ἐπιστολῇ, τῇ αὐθέντος ἀδελφῷ, εἰ μὴ πολλὴν χάριν εἰδείην Πολεμαγίᾳ. ὡς πρεσβευτὰς ᾑρέθη παρὰ τοῦ δήμου πυνθανόμενος. Πρέσβυς δὲ καὶ πρεσβύτης, ὁ γέρων. Πρέσβυς μέν γε ὁ παρακλήτωρ, παντελῶς ἀδόκιμον [illegible]

Πρωτότοκος, ὁ πρῶτος τεχθείς. πρωτοτόκος δὲ μήτηρ ἡ πρώτως τέξασα.

Παλαιμναῖον, τὸ μέγα καὶ φρικτόν. Συνέσιος ἐν τῇ λύσαντες ἐκ βαρβαρείου ἐπιστολῇ. ἐθεασάμεθα τοὺς παλαμναιοτάτους ἀρχὰς. καὶ παλαιμναῖον τὸ φονικόν. ὡς ὁ αὐτὸς ἐν ἑτέρᾳ ἐπιστολῇ τῇ

αὐδὴν

οὐδὲν ἔγε γῆρας χρήσιμος οὐδεπρίω τῷ πρεσβυτέρῳ. παλαιμαίαν ἔχων, καὶ γνώμην καὶ γλῶτταν.

Προσείρηκε. καὶ ἀντὶ τοῦ ὠνόμασεν. ὡς τὸ προσείρηκε τοῦτον εὐδαίμονα. καὶ ἀντὶ τοῦ ἐχαιρέτησεν. ὡς τὸ προσείρηκε τὸν φίλον. καὶ ἀντὶ τοῦ ἐγκωμιάσεν. ἀριστείδης ἐν τῷ παναθηναϊκῷ. ἐν τοῖς ἐπιταφίοις λόγοις τῶν ἀποθανόντων, οἵους προσειρήκασιν. οὕτω καὶ περὶ τοῦ προσέειπε τόσα. καὶ τοῦ προσεφθέγξατο. καὶ περὶ τοῦ προσρήματος. πάντα γὰρ τὰ τοιαῦτα οὕτως ἔχουσι.

Προσδοκῶ, προσδοκία, διὰ τοῦ κ. καὶ οὐ διὰ τοῦ χ.

Παραβάλλω τὸ πλησιάζω, τὸ ἔρχομαι. καὶ τὸ παρεξετάζω. ὃ καὶ παραθεωρῶ παρὰ λουκιανῷ εὕρηται, ἐν τῷ ἡροδότῳ, ἢ ἀετίων. ἀλλ' ἣν μὲν ὑμᾶς πολυδάμαντι ἢ γλαύκῳ, ἢ μόλωνι παραθεωρῇ τις μη. καὶ παραβάλλομαι τὸ παρεξετάζομαι. λιβάνιος ἐν ἐπιστολῇ τῇ ἰδίου πέμπων φαῦλον λόγον ἰσοφῶντι παρεξεταζόμενος. καὶ τὸ κατατολμῶ. συνέσιος καὶ αὐτὸς ἐν ἐπιστολῇ τῇ διὰ πίθου μεγάλην τῶν αἰγυπτίων. πρὸς τὴν θρακῶν χιόνα παραβαλλόμενος. παραβάλλεσθαι καὶ τὸ ἐξαπατῆσαι, ὡς θουκυδίδης. ἔθεν καὶ παραβλήδην, ἀντὶ τοῦ ἀπατητικῶς, καὶ παραλογιστικῶς.

Παράγω τὸ εἰς μέσον ἄγω. καὶ παράγω τὸ μεταπείθω. καὶ παράγομαι τὸ μεταπείθομαι. ὅθεν καὶ εὐπαράγωγος, ὁ εὐκόλως μεταπειθόμενος.

Πηγαὶ λέγονται πληθυντικῶς ἐπὶ τῆς ἀρχῆς τῶν ποταμῶν, οὐ πηγή. δι', αἱ πηγαὶ τοῦ ἀχελώου, καὶ αἱ πηγαὶ τοῦ νείλου. καὶ ἐκβολαὶ αἱ εἰσελεύσεις αὐτῶν εἰς τὴν θάλασσαν.

Πρόσχωρος λέγε, οὐ πλησιόχωρος.

Πατῶ. οὐ περιπατῶ δι. περίπατος μέν τοι, καὶ οὐ πάτος. ποιητικὸν γάρ.

Πανοῦργος κυρίως μὲν, ὁ πᾶσιν ἔργοις ἐπιβάλλων. ἤγουν ὁ δραστήριος καὶ ἐνεργός. κατεχρήσαντο δὲ τῇ λέξει ἐπὶ τοῦ ἐν κακοῖς νενομισμένου εὐεπιβόλου. ὥσπερ καὶ παντουργὸς ὁ πάντα ἐργαζόμενος, καὶ δεξιότων. σοφοκλῆς δὲ ἐπὶ τοῦ μηχανικοῦ χρῆται λέγων ἐν αἴαντι. ἀνδρὶ παντουργοῦ φρενός.

Πάμπαλαι δημοσθένης, ἅπαξ εἶπε. σὺ δὲ ὡς ποιητικὸν φεῦγε. (κὰν πάρεργον

Π ...ἐτῶν. καὶ ὑπηρετεῖν μοι τόδε. ὦ γλύφειν, τὸ δὲ γλυπτὰς κοινόν.

Πρὸς ἱερᾶς ἱκετεύειν ἀττικοὶ λέγουσιν, οὐ πρὸς ἱερόν. θουκυδίδης. πρὸς ἱερᾶς ἱκετεύσαι, ἢ μα- (τείους.

Παρέλεγον ἕλληνες ἐν δευτέρᾳ. ὁ πα- παρέλεγον δὲ ἀττικοί ὁ αὐτός. τοῦ δὲ πολέμου τὸν παρέλεγον ὅσον ἦν.

Οὐ μόνον προΐσχω καὶ προΐσχομαι τὸ προβάλλομαι, ἀλλὰ καὶ τὸ προέχομαι. σοφοκλῆς ἐν ἀντιγόνῃ. σὺ μὲν τάδ' ἂν προὔχοιο. καὶ θουκυδίδης. ὅπερ μάλιστα προὔχονται.

Προσποιοῦμαι τὸ ὑποκρίνομαι, καὶ προσποίησις. ἐπὶ τῆς αὐτῆς δὲ σημασίας, ἔστιν ὅτε καὶ τὸ ποιοῦμαι εὕρηται. συνέσιος ἐν τῷ δίωνι. οὐ γὰρ ἐποιεῖτο σωκράτης σοφὸς εἶναι. καὶ προσποιοῦμαι τὸ ἐπαγγέλλομαι. καὶ προσποίησις ἡ ἐπαγγελία. θουκυδίδης ἐν τῇ δευτέρᾳ. οὐδ' ἂν αὖ ἐχρησάμην ποιηταῖς δέοι ἂν ἔχοντι τὴν ποίησιν.

Προσποιοῦμαι καὶ τὸ οἰκειοῦμαι. οἷον εἰ, τὸ πρὸς ἑαυτὸν ποιοῦμαι. ἡρόδοτος ἐν τῇ πέμπτῃ. προσποιησάμενος δὲ ἑταιρείην τῶν ἡλικιωτέων. ὅθεν καὶ προσποίησις ἡ οἰκείωσις. προσποιῶ δὲ, τὸ ὑποτάττω ὡς θουκυδίδης. καὶ τὴν πόλιν ἐμβαλεῖς προσποιήσασθαι.

Παραιτοῦμαι τὸν δεῖνα γράφεσθαι λέγουσιν ἀττικοί, οὐκ εὐθεῖαν, ὁ παραιτοῦμαι. ὁ παρανομίας. δημοσθένης ἐν τῷ περὶ ἀτελείας. τὸ χαίρειν τούτων ἀποδιδόναι παραιτούμενοι γραφῆ.

Περαιοῦμαι λέγε, μὴ περαιῶ, εἰ καὶ θουκυδίδης λέγει. ὡς ἔμελλεν τὸν ἑλλήσποντον περαιώσειν.

Τὸ πρὸς ἀττικοί, εἰς τὴν σημασίαν τοῦ ὑπὲρ χρῶνται ἐνίοτε. ἀριστείδης ἐν τῷ περὶ τοῦ πέμπειν βοήθειαν τοῖς ἐν σικελίᾳ. τοῦτο πρὸς ὑμῶν ἐστι, τουτέστιν, ὑπὲρ ὑμῶν. καὶ θουκυδίδης εἰ δὲ μὴ ἐς πλεῖν ἐς τὰ στενὰ τειχίζοντες πρὸς ἐκείνων ἐστιν.

Παραγνώσκω τόδε. ἀττικοὶ δὲ πολλάκις, καὶ γενικῇ τοῦτο συντάσσουσιν. ὡς φιλόστρατος. παραγνώσκοντες τοῦ δικαίου. ἤγουν, παρὰ τὴν γνῶσιν τοῦ δικαίου πολιτευόμενοι.

Πρόσοψις ἡ θεωρία. θουκυδίδης. μὴ ἔχων τὴν πρόσοψιν τῶν πολεμίων ἐκ πολλοῦ.

Πρόσοδος, ἡ προσέλευσις. οἱ, χρημάτων πρόσοδος. πρόσοδος καὶ ἡ πανήγυρις. ἀριστείδης ἐν τῷ παναθηναϊκῷ. καὶ πρόσοδον θεῶν μετὰ τῶν καθεστηκότων νόμων. καὶ πρόσοδος, ἡ πρός τι ὁδός. θουκυδίδης. λάθρα ἐτήρουν τὴν πρόσοδον.

Παιανίζω, καὶ παιωνίζω. καὶ παιὰν γὰρ καὶ παιών. ἀριστείδης ἐν τῷ παναθηναϊκῷ. ἐκ θεῶν ἀρξάμενοι καὶ τοῦ φιλίου παιῶνος. σημειῶσαι δὲ ὅτι. τὸ μὲν παιὰν, ἐπὶ ὕμνου τῶν θεῶν ἀεὶ τίθεται καὶ μάλιστα τοῦ ἀπόλλωνος, ἐπὶ ἀπαλλαγῇ λοιμοῦ. τὸ δὲ παιὼν καὶ παιωνίζω, ἀλλὰ δὴ καὶ τὸ παιανίζω, ἐπὶ νίκης πολέμου κυρίως. καταχρηστικῶς δὲ καὶ ἐπὶ ἁπλῶς εὐφροσύνης.

Τὸ μὲν πρέπει, ἐπὶ δοτικῇ. τὸ δὲ πρέπον, οὐ δοτικῇ μόνον, ἀλλὰ καὶ γενικῇ. θουκυδίδης. ὡς πρέπον ὑμῶν. καὶ ὡς ἡ χρεία προσάγει.

Ὡσαύτως καὶ τὸ οἰκειοῦμαι, δοτικῇ πάντοτε. τὸ δὲ οἰκεῖός εἰμι, καὶ δοτικῇ, καὶ γενικῇ.

Ἡ παρὰ, ὅτε πλησιότητα δηλοῖ, ἐπὶ ἐμψύχου δοτικῇ συντάσσεται. οἷον. παρὰ τῷ βασιλεῖ κάθηται. ἐπὶ δὲ ἀψύχου, αἰτιατικῇ. θουκυδίδης. ἐτάξαντο παρὰ τὴν θάλασσαν. λουκιανὸς δὲ ὁμηρικῷ ζήλῳ, ἐπὶ ἐμψύχου αἰτιατικὴν εἶπεν, ἐν δευτέρῳ τῶν ἀληθινῶν διηγημάτων. καὶ θρόνος αὐτῷ ἐτέθη παρὰ κῦρον τὸν πρεσβύτην τὸν πρότερον. ὅμηρος γὰρ οὕτω φησὶν ἐν τῷ α. ἰλιάδος. ἡ δὲ παρ' αὐτὸν ἔχοι πιμπλᾶ βολά. ὡσαύτως καὶ πλάτων ἐν φαίδωνι. καὶ στὰς παρ' αὐτὸν ὁ σωκράτης ἔφη. ὅτε δέ ἐστιν ἀντὶ τῆς εἰς, οὐκ ἐπὶ κινήσεως ἀεὶ τίθεται, ἀλλ' ἔστιν ὅτε καὶ χωρὶς κινήσεως. ὁ αὐτὸς ἐν τῷ αὐτῷ. καὶ παρὰ πάντα μοι τὸν χρόνον προσῄει, καὶ διελέγετο

δίοπε. καὶ ἀριστείδης ἐν τῷ περὶ τοῦ μὴ πέμπειν βοήθειαν τοῖς ἐν σικελίᾳ. ὁ ταῦτα πείθων καὶ κεῖνο συνέπειθεν, ἀρχὴν μὴ ἐπικτᾶσθαι παρὰ τὸν πόλεμον.

Καὶ παρακέλευσις, καὶ παρακελευσμός. θουκυδίδης. προθυμίας τε πάσης χρώμενοι καὶ παρακελευσμῷ.

Παραγγελῶ, τὸ προστάττω, ὡς ἐπὶ τὸ πολύ, καὶ παράκλησις, ἡ προτροπή. ἅπαξ δὲ καὶ τὸ δέομαι.

Παρακομίζομαι, τὸ παραγίνομαι. καὶ παρακομιδὴ ἡ προσέλευσις. θουκυδίδης. ἐν δὲ τῇ παρακομιδῇ τῇ ἐς τὴν σικελίαν, καὶ πάλιν ἀναχωρήσει.

Πρόσκειμαί σοι, ἀντὶ τοῦ οἰκείως ἔχω σοι. καὶ πρόσκειμαί σοι, ἀντὶ τοῦ ἐπίκειμαί σοι. ὡς ὁ αὐτός. προσκείμενοι καὶ κατὰ τὸ εἰκὸς φοβοῦνται αὐτούς. καὶ πρόσκειμαι, τὸ ἀνάκειμαι. ἡρόδοτος ἐν τῇ πρώτῃ. παρέφερον τοῖσι προσέκειτο τὴν κεφαλὴν τοῦ παιδός.

Προσέχω σοι τὸν νοῦν κάλλιον, ἢ προσέχω σοι μόνον. ἀριστοφάνης ἐν πλούτῳ. πρόσεχε τὸν νοῦν ἵνα

Προστίθεμαί σοι, ἀντὶ τοῦ μετὰ σοῦ γίνομαι (πείθομαι. οἷ) προστίθεμαι τοῖς πολεμίοις. προστίθεμαι δέ σε, ἀντὶ τοῦ μετ' ἐμοῦ σε παραλαμβάνω. θουκυδίδης. ἵνα δεῦρο ἀντιβοηθῶσι, προσεθέμεθα αὐτούς. τουτέστι, συμμάχους ἐποιησάμεθα.

Πεζὴ στρατιὰ λέγεται, ὡς δημοσθένης. καὶ πάντες. καὶ μὴ πεζικὴ ὡς θουκυδίδης. ἐν στρατιᾷ ὥρμηνται, καὶ ναυτικῇ, καὶ πεζικῇ. ποιητικώτερον γὰρ τοῦτο. ὡς αἰσχύλος ἐν τοῖς ἑπτὰ ἐπὶ θήβαις. πεζικὸς ὥρμηται λεώς.

Οὐ μόνον πιθανὸς ῥήτωρ φαμέν, ἀλλὰ καὶ πιθανὸν κάλλος τὸ ἡδύ, καὶ τοὺς ὁρῶντας πειθοῖ θαυμάζειν. καὶ πιθανὸς κόσμος. ὡς ἀριστείδης ἐν τῷ πανηγυρικῷ ἐν κυζίκῳ περὶ τοῦ ναοῦ. καλλοὶ μὲν γὰρ οἱ τῶν οἰκοδομούντων οὗτοι κόσμοι. καὶ θαυμαστῶς πιθανοὶ τοῖς πλήθεσι.

Πρωΐτερον, καὶ πρωΐτατον ἀμφότερα. θουκυδίδης. πρωΐτερον μέσων νυκτῶν. καὶ πρωΐτατα δὲ οἱ λακεδαιμόνιοι, καὶ οἱ ξύμμαχοι. καὶ ἀριστείδης ἐν πέμπτῳ τῶν ἱερῶν. πάλιν γὰρ αὖ τὸ πρωΐτερον τοῦ δέοντος, ἢ λούεσθαι ἢ ἐσθίειν. κρεῖττω δὲ ταῦτα τοῦ πρωϊαίτερον, καὶ πρωϊαίτατον.

Οὐ μόνον προσέσχον τῷ λιμένι, ἀλλὰ καὶ ἔσχον. ὡς θουκυδίδης. εἰς αἴγυπτον ἔσχον αἱ νῆες κατὰ τὸ μενδήσιον κέρας. ἀντὶ τοῦ προσωρμήσαντο.

Ὥσπερ δὲ φαμὲν κατῆρεν εἰς τὸν λιμένα ἡ ναῦς, οὕτω καὶ κατέσχον. ὡς ὁ αὐτός. ἀπὸ δὲ τοῦ αἰγιαλοῦ τούτου αἱ νῆες κατέσχον. καὶ πάλιν. ἐπιτηροῦν τοὺς ἀθηναίους, ἢ κατασχήσουσιν. ἐνθάδε ἀντὶ τοῦ γῆς ἀνέσχον, οὐκ εἴρηται.

Καὶ πανταχόθεν. καὶ πάντοθεν. δημοσθένης. οὕτω καὶ πάντοθεν καταπεφρονηκότως ἐκεῖνοι χρῶνται.

Οὐ μόνον πρόβατον, ἀλλὰ καὶ προβάτιον ἀττικοί. ἀριστοφάνης ἐν πλούτῳ. προβατίου βίον λέγεις. καὶ πάλιν ἐν τῷ αὐτῷ δράματι. ἑπόμενος τοῖς προβατίοις.

Παροίξασα τὰς θύρας ἀττικοί. τὴν δὲ θύραν ἀπλῶς ἕλληνες.

Μὴ εἴπῃς περιίσταμαι τὸν δεῖνα. πῶς γὰρ ὁ εἷς τινὰ περιστῆναι. ἀλλὰ περιιστάμεθα. λιβάνιος ἐν ἐπιστολῇ. καὶ περιιστάμεθα τὰς ἐπιστολάς.

Πένθειν ἐνθάδε τοῦ λυπεῖσθαι καὶ μελανειμονεῖν. θρηνεῖν δέ, ἐνθάδε τὸ κλαίειν.

Οὐδεὶς τῶν ῥητόρων τὸ πολλάκις ἀντὶ τοῦ ἅπαξ εἶπε· κοινὸν γάρ ἐστιν. ὁμοίως. οὐδὲ παιδεύειν ἀντὶ τοῦ κολάζειν. ἀλλὰ παρὰ μόνῃ τῇ θείᾳ γραφῇ τοῦτο εὑρίσκεται.

Παίω, τὸ τύπτω. εἰσπαίω τὸ εἰσέρχομαι. ἀριστοφάνης ἐν πλούτῳ. ἀγαθῶν σωρὸς εἰσπέπαικεν εἰς τὴν οἰκίαν. καὶ ἐκπαίω, τὸ ἐξέρχομαι. παραπαίω δὲ τὸ παρακρούω. καὶ συμπαίω τὸ συγκρούω. ὑποπαίω μέντοι, τὸ ὑποβάλλω.

Προσοικῶ, ἐνθάδε μὲν ἐμψύχου δοτικῇ. ἐνθάδε δὲ ἀψύχου αἰτιατικῇ. ἀριστείδης ἐν τῷ αἰγυπτίῳ. προσοικεῖ τὴν ἔχουσαν ἑκατέρα τῶν πόλεων. καὶ πάλιν ἐν τῷ αὐτῷ. προσοικοῦμεν ὡς ἔπος εἰπεῖν τὰς ὄχθας.

Παραστάδας ἀττικοί, οὐ παραστάτιδας. εὐριπίδης ἐν φοινίσσαις. ἀδράστου δ' ἦλθον εἰς παραστάδας. ἔστι δὲ θηλυκόν.

Καὶ παραθήκη λέγεται, καὶ παρακαταθήκη. καὶ παρατίθεται, καὶ παρακατατίθεται. οὕτω γὰρ οἱ ἀρχαῖοι λέγουσιν. ἡρόδοτος ἐν τῇ ἕκτῃ. παραθήκην παρατίθεται, ἐς τοὺς ἐχθίστους αἰγινήτῃσιν ἀθηναίους. καὶ πάλιν. ἀνάγοντες δὲ σφέας, ἐς τὴν ἀττικὴν παραθήκην παρατίθενται. θουκυδίδης ἐν τῇ δευτέρᾳ. μέχρι τοῦδε. ἕξομεν παρακαταθήκην.

Οὐ μόνον προσβάλλω τοῖσδε, ἀλλὰ καὶ προσβάλλω τάδε εἴρηται. ἀριστείδης ἐν τῷ παναθηναϊκῷ. καίτοι μισοῦντας μὲν ἐνθάδε τοῦ πορείας, προσέβαλεν ὥσπερ τι σῶμα ἀρχόθεν ἄλλης ἠπείρου συμμιγές.

Πυθαγόρειος κάλλιον, ἢ πυθαγορικός.

Περιεγένετο ἀντὶ τοῦ ἐνίκησε γενικῇ. ὅπερ καὶ περιγέγονεν εἴρηται. πλάτων ἐν τῇ τοῦ σωκράτους ἀπολογίᾳ. τῷ αὐτῷ οἰόμενος περιγεγονέναι, ὅπερ καὶ τῶν πολιτικῶν. περιεγένετο. καὶ ἀντὶ τοῦ προσεγένετο καὶ ἀντὶ τοῦ ἐπερίσσευσεν. ἡρόδοτος ἐν τῇ α. ζοντες οἱ μέν, ὡς ἑωυτῶν πλεῦντες περιγενοίατο. καὶ ἀριστείδης. περιγενομένων γὰρ τῇ πόλει χρημάτων ἐκ τῶν ἔργων τῶν ἀργυρείων. περιεγένετο καὶ ἀντὶ τοῦ ἐσώθη, καὶ ἔζησε. θουκυδίδης. καὶ εἴ τις ἐκ τῶν μεγίστων περιγένοιτο. καὶ ἐν τῇ πέμπτῃ. καταφυγὼν ἐνθάδε τὸν βωμὸν περιγίνεται.

Περιορῶ, τὸ καταφρονῶ. περιορῶμαι δέ, οὐ μόνον ἀντὶ τοῦ καταφρονοῦμαι, ἀλλὰ πῆ μὲν καὶ ἀντὶ τοῦ καταφρονῶ. θουκυδίδης ἐν τῇ δευτέρᾳ. μὴ περιορᾶσθαι τοὺς πολεμικοὺς κινδύνους. πῆ δέ, ἀντὶ τοῦ περισκοπῶ. ὡς ὁ αὐτὸς ἐν τῇ τετάρτῃ. καὶ τὴν μαχαρίαν ἐπιστάμενοι περιορωμένους, ὁποτέρων ἡ νίκη ἔσται. καὶ αὖθις ἐν τῇ ἕκτῃ. μέλλοντες, ἔτι καὶ περιορώμενοι. πῆ δὲ καὶ ἀντὶ τοῦ φροντίζω γενικῇ συντασσόμενον. ὁ αὐτὸς ἐν τῇ τετάρτῃ. τῆς τε μελλήσεως περιορώμενος, μὴ τῶν ἀθηναίων πρότερον ἐπιπλευσάντων τι πάθῃ. καὶ περιιδεῖν, οὐ μόνον ἀντὶ τοῦ

καταφρονῆσαι,

κατα φρονοῦσι, ἀλλὰ καὶ ἀντὶ τοῦ περισκοπῆσαι. ὁ αὐτὸς ἐν τῇ αὐτῇ. ἀλλ' ἀμφοτέροις ἐδόκει ἡσυχάσασι, τὸ μέλλον περιιδεῖν. ὡσαύτως καὶ περιοπτέον. ὡς ὁ αὐτὸς ἐν τῇ ὀγδόῃ. σφίσι δὲ περιοπτέον εἶναι τοῦτο μάλιστα.

Γ ροστάττω, οὐ μόνον τὸ κελεύω, ἀλλὰ καὶ τὸ, ἔν τινι τάττω, ὁ αὐτὸς ἐν τῇ αὐτῇ. καὶ τοὺς ἄλλους κλεαρίδας προστάξας. καὶ ἐν τῇ ἕκτῃ. καὶ γύλιππον τὸν κλεανδρίδου, προστάξαντες ἄρχειν τοῖς συρακουσίοις. καὶ ἐν τῇ ἑβδόμῃ. καὶ ἄρχειν ἀλέξανδρον κορίνθιοι προστάξαντες.

Η ερὶ ὅταν ἀντὶ τοῦ ἕνεκα λαμβανόμενον ἀναβιβάζῃ τὸν τόνον, οὐ μόνον ἰδίας ἐστὶ τοῦ ὀνόματος ἕπεται, ἀλλὰ καὶ μεθ' ἑτέρου ἀντιτίθεται, πλάτων ἐν τῇ τοῦ σωκράτους ἀπολογίᾳ. ὧν ἐγὼ οὐδὲν, οὔτε μέγα οὔτε μικρὸν πέρι ἐπαΐω.

Γ ράττω, οὐ μόνον τὸ ποιῶ καὶ πράσσω, ἀλλὰ καὶ τὸ ἀπαιτῶ. ὃ καὶ εἰσπράττω λέγομεν. συνέσιος ἐν ἐπιστολῇ, τῇ, ἀριθμεῖ καὶ τὸν φόρον. πρῶτον ἁρπάσας καὶ ὑφ' ἑαυτὸν ποιησάμενος, ἔπειτα πράττει τὴν δίκην. πράττομαι δὲ, καὶ μετὰ τῆς προθέσεως καὶ χωρὶς τῆς προθέσεως, καὶ τὸ ἀπαιτῶ, καὶ τὸ ἀπαιτοῦμαι. πλάτων ἐν τῇ τοῦ σωκράτους ἀπολογίᾳ. ὡς ἐγὼ παιδεύειν ἐπιχειρῶ ἀνθρώπους, καὶ χρήματα πράττομαι.

Γ ρόσκρουμα, ἡ μέμψις οὐ πρόσκρουσμα. ἀριστείδης ἐν τρίτῳ τῶν λευκτρικῶν. καὶ πρὸς ἐκείνους ἐν προσκρούμασι καὶ μέμψεσιν εἶναι.

Ω ϛπερ φαμὲν προσηγορία καὶ προσήγορος, οὕτω καὶ προηγορία, ἡ ὑπὲρ ἄλλων ἡγορία, καὶ τὸ πρὸ τῶν ἄλλων λέγειν. καὶ προήγορος ὡσαύτως, καὶ προηγορῶ. λουκιανὸς ἐν τῷ ἀναβιοῦντες ἢ ἁλιεύς. τὴν προηγορίαν δέχου, καὶ ὑπὲρ ἁπάντων εἰπὲ τὰ εἰκότα. καὶ συνέσιος ἐν ἐπιστολῇ τῇ, ἐγὼ καὶ βούλομαι. εὑρόμενος κρηπῖδα καὶ ἐπαναβὰς αὐτῇ, προήγορος ἀξιῶσιν εἶναι. ἀριστείδης ἐν τῷ περὶ ὁμονοίας ῥοδίοις. προηγορεῖν δὲ ὑμᾶς ἀνθρωπομένους.

Δ μφω λέγε. καὶ περιπόθητος, καὶ ποθεινότατος. ἀριστείδης ἐν τῷ πρεσβευτικῷ πρὸς ἀχιλλέα. καὶ τὴν περιπόθητον ταύτην ἀποσφάξεις.

Γ αμβδελυρὸς καὶ μιαρός. ἀριστοφάνης ἐν νεφέλαις. ὦ μιαρὲ καὶ παμβδελυρὲ, καὶ τοιχωρύχε. καὶ παμβδελυρώτατος δὲ καὶ μιαρώτατος. λουκιανὸς ἐν τῷ θεῶν ἐκκλησίᾳ. ἐγγὺς ἀνθρώπων καὶ μιαρωτέρους ἦσαν.

Γ αρεῖδεν ἀντὶ τοῦ παρέβλεψεν. ὅπερ καὶ αἰτιατικῇ συντάσσεται. παρεῖδε καὶ ἀντὶ τοῦ εἶδεν ἀπὸ δοτικῆς εἰς αἰτιατικὴν. ἡρόδοτος ἐν τῇ πρώτῃ. οὔτε δειλίην, οὔτε ἄλλο οὐδὲν ἄχαρι παρειδών τι, ποιέω ταῦτα.

Γ αρέστησαν, ἀντὶ τοῦ πλησίον ἔστησαν, ἀντὶ τοῦ εἰς τὸ μέσον ἔστησαν, καὶ ἀντὶ τοῦ ἐπόρθησαν. ὁ αὐτὸς ἐν τῇ τρίτῃ. πολιορκοῦμεν οἱ χῖοι παρεστήσαντο. παρεστήσαντο δὲ ἀντὶ τοῦ ἐπόρθησαν.

Γ ροορῶ, καὶ τὸ προβλέπω, καὶ τὸ φροντίζω. ὁ αὐτὸς ἐν τῇ αὐτῇ. τοῦ σίτου προορῶντες.

Γ ροδέδωκεν ὁ λέων τοῖς πολεμίοις τὴν πόλιν, ἀντὶ τοῦ λάθρα καὶ ἐπιβούλως παρέδωκεν. ὅθεν καὶ προδοσία, καὶ προδότης. καὶ προδέδωκεν ὁ ποταμὸς, ἀντὶ τοῦ ἐνέδωκε καὶ ἐπέλιπεν. ὁ αὐτὸς ἐν τῇ ἑβδόμῃ. οὐδέ μοι δῶμα παρέστασαι προδοθῆναι τὰ ῥέεθρα τῶν ποταμῶν ἐστιν ὧν. ἔργῳ ἐνδοῦναι κατὰ πόθου αὐτὰ τῷ στρατοπέδῳ. λέγοιτο δ' ἂν καὶ προδοσία, ἡ τοιαύτη ὕφεσις. καὶ ἔκλειψις. οὐ μὴν καὶ προδότης.

Γ αρακελεύομαι, καὶ διακελεύομαι. καὶ ἐγκελεύομαι. κελεύω καὶ ἐπικελεύω, πλάτων ἐν φαίδωνι. ὅπερ ἔπραττεν τοῦτο ὑπελάμβανον, αὐτόν μοι παρακελεύεσθαί τε καὶ ἐπικελεύειν.

Τέλος, τοῦ π' στοιχείου.

ΑΡΧΗ ΤΟΥ Ρ.

αΐσας τῆς νόσου λέγε, μὴ κουφισθείς.

Ῥᾴων, τεχνικός. ἐστὶ δὲ ὁ ῥᾴων ὡς δημοσθένης, ἐν τῷ ὀλυνθιακῶν πρώτῳ. ῥᾷον ἢ πολὺ τὰ πεπονθότα νῦν αὖ ἐχρώμεθα τῷ φιλίππῳ. καὶ ἡ ῥᾴων ὡς θουκυδίδης. ῥᾴονος αὖ μετέχομεν τῆς διόδου. καὶ τὸ ῥᾷον, ὅπερ καὶ ἀντὶ ἐπιρρήματος λαμβάνεται. τὸ αὐτὸ καὶ ἀντὶ τοῦ θᾶττον. ὁ θάττων γὰρ καὶ ἡ θάττων, καὶ τὸ θᾶττον.

Ρ ιγέω ἐγώ, τὸ φοβοῦμαι ὅπερ ἐστὶ ποιητικόν. ὅμηρος ἐν μ' ἰλιάδος. τρῶες δ' ἐρρίγησαν ἐπεὶ ἴδον αἰόλον ὄφιν.

Ρ ιγῶ δὲ ῥιγῶ, ἐπὶ κρύους. ἀριστοφάνης ἐν πλούτῳ. ἀλλ' οὐδὲ ῥιγοῦν ἔτι τεταπαίδευται. καὶ ἀριστείδης ἐν τῷ παναθηναϊκῷ. ἤδη δέ τις ἐν καθαρῷ τῆς μεσημβρίας ἐρρίγωσε, τῆς καταβολῆς ἐπελθούσης.

Ρ ήγνυσθαι, καὶ ῥῆγμα, ἀττικοί. σπάχεσθαι καὶ σπάγμα ἕλληνες. ὡσαύτως, οἱ μὲν, ῥήγνυμι. ἕλληνες δὲ, ῥηγνύω, καὶ ῥήσσω.

Ρ έγχω, οὐδεὶς τῶν ἀττικῶν, ἀλλὰ ῥέγκω. ἀριστοφάνης ἐν νεφέλαις. οἱ δ' οἰκέται ῥέγκουσιν.

Ρ ακάλλιον, ἡ ῥόα. σημαίνουσι δὲ ἀμφότερα, καὶ τὸν καρπὸν, καὶ τὸ δένδρον.

Ρ ᾴδιον, οὐ ῥάδιον.

Η ῥὰξ ῥαγός. ἡ ῥὼξ δὲ παράλογον εἶναί τινες. ἔστι δὲ ῥὰξ, ἐπὶ σταφυλῆς. ῥὼξ δὲ ῥωγὸς ἐπὶ θηλυκοῦ, αὐτὸ ζωύφιον τὸ λεγόμενον φαλάγγιον.

Ρ άφανον ἐπὶ τῆς ῥαφανίδος μὴ εἴπῃς. ῥάφανον δὲ παρ' ἀττικοῖς ἡ κράμβη, ἀλλὰ ῥαφανὶς, καὶ ῥαφανὶν λέγε. ἀπὸ δὲ τῆς ῥαφανίδος, καὶ τὸ ῥαφανιδωθῆ. συνέσιος ἐν τῷ ὑπὲρ φαλάκρας. οἱ δὲ κηπωροὶ τὰς ἀττικὰς ῥαφανίδας φυτεύουσι. οἱ δὲ ἴωνες, ῥάπυν τὴν ῥαφανίδα λέγουσι.

Ρ εῖθρον ἐπὶ τοῦ ῥεύματος, οὐδεὶς τῶν ἀρχαίων εἶπεν. ἀλλ' ἐπὶ τοῦ τόπου καθ' οὗ ὁ ποταμὸς φέρεται.

ῥεῦμα δὲ καὶ ῥόθιον αὐτὸ τὸ ὕδωρ. ῥόθιον μὲν τοίνυν οὐ μόνον ἐπὶ ποταμοῦ, ἀλλὰ καὶ τὸ μετὰ κτύπου κῦμα. ἀριστείδης ἐν τῷ παναθηναϊκῷ· ὡς δὲ ἑώρα τὴν θάλατταν αἵματι καὶ ῥοθίῳ ζέουσαν.

Ρ ὶς, ἀττικοί· ῥὶν ἕλληνες. ἔστι δὲ ῥὶς ἡ ἀπὸ τοῦ μεσοφρύου μέχρι τοῦ χείλους καταγωγή. μυκτῆρες δὲ, αἱ τῆς ῥινὸς καταβάσεις, δι᾽ ὧν τὸ ὑγρὸν ἔξεισιν ἀποματτόμενον.

Ρ ύγχος ἐπὶ χοίρων. ῥάμφος ἐπὶ ὀρνίθων.

Ρ οδωνιὰ, ὁ τῶν ῥόδων τόπος. ῥόδον δὲ τὸ ἄνθος. ῥοδῆ, αὐτὸ τὸ δένδρον.

Ρ άμνος, πᾶσα μὲν ἄκανθα· κυρίως δὲ ἡ τῶν ῥόδων.

Ρ οῦς ῥοῦ λέγε, ὡς πλοῦς πλοῦ, καὶ μὴ ῥόος. λέγεται δὲ ῥοῦς ἐπὶ θαλάσσης, καὶ ἐπὶ ποταμοῦ.

Ρ ύαξ μέντοι, ἐπὶ μόνου ποταμοῦ. ῥεῖ δὲ ἐπὶ δακρύων καὶ αἵματος. ἀριστείδης δὲ βουλόμενος ἐνδείξασθαι πολὺ τὸ χυθὲν αἷμα τῶν περσῶν ὅτε τοῖς ἕλλησι συνέβαλον, φησὶν ἐν τῷ παναθηναϊκῷ· ὥστε οἱ τοῦ αἵματος ῥύακες, ἤρκουν ἐναντίω ταῖς ναυσὶν εἶναι.

Ρ ᾳδιουργὸς καὶ ὁ πλαστογράφος, καὶ ὁ κακοῦργος ἁπλῶς. καὶ ῥᾳδιουργία, ἡ πλαστογραφία τε, καὶ ἡ θρασύτης, καὶ ἡ δολιότης. λουκιανὸς ἐν δραπέταις· ἐμπέπλησται ἡ πόλις τῆς τοιαύτης ῥᾳδιουργίας. ξενοφῶν δὲ καί τινες ἄλλοι ἐχρήσαντο τῇ λέξει καὶ ἐπὶ εὐκολίας.

Ρ ήτωρ τὸ παλαιὸν ἐκαλεῖτο, ὁ δήμῳ συμβουλεύων, καὶ ὁ ἐν δήμῳ ἀγορεύων· ὕστερον δὲ καὶ ὁ παρ᾽ οἷς ἐστί τισι καλούμενος ἐν δικαστηρίῳ, λόγοις καὶ συνηγορίαις βοηθήσων. ἤγουν, ὁ δυνάμενος ὑπεραπολογήσασθαί τινος ἐν δικαστηρίῳ. ὃς καὶ συνήγορος, καὶ δικολόγος καλεῖται. ῥήτωρ καὶ ὁ κατὰ ῥήτορας γράφων. καὶ ῥητορικὸς ὡς παρὰ λιβανίῳ ἐν ἐπιστολῇ. οὐδὲ τῶν ῥητορικῶν οὐδὲ τῶν ῥητόρων. ἔστι δὲ ὅτε τὸ ῥήτωρ καὶ ἐπὶ διαβολῆς λαμβάνεται. ἀριστοφάνης ἐν πλούτῳ. ἐτύγχανεν δ᾽ ἐπλούτουν ἱερόσυλοι ῥήτορες, συκοφάνται καὶ πονηροί.

Ρ ικνὸν, τὸ παλαιὸν καὶ σαθρόν. καὶ ῥικνοῦσθαι, τὸ διέλκεσθαι καὶ παντοδαπῶς διαστρέφεσθαι κατ᾽ εἶδος. λέγεται δὲ ῥικνοῦσθαι, καὶ τὸ, καμπύλον γίνεσθαι ἀσχημόνως, καὶ κατὰ συνουσίαν καὶ κατὰ ὄρχησιν κάμπτειν τὴν ὀσφῦν.

Ρ οθοπυγίζειν, τὸ, σιμῷ ποδὶ παίειν τὰ γλουτά, καὶ ῥόθον ἤτοι ἦχον ποιεῖν ἐν τῇ πυγῇ. καὶ ῥοθοπυγισμὸς τὸ αὐτό.

Ρ αστώνη ἡ νωθεία. ἔνθεν καὶ τὸ ἐρραστωνευμένος, ἀπὸ τοῦ ῥαστωνεύω ἀχρήστου θέματος. καὶ ἐρραστωνευμένως ἐπίρρημα, ἀντὶ τοῦ ῥαθύμως. ῥαστώνη καὶ ἡ ἡδονή. συνέσιος ἐν ἐπιστολῇ τῇ, ἀπέκτανε φησὶ τις ἰωάννης αἱμύλιον· ἀφεικότες με τῆς ἐν φιλοσοφίᾳ ῥαστώνης. ῥαστώνη καὶ ἡ ἄνεσις. ὡς τὸ, ῥαστώνην ἔχοι τῶν δυσχερῶν. ῥαστώνη καὶ ἡ εὐκολία. ἀριστείδης ἐν τῷ παναθηναϊκῷ· ὁπόσον τῆς ῥαστώνης αὐτῷ περίεστι, καὶ ἐν τοῖς καθάπαξ ἀπο-

ῥοις εἶναι δοκοῦσι.

Κ αὶ ῥῆμα, καὶ ῥηματίσκιον.

Ρ υπαίνω, καὶ τὸ μολύνω καὶ τὸ ὑβρίζω. ὡς φερεκράτης. δηλοῖ τὴν ὕβριν ὡς πάνυ μολυσμὸν εἶναι πρὸς ὃν τινα λέγεται.

Ρ άθυμος ἄνθρωπος, ὁ ἀμελὴς καὶ νωθρός. ῥάθυμος δὲ ποιὰ δίαιτα ἡ φαύλη καὶ ἠμελημένη. φιλόστρατος. οὐ ῥαθύμου παιδιᾶς, ἀλλ᾽ ἀγχίνου τε καὶ ἔσω σπουδῆς.

Ρ ιπτοῦμαι ἀττικοὶ ποιητικῶς. ῥίπτω δὲ ἁπλῶς ἕλληνες. ἰστέον δὲ, ὅτι ῥίπτω μὲν τὸ ἁπλῶς ῥίπτω. ῥιπτῶ δὲ τὸ [illegible] μεθόδως καὶ ῥιπτοῦμαι, τὸ μετὰ σφοδρότητος. θουκυδίδης. τοσοῦτον δὲ κίνδυνον ἀνερρίπτουν.

Ρ αθυμῶ ἐγὼ καὶ καταρρᾳθυμῶ. καὶ ῥαθυμῶ δὲ ἐπὶ τὸ πολὺ καὶ καταρρᾳθυμῶ. ἤτοι, ῥαθυμεῖν ποιῶ καὶ ἀνίημι. φιλόστρατος ἐν εἰκόσιν. ἔοικε δὲ δηλοῖ τῷ φθόγγῳ τὴν χεῖρα, καταρραθυμοῦντος αὐτὴν τοῦ ὕπνου.

Τέλος τοῦ ῥ. στοιχείου.

ΑΡΧΗ ΤΟΥ Σ.

σ αυδεῖ κάλλιον, ἢ συνδεσμεῖ. ἀριστοφάνης ἐν βατράχοις. ταχέως συνδεῖτε τουτονὶ τὸν κυνοκλόπον.

Σχολὴν ἄγω, καὶ εὐσχολῶς ἔχω, οὐ σχολάζω. τὸ δὲ εὐκαιρεῖν, πάνυ ἀδόκιμον.

Κ αὶ συμφόριον λέγε καὶ σύμφορον, ὡς αἰσχύλος. εἰ τοῦτ᾽ εἶναι δοκεῖ συμφοράν.

Σ ῶς, οὐχὶ σῶος, καὶ οὐχὶ σῶον, καὶ σῶς, οὐχὶ σώους. σῶοι δὲ μόνον. ἐπὶ δὲ τοῦ θηλυκοῦ, ἡ αἰτιατικὴ μόνη τῶν πληθυντικῶν συναιρεῖται. σῶς γοῦν λέγομεν οὐχὶ σώας. ὡσαύτως καὶ ἐπὶ τοῦ οὐδετέρου μόναι ἥτε εὐθεῖα τῶν ἑνικῶν καὶ ἡ αἰτιατικὴ συναιροῦνται. σῶν γοῦν λέγομεν οὐχὶ σῶον. σῶα δέ.

Σ υλλαμβάνω, δόκιμον. οὐ συνεπιλαμβάνω. συνεπιλαμβάνομαι δὲ καὶ συλλαμβάνομαι. συντάσσεται δὲ ἀπὸ δοτικῆς εἰς γενικήν.

Σ υβώτης ἀττικοὶ, καὶ συβωτεῖν. οὐ συφορβὸς οὐδὲ συφορβεῖν.

Σ εὺς ἀττικοί, καὶ σέας ἀπὸ τῆς σεὺς ἀχρήστου εὐθείας. ὥσπερ καὶ υἱέας, ἀπὸ τοῦ υἱεύς. λουκιανὸς ἐν τῷ πρὸς ἀπαίδευτον καὶ πολλὰ βιβλία ὠνούμενον. καὶ συμβούλους τοὺς σέας ἐπὶ τὴν ἐξέτασιν παραλαμβάνεις. σῆτες δὲ καὶ σῆτας, ἑλληνικόν. ἀπὸ τοῦ σὴς σητός.

Σ φὶ καὶ αὐτὸν παρὰ μόνῳ τῷ θουκυδίδῃ, καὶ παρὰ πλάτωνι. σφῶν δὲ καὶ σφίσι καὶ σφᾶς, παρὰ πᾶσι τοῖς ῥήτορσιν. οὐ μόνον δὲ σφεῖς καὶ σφῶν, καὶ σφίσι καὶ σφᾶς γράφεται· ἀλλὰ καὶ σφεῖς αὐτοὶ, καὶ σφῶν αὐτῶν. καὶ σφίσιν αὐτοῖς,

αὐτοῖς, καὶ σφᾶς αὐτούς. δηλοῦσι δὲ ἁπλᾶ μὲν κείμενα, τὸ, αὐτοί. αὐτῶν. αὐτοῖς. αὐτούς. μετὰ δὲ τῆς προσθήκης πλὴν τῆς εὐθείας, ἑαυτῶν, ἑαυτοῖς. ἑαυτούς. οὐδὲ γὰρ οἶόν τι ἑαυτοὺς εὐθὺ τῆς εὐθείας, ἢ ἑαυτοὶ λέγειν. καὶ διὰ τοῦτο οὐδὲ σφεῖς αὐτοὶ ἀντὶ τοῦ ἑαυτοί, ἀλλ' ἀντὶ τοῦ αὐτοὶ μόνον ἐκ παραλλήλου λεγόμενον. οἱ δὲ σφῶν ἑαυτῶν, καὶ σφίσιν ἑαυτοῖς καὶ σφᾶς ἑαυτοὺς γράφοντες, ἁμαρτάνουσιν. οὐδεὶς γὰρ τῶν αὐτὴν ποιουμένων ἀκριβείας, μετὰ τοῦ ἑαυτῶν. τίθεται δὲ ταῦτα εὐθὺ τρίτου προσώπου. οἱ δὲ εὐθὺ δευτέρου τιθέντες σολοικίζουσιν. ὥσπερ δὲ ἀπὸ τοῦ ἡμεῖς ἡμέτερον, καὶ χρώμεθα τούτῳ εὐθὺ πληθυντικοῦ μόνον, τὸ γὰρ ἡμέτερος κόσμος, καὶ ἡ ἡμετέρα ἐπιστήμη, καὶ ἡμέτερον ἐγκαλλώπισμα, ἀντὶ τοῦ ἡμῶν κόσμος, καὶ ἐπιστήμη καὶ ἐγκαλλώπισμά εἰσιν, οὕτω καὶ ἀπὸ τοῦ σφεῖς, σφέτερος. σφετέρα γίνεται. δεῖ δὲ χρῆσθαι τούτοις εὐθὺ πληθυντικοῦ. εἰ δὲ καὶ εὐθὺ ἑνικοῦ ἅπαξ εὕρηται, ὅτι ὁ δεῖνα τὴν σφετέραν οἰκίαν ἐνδείκνυται, ἀλλ' οὐ δεῖ τῷ ἅπαξ εἰρημένῳ χρῆσθαι. τὸ δὲ λέγειν ὡς ἀπὸ τοῦ σφέ, σφέτερος γίνεται καὶ διὰ τοῦτο οὐδὲν κωλύει καὶ εὐθὺ ἑνικοῦ τὸ σφέτερος λέγεσθαι, οὔ μοι δοκεῖ καλῶς λέγεσθαι. ὥσπερ δὲ αἱ πρωτότυποι τούτων ἀντωνυμίαι, καὶ ἁπλῶς τίθενται καὶ μετὰ προσθήκης, λέγομεν γὰρ καὶ ὑμεῖς καὶ σφεῖς, καὶ ὑμεῖς αὐτοὶ καὶ σφεῖς αὐτοί. οὕτω καὶ αἱ παράγωγοι αὗται ἔχουσιν. οὐ γὰρ μόνον ὑμέτερος καὶ σφέτερος, ἀλλὰ καὶ ὑμέτερος αὐτῶν, καὶ σφέτερος αὐτῶν ἐκ παραλλήλου.

Σταθεύσαι ἀττικοί. σταθεῦσαι ἕλληνες. δηλοῖ δὲ ἱστάμενον φλέγεσθαι. ἔστι δὲ ποιητικόν, ὅθεν καὶ ὄνομα σταθευτής, ἀπὸ τοῦ σταθῆς καὶ τοῦ εὕω, τὸ καίω. αἰσχύλος ἐν προμηθεῖ. σταθευτὸς δ' ἡλίου φοίβου φλογί.

Σικελός, ὁ ἐξ αὐτῆς τῆς σικελίας ὤν. σικελιώτης δὲ, ὁ σικελὸς μὲν μὴ ὤν, τὴν δὲ χώραν ταύτην οἰκῶν. θουκυδίδης ἐν τῇ ἑβδόμῃ. πορθουμένων δ' ἤδη τῶν σικελιωτῶν. σικελοὶ καθάπερ ἰδόντο οἱ ἀθηναῖοι ἐνοδίαν ποιησάμενοι.

Σιτοῦμαι τὸ φάγω. ἐπισιτίζομαι δὲ, τὸ ἐφόδια ἁπλῶς λαμβάνω, ἢ μετὰ τὸ φαγεῖν λαμβάνω, καὶ οὕτως ἀπέρχομαι.

Σιγηλός, καὶ σιωπηλός, οὐ ῥητορικά. σὺ δὲ ὅσον σιγᾶν λέγε.

Σμινύη. καὶ δίκελλα. οὐ σκαφεῖον. ἀριστοφάνης ἐν νεφέλαις λαβὼν ἡ σμινύην, μὴ προσδῶ τὰς ἐλπίδας. καὶ λιβάνιος ἐν μελέτῃ, τῷ δύσκολος ὤλισθε, πεπληγυῖαν ἐν ταῖς πέτραις τὴν δίκελλαν ἱστάμενος.

Σ ὁ σίαλον ἀττικοί. ὁ σίαλος ἕλληνες. λουκιανὸς ἐν τῷ καταπλοῦς, ἢ τύραννος. σιάλῳ χρίσας τοὺς ὀφθαλμούς.

Σινδὼν οὐχ ὁρᾷς, ἀλλὰ ἀνθοῦσαν.

Σιώπημα, οὐ σιώπησιν.

Σύμβολον, καὶ σύμβολα τὰ σημεῖα. καὶ σύμβολα πληθυντικῶς μόνον, αἱ περὶ τὰ σύμβολα τῶν ἐμπόρων δίκαι. δημοσθένης. συμβόλων οὐδὲν δέονται μακεδόνες πρὸς ἀθηναίους. καὶ πάλιν ὁμολογούμενον ἐν τοῖς συμβόλοις καταστῆσαι.

Σφωμάτιον μὴ εἴπῃς εὐθὺ στρωμάτων, ἀλλὰ στρωματόδεσμος, καὶ στρωματόδεσμον οὐδετέρως. αἰσχίνης. ἄνθρωποι δύο στρωματόδεσμα φέροντες.

Σαπρὸς οἶνός ἐστιν, ὁ πρὸς τῷ τέλει ὑλώδης. σαπρὰ δὲ φύξ, ἡ σεσαπημένη. ἀριστείδης ἐν τῷ κατὰ ὀρχου μνήμων. οὐδ' αὖ τ' οἴνου φύγα, καὶ ταύτην σαπράν.

Σαλπίζω, σαλπίγξω. οὐ σαλπίσω. καὶ σαλπιγκτής, οὐ σαλπιστής. θουκυδίδης ἐν τῇ ἕκτῃ. καὶ σαλπιγκταὶ ξυνόδου ἐπώτρυνον τοῖς ὁπλίταις.

Σκίμπους, ῥητορικόν. κράββατος κοινόν. λιβάνιος ἐν τῇ τοῦ φιλοσόφου μελέτῃ. ποιεῖν εἰς τὸν σκίμποδα τὸν οὐκ ἀμοιβῇ θέντα παρὰ τῆς τύχης. λέγεται δὲ σκίμπους καὶ τὸ σκιμπόδιον. ἀριστοφάνης ἐν νεφέλαις. καθίζε τοίνυν εὐθὺ τὸν ἱερὸν σκίμποδα.

Σκότος καὶ τὸ σκότος. τὸ δὲ σκοτία, οὐκ ἐν χρήσει. εὐριπίδης ἐν φοινίσσαις. σκότον δεδορκώς.

Σμῶμαι καὶ σμῆσαι, καὶ σμῆμα, ἀττικοί. σμήχομαι δὲ καὶ σμῆξαι καὶ σμῆγμα, κοινά.

Σαίρειν, οὐ σαροῦν. εὐριπίδης ἐν ἑκάβῃ. σαίρειν τὸ δῶμα, κερκίδας τ' ἐφεστάναι.

Σπιλάς, ἀττικοί. ὕφαλος πέτρα ἕλληνες. εἰ δὲ ὕφαλος μὴ εἴπῃς ἀντὶ τοῦ πέτρα, κάλλιον.

Σκευωρία καὶ σκευώρημα ἡ σκευή. λέγεται δὲ σκευὴ καὶ ὁ διακόσμησις. ὅθεν, ὅπλων σκευὴ ὅπερ ἐστὶ κάλλιστον.

Στύραξ μὲν, θυμίαμά τι. λιβάνιος ἐν τῷ περὶ τῆς ἑαυτοῦ τύχης. στύρακος ἅμα ὀσμῇ, θεραπεύσας τὸν θεόν. ἀρσενικῶς δὲ, ὁ σαυρωτὴρ τὴν αἰχμὴν μετὰ τοῦ ξύλου κρίκος. καὶ στυράκιον οὐδετέρως. συνέσιος ἐν ἐπιστολῇ. μετὰ τῶν στυρακίων μέν τοι τὰ βέλη.

Σιτίζειν ἀττικοί, οὐ σιτεύειν, οὐδὲ ψωμίζειν. σιτευτὸς μέν τοι, οὐ σιτιστός. ὅθεν σιτευτὸς ὄρνις.

Σκαιός, οὐκ ἐπαριστερός. σκαιὰ χείρ, καὶ λαιά, τὸ δὲ ἀριστερά, κοινότερον. ἀριστεροστάτης μέν τοι, ὁ ἐν ἀριστερῷ ἱστάμενος, κάλλιον. ἀριστείδης ἐν μιλτιάδῃ. πλὴν ὅσον οὐκ ἀριστεροστάτης ἀνήρ, ἀλλὰ τοῦ δεξιοῦ τοῖς ἕλλησι κέρως. ἔστι δὲ καὶ σκαιὰ γνώμη, ἡ κακὴ καὶ ἀπαίδευτος.

Σῶκος τὸν ὁρμῶν, διὰ δύο κ', δυνατός. ἀττικοὶ δὲ, δι' ἑνός.

Στομφρίσασθαι μὴ λέγε, ἀλλὰ διαλελυμένως, σῖτον μεμφέσθαι.

Στῆθος, καὶ στηθίδιον λέγε ὑποκοριστικῶς, μὴ στηθώνιον.

Συλῶ, τὸ κλέπτω. ὅθεν ἱερόσυλος. καὶ συλῶ,

τὸ βλάπτω ποιητικῶς, ὡς παρ᾽ Ὁμήρῳ ἐν τῇ α´ Ἰλιάδος· κεῖται ἀνήρ, ὃς πρῶτος ἐσύλα τὸ τεῖχος.

Συγκαταβαίνειν οὐκ ὀρθῶς, ἀλλὰ συγκαθεῖναι λέγε ἀρχαῖον. συγκαθιέναι, καὶ συγκαθῆκεν εἰς τὸ παίζειν.

Συλλαμβάνει ὁ δεῖνα τῷ δεῖνι, ἤγουν βοηθεῖ. ὃ καὶ συνεπιλαμβάνει λέγεται. Θουκυδίδης ἐν τῇ δευτέρᾳ. καὶ λόγῳ καὶ ἔργῳ, ξυνεπιλαμβάνειν αὐτοῖς. καὶ συλλαμβάνει ἡ γυνὴ παιδίον ἤγουν ζῶν αὐτῇ ἔνδον λαμβάνει. καθὸ λέγεται καὶ συλλαβή, ὅταν γράμμα, ἕτερον γράμμα συλλάβῃ. καὶ γὰρ αἱ μονογράμματοι, καταχρηστικῶς λέγονται συλλαβαί. συλλαμβάνειν λέγεται, καὶ ὅταν τινά τις

Σύμμετρον, τὸ μή τι ὑπερέχον, μὴ ἐλλεῖπον. κράτιστον. τὰ ἐλαττούμενα καὶ τὸ ἐξαρκοῦν καὶ ἁρμόζον. Ἀριστείδης ἐν τῷ Παναθηναϊκῷ. πᾶσι δὲ συλλόγοις καὶ βουλευτηρίοις, σύμμετρος.

Σκιφὸς ἤγουν τοῦ γλίσχρου καὶ μικροπρεποῦς ἐπὶ τὰ ἀναλώματα. οἱ δὲ ἀρχαῖοι σκνιπὸς λέγουσιν, ἀπὸ τοῦ ζωυφίου τοῦ σκνιπὸς τοῦ τὸ ξύλον κατὰ βραχὺ ἐσθίοντος.

Σχολαστὰς οὐκ ὀρθῶς, ἀλλὰ συμφοιτητάς.

Στέμφυλα οἱ πολλοί, τὰ τῶν βοτρύων μετὰ τὸ ἐκπιεσθῆναι. οἱ δ᾽ Ἀττικοί, στέμφυλα τὰ τῶν ἐλαιῶν. Ἀριστοφάνης ἐν Νεφέλαις. βρύων μελίτταις, καὶ στεμφύλοις καὶ προβάτοις.

Σημεῖον λέγοντες, σημειοῦσθαι οὐ λέγομεν, ἀλλ᾽ ἀποσημαίνεσθαι. ὡς Ἀριστοφάνης ἐν Πελαργοῖς. ἀποσημηνάμενοι τὰς τῶν κακούργων οἰκίας.

Μὴ μόνον σοφώτατος τῶν ἡλικιωτῶν λέγομεν, ἀλλὰ καὶ σοφώτατος τῆς ἡλικίας, ἀντὶ τοῦ πάντων τῶν εἰς τὴν αὐτὴν ἡλικίαν τελούντων.

Σταθῆναι καὶ στῆναι, διαφέρει. σταθῆναι μὲν τὸ ὑφ᾽ ἑτέρου. οἷον, ἐστάθη ὁ ἀνδριάς. ἔστη δέ τις, κατ᾽ ἰδίαν ὁρμὴν καὶ προαίρεσιν.

Κατασκηνοῦν καὶ σκήνωμα, παρὰ τῇ θείᾳ γραφῇ. οἱ ῥήτορες δέ, σκηνὴν μόνον γράφουσι. καὶ σκηνόω σκηνῶ μόνον παρ᾽ ἐκείνοις. παρὰ δὲ τούτοις, σκηνέω σκηνῶ ὡς ἐπὶ τὸ πολύ. ἅπαξ δέ, καὶ σκηνόω σκηνῶ. Ἀριστείδης ἐν Θεμιστοκλεῖ. παρ᾽ αὐτὸν τὸν θάνατον ἐσκηνῶσθαι. καὶ πάλιν. ὁ μὲν τοῖς ναύταις ἐσκηνωμένος.

Σκῶμμα, γελοῖον, εὐτράπελον, καὶ γεφυρισμὸν διαφέρει. σκῶμμα μὲν γάρ ἐστι, τὸ ἤγουν διασυρμῷ τοῦ πέλας λεγόμενον. γελοῖον δέ, τὸ ἤγουν διαχύσει τῶν ἀκροατῶν χωρὶς τινος ὕβρεως. εὐτράπελον δέ, τὸ μετὰ σκώμματος χαριέντως λεγόμενον. εἴρηται δέ, παρὰ τὸ εὖ τρέπεσθαι τὸν λόγον. γεφυρισμὸς δέ, ἀπὸ τοῦ ἤγουν τὴν γεφυρῶν γράφειν ἤτοι ἐμμέτρα ἢ καὶ δίχα μέτρων, διασυρμὸν τινῶν ἔχοντα.

Σπουδάζειν, τὸ ἐναντίον τοῦ παίζειν. σπουδάζειν δέ, τὸ ἀγωνίζεσθαι.

Συγγνωμονεῖν μὲν ἔστι πῆς. συγγινώσκειν δέ, καὶ συγγνώμης ἀξιοῦν. ὡσαύτως καὶ συγγνῶναι, καὶ συγγνώμης ἀξιῶσαι, καὶ συγγνωμονῆσαι.

Κατὰ συγγνώμην ἵστασθαι κάλλιον λέγειν, ἢ συγγινώσκειν.

Συνοργὴς μέν ἐστιν, ὁ περὶ συγγνώμης ἄξιόν ἐστι. συμπονῶν ὀξυτόνως. συνόργος δὲ προπαροξυτόνως, ὁ τὸ αὐτὸ μετιών. οἷονεί, συνέμπορος.

Συλλεχθεὶς κάλλιον, ἢ συλλεγεὶς. Ἀριστείδης ἐν τῷ Παναθηναϊκῷ. πρός γε τὸν συλλεχθέντα τὸν ναυτικὸν ἀριθμόν.

Συνίσταται καὶ ἀντὶ τοῦ πέπηγεν ᾧ ἐναντίον τὸ χαυνοῦται. οἷον συνέστη παρὰ τὸ ψύχος κρύσταλλος, ὅθεν καὶ ἀσύστατον φαμὲν τὸ χαῦνον καὶ μὴ ἤγουν τῆς αὐτῆς πεπηγότα γνώμης, ὃ καὶ εὐμετάπτωτον λέγομεν καὶ συνίσταται ἀντὶ τοῦ ἀρχὴν λαμβάνει. Λιβάνιος ἐν ἐπιστολῇ τῇ, εἰμὶ καὶ αὐτὸς ἥδεσθαι καὶ συνέστη καὶ ηὐξήθη πρὸς τὸν χρηστὸν ἡμῖν Μακεδόνιον φιλία. ὅθεν καὶ ἀσύστατον ζήτημα, τὸ μὴ ἀρχήν τινα καὶ λαβὴν δυνάμενον παρέχειν τοῖς μεταχειρίσασθαι βουλομένοις. ὡς τό, ὁ Ἀλέξανδρος εἶδεν ὄναρ, ἀπείροις μὲν πιστεύειν. καὶ συνίσταται ἀντὶ τοῦ συνδέχεται. Φιλόστρατος ἐν εἰκόσι. συνίσταται δὲ εἰς κολυμβήθραν πανκάλλην. καὶ συνίσταταί τις τινί, ἀντὶ τοῦ γνώριμος γίνεται. οὗ τὸ ἐνεργητικὸν συνίστημι. Συνέσιος ἐν ἐπιστολῇ, συνίστημι τῇ φιλίᾳ καὶ τῇ προστασίᾳ τῇ σῇ, τὸν θαυμάσιον Ὠρίωνα.

Συντίθημι τὸ συναρμόζω. καὶ συντίθεταί τις, ἀντὶ τοῦ συναρμόζεται. συντίθημι τὸ συνάγω. ὡς τό, πάντα συνθεὶς χρήματα. συντίθημαι δέ, τὸ ὁμολογῶ. Λιβάνιος ἐν τῷ περὶ τῆς ἑαυτοῦ τύχης. συνθέμενος ἧξεν εἰς τὴν ὑστεραίαν.

Συμπεσεῖν, τὸ ὁμοῦ συγχεῖσθαι ἐρχομένων εἰς πόλεμον ἀλλήλοις, καὶ συρρηγνυμένων. ὡς τὸ συμπεσόντες ἐξ ἑωθινοῦ, μέχρι δείλης ἐμάχοντο. καὶ συμπεσεῖν, τὸ συμβιῶναι.

Οὐ μόνον συμφέρων ὁ ὠφέλιμος, ἀλλὰ καὶ σύμφορος. Θουκυδίδης. σύμφοροι ἡμῶν ἀπαράσκευοι ὄντες. ἀπὸ γοῦν τοῦ συμφέρων, συμφορώτατος. ἀπὸ δὲ τοῦ σύμφορος, συμφορέως. ὁ αὐτός. τοὺς δὲ ξυμφόρους δεῖ κολάζεσθαι.

Συμφορὰ, οὐ μόνον ἡ συμβᾶσα τινὶ δυσχέρεια, ἀλλὰ καὶ ἡ συνέλευσις. Σοφοκλῆς ἐν Ἠλέκτρᾳ. καὶ τὴν συμφορὰν, γεγηθὸς ἕρπει δάκρυον ὀμμάτων ἄπο. καὶ συμφέρω, οὐ μόνον τὸ εἰς συμφέρον τινὶ εὐεργετοῦμαι, ἀλλὰ καὶ τὸ συνέρχομαι. ὡς ὁ αὐτὸς ἐν τῷ αὐτῷ δράματι. τῷ τε χρόνῳ νοῦν ἔχειν συμφέρειν τοῖς κρείττοσι. καὶ συμφέρουσιν ἤγουν πληθυντικῶς, τὸ ὁμοῦ πράγματά τινα φέρουσιν. Ἀριστείδης ἐν τῷ Παναθηναϊκῷ. θεοὶ δὲ συμφέροντες παρεῖχον, οἱ μὲν φυτά, οἱ δὲ σπέρματα.

Σύνοιδά σοι χρηστόν τι. καὶ σύνοιδά σε ἀγαθὸν ὄντα. διὰ τὸ ἐκεῖσε μὲν δηλαδὴ συνάπτεσθαι τὴν σὺν πρόθεσιν πρὸς τὸ σοί, ἐνταῦθα δὲ μὴ ἔχειν ὅπου συντάττεσθαι αἰτιατικῆς οὔσης. ἤγουν δὲ πληθυντικῶς, καὶ ἀμφότερα. οἷον, πολλοὶ συνίσασί σοι τὰ βέλτιστα. καὶ πολλοὶ συνίσασί σε βέλτιστον, ἀντὶ τοῦ ὁμοῦ πάντες ἐπίστανταί σε τοιοῦτον. Ἀριστείδης ἐν τινι τῶν ἱερῶν.

ὁμολογῶ

ὡμολόγησαν εἰδὲ δή ποτε, μηδένα που τῶν πάντων συνειδέναι τοσαῦτα τιμηθέντα.

Σ σοφίζομαι, τὸ σοφιστικῶς λέγω. ἤγουν, τὸ δι' ἐπιχειρημάτων ἀποδείκνυμί τι, ὅπερ οὐ κυρίως τοιοῦτόν ἐστι. καὶ σοφιστὴς ὁ ῥήτωρ. καὶ σοφίζομαι, τὸ παραλογίζομαί τινα. ὃ καὶ κατασοφίζομαι λέγεται. καὶ σοφιστὴς ὁ ἀπατεών. καὶ τὸ ἐφευρίσκω καὶ μηχανῶμαι. καὶ σοφίζομαι ὑφ' ἑτέρου, ἀντὶ τοῦ διδάσκομαι. ὅπερ ἔχει ἐνεργητικὸν τὸ σοφίζω. καὶ σοφιστὴς ὁ διδάσκαλος. ἐκάλουν δὲ οἱ παλαιοὶ σοφιστάς, καὶ τοὺς ἐνδόξως μὲν φιλοσοφίαις χρωμένους, δι' εὐγλωττίαν δὲ σοφιστικὴν θαυμασθέντας.

Σ ι σαπρίους ἐπίθετα κάλλιον λέγειν, ἢ σαπρὸν ὁ

Σ χολαίτερον κρεῖττον, ἢ σχολαιότερον. γίνεται δὲ τὸ μὲν σχολαίτερον, ἀπὸ τοῦ σχολῆ. τὸ δὲ σχολαιότερον, ἀπὸ τοῦ σχολαῖον. εἴρηται δέ, ἀπὸ τοῦ σχολῆ. ἔστι δὲ ψιλικῶς. σχολαῖός τε, σχολαία, καὶ σχολαῖον. θουκυδίδης. σχολαίᾳ κομισθέντες.

Σ ταδιαία μάχη, ἡ κατὰ σύστασιν γινομένη καὶ οὐ κατὰ δίωξιν.

Σ ύνθημα, τὸ ἐπιφώνημα ὃ λέγουσι τὰ στρατόπεδα ἐν ταῖς μάχαις, γνώρισμα τῶν ὁμοφύλων. καὶ σύνθημα, τὸ ἁπλῶς γνώρισμα. σύνθημα δὲ καὶ ἡ συμφωνία. θουκυδίδης. ἐγίνετο γὰρ ἀπὸ συνθήματος. ὃ καὶ συνθήκη γράφεται. λέγεται δὲ συνθήκη καὶ ἐπὶ λόγου. ἔτι δὲ καὶ σύνθεσις.

Σ τασιωτικὸν κάλλιον λέγειν τὸ στασιῶδες λαόν, ἢ στασιαστικόν. ὡς ὁ αὐτός. ἀντεπιπόντος κατὰ τὸ στασιωτικόν.

Σ υγγραφεύς, οὐ μόνον ὁ συγγραψάμενος πόλεμόν τινα, ἤ τι ἄλλο ἐφ' ἑαυτοῦ γινόμενον, οἷος ἦν θουκυδίδης, ἀλλὰ καὶ τοὺς γράφοντας ψηφίσματα ἢ ἄλλο τι τοιοῦτον, συγγραφέας ἐκάλουν. θουκυδίδης. καὶ εἰσήνεγκαν οἱ συγγραφεῖς, ἄλλο μὲν οὐδέν.

Σ τεφανίτης ἀγών, ἐν ᾧ ἐδίδοντο οἱ στέφανοι. οἷον, πάλη. δρόμος. καὶ τὰ τοιαῦτα. ἀριστείδης ἐν τῷ παναθηναϊκῷ. καὶ πρῶτον μὲν τοὺς ἐν τοῖς στεφανίταις δρόμους ἀπήρυψαν. στεφανίτης δὲ ὁ ἆθλος οὐκέτι, ἀλλὰ στεφανηφορῶ.

Σ ήσαμα, καὶ ὁ καρπὸς καὶ ὁ τόπος οὗ ἐπωλεῖτο.

Σ ῦκος ἀττικοὶ δι' ἑνὸς κ. ἄλλως δέ, διὰ δύο.

Σ τοῦ δικαστηρίου συνεδικάζετο χρὴ λέγειν, οὐ συνεκρίνετο. συνεκρίνετο γάρ, ἀντὶ τοῦ ἡνοῦτο. ὡς ἔχει καὶ ἡ παρὰ τοῖς φιλοσόφοις σύγκρισις. ἧς τὸ ἐναντίον διάλυσις. ἐπεὶ καὶ ὅ φαμεν ἐν τῇ συνηθείᾳ συγκρίνειν, ἀντὶ τοῦ πρὸς τὸν δεῖνα τὸν δὲ παρεξετάζειν, οὐχ εὕρηται παρὰ τοῖς δοκιμωτάτοις τῶν παλαιῶν. ἀλλ' ἀντὶ τούτου, παραβάλλειν, καὶ παρεξετάζειν, καὶ παρατιθέναι.

Σ χέδιον, τὸ μὴ μετὰ σκέψεως γινόμενον. καὶ σχεδιάζω, καὶ αὐτοσχεδιάζω, τὸ ἀμελετήτως λέγω ἢ γράφω. λέγεται δὲ σχεδιάζω, καὶ τὸ ψεύδομαι. καὶ κατασχεδιάζω, τὸ καταψεύδομαι.

Σ ταθμοί, καὶ αἱ τῶν θυρῶν παραστάδες, καὶ οἱ κοινῶς λεγόμενοι σταῦλοι. ἔνθα σταθμοί, καὶ οἱ κατὰ τόπους δημόσιαι ἀγοραί, ἔνθα καὶ ἵπποι δημόσιοι ἐτρέφοντο. λιβάνιος ἐν ἐπιστολῇ τινι, πρότερον μὲν ἐθαύμαζεν τὸν κράτιστον ἀρμοζόντα. σταθμός ἐστι περὶ τὸν εὐφράτην, καλλίνικος ὄνομα αὐτῷ.

Σ απέρδης, τὸ σεσαπρωμένον τάριχος.

Σ τέγος λέγε. τὸ δὲ τέγος, ποιητικόν. ἄλλως. στέγος κοινόν. τέγος, ἀττικόν.

Σ υμβουλεύω ἐνεργητικῶς, ἀντὶ τοῦ εἰς συμβουλὴν τῶδε καθίσταμαι. συμβουλεύομαι δὲ παθητικῶς, ἀντὶ τοῦ συμβούλῳ χρῶμαι. λιβάνιος ἐν μελέτῃ τῇ τοῦ φιλαργύρου. συμβουλομένῳ τοῖς ἐπιτηδείοις, ἥν τινα αὐτῷ τέχνην δοτέον.

Σ υνώμοτον, οὐ μόνον τὸ ἐκ συνωμοσίας πεπραγμένον ἢ βούλευμα, ἤ, τι τοιοῦτον ἕτερον καὶ συγγενές ἐστιν, ἀλλὰ καὶ αὐτὴ ἡ συνωμοσία. θουκυδίδης ἐν τῇ δευτέρᾳ. ἐκλιπόντων δὲ τῶν δὲ προτέρων τὸ ξυνώμοτον.

Ο ὐ μόνον κρέα τοῦ δεῖνος φαμέν, ἀλλὰ καὶ στόμα τοῦ δεῖνος. ἡρόδοτος ἐν τῇ δευτέρᾳ. στόμα τοῦ αἰθίοπος ἐς τὴν δωρεὰν καλλίστην σφίσας, καὶ συνοδὸν κομίζειν. τίθεται δὲ ἐνταῦθα τὸ στόμα, ἀντὶ (τοῦ ἀγγελία.

Σ τόλος οὐ μόνον ἡ διὰ θαλάσσης πορεία, καὶ τὸ τῶν νεῶν πλῆθος, ἀλλὰ καὶ ἡ διὰ τῆς γῆς πορεία, καὶ αὐτὴ ἡ στρατιὰ παρ' ἡροδότῳ ἐν τῇ τρίτῃ. ἀπεὶς τὸν ἐπ' αἰθίοπας στόλον, ὁ ταῦτα ἐπορεύετο. καὶ αὖθις ἐν τῇ αὐτῇ. ὁ μὲν ἐπ' αἰθίοπας στόλος οὕτως ἔπρηξε.

Σ ύνθετον, οὐ μόνον τὸ συγκείμενον ἐκ τινῶν, ἀλλὰ καὶ ἡ συμφωνία. ὁ αὐτὸς ἐν τῇ αὐτῇ. ὥσπερ ἐκ συνθέτου τὰ γινόμενα.

Τέλος τοῦ σ΄ στοιχείου.

ΑΡΧΗ ΤΟΥ Τ.

Τ ριακοντούτης ἄνθρωπος ἀττικοί. οὐ τριακονταέτης. καὶ ἐπὶ τῶν ἑξῆς ἀριθμῶν ὁμοίως. τριακονταετὴς δὲ χρόνος. λυσίας δὲ ἀντὶ τοῦ εἰπεῖν ἑβδομηκοντούτης γυνή, ἑβδομηκοντοῦτις εἶπε, λέγων ἐραστὴς ποιούμενος γυναικὸς ἑβδομηκοντούτιδος.

Τ ύμβρον ἀττικοί, οὐ σκύμβρον. τὸ δὲ τέμβρον εἶναι, καὶ τὸ τέμβρον ἔχειν, κρεῖττον ἢ τὸ νέον εἶναι, καὶ νέον ἔχειν. ἀριστείδης ἐν τινι τῶν ἰδιωτῶν. τὸ σύμβρον εἶναι ἀλευρὸν καὶ ἔμετος, μετὰ ῥαστώνης.

Τ εὖτλον, καὶ τεῦτλον ἀττικοί, οὐ σεῦτλον. ἀριστοφάνης ἐν βατράχοις. τευτλίοις μικροῖς.

Τ ερατεία, ἡ θαυματοποιΐα. τερθρεία δέ, ὁ μετὰ φλυαρίας τερατώδης λόγος.

Τ εῖχος οὐδετέρως τὸ τῆς πόλεως. τοῖχος δὲ ἀρσενικῶς, ὁ τῆς οἰκίας. τειχίον μέντοι καὶ τὸ τῆς οἰκίας λεγόμενον, οὐχ ὡς ὁ τοῖχος, ἀλλ' ὡς τὸ τεῖχος γράφεται.

Τ εθυμμένον, οὐ τεθυμιαμένον. ὅθεν καὶ ἡ παροιμία, εἰς τεθυμμένον πίθον ἀντλεῖν, ἐπὶ τῶν ἀνηνύτοις ἐπιχειρούντων λεγομένη.

Τ έρα καὶ τεράτων ἀττικοί, ὡς κρέα, κρεῶν. τέρατα δὲ καὶ τεράτων ἁπλῶς Ἕλληνες.

Τ υφῶς. τυφῶ, τυφῶ. τυφῶν. ὡσαύτως καὶ πάντων τῶν μονοκλίτων. αἱ αἰτιατικαί, εἰς ν λήγουσι κατὰ τὸν κανόνα τὸν λέγοντα, πᾶσα εὐθεῖα εἰς ς λήγουσα, ὅταν ἔχῃ τὴν αἰτιατικὴν ἰσοσύλλαβον, μετὰ τῶν αὐτῶν φωνηέντων εἰς ν ταύτην ἔχει λήγουσαν. σεσημείωται ἐν μὲν τοῖς ἀρσενικοῖς τὸ, ἄνω. ἐν δὲ τοῖς θηλυ(κοῖς, τὸ κῶ.

Τ ιμήσεται, οὐ τιμηθήσεται.

Τ ὸ τάριχος δεῖ λέγειν, οὐχ ὁ τάριχος.

Τ ελευταῖον. τελευταιότατον δὲ ἀδόκιμον, ὡς καὶ κρυφαιότατον.

Τ εῦχος ἐπὶ ἀγγείου ἀττικοί. ἐπὶ δὲ βιβλίου Ἕλληνες.

Τ ρωαὶ κάλλιον, ἢ φωάδες. (ιερ.

Τ αμίαι ἀττικοί. οἰκονόμοι καὶ ἐπίτροποι Ἕλληνες.

Α ἱ πάντα τὰ ἀπορρηματικά, ὑποτακτικῶς ἐκφέρεται. οἷον, τί χρήσωμαι, καὶ τίς γένωμαι, καὶ τί δράσωμαι.

Τ υπήσει κρεῖττον, ἢ τύψει, καὶ παίσει.

Τ ιμῶ οὐ μόνον τὸ δοξάζω, ἀλλὰ καὶ τὸ τιμωρίαν ἐπιτίθημί τινι, ἀπὸ δοτικῆς ἐπὶ γενικήν. ἀριστείδης ἐν τῷ παναθηναϊκῷ. φυγῆς αὐτῷ τιμῶσιν ὁ πρόσθεν. λιβάνιος ἐν ἐπιστολῇ. τιμᾷ αὐτῷ τῶν ἐσχάτων, εἴ τις ἐξελέγξειεν. ἐξ οὗ καὶ τίμημα ἡ τιμωρία. ὁ αὐτὸς ἐν ἐπιστολῇ. τῇ πρότερον μὲν ἐθαύμαζον. ἄλλως δ', ὅτι μὲν τίμημα τηρεῖν αὖ ἔχει. τὸν δ' ἔξω τῆς αἰτίας ἀφιέναι. τιμῶμαι δὲ παθητικῶς, καὶ ἐπὶ ἐνεργητικῆς σημασίας, καὶ ἐπὶ παθητικῆς, πλάτων ἐν τῇ τοῦ σωκράτους ἀπολογίᾳ. τιμᾶται δ' οὖν μοι ὁ ἀνὴρ θανάτου. καὶ πάλιν ἐν τῇ αὐτῇ. εἰ μὴ πάθω τοῦτο οὐ μέλλει τις μοι τιμᾶσθαι. καὶ πάλιν ἐν τῇ αὐτῇ. ἐγὼ δὲ δὴ τίνος ὑμῖν ἀντιτιμήσομαι ὦ ἄνδρες ἀθηναῖοι. καὶ δημοσθένης. ἢ ἐγὼ πάσχειν ὁτιοῦν, τιμῶμαι ἂν μὴ τὰ δίκαια φῶ πρὸς ὑμᾶς. καὶ τιμῶμαι τὸν δεῖνα τοῦ δεῖνος. ὡς τὸ, τοῦ παντὸς τιμῶμαι τὰ σά. ἤγουν, ἐν λόγῳ τιμήματος τοῦ παντὸς ἄξια κρίνω. οὕτως ἔχει καὶ τὸ, πόσου τιμᾶται ταῦτα τὰ ὤνια. ἤγουν πόσου τιμήματός εἰσιν ἄξια. ὅθεν καὶ τίμημα, ἡ τῶν ὠνίων ἀξία. λέγεται τίμημα καὶ ἡ περιουσία, διὰ τὸ ἔθος εἶναι τοσοῦ δέ τινος τοσοῦ τιμᾶσθαι τὰς τῶν παλαιῶν οὐσίας. δημοσθένης. οἱ τὰ μεγάλα τιμήματα ἔχοντες. ἀριστείδης ἐν τῷ παναθηναϊκῷ. οὐ τοὺς ἀπὸ τῶν μεγάλων τιμημάτων, ἀλλὰ τοὺς ἐπιεικεστάτους τὴν φύσιν. τίμημα δὲ καὶ ἡ πρόσοδος. δημοσθένης. τὸ τίμημα τῆς πόλεως.

Τ έμαχος κρέως, ἢ ἄρτου, ἢ πλακοῦντος οὐκ εἴποις, ἀλλὰ τόμος. τὸ γὰρ τέμαχος, μόνον ἐπὶ ἰχθύος. ἀριστοφάνης ἐν πλούτῳ. πολύ τι χρῆμα τεμαχῶν, καὶ κρεῶν ὀπτωμένων. διὰ γὰρ τοῦ εἰπεῖν καὶ κρεῶν, ἐδήλωσεν ὅτι τὰ τεμάχη ἐπὶ ἰχθύων λέγει. καὶ πάλιν ὁ αὐτὸς σαφέστερον τοῦτο ἐδήλωσεν ἐν νεφέλαις. λέγει γὰρ, εἶτ' αὐτοῦ τῶν κατέπινεν κεστραίων τεμάχη. εἰ καὶ συνέσιος ἐν τῷ περὶ βασιλείας εἶπε, τεμάχη ἄττα ταρίχη κρεῶν ὑείων ἀπολελαυκότα τοῦ χρόνου.

Τ ὸ τυγχάνει ἀντὶ τοῦ ὑπάρχει, μετὰ τοῦ ὢν τίθεται ἐκ παραλλήλου. οἷον, φίλος μοι τυγχάνει ὢν καὶ ἐχθρός μοι τυγχάνει ὤν. εὑρίσκεται δὲ καὶ χωρὶς τοῦ ὢν, ὡς παρ' ἄλλοις τε πολλοῖς καὶ παρὰ λιβανίῳ ἐν ἐπιστολῇ. ὥσπερ ἂν εἰ κυβερνήτης ἐτύγχανες, ἠξίουν ἂν σε. τοῦτο δὲ γίνεται καὶ ἐπὶ τοῦ κυρῶ παρὰ ποιηταῖς, ὡς προέφημεν. εἰ τύχοι ὡς λέγουσι τινὲς ἀμαθῶς. σὺ δὲ, τυχικῶς φάθι.

Τ ονθορίζω καὶ τονθορισμὸς ἀττικοί, σὺν τῷ θ. τονθορίζω καὶ τονθορισμός. ἔστι δὲ τονθορίζω, τὸ κρύφα καὶ καθ' ἑαυτὸν μετὰ γογγυσμοῦ, τι λέγω.

Τ ὸ διαφθερεῖ κάλλιον λέγειν ἢ τὸ διαφθορεῖ. καθὰ καὶ δημοσθένης ἐν τῷ περὶ στεφάνου. τὸ δοῦλον ἢ ἐλεύθερον εἶναι διαφθερεῖ.

Τ ετύχηκα τιμῆς ἀδόκιμον λέγειν. τὸ δὲ τετύχηκα, (δόκιμον.

Α μαρτάνουσιν οἱ λέγοντες ταμία ἐπὶ γενικῆς, καὶ μὴ ταμίου. μόνα γὰρ τὰ ὑπὲρ δύο συλλαβὰς, ἢ εἰς α. ἢ ρας, τρέπει τὴν γενικὴν εἰς ου. οἷον, μηδίας, μηδίου. διαγόρας, διαγόρου, καὶ ταμίας ταμίου.

Τ έχνη κυρίως, ἡ ἄνευ λόγου μὴ δυναμένη εἶναι. οἷον, γραμματική. ῥητορική. ἐπιστήμη, ἡ μετὰ ἀποδείξεως. οἷον, τὰ τέσσαρα μαθήματα. ἐπιτήδευμα δὲ, τὸ λόγου χηρεῦον. οἷον, χαλκευτικὴ, τεκτονική. λέγονται δὲ καὶ αὗται καταχρηστικῶς τέχναι.

Τ εχνάσασθαι, τὸ μετὰ τέχνης τι κατασκευάσαι. τεχνάσασθαι δὲ, τὸ κακουργῆσαι. καὶ τέχνημα, τὸ ἀπὸ τέχνης. τέχνασμα δὲ, τὸ κακούργημα.

Τ άπητες, οἱ ἐξ ἑνὸς μέρους μαλλὸν ἔχοντες. ἀμφιτάπητες δὲ, οἱ ἐξ ἀμφοτέρων. λέγεται δὲ καὶ θηλυκῶς, ἡ δάπις τῆς δάπιδος. συνέσιος ἐν ἐπιστολῇ. δάπιδα μεγάλην τῶν αἰγυπτίων. εὕρηται δὲ καὶ τάπις, τάπιδος, καὶ δάπης δάπητος. ἃ πάντα παρεὶς, τάπης τάπητος ὡς ἀττικοὶ χρῶνται γράφε.

Τ ιμωρῶ ἐνεργητικῶς, ὡς ἐπὶ τὸ πολὺ μὲν τὸ βοηθῶ. σπανίως δὲ τὸ κολάζω, παρὰ μόνοις τοῖς ποιηταῖς. εὐριπίδης ἐν ὀρέστῃ. παλαμήδης σε τιμωρεῖ φόνος. τιμωροῦμαι δὲ ὡς ἐπὶ τὸ πολὺ μὲν, τὸ κολάζω. σπανίως δὲ τὸ βοηθῶ. ἔστι δὲ καὶ τοῦτο μόνων ποιητῶν. σοφοκλῆς ἐν ἠλέκτρᾳ. ἐμοῦ δὲ πατρὶ πάντα τιμωρουμένης. τιμωρία, καὶ ἡ κόλασις καὶ ἡ βοήθεια. θουκυδίδης ἐν τῇ τρίτῃ. καὶ ἀπὸ ἀθηναίων, οὐδὲ μία ἦν ἐλπὶς τιμωρίας. καὶ ἀτιμώρητος ὁ ἀκόλαστος, καὶ ὁ ἀβοήθητος. ὁ αὐτὸς ἐν τῇ αὐτῇ. καὶ πολεμεῖσθαι ἐκ πάντων πολλαπλασίως, ἔρημοι καὶ ἀτιμώρητοι ἀπὸ τοῦ δεινοῦ μέλλοντος, ὕστερον ῥῆ-

μα παρά-

μα παρὰ τὸ ἀρχαῖον θανῶ θανεῖ, καὶ θανῶ κατὰ συγκοπήν. ἐξ οὗ θνήσκω. τέθνηκα, τέθνηκας, ἐτέθνειν. τεθνεὼς, τεθνεῶτος, τεθνάναι. καὶ φωνῇ δωρικῇ τοῦ ι εἰς α, τεθνάναι. ἀπὸ δὲ τοῦ ἐτέθνειν ἐτέθνεις ἐτέθνει, τεθνᾶσι. καὶ δωρικῶς, τεθνάναι. εἰσὶ δὲ οἳ λέγουσι ταῦτα καὶ οὕτως ἀπὸ τοῦ θανῶ θανεῖ, καὶ θνῆμι, ὁ δεύτερος ἀόριστος ἔθνην. ἡ μετοχὴ ὁ θνάς. καὶ κατὰ ἀναδιπλασιασμὸν, τεθνὰς τεθνάντος, τεθνάναι, καὶ τεθνάναι τὸ εὐκτικόν.

Τ ειχήρης λέγεται καὶ μὴ τειχήρους τειχήρων, καὶ μὴ τειχηρῶν. ἠκολούθησε γὰρ τῷ συνήθει καὶ κακοήθει, καὶ τοῖς ὁμοίοις. ταῦτα δὲ πάντα παροξυτονεῖσθαι θέλει, διὰ τὸ τὰ ἀπολελυμένα αὐτῶν παροξύτονα εἶναι. συνήθων δὲ καὶ συνηθῶν, καὶ κακοήθων λέγομεν. ἀριστείδης ἐν λευκτρικῷ τῶν λευκτρικῶν. ἢ πρὸς τὸν τειχήρων ἐμπρησμόν.

Τ εύξομαι, ἀντὶ τοῦ ἐπιτυχὴς ἔσομαι. τευξείμην τευξόμενος τεύξεσθαι. τὸ δὲ τευξείμην, ἀντὶ τοῦ κατασκευάσαι. ὥς τι εἰ τὸ τεύξεσθαι ἀντὶ τοῦ ἐπὶ τυχεῖν γράφουσί τις, ἁμαρτάνουσι. (ἰόν.

Τ ί, τις ἂν εἴποι, οἱ δόκιμοι. ἔστι δὲ τί ἄν τις εἴποι, καὶ

Τ έφρομαι, καὶ ὅταν πρὸς φέρονται λέγεται καὶ ὅταν πρὸς τὴν φορὰν, δοτικῇ συντάσσεται. οἷον, φέρω μοι σοι. ἤγουν, ἀπὸ σοῦ φέρομαι καὶ φέρομαι ἄρτον. σιτοῦμαι δὲ, αἰτιατικῇ ὡς παρ' ἀριστοφάνει. πῶς οὖν κενὸς βαρὰ σιτούμενος μάχη σὺ κενοκεφάλε.

Τ άχα, ἀντὶ τοῦ ταχέως ποιηταί, οἱ δὲ ῥήτορες, ταχέως καὶ τάχιστα καὶ ἐν τάχει. τὸ δὲ τάχα ἀντὶ τοῦ ἴσως, καὶ ἀμφότεροι. ὅπερ καὶ μόνον τίθεται. καὶ μετὰ τοῦ ἴσως. ποτὲ δὲ καὶ μετὰ τοῦ πού, τοῦ δηλοῦντος τὸ ἴσως ἐκ παραλλήλου. οἷον, τάχ' ἂν γένοιτο, καὶ τάχ' ἴσως. καὶ τάχα που.

Τ ολμητὰς, οὐ τολμητίας. ἀττικοὶ γὰρ τοῦτο. θουκυδίδης. καὶ παρὰ δύναμιν τολμηταί, καὶ παρὰ γνώμην κινδυνευταί. Οἱ μὲν ἀττικοὶ, τελευτὴν ἐποίησα λέγουσι, καὶ τελευτῶσα ἐποίησε. καὶ τελευτῶν τις ἐποίησεν. ὡσαύτως καὶ ἐπὶ τῶν ἄλλων ῥημάτων, καὶ πασῶν τῶν αἰτιατικῶν. οἱ δὲ κοινοὶ, τελευταῖον λέγουσι.

Τ έλειος. καὶ τελείως ἐπίρρημα καὶ τελειῶ, δύναμαι τέλεια, ἢ μετὰ τοῦ ι.

Τ αυτὸν λέγε, μὴ τὸ ταυτόν. τὸ γὰρ ταυτὸν τὸ αὐτὸ ὂν, κατὰ συναλοιφὴν ταυτὸ γέγονε. γράφεται δὲ καὶ ταυτὸν, καὶ ταυτὸ, ἐπαγομένου τοῦ συμφώνου, καὶ ἐπαγομένου φωνήεντος. οἷον ταυτόν τι ποιεῖς, καὶ ταυτό τι ποιεῖς. καὶ ταυτὸν ἐποίησε, καὶ ταυτὸ ἐποίησε. ὡσαύτως καὶ τοιοῦτον τι λέγε, καὶ τοιοῦτό τι. καὶ τοιοῦτον ἐστι. τὸ δὲ ταυτότης καὶ ταυτίζειν, οὐ ῥητορικόν.

Τ ετυφωμένος καὶ ὁ ἀλαζὼν, καὶ ὁ ἐμβρόντητος καὶ ἔξω φρενῶν, ἐκ μεταφορᾶς τοῦ κεραυνωθέντος τυφῶνος. δημοσθένης. ληρεῖν καὶ τετυφῶσθαι δόξαιμι.

Τ έκτειν κυρίως ἐπὶ γυναικῶν. τὸ δὲ γεννᾶν, ἐπὶ ἀνδρῶν. ὅθεν καὶ γεννήτωρ καὶ γενέτης ὁ πατήρ. ὅμηρος δὲ καὶ ἐπὶ ἀνδρὸς τῷ τίκτειν οἶδε χρῆσθαι. ὡς ἔχει τὸ, ὃν ἀθάνατος τέκετο ζεὺς, καὶ τὸ, τίκτει μ' αὐτὴρ πολλοῖσιν ἀνάσσων.

Τ ήθην λέγουσι τὴν τοῦ πατρὸς ἢ τῆς μητρὸς μητέρα, ἀλλ' οὐ μάμμην. οὐδεὶς γὰρ τῶν ἀρχαίων εἶπε. μᾶλλον μὲν οὖν τὴν μητέρα τινὲς αὐτῶν μάμμην καὶ μάμμιον ἐκάλεσαν. σὺ δὲ μητέρα, λέγε. τὴν δέ γε τοῦ πατρὸς ἢ τῆς μητρὸς ἀδελφὴν, τηθίδα φασίν. ἐδήλωσε δὲ λιβάνιος ἀμφότερα ἐν τῇ τοῦ ἀχιλλέως ἀπολογίᾳ, λέγων περὶ τῆς τοῦ ἀγαμέμνονος θυγατρός. πόθεν οὖν ἤσκησεν ἀρετήν. καὶ πότερον τὴν τήθην, ἢ τὴν τηθίδα μεμίμηται. ἤγουν, τὴν μάμμην αὐτῆς τὴν ἀφροδίτην δηλαδὴ, ἢ τὴν λήδαν, ἢ τὴν θείαν αὐτῆς ἑλένην τὴν τῆς μητρὸς ἀδελφὴν δηλονότι. ἀλλαχοῦ μὲν τὴν προμάμμην διὰ τῆς τηθίδος, ὁ αὐτὸς ἐμφαίνει λιβάνιος. τὸν δὲ τοῦ πάππου ἢ τῆς μάμμης πατέρα, ἐπίπαππον λέγει, ὡς ἐν τῇ πρώτῃ τῆς λάλου μελέτῃ. καὶ λέγει τίθας καὶ τηθίδας. καὶ πάππους, καὶ ἐπιπάππους. καὶ εἰς εἰκοστὸν καὶ τεσσαρακοστὸν ἀναβαίνει πρόγονον. τινὲς δὲ οἴονται ἐπίπαππον λέγεσθαι, καὶ τὸν τοῦ πάππου ἀδελφόν. τίτθαι δὲ λέγονται, αἳ μαστὸν παρέχουσαι. ἀριστείδης ἐν τῷ αἰγυπτίῳ. τοὺς τοιούτους λόγους καὶ μύθους, ταῖς τίτθαις ἄμεινον χαρίσαι τὰς ταλαρίοις, ἐπειδὰν ὕπνου δέωνται διηγεῖσθαι. τροφὸς δὲ καὶ τιθηνὸς, ἡ τὴν ἄλλην ἐπιμέλειαν ποιουμένη τοῦ παιδὸς, μετὰ τὸν ἀπογαλακτισμόν. ὁ μέντοι τοῦ πατρὸς πατὴρ οὐ μόνον πάππος, ἀλλὰ καὶ πάτρως λέγεται. λιβάνιος ἐν τῇ τοῦ διαγριζόμενου ποσειδῶνος ἀφ' ἧς ὑπὲρ ἀλιρροθίου μελέτῃ. πάντως οὐκ ἔμελλες ὀρυθιάσειν ἀλιρροθίου κηδεστὴς καλούμενος. οὐδέ γε πάτρως ἐκ τῶν τούτου φωνῶν. ἤτοι πάππος τῶν τούτου υἱέων. καὶ ἡρόδοτος. ὁ μὲν δὴ πρεσβύτερος τῶν παίδων τῷ κίμωνι, στησαγόρης ἦν. τηνικαῦτα παρὰ τῷ πάτρωι μιλτιάδῃ τρεφόμενος. ἤγουν, τῷ πάππῳ. πατὴρ γὰρ τοῦ κίμωνος ὁ μιλτιάδης. οὐ μόνον δὲ ὁ πάππος πάτρως λέγεται, ἀλλὰ καὶ ὁ τοῦ πατρὸς ἀδελφός. καὶ ὁ αὐτὸς ἡρόδοτος μάρτυς. ἀρτάβαζος ὁ ὑστάσπου πάτρως ἐὼν ξέρξου. ὁ γὰρ ὑστάσπης υἱοὺς εἶχε τὸν τε τοῦ ξέρξου πατέρα δαρεῖον, καὶ τὸν ἀρτάβαζον. ὡσαύτως καὶ μήτρως, οὐ μόνος ὁ τῆς μητρὸς πατὴρ, ἀλλὰ καὶ ὁ ταύτης ἀδελφός. πάτρων δὲ, ὁ τοῦ νῦν ἀπελευθέρου δεσπότης. ἔτι γε μὴν ἀνεψιὸς ὁ ἐξάδελφος. καὶ αὐτανέψιος, ὁ πρωτεξάδελφος. καὶ ἐξανέψιος, ὁ ἐξ ἀδελφοῦ υἱός. ἀδελφιδοῦς δὲ, ὁ ἀδελφόπαις. πρόγονοι καὶ οἱ ἄνω τοῦ γένους. οἷον, πρόπαππος, καὶ οἱ ἀνώτεροι. καὶ δὴ καὶ οἱ ἐκ προϋπαρχούσης τινὶ γυναικὸς παῖδες τῆς ὕστερον ληφθείσης, πρόγονοι λέγονται. ἔκγονος δὲ ὁ υἱός. ἔγγονος, ὁ υἱοῦ ἢ θυγατρὸς υἱός. καὶ ἐγγόνη, ἡ τούτων θυγάτηρ. κυρίως δὲ θυγατριδοῦς μὲν ὁ τῆς θυγατρὸς υἱός. καὶ θυγατριδῆ, ἡ ταύτης θυγ

πάτηρ. υἱωνὸς δὲ, ὁ τοῦ υἱοῦ υἱός. καὶ υἱωνὴ, ἡ τοῦ
υἱοῦ θυγάτηρ. ἔστι δὲ κρεῖττον υἱιδοῦς καὶ υἱιδῆ λέ-
γειν, ὥσπερ καὶ ἀδελφιδοῦς ὁ ἀδελφοῦ υἱὸς,
καὶ ἀδελφιδῆ, ἡ ἀδελφοῦ θυγάτηρ. φυσικὸς υἱὸς,
ὁ ἐκ πορνείας γεγονώς τινι. ἐναντίον ὁ γνήσιος·
ἔμπαλιν ἐναντίον ὁ νόθος, ὃν λέγουσιν υἱοθετη-
Κ ηδεστής. καὶ ὁ πενθερὸς, καὶ ὁ γαμβρός. ἀλλὰ δὴ καὶ
ὁ γυναικάδελφος. ὡς ἔχει καὶ τὸ τοῦ εὐριπίδου
ἐν ἑκάβῃ. τοῦτον ὦ σποράδην ὄντα κηδεστὴν σέθεν,
ὦ δέσποτα. ὁ γὰρ πολύδωρος, ἀδελφὸς ἦν κα-
σάνδρας ᾗ ἀγαμέμνων ἐχρῆτο.
Τ ρυφία λογογράφοι. θεράπαινα ποιητοῦ.
Τ έλος οὐ μόνον τὸ πλήρωμα, ἀλλὰ καὶ ἡ δαπάνη.
θουκυδίδης ἐν τῇ τετάρτῃ. καὶ καλῶς τε ἡμᾶς αὐ-
τοὺς ποιούντων τέλεσι τοῖς οἰκείοις. ἀριστείδης ἐν
τετάρτῳ τῶν ἱερῶν. ἰδίοις τέλεσι πολλῶν.
Τ έλη πληθυντικῶς, καὶ αἱ τῶν λακεδαιμονίων
καί τινων ἄλλων ἀρχαί. συνέσιος ἐν ἐπιστολῇ.
καὶ οἶδα τὴν πρὸς λεωνίδην ἐπιστολὴν τῶν τε-
λῶν. τέλη καὶ τὰ στρατιωτικὰ τάγματα.
ἡρόδοτος ἐν τῇ ὀγδόῃ. μεταπεμψάμενος σὺν
τοὺς ταξιάρχους τῶν τελῶν.
Τ ίλλω ἐνεργητικῶς τὸ ἀνασπῶ. τίλλομαι δὲ πα-
θητικῶς, καὶ τὸ ἀνασπῶ καὶ τὸ ἀνασπῶμαι.
λουκιανὸς ἐν τῷ ὀνείρῳ, ἢ ἀλεκτρυόνι. τί τοῦτο,
ἄμφω ἀπετίλλου. ὁ αὐτὸς ἐν τῷ αὐτῷ. ὅταν ὁ
κροῖσος τοῦ πλούτου τιλλόμενος τὰ [illegible] γέλωτα
παρέχῃ. ὁ αὐτὸς αὖθις, ἐν τῷ περὶ τῆς περε-
γρίνου τελευτῆς. καὶ τὰς τρίχας ἐτίλλετο
ἀποφειδόμενος μὴ πάνυ ἕλκειν. καὶ ἐν τῷ πε-
ρὶ τοῦ πένθους. παῦσαι τιλλόμενος τὴν κόμην.
Τ εθνήξεται, ἀντὶ μετ' ὀλίγον μέλλοντος λέγε-
ται. πλάτων δὲ ἐν γοργίᾳ, ἀντὶ μέλλοντος ἐνεργη-
τικοῦ λέγει. τεθνήξει οὗτος ὃν ἂν δόξῃ. καὶ λιβά-
νιος. εἰ μή τις αὐτοῦ μεταδοίη, τεθνήξει. ὥσπερ καὶ
λουκιανὸς ἐν τῷ ψευδοσολοιστῇ ἀπαγορεύει.
Τ όξευμα, οὐ μόνον ἡ τοξεία, ἀλλὰ καὶ αὐτὸ τὸ τό-
ξον. ἡρόδοτος ἐν τῇ ἕκτῃ. οὔτε ἵππου ὑπαρχού-
σης σφι, οὔτε τοξευμάτων.

Τέλος τοῦ τ' στοιχείου.

ΑΡΧΗ ΤΟΥ Υ.

Υ ἄλος ἀττικοὶ ἀριστοφάνης ἐν νε-
φέλαις. τὴν ὕαλον λέγεις. ὕα-
λος δὲ ἁπλῶς ἔλλειπε.
Υ φασμάτων κρεῖττον, ἢ ὕφασμα.
Υ ἄσπληξ θηλυκῶς ὀρθῶς· οὐχ ὁ.
Υ γιᾶ κρεῖττον, ἢ ὑγιῆ. διὰ τὸ τοὺς ἀττι- (ὕσπληξ.
κοὺς ἀεὶ εἰς α. ποιεῖν τὴν τῶν τοιούτων συναίρε-
σιν, οὔσης καθαρᾶς τῆς λέξεως. τοὺς δὲ κοινοὺς εἰς
η. ὅταν δὲ γίνεται καὶ ἀντὶ τῆς λέξεως καὶ αἰτια-
τικὰς τῶν πληθυντικῶν τῶν οὐδετέρων. τὰ
ὑγιᾶ γὰρ ἀκμαῖα. ὡσαύτως καὶ ἀντὶ τοῦ χρέος,
καὶ κλέος. καὶ ταῦτα γὰρ εἰς α. τὴν λέξιν,
καὶ τὴν αἰτιατικὴν τῶν πληθυντικῶν ἔχου-
σι. χρέα γὰρ καὶ κλέα λέγομεν.
Υ πνομαχεῖν ξενοφῶν. καὶ συνέσιος ἐν ἐπιστολῇ.
ἀπὸ μεσοπυργίου τε τεταγμένος ὑπνομαχῶ. σὺ
δὲ αἰσθήσεσθαι, ἢ ἀντιπράττειν τῷ ὕπνῳ λέγει,
Κ αὶ ὕδερος, καὶ ὕδρωψ. [illegible] ἢ ὕπνου κρατεῖν.
Υ ποκορίζομαι, τὸ μετὰ εὐλογίας σμικρύ-
νω. ἀριστοφάνης ἐν πλούτῳ. νηττάριον καὶ βάτ-
τιον ὑποκορίζετο. ἀριστείδης ἐν τῷ κατὰ τῶν
ὀρχουμένων. ἀνθρώπων ὑποκοριζομένων
τὴν ἀπὸ τῆς φαυλότητα καὶ δυσγένειαν. καὶ πλού-
ταρχος ἐν τῷ πῶς ἄν τις διακρίνοι τὸν κόλακα
τοῦ φίλου. ἐπιεικῶς ὑποκορίζεσθαι. τὰς μὲν πόρ-
νας, ἑταίρας. τὰς δὲ συντάξεις, φόρους. φυ-
λακὰς δὲ, τὰς φρουρὰς τῶν πόλεων.
Υ φίσταμαι ἀντὶ τοῦ ὑπομένω, λογογράφοι. λου-
κιανὸς ἐν τίμωνι. ὑπόστηθι ὦ τίμων δι' ἐμέ. ἀν-
τὶ τοῦ ὑπισχνοῦμαι δὲ ποιηταὶ καὶ θουκυδίδης
ἅπαξ. ἦγαγε τὸν ἄνδρα ὥσπερ ὑπέστη. ὑφί-
σταμαι, καὶ ἀντὶ τοῦ κρυφίως ἵσταμαι. λουκια-
νὸς ἐν τῷ φιλοψευδεῖ. ἐν σκοτεινῷ ἀποστάς.
καὶ ἀντὶ τοῦ ἀποχωρῶ. ὁ αὐτὸς ἐν τίμωνι. ἐγὼ
δὲ ὑμῖν ἀποστήσομαι. ὑφίσταμαι, καὶ τὸ ὑποκά-
τω τινὸς ἵσταμαι. καὶ ὑφίστημι τὸ ὑποβάλλειν τι.
Υ παιθρον μὴ λέγε, ἀλλὰ ὑπαίθριον.
Υ ἱὲ μηδαμῶς εἴπῃς, ἀλλ' υἱόν. μηδὲ υἱεὺς εἴπῃς,
ἀλλὰ υἱός. μὴ δὲ υἱεῖ, ἀλλὰ υἱῷ καὶ υἱῶν. υἱέες δὲ λέ-
γουσι, διὰ τοῦ ὀμικροῦ γράφει, ὡς καὶ δρομέας.
θουκυδίδης ἐν τῇ πρώτῃ. καμβύσου τοῦ υἱέος αὐ-
τοῦ. καὶ υἱέσι λέγει μὴ υἱοῖσι. καὶ υἱεῖς υἱέων. υἱέας
καὶ υἱεῖς. κρείττω γὰρ ταῦτα, τοῦ υἱοῖ καὶ υἱῶν,
καὶ υἱοῖς, καὶ υἱούς.
Υ ποτίθησι μὲν τὰ ἐνέχυρα ὁ δανειζόμενος. ὑπο-
τίθεται δὲ ὁ λαμβάνων ταῦτα. ἤγουν, ὁ δανεί-
ζων. καὶ ὑποτίθημι, τὸ ὑποβάλλω καὶ συμ-
βουλεύω, καὶ ὑποθῆκαι λόγοι, οἱ κατὰ συμ-
βουλὴν λεγόμενοι. ἡρόδοτος ἐν τῇ τρίτῃ. τρό-
πῳ τῷ δὲ ἐμῷ ὑποκειμένῳ.
Υ πισχνεῖται κυρίως τις, τὸ ἀξιωθὲν διδόναι.
ἐπαγγέλλεται δὲ, ὁ δίχα ἀξιώσεως παρέχειν.
Υ πάρχω, τὸ προκατάρχω. ὡς τὸ, (βουλόμενος
ὑπάρξαι ἀδίκου μάχης. ἀριστείδης ἐν δευτέρῳ
τῶν λευκτρικῶν. καὶ τὸ μὴ ἀντιποιεῖν τοὺς ὑπάρ-
ξαντας. καὶ ὑπαρχὴ ἡ προκατάρξις. καὶ ἀντὶ τοῦ
εἰμί. ἀριστείδης ἐν τῷ παναθηναϊκῷ. ὑπῆρχον
δὲ εἰς ἅπαντα νικῶντες. καὶ ὕπαρχος, τὸ ἀρχαί-
τερος ἄρχων. συνέσιος ἐν ἐπιστολῇ. τοὺς ὑπάρξαν-
τας, ὡς βελτίστους αἱρεῖσθαι.
Υ πάγω μὴ εἴπῃς ἀντὶ τοῦ ἀπέρχομαι, ἀλλ' ἀντὶ
τοῦ ὑπὸ ζυγὸν ἄγω. ὅμηρος. ὕπαγε ζυγὸν ὠκέας
ἵππους. οἱ δὲ βοηθοῦντες τῇ λέξει φασὶν, ὅτι ὑ-
πάγειν λέγεται τὸ προάγειν. ὥσπερ ὑφηγητὴς,
ἀντὶ τοῦ προηγητὴς, καὶ ἀπογραμμὸς ἀντὶ
τοῦ προγραμμὸς, ὥς φησι καὶ ἀριστοφάνης ἐγὼ
ὑπαίρω τὸν ὅρκον, ἀντὶ τοῦ προαίρω. καὶ ἀπο-
τίμησις, ἡ προτίμησις. καὶ ὑπειπεῖν, ἀντὶ τοῦ

προαπειπεῖν. καὶ ὑπολαβὼν, ἀντὶ τοῦ προλαβών. ὡς θουκυδίδης. οὐ γὰρ ἂν κήρυκα ὑπολαβόντας βίᾳ ἢ μὴ ὢν ἄγειν. οὕτως οὖν καὶ ὑπάγειν λέγομεν ἀντὶ τοῦ προάγειν. ἀριστοφάνης ἐν βατράχοις. ὕπαγε θ᾽ ὑμεῖς τῆς ὁδοῦ. καὶ εὔπολις ἐν βάπταις. σὺ δ᾽ ὕπαγε εἰς τοὔμπροσθεν. καὶ θουκυδίδης. παραινέσας ὑπῆγε τὸ στράτευμα. ὑπάγω καὶ τὸ ὑποβάλλω. ἀριστείδης ἐν τῷ αἰγυπτίῳ. καὶ τὰ δῆλα τοῖς ἀδήλοις ὑπάγειν.

Υ πέχω, τὸ ὑποτίθημι, ὡς τὸ ὑποσχὼν τὴν χεῖρα παρὰ τῷ θεολόγῳ. καὶ ὑπέχει τὰ ὦτα τοῖς λεγομένοις καὶ τὸ δίδωμι, ὡς τὸ ὑπέχω δίκην.

Υ πισχνοῦμαι. τὸ δὲ ὑπόσχομαι βαρβαρίζει. καὶ ὑπόσχωμαι δὲ ἐν χρήσει.

Υ φηγοῦμαι, τὸ διδάσκω καὶ παραινῶ. καὶ ὑφηγητής. καὶ ὑφηγοῦμαι τὸ προοδοποιῶ. σοφοκλῆς ἐν ἠλέκτρᾳ. ἀλλ᾽ ἐφ᾽ ὑφηγοῦ. μὴ εἴπῃς δὲ ἐκ τούτου καὶ ὑφηγητὴς ὁ προοδοποιός.

Υ πολαμβάνω, τὸ ὑποπτεύω καὶ τὸ προλαμβάνω ὡς ἔφαμεν. καὶ ὑπολαμβάνω τὸ ὑποκρίνομαι θουκυδίδης. ὑπολαμβάνουσιν οὐ χρεὼν εἶναι αὐτοὺς ἐπαγγεῖλαι. καὶ ὑπολαμβάνω τὸ ὑποδέχομαι ἡρόδοτος ἐν τῇ πρώτῃ. τῶν ὅμως οὐ παραινεσούσης ὑπέλαβε τὸν λόγον. καὶ αὖθις ἐν τῇ τρίτῃ. μαιάνδριος δὲ ὑπέλαβε τὸν λόγον.

Υ περήφανος ἄνθρωπος, ὁ ὑπερφρονῶν καὶ ἀλαζών. ὑπερήφανος δὲ παρασκευή, ἡ μεγάλη καὶ θαυμαστή. πλάτων ἐν φαίδωνι, ὑπερήφανον γάρ μοι ἐδόκει εἶναι εἰδέναι τὰς ἱστορίας ἑκάστου. καὶ ὑπερηφανωτέρα οἰκία, ἡ τῶν ἄλλων μείζων. δημοσθένης. τὰς ἰδίας οἰκίας κατεσκευάκασιν οὐ μόνον τῶν πολλῶν ὑπερηφανωτέρας.

Υ πολύω τὸν παῖδα καὶ ὑπολύω τὸν βοῦν. ἔργον, ἀπὸ τοῦ ζυγοῦ ὄντα διὰ μισθοῦ λύω. θουκυδίδης ἐν τῇ τετάρτῃ. τὰ μὲν, ὑπολύοντες κατέκοπτον. τὴν δὲ, οἰκείωσιν ἐποιοῦντο.

Υ ειον κρέας μὴ λέγε, ἀλλ᾽ ὕος κρέας. καὶ ὑεικὸν ὡς βοεικὸν, εἰ καὶ συνέσιος λέγει ὡς προέφημεν ταρίχη κρεῶν ὑείων ἀπολελαυκότα τῶν χρόνων.

Υ πόστρωμα ἀττικοί, οὐ ὑπέρστρωμα.

Τ ὸ ὑπόγυον οἱ δοκιμώτατοι, ἐπὶ τοῦ μέλλοντος τιθέασιν. ἔγγιον, ὑπόγυος κίνδυνος, ὁ ὅσον οὔπω ἐσόμενος. τινὲς δὲ ἐπὶ τοῦ παρεληλυθότος. ὡς ἔχει καὶ τὸ παρὰ τῷ θεολόγῳ γρηγορίῳ, ἐν τῷ εἰς τὸν μέγαν βασίλειον ἐπιταφίῳ. τὸ ὑπόγυον τῆς ὕβρεως αἰσχυνόμενος.

Υ ψιπέτης, ὁ εἰς ὕψος πετόμενος. ὑψιπετὴς δὲ, ὁ ἐξ ὕψους πεσών. ὡσαύτως καὶ δρυπέτης, καὶ ὅσα τοιαῦτα.

Ο ὐ μόνον ὑβριστικώτερος καὶ ὑβριστικώτατος φαμὲν, ἀλλὰ καὶ ὑβριστότερος, καὶ ὑβριστότατος. ἀριστείδης. πολλῷ προπετέστεροι καὶ ὑβριστότεροι, πάντες οἱ τούτου τοῦ σχήματος μετασχόντες.

Υ πνώδης παρ᾽ οὐδενὶ τῶν δοκίμων. ὑπνηλὸς δὲ, ὁ ὕπνῳ δουλεύων. λιβάνιος ἐν τῷ πρὸς ἰουλιανὸν ὑπὲρ τῆς ἀντιοχέων ὀργῆς. ὑπνηλὸς δὲ βασ-

πλέοσι.

Υ βρεις λέγε, καὶ μὴ ὑβρισμούς.

Υ πτιάζειν, τὸ ὕπτιόν τινα καὶ ῥάθυμον εἶναι, καὶ ὡσανεὶ θρύπτεσθαι. αἰσχίνης. ὑπτιάζων καὶ περισκοπούμενος ἑαυτὸν, ὡς ἐν παλαίστραις καὶ διατριβαῖς γεγονώς. καὶ φιλόστρατος. ὑπτιάζει καὶ ὡραΐζεται.

Υ ποστρέφω κάλλιον, ἢ ἀναστρέφω.

Υ περμαζῶ, οὐ μόνον τὸ μεγάλους μαστοὺς ἔχω, ὡς συνέσιος ἐν ἐπιστολῇ. αὗται γὰρ ὑπερμαζῶσι καὶ ἀσυμμέτρως ἔχουσι τῶν στέρνων, ἀλλὰ καὶ ὑπερτρυφῶ. εἰ γοῦν τὸ φαντάζεσθαι χρῶμαι οὐκ εὐτελεστάτῃ ἀπὸ μάζης, ἀλλὰ πλεῖστα σιτία ἐχούσης. λουκιανὸς ἐν τῷ, πλοῖον ἢ εὐχαί. ὑπερμαζᾷς γὰρ ὦ ἀδείμαντε.

Ο ὐ μόνον ὑφίσταμαι ἀντὶ τοῦ ὑπισχνοῦμαι φησὶ θουκυδίδης, ἀλλὰ καὶ ὑποδέχομαι ἐν τῇ δευτέρᾳ. πέρ τε ἐπὶ θρᾴκης πόλεμον ὑπεδέχετο καταλύσειν. καὶ ἐν τῇ ὀγδόῃ. τισσαφέρνης αὐτῷ ὑπεδέξατο, μὴ ἀπορήσειν αὐτοὺς τροφῆς. καὶ ἡρόδοτος ἐν τῇ δευτέρᾳ. ἄλλα ἅ τε διδόντα, καὶ μεγάλα ὑποδεχόμενον. ὁ αὐτὸς δὲ καὶ ἀναδέχομαι λέγει ἐπὶ τοῦ αὐτοῦ. ἀναδεχομένους ὑποχειρίας παρέξειν τὰς ἀθήνας.

Τ ὸ ὑπερορῶ, ὡς ἐπὶ τὸ πλεῖστον μὲν γενικῇ συντάσσεται. παρ᾽ ἀττικοῖς δὲ καὶ αἰτιατικῇ ἐστιν ὅτε. ὁ αὐτὸς ἐν τῇ ἕκτῃ ὑπεριδόντες τὴν ἐν τῷ παρόντι ἡσυχίαν. ὑπὲρ καὶ ἐπὶ τοῦ ὑπερφρονῶ γίνεται. ἀριστοφάνης ἐν νεφέλαις. ἔπειτ᾽ ἀπὸ ταρροῦ τοὺς θεοὺς ὑπερφρονεῖς. καὶ λιβάνιος ἐν ἐπιστολῇ, τῇ, νῦν ἔγνων εἶναι ὁ λεγόμενος ὅτε τις ἀλαζὼν, τοὺς πάντας ὑπερφρονῶν.

Υ πόπτης καὶ ὁ ὑποπτευόμενος, καὶ ὁ ὑποψίαν τούτων ἔχων. [illegible] ἐν ἐλγέβῃ. ὕποπτος ὢν φωνῆς ἀλώσεως. ὑπόπτης δὲ μόνον ὁ ὑποπτεύων. θουκυδίδης ἐν τῇ ἕκτῃ. χαλεπὸς ἦν τότε, καὶ ὑπόπτης ἐς τοὺς περὶ τῶν μυστικῶν τὴν αἰτίαν λαβόντας.

Υ πολογίζομαι καὶ ὑπόλογον τίθημι, ἀριστείδης ἐν λευκτρικῷ τετάρτῳ. καὶ προϊέμενοι μηδένα ὑπόλογον θέμενοι.

Υ ποκρίνομαι, τὸ μετὰ προσποιήσεως καὶ σχηματισμοῦ τι ποιῶ. καὶ ὑπόκρισις αὐτὸ τὸ ἐπίπλαστον ἔργον. ὑποκρίνομαι καὶ τὸ ἀποκρίνομαι. καὶ ὑπόκρισις τὸ αὐτό. ἡρόδοτος ἐν τῇ πρώτῃ. τελμησσέες μὲν ταῦτα ἀπεκρίναντο κροίσῳ. καὶ αὖθις ἐν τῇ αὐτῇ. ταῦτα μὲν ἡ πυθίη ὑπεκρίνατο λυδοῖσι. καὶ πάλιν ἐν τῇ αὐτῇ. καὶ τὴν χρηστηρίαν τὰς ὑποκρίσιας.

Τ ὴν ὑπὸ πρόθεσιν τὴν ἐπάνω σχέσιν δηλοῦσαν, πρὸς γενικὴν ἐκφέρουσιν ἀττικοί. ἔστιν ὅτε δὲ πρὸς αἰτιατικήν. ἀριστείδης ἐν τῷ παναθηναϊκῷ. τῷ ὑπὸ κεφαλῆς ἀέρι. ὡσαύτως καὶ τὴν ὑπὸ πλάτωνος ἐν τῇ τοῦ σωκράτους ἀπολογίᾳ. τά τε μετέωρα φροντιστὴς, καὶ τὰ ὑπὸ γῆς πάντα ἀνεζητηκώς. καὶ αὖθις ἐν τῷ αὐτῷ

λόγῳ. ζητῶ τά, τὰ ὑπὸ γῆς, καὶ τὰ ἐπουράνια. πλούταρχος. πᾶς τε ὁ ὑπὸ γῆς τε καὶ ὑπὲρ γῆν χρυσὸς, ἀρετῆς οὐκ ἀντάξιος κατὰ πλάτωνα.
ὑ ὑπόψηφος. καὶ ὑπὸ ψῆφον ὄντα λέγει. (τουτέστι ὑποψήφιος. συνέσιος ἐν τῷ περὶ πενταίας προέτω. τοὺς ὑποψήφους τῆς βασιλείας.

τέλος τοῦ υ΄ στοιχείου.

ΑΡΧΗ ΤΟΥ Φ.

αῦλον, τὸ κακὸν καὶ τὸ εὐτελές. φαῦρον δὲ μόνον τὸ κακόν.

● ακὴ θηλυκῶς ἡ ἐψημένη. φακοὶ ἀρσενικῶς εἰσὶ τὰ ἀθυρτικοὶ οἱ ἀνέψητοι. λέγονται δὲ φακοὶ, καὶ τὰ εἴδη τῶν πλμάτων χλοώδη. ἃ κοινῶς λέγονται βρύα.

● ρούδος ἀττικοὶ, ἀφανὴς ἕλληνες.

● ακίζω, ἀκισμὸς, καὶ φενὰξ λογογράφοι, φενάκη δὲ, ποιητικώτερον.

● λήναφος καὶ ἡ φλυαρία, καὶ ὁ φλυαρῶν. ὡς τὸ λῆρος καὶ ἡ ληρῳδία καὶ ὁ ληρῶν. γράφεται δὲ καὶ φλυαρεῖν καὶ φληναφεῖν. ὡσαύτως καὶ φλυαρία. φλύαρος δὲ καὶ πολυλόγος καὶ πολυλογεῖν, κοινά.

● ιλόγελως φιλόγελω ἀττικοὶ φιλογέλωτος δὲ

● ιλογύνης ἀττικοὶ οὐ φιλογύναιος. ἕλληνες.

ο φθεὶρ ἀττικοὶ ἡ φθεὶρ δὲ κοινόν. πλούταρχος. τὰς τοῦ σύλλα φθεῖρας.

● άκελος, δέλνισειν φορτίον. συνέσιος ἐν ἐπιστολῇ. φάκελον ἐπιστολῶν διεγλοίει δούς. θουκυδίδης. φακέλους ὕλης ἀγρίας. σφάκελος δὲ, ὁ μετὰ φλεγμονῆς σπασμός. καὶ σφακελίζω τὸ φλεγμαίνω. ἀριστείδης ἐν μιλτιάδῃ. τοῦ πάθους αὐτῷ σφακελίσαντος.

● θείρου σκωπτικὸν, ἀντὶ τοῦ μετὰ φθορᾶς ἀπαλλάττου. ἀριστοφάνης ἐν πλούτῳ. ἀλλὰ φθείρου καὶ μὴ γρύζης.

● θῆναι κάλλιον, ἢ φθάσαι.

● ρεφάττα πλάτων μόνος. φρεαφάρη καὶ πῦρσοφόνη οἱ λοιποί. πῦρσεφασσα δὲ ποιητικώτερον.

● θίνοντος μηνὸς ἀττικοὶ, οὐχ ὑπολήγοντος. συνέσιος ἐν ἐπιστολῇ. ἀλλὰ μή τι φθίνοντός γε μηνός.

● θινόπωρον κάλλιον, ἢ μετόπωρον.

● αυλίζειν ἔπποις οὐκ εὐτελίζειν.

● ύραμα, οὐ ζύμη. καὶ φυραθέντα ἄλευρα. οὐκ ἐζυμωμένα.

● υὴ, οὐ μόνον ἡ ἡλικία, ἀλλὰ καὶ ἡ φυσικὴ χάρις. ὅμηρος ἐν α΄ ἰλιάδος. οὐ δέμας οὐδὲ φυὴν, οὔτ' ἂρ φρένας, οὔτέ τι ἔργα. ἀρίσταιδης ἐν τῷ ὑπὲρ ἀλεξάνδρῳ ἐπιταφίῳ. ἀγαθοῦ πατρὸς φυὴν μετὰ

● οινικὶς, ἔνδυμα λακωνικὸν, ὃ πότε εἰς (φοινικίς. πόλεμον ἴοιεν ὁ μόχθου αἵματι, ὡς ἂν εἴποτε τρωθῆναι συμβαίη, μὴ εἰς φιλοψυχίαν αὐτὸν ἐμβάλλει τὸ αἷμα ὁρώμενον.

● αρμακα, καὶ τὰ θεραπεύοντα, καὶ τὰ φθείροντα. φαρμακεία δὲ ὡς ἐπιτοπολὺ, ἡ διὰ δηλητηρίου τινὸς προμελετὴ βλάβη.

● αρμακεύω μέν τοι, τὸ θεραπεύω μόνον ὡς παρ' ἱπποκράτει. πέπονα φαρμακεύειν, καὶ κινέειν ὠμά. γοητεία δὲ, τὸ ἐπικλήσεσί τε καὶ ἐπῳδαῖς χρῆσθαι. λαμβάνουσι δὲ τὰ φάρμακα καὶ εἴδη τῶν χρωμάτων. διὸ, πολλοῖς φαρμάκοις διηνθισμένη εἰκών. ἡρόδοτος ἐν τῇ πρώτῃ. τὰ πρόμαχεῶνες, τὰ ἐνθισμένοι εἰσὶ φαρμάκοισι.

● αρμακὸς ἀνὴρ, φαρμακὶς δὲ γυνή. ἀριστοφάνης ἐν νεφέλαις. γυναῖκα φαρμακίδα.

● οιτητὴς, ὁ μαθητὴς, καὶ ἀπολυτικῶς καλλίονα λέγειν ἢ μαθητής.

● ιλὰς, ἀττικοὶ ἀθροισθέντες ἕλληνες. ἄλλως.

● ιλὰς ἕλληνες. ἀθροισθέντες ἀττικοί.

● ανὸς εἶδος λαμπάδος, ἀλλὰ μὴ εἶδος κεραττίου λέγε. φανὸν δὲ λυχνοῦχον.

● ασιανοὶ ἵπποι. ἀριστοφάνης ἐν νεφέλαις. τοὺς φασιανοὺς οὓς τρέφει λεώγορας. φασιανικοὶ δὲ ὄρνις.

● ρέαττος καὶ ὁ ἐπὶ τῆς πράγματος τινος εἰς τὸ ἐκπληρῶσαι αὐτό. αἰσχύλος ἐν τοῖς ἑπτὰ ἐπὶ θήβαις. ὦν ἐστὶ φρέαττος. καὶ ὁ ἄστυ κλύος καὶ βέβαιος. ὁ αὐτὸς αἰσχύλος ἐν τῷ αὐτῷ δράματι φρέαττον φρούρημα.

● άσηλος ἐκ διέρματος ὁ λεγόμενος ἰδιωτικῶς τζαμανδᾶς, ἐν ᾧ τὰ ἱμάτια φορέομεν. φαινόλιον δὲ, διφθερινόν, τι πηλίδιον. λιβάνιος ἐν ἐπιστολῇ. λόγον τι κομίζων, καὶ φαινόλιον κενὸν, ὅπως τὸ μὲν εἴπῃ. τὸ δὲ μακρὸν ὄν, ἐμπλήσῃ.

● άγαινα ἀττικοὶ, οὐ φαγέδαινα.

● εύγω, τὸ κατηγοροῦμαι. καὶ φυγὴ ἡ κατηγορία. ἀποφεύγω δὲ, ὅταν νικήσας ἀπολυθῶ τῆς κατηγορίας. καὶ ἀποφυγὴ ὡσαύτως. διώκω δὲ, τὸ κατηγορῶ, καὶ τὸ ζητῶ, καὶ τὸ ἀποθοῦμαι. καὶ δίωξις, ἡ κατηγορία καὶ ἡ ζήτησις, καὶ τὸ ἀποθεῖσθαι. τὸ δὲ διωγμὸς ἀδόκιμον.

● ράσαι ἀντὶ τοῦ εἰπεῖν. φράσαι δὲ ἀντὶ τοῦ διανοηθῆναι. ὅμηρος ἐν α΄ ἰλιάδος. σὺ δὲ φράσαι εἴ με σαώσεις.

● ριμάττεσθαι εἶδος φρύγου. φριάττεσθαι δὲ (σκιρτᾶν εἶδος ἵππου, καὶ φρύαγμα. σοφοκλῆς ἐν ἠλέκτρα. φρύαγμα ἱππικόν.

● θοὶς παρ' ἀττικοῖς, πλακοῦντι πλατὺ καὶ περιφερὲς, ὃ παρ' ἕλλησι λέγεται πόπανον. ἀριστοφάνης ἐν πλούτῳ. τοὺς φθοῖς ἀφαρπάζοντα καὶ τὰς ἰσχάδας.

τ ὁ φθάνειν ὅταν μὲν πρός τινα ὁρίζονται λέγεται, τὸ προλαμβάνειν δηλοῖ. ὅταν δὲ πρὸς τὸ τέλος τῆς κινήσεως ὁ κινούμενος ᾖ, τὸ καταλαμβάνειν. καθὸ σημαινόμενον λέγεται τὸ, οὐκ ἂν φθάνοις ἰὼν εἰς τὸ δικαστήριον. ἤγουν, οὐκ ἂν καταλαμβάνοις εἰς τοὺς ἕλκοντας, οὕτω σε ἕλξουσι συστόμως. ἀπὸ μεταφορᾶς τούτου λέγεται καὶ ἐφ' ἑτέρων. διὸ, οὐκ ἂν φθάνοιτε ἀποθνήσκοντες, ἤγουν, ἀναρπασθῆναι γενήσεσθε. ἀπὸ τούτου αὖθις κατὰ μεταφορὰν, καὶ τὸ διαρ

καὶ ὅτι οἱ ῥήτορες φαρμακεύσασθαι χαίρειν, μεταφορικῶς τισι χρῶνται ὀνόμασι. λέγουσι τὰς φρόνημα, θαλάσσης. καὶ χειμῶνος αὐθάδειαν. καὶ κυνῶν ἀγρίων. καὶ ἔθνος κορακίνων. καὶ ἔτι τοιουτότροπον.

ίλιος, ὁ τῆς φιλίας ἔφορος θεός. καὶ φίλιος ἀγρὸς, ὁ φιλικός. καὶ φίλιος πόλις. θουκυδίδης δὲ, φιλίαν πόλιν λέγει, φασὶ γὰρ, νομίζοντες πόλιν τὴν σφίσιν ἀπὸ παλαιοῦ φιλίαν. τουτέστι φίλην. καὶ πάλιν. ἐν τῇ φιλίᾳ τίθεται.

ανθεὶς καὶ ἀποφανθεὶς, ἀττικοὶ λέγουσιν. οὐ φανεὶς, οὐδὲ ἀποφανεὶς. ἀριστείδης ἐν τινι τῶν ἱερῶν. ταυτὶ μὲν τὰ φανθέντα. καὶ πάλιν ἐν τῷ παναθηναϊκῷ. ὡς τὸ μὲν, προσθήκην μικρὰν αὐτοῖς ἀποφανθῆναι.

οβερὸν, τὸ φόβον ἐμποιοῦν. ἐπίφοβον δὲ τὸ φοβούμενον, ὥσπερ καὶ φθονερὸν, τὸ φθόνῳ χρώμενον. ἐπίφθονον δὲ, τὸ φθονούμενον.

ύσις οὐσίας διαφέρει. οὐσία μὲν γάρ ἐστιν ἡ ἑκάστου ὕπαρξις. φύσις δὲ, ἡ ἐνοῦσά τινι δύναμις. οἷον, φύσις τῆς γῆς, τὸ βλαστάνειν βοτάνας. καὶ φύσις τοῦ πυρὸς τὸ θερμαίνειν. ἀφ' οὗ καὶ εὐφυὴς, ὁ εὖ ἔχων τῆς φύσεως. καὶ ἀφυὴς, ὁ τούτῳ ἐναντίως ἔχων. καὶ εὐφυΐα, καὶ ἀφυΐα. ἰστέον δὲ, ὡς οὐ μόνον ἐπὶ ἀνθρώπων ταῦτα λέγεται, ἀλλὰ καὶ ἐπὶ φυτῶν καὶ ἐπὶ γῆς. καὶ γὰρ εὐφυὲς, καὶ ἀφυὲς φυτὸν λέγομεν. καὶ τὸ φυσικὸν πρόβλημα. οἷον, καὶ ἄλλος, ἤ, τι τοιοῦτον. ἀριστείδης ἐν ῥητορικῷ. φύσις ἐν ἀνθρώποις ὡς μέγιστον καλὸν, τὸ τῆς ἐλευθερίας ἐμφαίνων κάλλος.

υσᾶν, τὸ σφοδρῶς ἐκπέμπειν πνεῦμα ἐκ τοῦ στόματος. ἀφ' οὗ καὶ φυσῶδη ἔδεσμα, τὰ ἐμποιοῦντα πνεῦμα. φυσᾶν ἀπὸ τούτου, τὸ ὀγκοῦσθαι καὶ ἐπαίρεσθαι. λιβάνιος ἐν προθεωρίᾳ μελέτης, τῆς τῶν κατορθωσάντων πολέμων. φυσᾷ καὶ σοβεῖ, καὶ ὀγκοῦσθαι δοκεῖ.

λοιὸς, τὸ ἐκτὸς τοῦ δένδρου. φλοιὰ δὲ θηλυκῶς αἱ τῶν θυρῶν παραστάδες.

άσματα λέγεται, τὰ ἐν ὕπνῳ φαινόμενα, καὶ ὅσα φαντάζουσι τὰ δαιμόνια νύκτωρ ἢ μεθ' ἡμέραν ἐν ταῖς ἐρημίαις, ἀπὸ τοῦ ἀέρος λαμβάνοντα μορφὰς οἵας ἂν ἐθέλωσι. λέγεται οὖν φάσματα ὡς ἀττικοὶ καὶ μὴ φαντάσματα. φαντάζω δὲ, καὶ φαντάζομαι, τὸ ἁπλῶς φαίνομαι. εὐριπίδης ἐν ὀρέστῃ. μηδεὶς πολιτῶν ἐν τέλει φαντάζεται. ἤγουν, φαίνεται. λέγεται δὲ φαντάζεσθαι, καὶ ἀνατυποῦσθαι, καὶ ἀναπλάττειν, ὡς ἔχει καὶ ἡ φαντασία, καὶ τὸ φανταστικὸν πνεῦμα.

ροντιστήρια, τὰ διδασκαλεῖα τῶν φιλοσόφων. λέγοιντο δ' ἂν οὕτω, τὰ παρ' ἡμῶν μοναστήρια, ὡς τῆς ὄντως φιλοσοφίας ἐν ταυθοῖ μελετωμένης.

ανὸν, λογοθέσιον. οὐδὲν δὲ ποιεῖται. (μελένος)

ορὸς ἄνεμος, ὁ τοῖς πλέουσι δεξιός. καὶ φορὸς ἡ συκῆ σύκων, ἤγουν φορὰν σύκων ἔχουσα. καὶ γῆ φορὸς καρπῶν. ὅθεν καὶ πάμφορος γῆ, ἡ πάντα φέρουσα.

ορὰ ῥητόρων καὶ ἄλλων τινῶν. καὶ φορὰ ἡ εἰσφορά. λιβάνιος ἐν ἐπιστολῇ. ἐπειδὴ ὑπὲρ ἀρχαίας ἐνοχλεῖται φορᾶς. καὶ πάλιν ἐν ἐπιστολῇ. ἐπεὶ τὰ ἐν ταῖς φοραῖς μὴ μεῖζον ἔσω τῆς νεὼς τὸ

T ὁ φοβοῦμαι, καὶ πρὸς ἀπαρέμφατα (φορτικὸν συντάσσεται, καὶ πρὸς ὄνομα. οἷον), φοβοῦμαι τεθνήξεσθαι, καὶ φοβοῦμαι θάνατον.

όρος κυρίως, ὁ ὑπὲρ ἰδίας εἰσφερόμενος γῆς. τέλος δὲ, ὁ ὑπὲρ τῆς ἐμπορείας συντελεῖ.

ιλανθρωπία, οὐ μόνον ἡ ἀπὸ τῶν ὑπερεχόντων εἰς τοὺς ἐλάττους εὐμένεια, ὡς ἡ τοῦ θεοῦ φιλανθρωπία περὶ ἡμᾶς. καὶ τοῦ βασιλέως περὶ τοὺς ὑπηκόους. καὶ τῶν ἀρχόντων πρὸς τοὺς ὑπὸ χεῖρα, ἀλλὰ καὶ ἡ πρὸς ἁπλῶς πρὸς ὁντινοῦν φιλία καὶ διάθεσις ἀγαπητική. αἰσχίνης. τούτου προσποιησάμενος ἐραστὴς εἶναι, καὶ τὸ μειράκιον εἰς τὴν φιλανθρωπίαν ταύτην προσκαλεσάμενος. καὶ πάλιν, διὰ τὴν πρᾳότητα καὶ φιλανθρωπίαν τῆς τέχνης.

ωρῶ, τὸ ἐπιγνῶ. καὶ καταφωρῶ, τὸ κατάδηλα ποιῶ. λουκιανὸς ἐν τῷ μίκυλος, ἢ ἀλεκτρυών. αὐτὰ βεβίασται με καταφωρᾶσαι αὐτόν. καὶ φωρῶ μαι πάλιν ἀττικῶς, ὁ κατάδηλος γίνομαι.

αῦλος ἐπὶ θηλυκοῦ κάλλιον, ἢ φαύλη. ὁ αὐτὸς ἐν ἀλάστ. ἐν φαύλου συνίσταμαι ἐπὶ παράδειγμα.

ορταγωγὸν ναῦν φαμὲν, καὶ φορτίδα, καὶ φορτηγικὴν. θουκυδίδης ἐν τῇ ἕκτῃ. ἐπὶ πλοίων φορτηγικῶν.

υγὴ καὶ ἡ καταφυγή. λιβάνιος ἐν ἐπιστολῇ. ὑπέρ τε τῆς πλάσεως, καὶ τῆς τῶν ἑταίρων φυγῆς. φυγὰ καὶ οἱ φυγάδες. θουκυδίδης ἐν τῇ ὀγδόῃ. καὶ γὰρ καὶ φυγὴ αὐτῶν ἔξω ἦν ὑπὸ τῶν ἀθηναίων παρὰ τοῖς πελοποννησίοις. καὶ ἀριστείδης ἐν τῷ πρὸς θηβαίους περὶ συμμαχίας προτέρῳ. φοιβίδου τὴν καδμείαν καταλαβόντες, τήν τε φυγὴν ἐδεχόμεθα.

T ὁ φοιτᾶν, οὐ μόνον ἐπὶ τῶν εἰς διδασκάλους ἰόντων λέγεται, ἀλλὰ καὶ ἐπὶ, τι ἔτερον συνεχῶς. πλάτων ἐν φαίδωνι. πολλάκις μοι φοιτῶν τὸ αὐτὸ ἐνύπνιον. καὶ πάλιν ἐν γοργίᾳ. ἐάν τις εἰς παλαίστραν φοιτήσας, εὖ ἔχων τὸ σῶμα. ἰστέον ὅτι, πάντα τὰ παρακελευσματικὰ ἐπιρρήματα, τὸ φέρε. τὸ δεῦρο. τὸ ἴθι. καὶ τὸ ἄγε, καὶ εἰς συμβουλευτικὰ ὑποτακτικὰ, καὶ εἰς προστακτικὰ λέγονται. ἀριστοφάνης ἐν νεφέλαις. φέρ' ἴδω τί ὀφείλω οὐδὲ αὐτὸς ἐν τῷ αὐτῷ. φέρε δή μοι φράσον. συνηγορούσι ἐκ τίνων. καὶ πάλιν ἐν τῷ αὐτῷ. δεῦρ' ἔλθ' ἵνα κλαίῃς. καὶ πλάτων ἐν γοργίᾳ. ἴθι δὴ καὶ τόδε ἐπισκεψώμεθα. καὶ πάλιν ἐν τῷ αὐτῷ, ἴθι δή μοι ἀπόκριναι οὕτως. καὶ πάλιν ἐν ταῖς πολιτείαις. ἀλλ' ἄγ' ἐπειδὴ τοῦτ' ἀπετελέσαμεν, ἀναμνησθῶμεν, πόθεν δεῦρ' ἐξετραπόμεθα. ἀριστοφάνης ἐν νεφέλαις. ἄγε δὴ ταχέως τουτὶ ξυναρπάσας τί-

θήσονται δὲ ἔστιν ὅτε τὸ ἄγε, καὶ τὸ φέρε, καὶ ἀσυντάκτως ἐπιφερομένων ἑτέρων πτώσεων. πλάτων ἐν γοργίᾳ. φέρε δὴ ἐρωτικόν, περὶ τί τῶν ὄντων τυγχάνει οὖσα. ἀριστείδης ἐν τῷ εἰς διον. ἄγ' ὦ παντ' εἰδυῖαι, πόθεν ἀρξώμεθα, εἰσὶ δὲ ταῦτα πάντα καὶ ῥήματα προστακτικά. τὸ δεῦρο δέ, καὶ ἀντὶ τοῦ ἐνταῦθα.

Τέλος τοῦ φ' στοιχείου.

ΑΡΧΗ ΤΟΥ Χ.

Χρήστης, ὁ δανείζων. ἀριστοφάνης ἐν νεφέλαις. ὑπὸ τῶν τόκων, χρήστων δυσκολωτάτων. καὶ ὁ τὸ δάνειον δεχόμενος. λιβάνιος ἐν ἐπιστολῇ. εἰ δὲ ἦμε χρήστην ὄντα πενίας ὄν, ἀδυνατοῦντα τὸ χρέος ἐκτίσαι. δανειστὴς δέ, ὁ δανείζων μόνον.

Χρυσοῦς. χρυσῆ, καὶ χρυσοῦν ἔποις. οὐ χρύσεος, χρύσεα, καὶ χρύσεοι. ἰωνικὰ γάρ. τὸ αὐτὸ δὲ καὶ ἐπὶ τοῦ ἀργυροῦς, καὶ χαλκοῦς, καὶ τῶν ἄλλων.

Χρῆται. οὐ χρᾶται.

Χρηστότης, οὐκ ἀγαθότης οὐδ' ἀγαθοσύνη.

Χιλός, οὐ χιλωνός. ἀριστείδης. ὁ χιλὸς ἡμῖν

Καὶ ἐχθές, καὶ χθές. ἀριστοφάνης ἐν νε- (ὅσιά τωρ. φέλαις. ἐχθὲς δέ γ' ἡμῖν δεῖπνον οὐκ ἦν ἑσπέρας. συνέσιος ἐν ἐπιστολῇ. χθὲς καὶ πρῴην ἐπὶ τῶν ἔναγχος ὑπάτων.

Χαιρήσεις, οὐ χαιρήσῃ. ἀριστοφάνης ἐν πλούτῳ, οὔτοι μὰ τὴν δήμητραν χαιρήσεις ἔτι.

Χαίρω, οὐ μόνον ἐπὶ ἡδονῆς, ἀλλὰ καὶ ἐπὶ τοῦ φθείρεσθαι. ἀριστοτέλης. τὰ γὰρ εἴδη χαιρέτω. τερετίσματα γάρ ἐστι.

Χανδὸν ποιεῖν ἀττικοί. συνέσιος ἐν τῷ περὶ προνοίας. ἀλλ' οὐδὲ χανδὸν ποτὲ ἔσπασεν ἔπιε. κεχηνότως δέ, καὶ ἀθρόως ἕλληνες.

Χολᾶν, καὶ χολᾷ ἐπὶ μανίας. ἀριστοφάνης ἐν νεφέλαις. σὺ δ' εἰς τοσοῦτο τῶν μανιῶν ἐλήλυθας, ὥστ' ἀνθρώποισι πείθῃ χολῶσι.

Οὐ μόνον ψοφῶ ψοφεῖ, ἀλλὰ καὶ χλιδῶ χλιδεῖ. αἰσχύλος ἐν προμηθεῖ. χλιδᾶν ἔοικας τοῖς παροῦσι πράγμασι. συνέσιος ἐν τῷ περὶ βασιλείας. γαύρους τέ, καὶ χλιδῶντας. σοφοκλῆς ἐν ἠλέκτρᾳ. καὶ ζῶμα τοὐμόν, οὐ χλιδαῖς ἠσκημένον.

Χαμαί, ἀντὶ τοῦ ἐν τῇ γῇ. ὡς τὸ χαμαὶ κάθηνται. χαμᾶζε δέ, ἀντὶ τοῦ εἰς τὴν γῆν. ἀριστείδης ἐν μιλτιάδῃ. οὐ χαμᾶζε ἔπεσε τὸ κέρδος. χαμόθεν, τὸ ἐκ τῆς γῆς. συνέσιος ἐν τῷ περὶ προνοίας. τὴν μὲν χαμόθεν ἀνακβλύζουσαν. οἱ δὲ κυρίως ἀττικοί, χαμᾶθεν προπερισπωμένως λέγουσιν, οἷς καὶ αὐτὸς ἕπου.

Ἡ χάραξ ἐπὶ ἀμπέλου. ὡς ἡ παροιμία. χάραξ τὴν ἄμπελον ἐλυμήνατο, ἐπὶ τῶν κα[illegible] τῶν εἰσαγόντων βοηθούς.

Ὁ χάραξ ἐπὶ στρατοπέδου.

Χάριν καὶ τὴν δωρεάν, καὶ τὴν ἀντίχαριν λέγε, σοφοκλῆς ἐν αἴαντι τῷ μαστιγοφόρῳ. χάρις. χάρις γάρ ἐστιν ἡ τίκτουσ' ἀεί. χάριν καὶ τὴν ἡδονήν. ὡς ὅταν λέγωμεν, τὴν τῶν λόγων χάριν. χάρις καὶ ὄνομα θεᾶς. οὗ τινος ἡ αἰτιατική, οὐκ ἐκφέρεται δισυλλάβως ὡς ἐπ' ἐκείνου, ἀλλὰ τρισυλλάβως. οὐ γὰρ χάριν λέγομεν, ἀλλὰ χάριτα.

Χαριζόμεθα, οὐ μόνον τὸ δωρούμεθα, ἀλλὰ καὶ τὸ χάριν τινὶ ποιοῦμεν. οἷον, χαριζόμενός σοι, ἔπραξα τάδε.

Χρῆν, καὶ ἀντὶ τοῦ ἔπρεπε κατὰ ἀφαίρεσιν τοῦ ἐ. σοφοκλῆς ἐν ἠλέκτρᾳ. χρῆν εὐθὺς εἶναι τὴν δὲ τοῖς πᾶσι δήλην. καὶ ἀντὶ τοῦ πρέπει. ὡς γὰρ τὸ προσῆκε καὶ ἀντὶ τοῦ ἔπρεπε καὶ ἀντὶ τοῦ πρέπον ἐστίν, οὕτω καὶ τὸ χρῆν ἀντὶ τοῦ ἔπρεπε, καὶ ἀντὶ τοῦ πρέπον ἐστί. τὸ αὐτὸ δὲ τίθεται καὶ ἐπὶ τοῦ ἔδει. χρῆν καὶ ἐπὶ ἀπαρεμφάτου, ἀντὶ τοῦ πρέπειν. εὐριπίδης ἐν ἑκάβῃ. πότερα τὸ χρῆν σφ' ἐπήγαγεν ἀνθρωποσφαγεῖν, χρῶνται δὲ τούτῳ ποιηταί. λογογράφοι δέ, τὸ χρῆναι ὅλω.

Χρυσίδες κυρίως, αἱ ἀνατιθέμεναι τοῖς θεοῖς χρυσαῖ φιάλαι. λιβάνιος ἐν ἐπιστολῇ. κάλλιον αὐτοῖς χρυσίδων βότρυς ἐξημμένοι τῶν ἀγαλμάτων. καταχρηστικῶς δὲ καὶ πᾶσα ἐκ χρυσοῦ φιάλη, χρυσὶς λέγεται.

Χρῆμα ποτ̃σαι ποῦ τότε λέγε, οὐ χρῆμαι, ὡς καὶ σοφοκλῆς ἅπαξ. τὸ δὲ χρὴ ἀντὶ τοῦ χρεία ἐστὶν ἀπὸ δοτικῆς εἰς γενικήν. εὐριπίδης ἐν ὀρέστῃ. ὅταν δ' ὁ δαίμων εὖ διδῷ, τί χρὴ φίλων. τινὶ δηλονότι, ἔστι δὲ ποιητικώτερον.

Χρήσθων, ἀντὶ τοῦ χρήσθωσαν ἀττικοὶ λέγουσιν ὁμοίως καὶ ἐπὶ πάντων τῶν δυϊκῶν ἐν τοῖς προστακτικοῖς παθητικοῖς. οἷον, ἐχέσθων μαχέσθων, καὶ ὅσα τοιαῦτα. ἐπὶ δὲ τῶν ἐνεργητικῶν, τοῖς δυϊκοῖς τῶν προστακτικῶν χρῶνται. οἷον, ποιείτων, λεγέτων, ἀλλὰ γενικαῖς τῶν πληθυντικῶν τῶν μετοχῶν. ποιούντων γὰρ λέγουσι καὶ λεγόντων, λαμβάνοντες ἔξωθεν, τὸ ἔστωσαν ἀντὶ τοῦ ἔστωσαν. τῶν ποιούντων ἢ λεγόντων, ἀντὶ τοῦ ποιείτωσαν, λεγέτωσαν. θουκυδίδης. ἢν δέ τι διάφορον ᾖ πρὸς ἀλλήλους, δικαίῳ χρήσθων. ἀποδόντων δὲ ἀθηναίοις λακεδαιμόνιοι ἀμφίπολιν. τίθεται δὲ ἡ τοιαύτη σύνταξις, οὐ μόνον ἐπὶ τῶν ἀρσενικῶν, ἀλλὰ καὶ ἐπὶ τῶν θηλυκῶν. οὐ θηλυκοῦ γένους οὔσης τῆς τοιαύτης γενικῆς, ἀλλ' ἀρσενικοῦ. πλάτων ἐν τῇ δευτέρᾳ τῶν πολιτειῶν. μηδ' αὖ ὑπὸ τούτων ἀναπειθόμεναι ὡς αὖ τά του δι' ἐκδημητούτων.

Χοῦν καὶ προχοῦν. ἀριστείδης ἐν τῷ παναθηναϊκῷ. ἠκρωτηριασμένων χοῦν εἰς τὸ πέλαγος.

Χωννύειν ἕλληνες. χοῦ, εἶδος μέτρου ἐπὶ ὑγροῦ ἀττικοὶ λέγουσιν. ἀριστοφάνης ἐν πλούτῳ. ἐξ χοᾶς χωρεῖ σοι. χοῦς δὲ ἁπλῶς ἕλληνες. προχοὴ δέ, ἡ τοῦ ὕδατος πρόχυσις. πρόχου δέ, τὸ ἀγγεῖον. ὡς ὁ αὐτὸς ἐν νεφέλαις. εἶτ' ἄρα ἵνα προχοαῖς ὑδάτων χρυσέαις ἀρύεσθε προχόοισι.

Χάριν οἶδά σοι. καὶ χάριν ἔχω σοι, καὶ χάριν ὁμολογῶ. εὐχαριστῶ δὲ, οὐδεὶς τῶν δοκίμων εἴρηκεν. εὕρηται δὲ τὸ χάριν ἔχω, οὐ μόνον ἀντὶ τοῦ εὐχαριστῶ, ἀλλὰ καὶ ἀντὶ τοῦ εὐχαριστίας δέχομαι. Θουκυδίδης ἐν τῇ ὀγδόῃ. χάριν ἂν δή που ἐν τούτῳ μείζω ἔτι ἔχων. ἤγουν, εὐχαριστηθείς.

Χύσις σοφίας ὀρθῆς οὐ χύμα.

Χαίρειν ἐν ἐπιστολῇ πλάτων λέγεται γράψαι πρῶτος. ἢ κλέων ἀθηναίοις μετὰ τὸ λαβεῖν τὴν πύλον. ὅθεν καὶ τὸν κωμικὸν ἐπισκώπτοντα εἰπεῖν. πρῶτος γὰρ ἡμᾶς ὦ κλέων χαίρειν προσεῖπας πολλὰ λυπῶν τὴν πόλιν. ἴστεον δὲ ὅτι ὡς αἱ τῶν παλαιῶν προρρήσεις, αἱ μὲν ἑωθιναὶ, χαῖρε. αἱ δ' ἑσπεριναὶ, ὑγίαινε. ὡς λουκιανὸς ἐν τῷ ὑπὲρ τοῦ ἐν τῇ προσαγορεύσει πταίσματος. ἀφικόμενος πρὸς σὲ ὡς προσείποιμι τὸ ἑωθινὸν, δέον τὴν συνήθη ταύτην φωνὴν ἀφεῖναι καὶ χαίρειν κελεύειν. ἐγὼ δ' ὁ χρυσοῦς ἐπιλαθόμενος, ὑγιαίνειν σε ἠξίουν.

Χρησιμεῦσαι μὴ λέγε, ἀλλὰ χρήσιμον γενέσθαι.

Ἀμφότερα λέγε καὶ χωρὶς εἰμὶ τόδε, καὶ χωρὶς εἰ τόδε, εἰ καὶ φρύνιχος ἀδόκιμον εἶναι λέγει, τιθέμενον μετὰ τοῦ μή. ὥσπερ γὰρ φαμὲν πλὴν εἰ τόδε καὶ πλὴν εἰμὶ τόδε, καὶ ἐκτὸς εἰμὶ τόδε καὶ ἐκτὸς εἰ τόδε, οὕτω καὶ χωρὶς εἰμὶ τόδε λέγε, οὐ μόνον χωρὶς εἰς τόδε. τό τε πλὴν καὶ τὸ ἐκτὸς, τὸ χωρὶς δηλοῦσι. λουκιανὸς ἐν τῷ βίων πράσεις. πλὴν εἰ μὴ σκαπανέα, ἢ ὑδροφόρον καὶ ἐν τῷ ἀναβιοῦντες ἢ ἁλιεύς. ἐκτὸς εἰ μὴ κατὰ τὸν θάμυριν, ἢ τὸν εὔρυτον εἶναι. κρεῖττον μέν τοι, εἰ χωρὶς τοῦ μὴ λέγοιτο.

Χλανίδιον καὶ χλανίσκιον. ἀριστείδης ἐν ὀρθῇ. καὶ χλανιδίοις δ' ἔσω κρυφθεὶς. καὶ αἰσχίνης. εἰ γάρ τις σου τὰ κομψὰ ταῦτα χλανίσκια περιελόμενος.

Χλιίνας ἀττικοὶ οὐ χλιαίνας.

Χαμαιτύπη, καὶ χαμαιτυπείς. δηλοῖ δὲ τὴν ἄδοξον καὶ εὐτελῆ πόρνην.

Ὥσπερ φαμὲν χρῶ, τὸ μαντεῖον δίδωμι, ὃ ἔχρησεν αὐτῷ ὁ θεὸς, οὕτω καὶ χρῶμαι, τὸ μαντεύομαι. λιβάνιος ἐν τῇ τοῦ ἀχιλλέως ἀπολογίᾳ. τῷ θεῷ χρησάμενος ὑπὲρ τοῦ φαίματος. καὶ ἀμφότερα δοτικῇ.

Χρεία καὶ χρήσιμος ἀττικοί. ὁ χρεῖος δὲ, ἤγουν ὁ χρήσιμος. καὶ τὸ χρεῖον, φιλοσόφων καὶ ποιητῶν. σοφοκλῆς. χρεῖον λέγειν. ἤγουν, χρήσιμον. φασὶ δὲ οἱ ποιηταὶ, καὶ χρεὼ τὴν χρείαν ὅμηρος. χρειὼ με κατήγαγεν εἰς ἀΐδαο. ψυχῇ χρησόμενον θηβαίου τειρεσίαο.

Χοῖρος, καὶ σῦς καὶ ὗς, ἐπὶ παντὸς χοίρου. χλούνης δὲ, καὶ μονιὸς, καὶ χαυλιόδους, καὶ ἔτι κάπρος, ὁ ἄγριος σῦς, ἔστι δὲ τὸ μὲν χλούνης καὶ μονιὸς, καὶ χαυλιόδους, ποιητῶν. τὰ δ' ἄλλα, λογογράφων.

Χλευάζω λέγε. χλευασμὸς δὲ μηκέτι, ἀλλὰ χλεύη καὶ χλευασία. λιβάνιος ἐν ἐπιστολῇ. τὰ γράμματα δὲ, χλευασίαν οἴσει.

Χιτὼν, ἐπὶ ἀνδρός. ἀριστείδης ἐν τῇ πρὸς τοὺς βασιλέας ἐπιστολῇ. πρὸς δὲ τοὺς στρατιώτας, τοὺς χιτῶνας ἐνείματο. χιτώνιον δὲ ἐπὶ γυναικός. ἀριστοφάνης ἐν πλούτῳ. καὶ ταῖς ἀδελφαῖς ἀγοράσαι χιτώνιον. λουκιανὸς ἐν τῷ λεξιφάνει. τίς οὐκ οἶδεν ὅτι χιτώνιον μὲν γυναικὸς ἐσθής.

Χρηματίζω, τὸ ὑπάρχω καὶ τὸ διαλέγομαι. ὅπερ ἐπὶ ὑπερέχοντος λέγεται. λιβάνιος ἐν ἐπιστολῇ. ὡς γοῦν ἐχρημάτιζεν ὁ πέρσης. εὕρηται δὲ ἅπαξ, καὶ ἀπ' ἐλάττονος πρὸς μείζονα παρ' ἡροδότῳ ἐν τῇ τρίτῃ. ἤθελεν ἐς τὰ βασίλεια ἐσελθὼν, χρηματίσασθαι τῷ βασιλεῖ. καὶ χρηματίζομαι παθητικῶς, τὸ χρήματα συνάγω. καὶ χρηματιστὴς ὁ διαλεγόμενος, καὶ ὁ χρήματα συνάγων. θουκυδίδης ἐν τῇ ὀγδόῃ. ἵνα τοὺς φοίνικας [illegible], ἐς τὴν ἄπρακτον ἐκχρηματίσαιτο ἀφείς. ἐξαργυρίζω δὲ, τὸ ἀργύριον πωλῶ τι. ὁ αὐτὸς ἐν τῇ αὐτῇ. οὐδ' ἂν δὴν πλουτοῦντα, τὴν αὐτοῦ στρατιὰν ἐξαργυρίσαι.

Τέλος τοῦ χ΄. στοιχείου.

ΑΡΧΗ ΤΟΥ Ψ.

Ψάλιον ὁ χαλινός. εὐριπίδης ἐν φοινίσσαις.
ψαλίοις τετραβάμοσι μονύχων πώλων.

Ψέλλιον, δὲ γυναικεῖος κόσμος. λουκιανὸς ἐν τῇ θεῶν ἐκκλησίᾳ. καὶ ἀντὶ διὸς, ἢ ὅρμος, ἢ ψέλλιον, ἢ ἐλλόβιον ἡμῖν γένη.

Ψυχθῆναι καὶ ψυχῆναι, οὐχὶ ψυγῆναι.

Ψίθυρος, ὁ ψιθυριστής.

Ψύλαξ, ποιηταί. ὡς ἀριστοφάνης. ψιλὸς δὲ καὶ ψιλεῖος, λογογράφοι.

Ψυχὴ ἡ λογικὴ, ἤγουν, ἡ ἐν τῷ ἀνθρώπῳ. καὶ ἡ ἄλογος, ἤγουν ἡ ἐν τοῖς ζώοις. καὶ ἡ ἐν τοῖς φυτοῖς θρεπτικὴ καὶ αὐξητικὴ δύναμις. ψυχὴ καὶ ἡ ζωὴ ἁπλῶς. ἡρόδοτος ἐν τῇ τρίτῃ. ἔλεγον δὲ πρὸς τὰς γυναῖκας, ὡς τῷ βασιλεῖ οὗτος εἴη, ὃς τὴν ψυχὴν ἀπέδωκε. καὶ εὐριπίδης ἐν ἑκάβῃ. ἐπεὶ δὲ τείχη ἕκτορός τ' ἀπόλλυται ψυχή. ἔστι δὲ ἐνταῦθα, τὸ ἀπόλλυται, κατὰ τὸ ἐνσημαινόμενον τῆς ἀπωλείας. ἀντὶ τοῦ ἀφανὴς γένοιτο λαμβάνουσι, περὶ τῆς λογικῆς ψυχῆς εἶναι τὸν λόγον φρονοῦντες. ἐξελθοῦσα δηλαδὴ τοῦ σώματος. ψυχὴ καὶ ἡ φύσις, ὡς παρὰ σοφοκλεῖ ἐν ἠλέκτρᾳ. τῆς ἐμῆς ψυχῆς γεγώς.

Ψάμμος, καὶ ἄμμος. ἀριστείδης ἐν τῷ αἰγυπτίῳ. ὑπερβαλόντι καταρράκτας, ψάμμος ἔνθεν καὶ ἔνθεν ἐστὶ τοῦ νείλου. καὶ πάλιν ἐν τῷ αὐτῷ. καὶ αἱ περὶ τὰς εἰσβολὰς τὰς ἐξ ἀράβων εἰς αἴγυπτον, ψάμμοι. καὶ αὖθις ἐν τῷ αὐτῷ. ἄμμοι δ' ἐκεῖναι καὶ γῆς χάσματα. καὶ ἐν τῷ αὐτῷ πάλιν. διὰ τῆς ἄμμου τῆς ἄνω διεξήλθε. καὶ πλάτων ἐν φαίδωνι. σήραγγες δὲ καὶ ἄμμος, καὶ πηλὸς ἀμήχανος.

Ψ ἀσυγκριτικά, καὶ πρὸς οὐκ ἔχει τὴν σύγκρισιν, καὶ πρὸς πολλούς. οἷον, τιμιώτερος τούτων. τὰ δὲ ὑπερθετικά, ἀεὶ ἐπὶ πληθυντικοῦ. εἰ δέ που καὶ ἐπὶ ἑνικοῦ τάττονται, ἀλλὰ συγκριτικοῦ σημασίαν ἔχουσιν, ἐφ' ἑαυτῶν τὴν συγκριτικὴν ταύτην ὑπόθεσιν ἔχοντα. ἀριστείδης ἐν τῷ εἰς τὸ φρέαρ τοῦ ἀσκληπιοῦ. ὕδατος μὲν ψυχρότατον ὄν, αὐτὸ ἑαυτοῦ. καὶ ἐν τῷ πέμπτῳ τῶν ἱερῶν. ἐξεμανέστατα ἑαυτοῦ διετέθη. καὶ ἐν τῷ αἰγυπτίῳ. βιαιότατός ἐστιν αὐτὸς ἑαυτοῦ.

Ψ εῦδος λέγε οὐ ψεῦσμα, εἰ καὶ αὐτὸς ἐν τῷ αὐτῷ ἅπαξ. καὶ τί τούτου φαυλότερον ψεῦσμα.

τέλος τοῦ ψ' στοιχείου.

ΑΡΧΗ ΤΟΥ Ω.

Ὠνήσομαι κάλλιον, ἢ ἀγοράσω. ὠνήμην, ἢ ἐωνήμην. λουκιανὸς ἐν περὶ μισθωτῶν. ὤνησο δέ τι μὴ καὶ ὁ ζεὺς πάντα ἐπήκουσέ σου. καὶ ἡρόδοτος ἐν τῇ πρώτῃ. τὸν τιμήσιος ἔκτισεν οὐκ ἀπώνητο.

Ω Ὦχρος ποιητικόν. ὅμηρος ἐν γ', ἰλιάδος. ὦχρος δέ μιν εἷλε παρειάς. ὠχρίασις, κοινόν. ὠχριᾶν δὲ λεπτογράφων. κάλλιον δὲ τὸ ὠχριακόν. ὅπερ ἐστί, τὸ ἐκ λειποθυμίας ὠχριᾶν.

Ω Ὡσαύτως, καὶ παραπλησίως, καὶ κατὰ ταυτά.

Ω Ὤμνυσαν κρεῖττον ἢ ὤμνυον.

Ω Ὠδεῖον, τόπος ἦν ἀθήνησιν εἰς τὸ ἐπιδείκνυσθαι τοὺς μουσικούς. ὅθεν καὶ ᾠδεῖον ἐκλήθη. διεμερίζετο δὲ ἐν τῷ τοιούτῳ τόπῳ καὶ ἄλφιτα.

Ω Ὠθῶ, τὸ χερσὶν ἀποθῶ. γράφεται δὲ καὶ ὠθίω ὠθῶ, καὶ ὠθοῦμαι, καὶ ἐπὶ ἐνεργητικῆς καὶ παθητικῆς σημασίας.

Ω Ὤμιλλα, παιδιά τις ἦν, ἐν ᾗ, ὁ εἰς τὸν κύκλον βαλὼν καρύοις, ὥστε ἐμμεῖναι, ἐνίκα.

Ω Ὠμογέρων λέγε, καὶ μὴ παρ' ἡλικίαν γεγηρακώς.

Ω Ὤνιον, ἀντὶ τοῦ ἐκείνου καὶ πωλούμενον, ἀπὸ τῶν μύλωνας κινούντων ὄνων. θουκυδίδης ἐν τῇ ἕκτῃ. ἔκ τε τῶν ἀγρῶν ὤνιον, ἐκκλειόμενοι τοὺς σταυρούς.

Ω Ὠτακουστεῖν, τὸ τὰ κρύφια μανθάνειν διά τινων. καὶ ὠτακουστής.

Ω Ὥσπερ ὄρνεον. ὅπερ ἐπαινούμενοι καὶ ἀντορχούμενοι, ὥσπερ ὁ νυκτικόραξ ἁλίσκεται. διὸ περὶ τοὺς χαύνους καὶ κενοδόξους, οὕτω καλοῦσιν.

Ω Ὠφέλιμον, τὸ ὠφέλειαν ἐμποιοῦν. τὰ γὰρ εἰς μος, τὰ μέν, εἰσὶν ἐνεργητικά, οἷον ὠφέλιμος. τὰ δέ, παθητικά. οἷον τρόφιμος, ὁ τρεφόμενος ὑπό τινος. καὶ πάλιν. τὰ μὲν αὐτῶν εἰσὶ δυνάμει. οἷον, ἰάσιμος, ὁ δυνάμενος ἰαθῆναι. τὰ δὲ ἐνεργείᾳ. οἷον ἀοίδιμος, ὁ ἀεὶ ᾀδόμενος καὶ ὑμνούμενος.

Ω Ὠφελῶ σε πάντες ῥήτορες. πρὸς δοτικὴν δὲ μόνοι ποιηταί. αἰσχύλος ἐν πέρσαις. ὡς τοῖς θανοῦσι χρήματ' οὐδὲν ὠφελεῖ. καὶ θουκυδίδης ἅπαξ ἐν τῇ πέμπτῃ ὠφελεῖν ἀθηναίους λακεδαιμονίοις, τρόπῳ ᾧ ἂν δύνωνται.

Τ ὸ ὦ μετὰ τῆς κλητικῆς, οὐδέ ποτε ὀξύνεται, εἰ καὶ ἔκπληξιν ὁ λόγος ἔχει καὶ θαῦμα. οἷον, ὦ ἡράκλεις. ὦ θαῦμα θαυμάτων. οὐ γὰρ τὸ ὦ, μόνον ἐν τούτοις ἐμφαίνει τὴν ἔκπληξιν καὶ τὸ θαῦμα, ἀλλὰ μετὰ τῶν κλητικῶν. ὅτε δὲ ἐπάγεται γενική, τότε ἐξ ἀνάγκης ὀξύνεται. τότε δὲ πάντως ἢ σχετλιαστικόν ἐστιν, οἷον, ὢ τῆς ἐμῆς ἀθλιότητος, ἢ θαυμαστικόν. οἷον, ὢ τοῦ ξένου μετάλλου. διὸ καὶ τὴν γενικὴν ἔχει ἐπαγομένην, λαμβανομένου ἔξωθεν τοῦ ἕνεκα.

Ο ὐ μόνον ὥρα τὸ ἔαρ, ἀλλὰ καὶ ὡραία. λιβάνιος ἐν τῷ περὶ τῆς ἑαυτοῦ τύχης. οὕτω τὸ μὲν τῆς ὡραίας ἐτύγχανον ἀφιγμένος οἴκαδε.

Τ ὸ ὡς, ἀντὶ τοῦ καθά. ἀντὶ τοῦ οὕτως, ἀντὶ τοῦ ὄντως. ἀντὶ τοῦ ἐπεί, ἀντὶ τοῦ λίαν, καὶ ἀντὶ τοῦ ἵνα. ὅπερ καὶ εὐκτικῷ, καὶ ὑποτακτικῷ συντάσσεται. λουκιανὸς ἐν τῷ χάρων ἢ ἐπισκοποῦντες. ὡς εἰδῶσιν ἄνθρωποι ὄντες. καὶ ἐν τῷ διογένους καὶ ἡρακλέους διαλόγῳ. ὡς μὴ αἰσχύνοιτο καὶ αὐτὸς λαμβάνων. λαμβάνεται δὲ καὶ ἀντὶ τοῦ ὅτι, καὶ ἀντὶ τῆς εἰς προθέσεως ἐπὶ κινήσεως, καὶ ἐπὶ ἐμψύχου. ἀριστείδης ἐν τῷ πρὸς θηβαίους περὶ συμμαχίας πρώτῳ λόγῳ. τό τε μὲν ἐλθόντων ὑμῶν ὡς ἡμᾶς ἠκούσαμεν. ἅπαξ δὲ καὶ ἐπὶ ἀψύχου θουκυδίδης εἶπεν ἐν τῇ ὀγδόῃ. ἀπέπλευσαν εἰς ἄβυδον. τὸ δὲ ὥσπερ, ποτὲ μὲν καθὰ δηλοῖ. σοφοκλῆς ἐν αἴαντι. ὡς ἂν ποιήσῃς, πανταχοῦ χρηστὸς ἔσῃ. ποτὲ δὲ ἀντὶ τοῦ ἵνα. ἀριστοφάνης ἐν πλούτῳ. οὐκ ἂν φράσαις ὅσα παρ' ἡμῖν ἦν μόνης, γένοιτ' ἀγαθά. ποτὲ δὲ ἀντὶ τοῦ ὡς μόνου, μηδεμίαν τοῦ ἂν δύναμιν ἔχοντος.

τέλος, τῶν ἐκλογῶν, Θωμᾶ τοῦ μαγίστρου.

ΦΡΥΝΙΧΟΥ ΕΚΛΟΓΗ, ΑΤΤΙΚΩΝ ΡΗΜΑΤΩΝ ΚΑΙ ΟΝΟΜΑΤΩΝ.

Ἐπιστολή. Φρύνιχος Κορνηλιανῷ εὖ πράττειν.

Τ ήν τε ἄλλην σου παιδείαν θαυμάζων, ἣν διαφερόντως ὑπὲρ ἅπαντας ὅσοις ἐγὼ ἐνέτυχον πεπαίδευσαι, καὶ δὴ καὶ τοῦτο θαυμάζων ἔχω, τὸ περὶ τὴν καλὴν καὶ δοκίμην ὀνομάτων κρίσιν. ταῦτ' ἄρα κελεύσαντός σου τὰς ἀδοκίμους τῶν φωνῶν ἀθροισθῆναι, πάσας μὲν οὐχ οἷος ἐγενόμην πάνυ περιλαβεῖν. τὰς δ' ἐπιπολαζούσας μάλιστα, καὶ τὴν ἀρχαίαν διάλεξιν ταραττούσας, καὶ πολλὴν αἰσχύνην ἐμβαλλούσας. οὐ λανθάνει δέ σε ὥσπερ οὐδ' ἄλλο τι τῶν κατὰ παιδείαν, ὡς τινες ἀποπλανηθέντες τῆς ἀρχαίας φωνῆς, καὶ ἐπὶ τὴν ἀμαθίαν καταφυγόντες, πορίζουσι μάρτυράς τινας τοῦ προειρῆσθαι ὑπὸ τῶν ἀρχαίων τάσδε τὰς φωνάς. ἡμεῖς δὲ οὐ πρὸς τὰ διημαρτημένα ἀφορῶμεν, ἀλλὰ πρὸς τὰ δοκιμώτατα τῶν ἀρχαίων. καὶ γὰρ αὐτοῖς εἴ τις αἵρεσιν προθείη πότερον ἂν ἐθέλοιεν διαλέγεσθαι ἀρχαίως καὶ ἀκριβῶς, ἢ νεωχμῶς καὶ ἀμελῶς, δέξαιντ' ἂν ἀντὶ παντὸς σύμψηφοι ἡμῖν γενόμενοι, τῆς ἀμείνονος γενέσθαι μοίρας. οὐ γάρ τις οὕτως ἄθλιος, ὡς τὸ αἰσχρὸν τοῦ καλοῦ προτιθέναι. Ἔρρωσο.

ΑΡΧΗ ΤΟΥ Α.

Α γαθὸς μᾶλλον λέγε, μὴ ἀγαθώτερος. καὶ ἀντὶ τοῦ ἀγαθώτατος, ἀγαθὸς μάλιστα.

Α' γαγόν. καὶ τοῦτο εἰ μὲν τὴν μετοχὴν εἶναι ὁ ἀγαγὼν λόγῳ τινί. λεκτέον οὖν ἄγαγε. καὶ γὰρ ἡ μετοχὴ ἀγαγὼν, ὡς ἀπελε ἀπελών.

Α' γάσχου. εἴ τις εἴποι ὅτι ἐν συνθέτῳ Λυσίας κέχρηται καταγάσχεσι, μὴ πάνυ πείθου. ἄγχε μὲν γὰρ λέγουσι. καὶ Δημοσθένης ἄγχεσι λέγει, ἀλλ' οὐ καταγάσχεσι.

Α συγόν. τοῦτο τοὔνομα τάττουσιν οἱ παλαιοὶ ἐπὶ τῆς ἡγεμόνος τινὰ ὁδοιπόρου καὶ Θουκυδίδης κέχρηται. οἱ δὲ νῦν ἀσωγὸς καλοῦσι, τὸν ὀχετὸν τοῦ ὕδατος.

Α ἴθαλος λέγε ἀρσενικῶς, ἀλλὰ μὴ αἰθάλη θηλυκῶς.

Α ἱ νῆες ὀρθῶς, οὐχ αἱ ναῦς. σόλοικον γάρ. (καὶ ὡς. ἥμαρτε μὲν τοι Φαβωρῖνος, πολέμαρχοι, καὶ συλλαοὶ αἱ ναῦς ἀπόντες. τὰς νῆας οὐκ ὀρθῶς, ἀλλὰ τὰς ναῦς λελλισμὲς δὲ ὁ σοφιστὴς ἀκούσας παρά τινος ὅτι οὐ χρὴ αἱ ναῦς λέγειν ἀλλὰ αἱ νῆες, ᾠήθη δεῖν λέγειν καὶ τὴν αἰτιατικὴν ὁμοίως τὰς νῆας. οὐκ ἔχει δὲ οὕτως. ἀλλ' ἐπὶ μὲν τῆς εὐθείας, δισυλλάβως. ἐπὶ δὲ τῆς αἰτιατικῆς, μονοσυλλάβως.

Α ἰχμαλωτισθῆναι. τοῦθ' ὅπως ἀδόκιμον, ὡς οὐδὲ Μένανδρος αὐτῷ χρήσασθαι. διαλύων οὖν λέγε, αἰχμάλωτος γενέσθαι.

Α' κέστας λέγουσιν οἱ παλαιοὶ, οὐχ ἡ πίττης.

Α' κμὴν ἀντὶ τοῦ ἔτι, Ξενοφῶντα λέγουσιν ἅπαξ αὐτῷ κεχρῆσθαι. σὺ δὲ φυλάττου. λέγε δὲ, ἔτι.

Α' λεῖν ὀρθῶς, οὐκ ἀλήθειν. καὶ ἦλει, οὐχ ἤληθον. ἀλοῦσα. οὐχὶ δὲ ἀλήθουσα.

Α' λεκτορὶς, εὑρίσκεται ἐν βαπτισίᾳ που, καὶ κωμῳδίᾳ. λέγε δὲ ἀλεκτρυών, καὶ ἐπὶ θήλεος καὶ ἐπὶ ἄρρενος, ὡς οἱ παλαιοί.

Α' λκαϊκὸν ᾆσμα οὐ χρὴ λέγειν, ἀλλ' ἐν τοῖν δυοῖν ἀλκαϊκόν, ὡς φοκαϊκόν.

Α' μεινότερον εἰ ποιητὴς εἴπῃ, χαιρέτω. οὐδὲ καλλιώτερον, οὐδὲ κρεισσότερον ῥητέον. συγκριτικοῦ γὰρ συγκριτικὸν οὐ γίνεται. λέγε οὖν, ἄμεινον.

Α' μυναι μὴ εἴπῃς ἀλλ' εἰς ῥῆμα μεταβάλλων, ἀμύνασθαι. πάντα γὰρ τὰ ῥήματα εὐδόκιμα. ἀμυνοῦμαι, ἀμυνάσθαι, ἠμυνάμην, ἀμυνοῦμεν.

Α' ναθέσθαι, καλῶς οἱ ἰδιῶται. σὺ δὲ, ἀνεβαλλόμαι φάθι. οἱ γὰρ ἐπὶ τούτου τάττοντες τὸ ἀνατίθεσθαι, ἁμαρτάνουσι. λέγουσι γὰρ ἀνατίθεμαι εἰσαῦθις τὸ πρᾶγμα, ἀγνοοῦντες ὡς τὸ ἀνατίθεσθαι δύο σημαίνει. ἓν μὲν, τὸ μεταγινώσκειν ἐφ' οἷς εἴρηκε, καὶ ἄρξεται ποιεῖν. ἕτερον δὲ, τὸ ἀνατίθεσθαι τὸ φορτίον.

Α' ναισθητεύομαι. τὸ μὲν ὄνομα ἀναίσθητος δόκιμον. τὸ δὲ ῥῆμα, οὐκέτι. λέγε οὖν, οὐκ αἰσθάνομαι.

Α' νάκειται. καὶ τοῦτο ἄλλο μὲν παρ' αὐτοῖς σημαίνει. ἀντ' ἄλλου δὲ ὑπὸ τῶν πολλῶν τίθεται. ἀνάκειται μὲν ἀνδριὰς καὶ ἀναθήματα, καλῶς ὀρθῶς. ἀνάκειται δὲ ἐπὶ τῆς κλίνης οὐκέτι, ἀλλὰ κεῖται.

Α' νακλιθῆναι. οὐ καλῶς ἐπὶ τοῦ ἀνακλιθῆναι τάττουσιν. ἐὰν δὲ ἐπὶ τοῦ τὴν ψυχὴν ἀδημονῆσαι, καλῶς. δεῖ, ἀνέπεσεν ἄνθρωπος, ἀντὶ τοῦ τὴν ψυχὴν ἠθύμησεν.

Α' νατέλλει μὲν ὀρθῶς ὁ ἥλιος, ἐπιτέλλει δὲ ὁ κύων ἢ ὁ ὠρίων, ἢ ἄλλο τι τῶν μὴ ὡσαύτως τῷ ἡλίῳ καὶ τῇ σελήνῃ πολουμένων.

Α' νατοιχεῖν μὴ λέγε, ἀλλὰ διατοιχεῖν.

Α' νειλεῖν βιβλίον δι' οὗ ὡς λ καλεῖσθαι. ἀλλὰ διὰ τῶν δύο ἀνειλλεῖν.

Α' νεῖναι ἔλαιον ἢ ὄξει, ἢ ἄλλῳ τινὶ λέγουσιν οἱ ἰατροὶ πάνυ ἀμαθῶς. δεῖ γὰρ διεῖναι λέγειν.

Α' νέκαθεν, φυλακτέον ἐπὶ χρόνου λέγειν. οἷον, ἀνέκαθεν μοί ἐστι φίλος. ἐπὶ γὰρ τόπου τάττουσιν αὐτὸ οἱ Ἀθηναῖοι λέγοντες οἷ ἀνέκαθεν, κατέπεσε. λέγειν οὖν χρὴ, ἀνωθεν σοι φίλος εἰμι. εἰ δέ τις φαίη ἐπὶ χρόνου παρ' Ἡροδότῳ εἰρῆσθαι τοὔνομα, ἀληθῆ μὲν φήσει. εἴρηται γάρ. οὐ μὴν τῷ ὑφ' Ἡροδότῳ εἰρῆσθαι τὸ δόκιμον, ὥσπερ καὶ τὸ δόκιμον τῆς χρήσεως παρέχεται. οὐ γὰρ

ωνικῶν καὶ δωρικῶν ἐξέτασις ἐστὶν ὀνομάτων, ἀλλ' ἀττικῶν.

Α νέῳγεν ἡ θύρα, σολοικισμός. χρὴ γὰρ λέγειν, ἀνέῳκται.

Α νίστατο λέγε, καὶ μὴ ἠνίστατο.

Α ντιβάλλειν. καὶ τοῦτο ἔστιν ὅτε σημαίνει, καὶ ἑτέρως ὑπὸ τῶν πολλῶν λέγεται. σημαίνει γὰρ τοιοῦτόν τι ὁποῖόν τι τὸ ἀντιθεῖναι. λέγεται δὲ νῦν, ἀντὶ τοῦ ἀντανεγνῶναι.

Α ντίρρησιν μὴ λέγε, ἀντιλογίαν δέ.

Α παράβατον παραιτοῦ μὴ λέγε. ἀπαραίτητον δέ.

Α πελεύσομαι, πανταπάσι φυλάττου. οὔτε γὰρ οἱ δόκιμοι ῥήτορες, οὔτε ἡ ἀρχαία κωμῳδία, οὔτε πλάτων κέχρηνται τῇ φωνῇ. ἀντὶ δὲ αὐτοῦ, τῷ ἄπειμι χρῶ, καὶ τοῖς ὁμοειδέσιν ὡσαύτως.

Α ποτῖσαι, ποτίσασθαι ἐκτῖσαι καὶ τῖσαι, πάντα ἀδόκιμα ἄνευ τοῦ ε λεγόμενα. χρὴ γὰρ σὺν τῷ ε ἀποτεῖσαι, ἐκτεῖσαι, καὶ τεῖσαι λέγειν.

Α ποκριθῆναι, διπλοῦν ἁμάρτημα. ἔδει γὰρ λέγειν ἀποκρίνασθαι. καὶ εἰδέναι ὅτι τὸ διαχωρισθῆναι σημαίνει. ὥσπερ οὖν καὶ τὸ ἐναντίον αὐτοῦ τὸ συγκριθῆναι, καὶ εἰς ἓν καὶ ταυτὸν ἐλθεῖν. εἰδὼς οὖν τοῦτο, ἀντὶ μὲν τοῦ ἀπολῦσαι τὴν ἐρώτησιν, τὸ ἀποκρίνασθαι λέγε. ἀντὶ δὲ τοῦ διαχωρισθῆναι, τὸ ἀποκριθῆναι.

Α πόπαλαι καὶ ἔκπαλαι, ἀμφῶν δυσχεραίνω. ἐκ παλαιοῦ γὰρ χρὴ λέγειν.

Α ποτάσσομαί σοι, ἔκφυλον πάνυ. χρὴ λέγειν ἀσπάζομαί σοι. οὕτω γὰρ καὶ οἱ ἀρχαῖοι εὑρίσκονται λέγοντες, ἐπειδὰν ἀπαλλάττωνται ἀλλήλων.

Α ργὴ ἡμέρα μὴ λέγε, ἀλλ' ἀργὸς ἡμέρα, καὶ ἀργὸς γυνή, καὶ τὰ λοιπὰ ὁμοίως.

Α ρτι ἥξω, μηδέποτε εἴπῃς ἐπὶ τοῦ μέλλοντος, ἀλλ' ἐπὶ τοῦ ἐνεστηκότος, καὶ τοῦ παρῳχημένου. ἄρτι ἥκω. ἄρτι ἀφικόμην.

Α ρτοκόπος, ἀδόκιμον. χρὴ δὲ ἀρτοπόπος ἢ ἀρτοποιὸς λέγειν.

Α ρχαϊκὸν λέγε ἐν δυσὶν ιι, ὡς ἀλκαϊκόν, καὶ τροχαϊκόν.

Α ρχῆθεν ποιηταὶ λέγουσι. τῶν δὲ καταλογάδην δοκίμων, οὐδείς, ἀλλ' ἐξ ἀρχῆς.

Α σβόλη μὴ λέγε, ἀλλὰ ἄσβολος.

Α σπάραγος. καὶ τοῦτο δυσὶν ἁμαρτήμασιν ἔχεται. ὅτι τε ἐν τῷ π', καὶ οὐκ ἐν τῷ φ' λέγεται. καὶ ὅτι ἴδιόν τι φυτόν ἐστιν ὁ ἀσπάραγος, καὶ οὐκ ἐν τοῖς ἡμέροις καταλεγόμενον. ὁ γοῦν κρατῖνος ἐν ἄλλοις ἀγρίοις αὐτὸ καταλέγων φησίν, αὐτομάτην δὲ φέρει τιθύμαλον καὶ σφάκον πρὸς αὐτὸ ἀσφάραγον κίττον τε. ἐν ἅπασιν ἀνθρίσκος ἐνιβᾷ, καὶ φλόμον ἄφθονον. ὥστε παρεῖναι πᾶσι τοῖς ἀγρίοις. ἅπαντα γὰρ τὰ καταλεγόμενα, ἄγρια. οἱ δὲ νῦν, τιθέασι τὸ π' ἀντὶ τοῦ φ, ἀμαθῶς. τῶν γὰρ λαχάνων αἱ κῶθαι, ὄρμενα καλοῦνται. καὶ ἐξορμενίζειν, τὸ ἐκβλαστάνειν καὶ ἐξανθεῖν. λέγε οὖν ὄρμενα ἀλλὰ μὴ ἀσπαράγους. ἀδόκιμον γὰρ λίαν.

Α ὐθαδίζεσθαι λέγε, ἀλλὰ μὴ αὐθαδιάζεσθαι.

Α ὐθαύλης μὴ λέγε, ἀλλὰ ψιλὸς αὐλητής. ἐπεὶ καὶ ἅτερος κύκλιος, αὐλητής.

Α ὐθεκαστότης, ἀδόκιμον. τὸ μὲν οὖν αὐθέκαστος κάλλιστον ὄνομα. τὸ δὲ παρὰ τούτου πεποιημένον αὐθεκαστότης, κίβδηλον.

Α ὐθέντης, μή ποτε εἴπῃς ἐπὶ τοῦ δεσπότου ὡς οἱ περὶ τὰ δικαστήρια ῥήτορες, ἀλλ' ἐπὶ τοῦ αὐτόχειρος φονέως.

Α φείλατο. ὅσοι διὰ τοῦ λα λέγουσιν, ἁμαρτάνουσι δέον διὰ τοῦ λε λέγειν, ἀφείλετο. καὶ ἀφειλόμεν δεῖ λέγειν διὰ τοῦ ο, καὶ μὴ διὰ τοῦ α.

Α φῆλιξ λέγουσιν οἱ ῥήτορες. τοὐναντίον γὰρ ἢ δεῖ χρῶνται. τὸν μὲν γὰρ πρεσβύτερον ῥητέον ἀφήλικα. οἱ δέ, ἐπὶ τοῦ μηδέπω ἐννόμῳ ἡλικίᾳ χρῶνται.

Α φιδρῶσαι. καὶ τοῦτο φαβωρῖνος. σὺ δὲ καθιδρῶσαι λέγε.

Α φρόνιτρον, τελέως ἐξίτηλον, καὶ ἀδόκιμον. χρὴ οὖν λίτρον λέγειν, ἢ λίτρου ἀφρόν.

ΑΡΧΗ ΤΟΥ Β.

αθμός, ἰωνικὸν διὰ τοῦ θ'. διὰ δὲ τοῦ σ', ἀττικόν. βασμός.

Β Βάκηλος ἁμαρτάνουσιν οἱ τάττοντες τοῦτο ἐπὶ βλακός. σημαίνει γὰρ ὁ βάκηλος, τὸν ἀποτετμημένον τὰ αἰδοῖα. ὃν βιθυνοί τε καὶ ἀσιανοί, γάλλον καλοῦσι. λέγε οὖν βλὰξ καὶ βλακικὸν ὡς οἱ ἀρχαῖοι.

Β αλαντοκλέπτης μὴ λέγε, ἀλλὰ βαλαντιοκλέπτης.

Β ασκάνιον λέγουσιν οἱ ἀρχαῖοι, οὐ προσβασκάνιον μετὰ τῆς πρός.

Β ασίλισσα, οὐδεὶς τῶν ἀρχαίων εἶπεν ἀλλὰ βασίλεια ἢ βασιλίς. Ἄλλως. Βασίλισσα, ἀλκαῖόν φασι τὸν κωμῳδοποιὸν καὶ ἀριστοτέλην ἐν τοῖς ὁμήρου ἀπομνημονεύμασιν εἰρηκέναι. σὺ δὲ βασιλικὸς ἐπιστολὰς ἀποφανθεὶς ἀνάλογον τῇ σαυτοῦ παρασκευῇ, γενικώτατον ἢ μὴν ἐκόμισας μάρτυρα, τὸν συγγεγραφότα τὸν κατὰ νεβρίας. ὃς διά τε τὰ ἄλλα ὑποπτεύεται μὴ εἶναι δημοσθένους, καὶ διὰ τὰ τοιαῦτα τῶν ἀδοκίμων ὀνομάτων. τοῖς πλείοσιν οὖν πειθόμενοι, βασίλειαν ἢ βασιλίδα λέγωμεν. οὕτω γὰρ διακρίνειν δόξαιμεν ἄν, τό, τε καλὸν καὶ τὸ αἰσχρόν.

Β εβίασται ἡ κόρη λεκτέον, ἀλλ' οὐχ ὥς τινες τῶν ῥητόρων; ἔφθαρται.

Β ελόνη, καὶ βελονοπώλης, ἀρχαῖα. ἡ δὲ ῥαφὶς τί ἐστιν, οὐκ ἄν τις γνοίη.

Β ιβλιογράφος. οὕτω λέγουσιν ἐν πέντε συλλαβαῖς καὶ διὰ τοῦ α. οὐχὶ τετρασυλλάβως

καὶ διὰ

καὶ διὰ τοῦ ε.

B ράδιον ἐστὶν ἡσίοδος μὲν λέγει, βράδιον δὲ παρ' ἑλλησι φαίνει. πλάτων δὲ καὶ θουκυδίδης καὶ οἱ δοκιμώτεροι, βραδύτερον.

B ρύχει ἐπὶ τοῦ ὕειν, ἐν τινὶ κωμῳδίᾳ.

B ρῶμος, πάνυ ἐξίτηλον, ἀχρὴ λέγεσθαι ἐπὶ τῆς δυσωδίας. μέχρις οὖν εὑρίσκεται ἐπὶ τῆς δυσωδίας, ἄχαρι τὸ σημεῖον λέγε.

B ρώσομαι, κακῶς ὁ φαβωρῖνος. οἱ γὰρ ἀττικοὶ ἀντ' αὐτοῦ, ἔδομαι χρῶνται καὶ κατέδομαι.

ΑΡΧΗ ΤΟΥ γ.

Γ αμεῖν μὴ λέγε, ἀλλὰ γαμεῖν διὰ τῆς ει ὡς νοεῖν. φιλοῖν. καὶ γὰρ τὰ μὲν τῆς πρώτης συζυγίας καὶ τρίτης τῶν περισπωμένων ῥημάτων εὐκτικὰ, διὰ τῆς οι διφθόγγου λέγεται. τὰ δὲ τῆς δευτέρας, διὰ τοῦ ῷ ἐν, νικῷν, γελῷν.

Γ αργαλίζειν δι' ἑνὸς γ' λέγε, ἀλλὰ μὴ διὰ τῶν δύο γαργαλίζειν.

Γ ασρίζειν, ἐπὶ τοῦ ἐμπιπλᾶσθαι λέγουσιν ἀθηναῖοι, οὐκ ἐπὶ τοῦ τὴν γαστέρα τύπτειν.

Γ ελάσιμον μὴ λέγε, ἀλλὰ γελοῖον.

Γ ενέσια, οὐκ ὀρθῶς τίθεται ἐπὶ τῆς γενεθλίου ἡμέρας. γενέσια γὰρ ἀθήνησιν ἑορτή. λέγειν οὖν δεῖ, τὰς γενεθλίους ἡμέρας, ἢ γενέθλια.

Γ ενήματα. πολλαχοῦ ἀκούω τὴν λέξιν τιθεμένην ἐπὶ τῶν καρπῶν. ἐγὼ δὲ οὐκ οἶδα ἀρχαίαν καὶ δόκιμον οὖσαν, χρὴ οὖν ἀντὶ τοῦ γενήματα, καρποὺς λέγειν ξηροὺς καὶ ὑγρούς.

Γ ίνεσθαι λεκτέον διὰ τοῦ ν καὶ μὴ διὰ τοῦ ε, γίνεσθαι.

Γ λωσσόκομον. τὸν μὲν τύπον καὶ τὴν θέσιν, ὑπ' ἀρχαίων ἔχει. διεφθαρμένως δὲ λέγεται ὑπὸ τῶν πολλῶν. ἐχρῆν γὰρ γλωττοκομεῖον λέγειν, ὥσπερ ἀμέλει καὶ οἱ ἀρχαῖοι.

Γ λωσσίδας αὐλῶν, ἢ ὑποδημάτων μὴ λέγε. ἀλλ' ὡς οἱ δοκιμώτατοι γλώττας αὐλῶν, γλώττας ὑποδημάτων.

Γ ογγύλη. καὶ ἐνταῦθα ἁμάρτημα. οἱ τε παλαιοὶ, ἐπὶ τοῦ στρογγύλου τιθέασιν. οἱ δὲ νῦν, ἐπὶ τῆς ὑπὸ τῶν ἰδιωτῶν γογγυλίδος καλουμένης. λέγε οὖν ἐπὶ τοῦ λαχάνου γογγυλὶς, ἀλλὰ μὴ γογγύλη.

Γ ρηγορῶ ἐγρηγόρει, οὐ δεῖ. χρὴ γὰρ ἐγρήγορα λέγειν, καὶ ἐγρηγόρει.

Γ ρυλλίζειν, διττὴν ἔχει τὴν ἁμαρτίαν. ἔν τε τῇ προφορᾷ, καὶ τῷ σημαινομένῳ. ἐν μὲν τῇ προφορᾷ, διὰ δύο λλ. ἐν δὲ τῷ σημαινομένῳ, ὅτι παρὰ τοῖς ἀρχαίοις τὸ γρυλίζειν ἐστὶ τιθέμενον, ἐπὶ τῆς τῶν ὑῶν φωνῆς. οἱ δὲ νῦν τάττουσιν ἐπὶ τῆς φορτικῶς ὀρχουμένων. ὑμεῖς οὖν γρυλίζειν καὶ γρυλισμὸς ἐν ὑῶν, οὐ γρυλλισμός.

Γ ρύτη καὶ ἐστὶ τῶν παρασεσημειωμένων. τὸ γὰρ ῥωπικὸν ἅπαν, γρυμέαν συμβέβηκε καλεῖσθαι.

ΑΡΧΗ ΤΟΥ δ.

Δ εξαμενήν φασι πλάτωνα ἐπὶ τῆς κολυμβήθρας εἰρηκέναι. ἐγὼ δὲ οὔ φημι. ἀλλὰ δεξαμενὴν τῷ τόνῳ εἶπεν ὡς ποιουμένην. χρὴ οὖν ἡμᾶς, κολυμβήθραν λέγειν.

Δ ιδοῦσιν. ἐν τῷ περὶ εὐχῆς φαβωρῖνος οὕτω λέγει, δέον διδόασι. τὸ γὰρ διδοῦσιν, ἄλλο τι σημαίνει. τὸ δεῖν.

Δ ιδώη, καὶ διδώης. τοῦτο τὸ εὐκτικὸν, οὐδεὶς τῶν ἀττικῶν εἶπε διὰ τοῦ ω μεγάλου, ἀλλὰ διὰ τῆς οι διφθόγγου. τεκμηριοῖ δὲ ὅμηρος. ἐὰν μὲν ὑποτακτικῶς χρῆται, διὰ τοῦ ω λέγεσθαι. εἴ δῴκεν αὐτοὶ κῦδος ἀρέσθαι. ἔστι γὰρ, ἐὰν δέ σοι δῴη ὁ ζεύς. εἰ δὲ εὐκτικῶς, οὕτω. σοὶ δὲ θεοὶ τόσα δοῖεν, ὅσα φρεσὶ σῇσι. ἐθαύμασα οὖν ἀλεξάνδρου τοῦ σύρου σοφιστοῦ, δῴη καὶ διδῴη λέγοντος ἐπὶ τοῦ εὐκτικοῦ.

Δ ίκρανον. ἐστὶν οἱ ἀρχαῖοι, δίκρουν καλοῦσι.

Δ ιόσκουροι. ὀρθότερον διόσκοροι. γελάσεις οὖν, τοὺς ἄνευ τοῦ υ λέγοντας.

Δ ιωρία, ἐσχάτως ἀδόκιμον. ἀντ' αὐτοῦ δὲ, προθεσμίαν ἐρεῖς.

Δ ιώρυγες διώρυγι διώρυγα διὰ τοῦ γ', κακῶς. οἱ γὰρ ἀρχαῖοι ταῦτα, διὰ τοῦ χ λέγουσι. διώρυχος. διώρυχι, διώρυχα.

Δ υεῖν, ἔστι μὲν δόκιμον. τὸ δὲ ἀλλοκότως αὐτῷ χρῆσθαί τινας, ἐπιταράττεται. ἐπὶ γὰρ μόνης γενικῆς καὶ δοτικῆς τίθεται.

Δ ύνη. ἐὰν μὲν ἐστὶν ὑποτακτικὸν ἢ ἐὰν δύνωμαι, ἐὰν δύνη, ὀρθῶς λέγεται. ἐὰν δὲ ὁριστικῶς τιθῆ τις. δύνη ἐστὶ πρᾶξαι, οὐχ ὑγιῶς ἂν τεθείη, χρὴ δὲ λέγειν δύνασαι τοῦτο πρᾶξαι.

Δ υοὶ μὴ λέγε, ἀλλὰ δυεῖν.

Δ υσωπεῖσθαι. πλουτάρχῳ μὲν ἔστι δυσωπίας βιβλίον, τοῦτο ὅπερ οἴεται δηλοῦν. τὸ αἰδεῖσθαι καὶ μὴ ἀντέχειν μὴ αἰδῶ. ἀλλὰ σημαίνει παρὰ τοῖς ἀρχαίοις ἡ δυσωπία, τὴν ὑφόρασιν, καὶ τὸ ὑποπτεύειν.

ΑΡΧΗ ΤΟΥ ε.

ε αὐ ἄξεις οὐδεὶς ἂν φαίη. ἀλλ' ἐὰν ἀγάγης.

Ἔγγιον ἐπὶ τοῦ ἐγγύτερον μὴ λέγε, ἀλλ' ἐγγύτερον. ἐπὶ δὲ τοῦ ἐν τῇ γῇ, οὗ ἔγγειον κτῆμα εἴ τις χρῷτο, ἄριστα ἂν χρήσαιτο. ὡς καὶ δημοσθένης ἔγγειον τόκον λέγει.

Ε' γκρατεύεσθαι δεῖ λέγειν ὡς οἱ παλαιοὶ καὶ μὴ ἀκρα-

Ε' γκάθετος. οὕτως ὑπερίδης ἀπορρίπτεσθαι. μένως. δέον δοκιμώτερον χρήσασθαι τῷ θηρὸς ἢ εἰσποιητὸς, ἢ ὑπόβλητος.

Ε' δηδέσαν· καὶ τοῦτο τῆς Λολλιανοῦ μανίας· σὺ δὲ λέγε τετρασυλλάβως αὐτὸ τὸ ἐδηδόκεσαν.

Ε' δέετο, ἐπλέετο, ἰωνικὰ ταῦτα· ἡ δὲ ἀττικὴ συνήθεια συναιρεῖ· ἐδεῖτο, ἐπλεῖτο, ἐρρεῖτο.

Ε ἶτεν καὶ ἔπειτεν, τελέως βάρβαρα· εἶτα οὖν σὺ καὶ ἔπειτα λέγε.

Ε ἱστάτω· καὶ περὶ τούτου οὕτως ἔχε· Λολλιανὸς ἀκούσας ὅτι χρὴ ζεῦ τῷ ε ἑστάναι λέγειν, ᾠήθη ὑπέλαβε καὶ τὸ ἱστάτω, ἑστάτω δεῖν λέγεσθαι.

Ε ἵλκυσται, καὶ τώρυκται, οὐ χρὴ λέγειν, ἀλλὰ διπλασιάζειν τὴν φωνὴν ὡς περ οἱ ἀθηναῖοι· ἐλήλκυσται, κατορώρυκται.

Ε' κὼν εἶναι· καὶ περὶ τούτου ἰδιώτης μὲν οὐκ ἂν πταίσειε· τῶν δὲ σφόδρα πεπαιδευμένων ἀρχαίᾳ φωνῇ κεκοσμημένη χρῆσθαι· τὸ δ' ἁμάρτημα τοιοῦτόν ἐστιν· οἱ μὲν παλαιοί, οὕτω συντάττουσι τὸ ἑκὼν εἶναι, ὥς τε πάντως ἀπαγορεύουσιν ἢ ἀρνήσει ἐπιφέρουσιν ἢ προσιθέναι δεῖ, ἑκὼν εἶναι οὐ μὴ ποιήσω· οὕτω καὶ οἱ νῦν εὖ φρονοῦντες. ὅσοι δὲ ἐν τῇ καταφάσει τιθέασι τὸ ἑκὼν εἶναι, οἷον ἑκὼν εἶναι ἔπραξα, ἑκὼν εἶναι ἐπιβουλεύσαιμι, μέγιστα ἁμαρτάνουσιν.

Ε' κοντίλω οὐ χρὴ λέγειν, ἀλλ' ἐθελοντί.

Ε' κτρῶσαι· τοῦτο φυλακτέον· λέγε δὲ ἐξαμβλῶσαι, καὶ ἀμβλίσκει.

Ε' καθίσθη καθισθεὶς καθισθήσομαι, καὶ τὰ πληθυντικὰ καθισθήσονται, ἔκφυλα· λέγε οὖν καθέζομαι· καθεδοῦμαι καθεδοῦνται, καθεδούμενος.

Ε'' κθεμα, βάρβαρον· σὺ δὲ λέγε πρόγραμμα.

Ε'' κτρωμα· μὴ δὲ τοῦτο λέγε· ἐξάμβλωμα δὲ καὶ ἀμβλωθρίδιον.

Ε' κτοτε, κατὰ μηδένα τρόπον εἴπῃς, ἀλλ' ἐξ ἐκείνου.

Ε' κτενῶς, μή· ἀλλ' ἀντ' αὐτοῦ σπουδαίως.

Ε' λλύχνιον· καὶ τοῦτο τῶν εἰσκωμασάντων ταῖς ἀθήναις· θρυαλλίδα οὖν ῥητέον.

Ε' λουόμην, ἐλούου, ἐλούετο· λούομαι, λούεται· ἐλουόμεθα, ἐλούοντο, λούεσθαι· πάντα οὕτω λεγόμενα, ἀδόκιμα· εἰ δὲ δόκιμα βούλει αὐτὰ ποιῆσαι, τὸ ο καὶ τὸ ε ἀφαίρει· λοῦσθαι ἢ λοῦμαι· λοῦται· ἐλούμην ἐλοῦτο· ἐλούμεθα, ἐλοῦντο· οὕτω γὰρ οἱ ἀρχαῖοι λέγουσιν.

Ε'' μελλον ποιῆσαι· ἔμελλον θεῖναι· ἁμαρτήματα τῶν ἐσχάτων, ἅτινα οὕτω συντάττοντα τηρεῖται γὰρ ἢ τῷ ἐνεστῶτι συντασσόμενον, ἢ τῷ μέλλοντι· οἷον, ἔμελλον ποιεῖν· ἔμελλον ποιήσειν· τὰ δὲ συντελικά, οὐδένα τρόπον ἁρμόσει τῷ ἔμελλον. Ἄλλως.

Ε'' μελλον γράψαι· ἐσχάτως βάρβαρος ἡ σύνταξις αὕτη· ἀορίστῳ γὰρ χρόνῳ τὸ ἔμελλον οὐ συντάττουσιν ἀθηναῖοι, ἀλλ' ἤτοι ἐνεστῶτι, οἷον ἔμελλον γράφειν, ἢ μέλλοντι· οἷον, ἔμελλον γράψειν.

Ε' μπτύει μου μηδαμῶς λέγε, ἀλλὰ καταπτύει μου, καὶ κατέπτυσα αὐτοῦ.

Ε' μπυρισμός· οὕτως εὐριπίδης ἠμελημένως, δέον ἐμπυρισμὸς λέγειν.

Ε' ναρέτος· πολὺ παρὰ τοῖς στωϊκοῖς κυλινδεῖται τοὔνομα, οὐκ ὂν ἀρχαῖον.

Ε'' νδοιάζομαι, βάρβαρον· ἔνδον γάρ ἐστι καὶ ἔνδον εἰμὶ δόκιμον· δεῖ οὖν ἔσω παρέρχομαι λέγειν· ἔνδω δὲ διατρίβω· οὐκ ὀρθῶς, ἀλλ' ἔνδον διατρίβω.

Ε' νέλατο κλίνης ἢ σκίμποδος, οὐ χρὴ * τὸν ἀττικίζοντα, ἀλλὰ *

Ε' νθήκη· τὸ μὲν παραθήκη ὅπως παρ' ἡροδότῳ εἴρηται, ὕστερον ὀψόμεθα· τὸ δὲ ἐνθήκη ὡς οἱ πολλοὶ λέγουσιν, ἄτοπον· ἀφορμὴν γὰρ λέγουσιν οἱ ἀρχαῖοι.

Ε' νιαυσιαῖον· καὶ τοῦθ' ὅμοιόν ἐστι τῷ διονυσιακῷ, κίβδηλον· λέγε οὖν πεντασυλλάβως ἐνιαύσιον ὡς διονύσιον.

Ε' ντέχνως· πάνυ αἰτιῶνται τοὔνομα, καὶ φασὶ τεχνικῶς δεῖν λέγειν.

Ε' ν χρῷ κουρίας φάθι, καὶ μὴ ψιλόκουρος.

Ε' ξόπιλαφος, ἀποδιαπομπητέον· ἀντ' αὐτοῦ ῥητέον.

Ε' ξέτρωσεν ἡ γυνὴ μὴ λέγε· ἐξήμβλωσε δέ.

Ε' ξεπιπολῆς λέγουσί τινες, οἰόμενοι ὅμοιον εἶναι τῷ ἐξαίφνης· οἷον, ἐξεπιπολῆς τοῦ πανὸς, ἀτόπως· οἱ γὰρ ἀρχαῖοι, ἄνευ τῆς ἐξ προθέσεως ἐπιπολῆς.

Ε' ξιδιάζονται· καὶ τοῦτο φαβωρῖνος λέγει κακῶς· ἰδιοῦσθαι γὰρ τὸ τοιοῦτο λέγουσιν οἱ ἀρχαῖοι.

Ε' ξυπνισθῆναι οὐ χρὴ λέγειν, ἀλλὰ ἀφυπνισθῆναι.

Ε' παοιδὴ ἰδιώτης λέγων· οὐχ ἁμαρτάνει· λέγε οὖν ὀρθῶς, ἐπῳδή· ἐπεὶ τὸ διαιρούμενον ποιητικόν.

Ε' παίσχρει οὐ χρὴ λέγειν, ἀλλὰ σκαιόν.

Ε' πίστησον, καὶ ἐπιστάσεως ἄξιον τὸ πρᾶγμα, ἀντὶ τοῦ ἐπόρησον καὶ ἀπορίας ἄξιον τὸ πρᾶγμα· οὕτω χρωμένων τῶν στωϊκῶν φιλοσόφων πολλάκις ἀκήκοα· εἰ δὲ καὶ ἀρχαῖος ὁ δόκιμος, ἄξιον ἐπισκέψεως.

Ε' πιξελευσόμενος ἄλλος οὗτος ἡρακλῆς· τοῦτο οὖν ἔσυρον ἐκ τελόλου φαβωρῖνος· χρὴ γὰρ ἐπεξιὼν εἰπεῖν· καὶ γὰρ ἐπέξειμι λέγεται, ἀλλ' οὐκ ἐπεξελεύσομαι.

Ε' πίδεσμος καὶ ἐπίδεσμοι ἀρσενικῶς μὴ λέγε· ἀλλ' οὐδετέρως τὸ ἐπίδεσμον καὶ τὰ ἐπίδεσμα ὡς οἱ ἀρχαῖοι.

Ε' πίδοξον, τὸ προσδοκώμενον καὶ ἐλπιζόμενον ὀρθῶς· οὐχ ὡς οἱ ἀμαθεῖς τὸ ἐπίσημον.

Ε' πίλαιοτρον ῥητέον οὐκ ἀπόλυτρον.

Ε' πίτοκος ἡ γυνὴ εἶπεν ἀδόκιμος ἀντιφάνης ὁ κωμικός, δέον οὖν ἐπίτεξ.

Ε' πιτρεπάζειν· ἔτι καὶ τοῦτο διέφθαρται· καί τοι λεγόντων φανερῶς τῶν ἀρχαίων ἀποτροπάζειν.

Ε' ργοδότης οὐ κεῖται· τὸ δὲ ἐργοδοτεῖν, παρά τινι τῶν νεωτέρων κωμῳδοποιῶν, οἷς οὐ πιστέον.

Ε' ρεύγεσθαι, ὁ ποιητής. Ὁ δὲ ἐρεύγετο οἰνοβαρείων· ἀλλ' ὁ πολιτικὸς, ἐρυγγάνειν λεγέτω.

Ἔρχετο

ε σχατον χρὴ λέγειν οὐκ ἐσχατώτατον, εἰ μὴ μαρτυρίαν παρέχει τίς.

ε σχάτως ἔχει, ἀντὶ τοῦ μοχθηρῶς ἔχειν· καὶ σφαλερῶς τάττουσιν οἱ σύρφακες· ἡ δὲ τοῦ ἐσχάτως χρῆσις οἶδα παρὰ τοῖς ἀρχαίοις, ἀντὶ τοῦ ἄκρου νομίζεται· ἐσχάτως πονηρός, ἐσχάτως φιλόσοφος· διαγραπτέον οὖν καὶ τοῦτο.

ε ὐαγγελίζομαί σε· καὶ περὶ ταύτης τῆς συντάξεως διασκεπτόμενος ἀντὶ συχνὸν δή τινα χρόνον εἴτε αἰτιατικῇ συντακτέον αὐτὴν τάσσει εἴτε καὶ δοτικῇ, εὑρίσκω κατὰ δοτικὴν ἡρμοσμένην· ἀριστοφάνους μὲν οὕτω λέγοντος ἐν τοῖς ἱππεῦσιν, εὐαγγελίσασθαι πρῶτος ὑμῖν βούλομαι· φρυνίχου δὲ τοῦ κωμῳδοῦ ἐν τοῖς σατύροις οὕτως· ὅτι πρὶν ἐλθεῖν αὐτὸν εἰς βουλὴν, ἔδει καὶ ταῦτ' ἀπαγγείλαντα εὐαγγέλιον, πρὸς τὸν θεὸν ἥκειν. ἐγὼ δὲ ἀπορῶ ἐκεῖνοι δ' αὖ εἰ ἄνθρωποι δή· καὶ οὕτω λέγουσιν, εὐαγγελίζομαι ὁ εὐαγγελιστής. οὐ ὁ πλάτων ἐν δευτέρῳ πρόσωπον λέγει εὐαγγελεῖς.

ε ὔθετον μὴ λέγε, ἀλλ' εὐθετεῖ ἱμάτιον τρισυλλάβως αὐτὸ τοῦ ι.

ε ὐθὺ, πολλοὶ ἀντὶ τοῦ εὐθύς. διαφέρει δέ· τὸ μὲν γὰρ, τόπου ἐστὶν εὐθὺ ἀθηνῶν· τὸ δὲ, χρόνου καὶ λέγεται σὺν τῷ σ.

ε ὐκαίρως. καὶ τοῦτο ἀποβλέπον.

ε ὐκαιρεῖν οὐ λεκτέον, ἀλλ' εὖ σχολῆς ἔχειν.

ε ὐημερεῖν, μηδὲν πάνυ. ἥδιστα δ' ἂν εἴποις εὐπορεῖν χρημάτων.

ε ὐμενῶς ἔχει μοι μὴ λέγε, ἀλλ' εὐνοϊκῶς.

ε ὕρασθαι οὐκ ὀρθῶς προπαροξυτόνως διὰ τοῦ α, ἀλλὰ παροξυτόνως διὰ τοῦ ε εὑρέσθαι.

ε ὐπαθεῖν, εὐσταθής· πόθεν καὶ ταῦτα εἰς τὴν τῶν ἑλλήνων φωνὴν εἰσερρύη, ἀδόκιμα ὄντα ταῦτα, φροντίδος ἄξια· ἀλλὰ σὺ ἐπιεικῆ λέγε, καὶ ἐμβριθής.

ε ὐσχήμων· τοῦτο μὲν οἱ ἀμαθεῖς, ἀντὶ τοῦ πλουσίου καὶ ἐν ἀξιώματι ὄντος τάττουσιν· οἱ δ' ἀρχαῖοι, ἀντὶ τοῦ καλοῦ καὶ συμμέτρου.

ε ὔοσφον μὴ λέγε μή ποτε ὡς ἀθηναῖοι· μὴ δὲ ἐν κοινῇ, ἀλλ' οἰκότριβα· μή ποτε δὲ καὶ τῷ οἰκογενὴς, ὡς δοκίμῳ χρηστέον.

ε ὐχαριστεῖν οὐδεὶς τῶν δοκίμων εἶπεν, ἀλλὰ χάριν εἰδέναι.

ε ὐχρηστεῖν, ἀπόβλητον· λέγε δὲ κεχρῆσθαι.

ε φλέγμαινε φλεγμαίνει, καὶ ταῦτα διὰ τοῦ ει·

ε φηβεύσας. ἔστι μὲν παρὰ τοῖς ἀρχαίοις, ἀλλ' ὀλίγον· τὸ δὲ πλεῖστον, ἐφηβῆσαι.

ε φιόρκους. τοῦτο διὰ τοῦ π λέγε.

ε ὠνησάμην. εἰς λόγος περὶ τοῦ ἁμαρτήματος· ἔνθα μὲν μὴ δυνηθῇς τὸ πρίασθαι ἢ ἐπριάμην θεῖναι, ἐκεῖ τὰ ἀπὸ τοῦ ὠνοῦμαι τάττε. ἔνθα δ' αὖ ἀπὸ τοῦ πρίασθαι, φυλάττου θάτερον. οὐ ὠνοῦμαι οἰκίαν ἐνταῦθα ἐγχωρεῖ τὸ ἐπριάμην. οὕτω χρήσῃ ἐπριάμην οἰκίαν. πάλιν, ἔτυχον ὠνούμενος οἰκίαν ἢ ἀγρόν. ἐνταῦθα οὐδὲν ἐγχωρεῖ τῶν ἀπὸ τοῦ πρίασθαι, καὶ μηδεὶ τὸ ὠνούμενος δόκιμον. οὕτω καὶ τὸ τοῦ ἐωνησάμην. παρὸν γὰρ ἐπριάμην εἰπεῖν, μὴ εἴπῃς ἐωνησάμην.

ΑΡΧΗ ΤΟΥ Ζ.

ζ ωρότερον, ὁ ποιητής. σὺ δὲ λέγε, εὔζωρον κέρασον. καὶ εὐζωρότερον, ὡς ἀριστοφάνης καὶ κρατῖνος, καὶ εὔπολις.

ΑΡΧΗ ΤΟΥ Η.

η κηκόεσαν, ἐγεγράφεσαν, ἐπεποιήκεσαν, ἐνενοήκεσαν. ὀρθῶς· ἀλλ' οὐ σὺν τῷ ι, ἠκηκόεισαν. ἤμην εἰ καὶ εὑρίσκεται παρὰ τοῖς ἀρχαίοις οὐκ ὀρθῶς, ἀλλ' ἦν ἐγώ.

Η μικεφάλαιον μὴ λέγε, ἀλλὰ ἡμίκρανον.

Η μίκακον. οὐχ οὕτως, ἀλλ' ἡμιμελαινόμενον φαθί.

Η νυστρον λέγε, ἀλλὰ μὴ ἔνυστρον.

Η ὄμφαξ ἡ βῶλος· θηλυκῶς, οὐκ ἀρσενικῶς.

Η πηλὸς συρακούσιοι λέγοντες, ἁμαρτάνουσιν.

Η πίσασθαι, ἔστι μὲν ἅπαξ παρ' ἀριστοφάνει ἐν δαιταλεῦσι παίζοντι τὰς ἡσιόδου συνθήκας· καὶ κόσμιον ἡ πίσασθαι. σὺ δὲ λέγε, ἀκέσασθαι τὸ ἱμάτιον.

Η ῥὰξ ὀρθῶς. ὁ δὲ ῥώξ, δύο ἔχει ἁμαρτήματα.

Η ς ἐν ἀγορᾷ, σόλοικον. λέγε οὖν ἦσθα. ὀρθότερον δὲ χρῷτο ἂν ὁ λέγων, ἐπεὶ ἦς ἐν ἀγορᾷ.

Η ὕπαλιξ λέγε, ἀλλ' οὐχ ὁ ὕπαλιξ.

Η χάραξ ὀρθῶς ἐπὶ τῆς ἀμπέλου στήριγμα, οὐ κατὰ τὸ ἀρρενικόν.

ΑΡΧΗ ΤΟΥ Θ.

θ ρμάστης λέγε, ἀλλὰ μὴ θερμαστίς.

θ ειδάκιναι ἡρόδοτος ἰάζων. ὑμεῖς δὲ θριδακίνην ὡς οἱ ἀττικοί.

Θ νάειν λέγε, μὴ ἐγδεῖν.

Θ υμέλη. τοῦτο οἱ μὲν ἀρχαῖοι, ἀντὶ τοῦ θυσίας ἐτίθεσαν. οἱ δὲ νῦν, ἀντὶ τοῦ τόπου ἐν τῷ θεάτρῳ· ἀφ' οὗ αὐληταὶ, καὶ κιθαρῳδοὶ, καὶ ἄλλοι τινὲς ἠγωνίζοντο. σὺ δὲ ἔνθα μὲν τραγῳδοὶ καὶ κωμῳδοὶ ἀγωνίζονται, λογεῖον ὀρθῶς. ἔνθα δὲ αὐληταὶ καὶ χοροὶ, ὀρχήστραν καὶ μὴ θυμέλην.

Θ υρεόν. τοῦθ' ὅμηρος ἀντὶ λίθου τίθησι τοῦ ἀντὶ τῆς θύρας τὴν χρείαν παρέχοντος. οἱ δὲ πολλοὶ ἀντὶ τῆς ἀσπίδος τιθέασιν οὐδενὸς τῶν ἀρχαίων καὶ δοκίμων χρησαμένου, χρὴ οὖν, ἀσπίδα λέγειν.

ΑΡΧΗ ΤΟΥ Ι.

ρόθυτον οὐκ ἐρεῖς, ἀλλ' ἀρχαίως θεόθυτον.

Ἱκεσία. καὶ τοῦτο ἀδόκιμον. ἱκετεία δέ.

Ἰλὺς οἴνου, οὐκ ὀρθῶς λέγεται. ποταμοῦ μὲν γὰρ ἰλύς. οἴνου δέ, τρὺξ ἢ ὑποστάθμη.

Ἵνα ἄζωσιν οὐ χρὴ λέγειν, ἀλλ' ἵνα ἀγάγωσιν.

Ἱστῶν λέγε, ἀλλὰ μὴ ἱστέων. ἁμαρτήσεις γὰρ ὁμοίως τῷ λέγοντι, καλαμέων ἀνδρέων, ἱππέων. δέον καλάμων, ἀνδρῶν, ἵππων.

Ἵπτασθαι, παραιτητέον εἰ καὶ ἅπαξ εἴη που κείμενον, ἢ δίς. πέτεσθαι δὲ λέγε.

ΑΡΧΗ ΤΟΥ Κ.

αθὸς, δοκεῖ μοι εἶναι τοὔνομα γαϊδός τις ἀρχαιοσόφος γραμματικὸς ἔφασκε καταχρῆσθαι τῷ αὐτῷ φύλαρχον. φῶ τοῦ μάρτυρος ὃς ἔοικε τῷ ἐπαγομένῳ οὐδὲ θουκυδίδου λέγοντος ἤκουσε. καθὸ δεῖ εἰς σικελίαν πλεῖν. ἀλλ' οὐ καθώς.

Κακοδαιμονεῖν οὕτως οἱ νόθως ἀττικίζοντες. ἀθηναῖοι γὰρ διὰ τοῦ α, κακοδαιμονᾷν λέγουσι. καὶ θαυμάσαι ἄν τις, πῶς εὐδαιμονεῖν μὲν λέγουσιν οὐκέτι δὲ κακοδαιμονεῖν, ἀλλὰ κακοδαιμονᾷν. καὶ πῶς εὐδαιμονοῦσι μὲν λέγουσιν οὐκέτι δὲ καὶ κακοδαιμονοῦσιν ἀλλὰ κακοδαιμονῶσι.

Καλλιγραφεῖν, οὐ διαλελυμένως λέγουσιν ἐκεῖνοι. σὺ δέ, εἰς κάλλος γράφειν.

Καρῆναι καὶ ἐγκαρῆναι φασί, καὶ εἶναι τούτου πρὸς τὸ κείρασθαι διαφοράν. τὸ μὲν ἐπὶ προβάτων τιθέασι. κείρασθαι δέ, ἐπὶ ἀνθρώπων.

Κατὰ κοιλίας ποιεῖν οἱ γυμναστικοὶ λέγουσιν. οἱ δὲ παλαιοί, ὑπάγειν τὴν γαστέρα λέγουσι.

Καταμύειν, οὐ καμμύειν.

Καταπροΐζεται, οὐκ ὀρθῶς διαιροῦσι. δέον καταπροΐζεται.

Καταχάσαι. ἰατροὶ μὲν οὕτω λέγουσιν ἔχοντες ἀπολογίαν, ὡς ὄντος παρὰ τοῖς ἀρχαίοις τοῦ ἔχαρον καὶ ἔχαξεν, καὶ ἐκέντουν. ἀλλὰ κατανύξαι ἡμεῖς λέγομεν.

Καταφερής, ἐπὶ τῶν πρὸς ἀφροδίσια ἀκολάστων λέγουσιν οἱ παλαιοί, οὐδαμῶς οὕτω τῶν δοκίμων χρωμένων.

Κατ' ἐκεῖνο καιροῦ. ἐγὼ μὲν φυλάττεσθαι παραινῶ οὕτω χρῆσθαι. εἰ δ' ὅτι θουκυδίδης εἴρηκε θαρροίη τις χρῆσθαι, χρήσθω μέν, σὺν δὲ τῷ ἄρθρῳ. παρὰ μὲν γὰρ ἄλλῳ τῶν δοκίμων οὐχ εὗρον. ἡγοῦμαι δὲ καὶ θουκυδίδην ἐν τῇ ὀγδόῃ μετὰ τοῦ ἄρθρου εἰρηκέναι, κατ' ἐκεῖνο τοῦ καιροῦ.

Κατ' ὄναρ. πολέμων ὁ ἰωνικὸς σοφιστὴς δημοσθένους τοῦ ῥήτορος εἰκόνα χαλκῆν ἐν ἀσκληπιοῦ τοῦ ἐν περγάμῳ τῇ μυσίᾳ ἀναθείς, ἐπέγραψεν ἐπίγραμμα τοιόνδε. Δημοσθένη παιανιέα πολέμων κατ' ὄναρ, ἀδοκιμωτάτῳ τῷ κατ' ὄναρ χρησάμενος. ὥσπερ γὰρ καθ' ὕπαρ οὐ λέγεται ἀλλ' ὕπαρ, οὕτως οὐδὲ κατ' ὄναρ, ἀλλ' ἤτοι, ὄναρ ἰδὼν ἢ διὰ ὀνείρου ὄψεως. οὕτως ἄρα μέγιστόν ἐστιν ὀνομάτων γνῶσις. ὅπου γε δὴ καὶ τὰ ἄκρα τῶν ἑλλήνων πταίοντα ὁρᾶται.

Κατορθώματα. ἁμαρτάνουσι καὶ ταῦτα οἱ ῥήτορες, οὐκ εἰδότες ὅτι τὸ μὲν ῥῆμα δόκιμον τὸ κατορθῶσαι. τὸ δ' ἀπὸ τούτου ὄνομα τὸ κατόρθωμα, ἀδόκιμον. λέγειν οὖν χρή, ἀνδραγαθήματα.

Κεφαλαιωδέστατον. οὕτω τοὔνομα εὗρον, ἐν ἀρχῇ τῶν πολέμωνος τοῦ ἰωνικοῦ σοφιστοῦ ἱστοριῶν, κατὰ τὸ προοίμιον. καὶ θαυμάζω σεκούνδου τοῦ συνησκημένου αὐτῷ γραμματικοῦ, πῶς τὰ ἄλλα δεξιὸς ἐπὶ λέξιν ὤν, καὶ ἐπανορθῶν τὰ συγγράμματα τοῦ σοφιστοῦ, τοῦτο παρεῖδεν ἀδόκιμον ὄν.

Κεφαλοτομεῖν. ἀπόρριπτε τοὔνομα, καὶ θεόφραστον κεχρημένον αὐτῷ. λέγε δέ, καρατομεῖν.

Κλάσαι ἀμπέλους φάθι, ἀλλὰ μὴ κλαδεῦσαι.

Κληρονομεῖν τοῦδε, οὐ τόδε.

Κλίβανος οὐκ ἐρεῖς, ἀλλὰ κρίβανος διὰ τοῦ ρ. διὰ τὸ τὴν πρώτην φορὰν τῶν ἀνθρώπων κριθὴν εἶναι.

Κνημίδα. πινακίδα. κρηπῖδα. βραχέως τούτων τὴν παρατέλευτον. τὴν μέντοι ῥαφανίδα, ἐκτείνουσι καὶ συστέλλουσι.

Κροῦσαι τὴν θύραν. ἴσως μέν που παραβεβίασται ἡ χρῆσις. ἄμεινον δὲ τὸ κόπτειν τὴν θύραν.

Κρύβεσθαι καὶ κρύβεται, φεῦγε διὰ τοῦ β λέγειν. κρύπτεσθαι δὲ καὶ κρύπτεται φασί.

Κοιτὼν μὲν ἀδόκιμον. τὸ δὲ προκοιτὼν, ἀδόκιμον. ὑμᾶς δὲ καλὸν χρῆσθαι τῷ ἀττικῷ ὀνόματι. προδωμάτιον γὰρ λέγουσιν, ἐπεὶ καὶ δωμάτιον τὸν κοιτῶνα.

Κολλάβους τοὺς ἐν τῇ λύρᾳ ἡ μὲν ἄλλη διάλεκτος λέγει, οὐ φροντὶς ἱπποκλείδῃ φασί. σὺ δὲ ὡς ἀθηναῖος λέγε κόλλοπας.

Κολλυβιστὴς οὐκ ὀρθῶς. πάλιν οὐδὲν ἡμᾶς μολύναι διαπονεῖται ὁ μένανδρος, τὸν ἀργυραμοιβὸν κολλυβιστὴν λέγων. τὸ μὲν γὰρ νόμισμα κόλλυβος, δόκιμον. ὁ δὲ κολλυβιστής, παράσημον.

Κολυμβάδες ἐλαῖαι οὐ λέγονται, ἀλλὰ ἁλμάδες ἐλαῖαι χωρὶς τοῦ ι.

Κόρημα χρὴ λέγειν, οὐ σάρον. καὶ κορεῖν, καὶ παρακορεῖν, οὐχὶ σαροῦν.

Κόριον, ἢ κορίδιον, ἢ κορίσκη. τὸ δὲ κοράσιον, οὔ.

Κορυφαιότατον. ἐν ἀναλυφθέντι εὗρον παρὰ φαβωρίνῳ. λέγε οὖν κορυφαῖον.

Κυνηγέτης λέγε τετρασυλλάβως.

Κυνίδιον λέγε. θεόπομπος δὲ ὁ κωμῳδὸς ἅπαξ που, κυνάριον εἶπε.

Κωλύφιον μὴ λέγε, κωλῆνα δέ.

Ἀρχὴ τοῦ λ'.

ΑΡΧΗ ΤΟΥ Λ.

Λ ἀγῶς διὰ τοῦ ω, ἀλλὰ μὴ λαγωός· λαγὼς, ὁ ἀττικός· διὰ δὲ τοῦ ο, ὁ ἴων λαγός.

Λάκαινα μὲν γυναῖκα ἐρεῖς· λάκαιναν δὲ τὴν χώραν οὐδαμῶς ἀλλὰ λακωνικήν, εἰ καὶ Εὐριπίδης παραλόγως φησὶν, ὡς ἡ λάκαινα τῶν φρυγῶν μείων πόλις.

Λ αμυρὸς· οἱ νῦν τὸν ἐπιχαρῆ τῷ ὀνόματι σημαίνουσιν· οἱ δ' ἀρχαῖοι τὸν ἰταμὸν καὶ ἀναιδῆ.

Λ ασταυρός· οἱ μὲν νῦν χρῶνται ἐπὶ τῶν πονηρῶν καὶ ἀξίων σταυροῦ· οἱ δὲ ἀρχαῖοι, ἐπὶ τοῦ καταπύγονος.

Λ ήθαργος οὕτω μένανδρος· οἱ δ' ἀρχαῖοι ἀθηναῖοι, ἐπιλήσμονα καλοῦσιν, οἷς καὶ πειστέον.

Λ ίβανον λέγε τὸ δένδρον· τὸ δὲ θυμιώμενον, λιβανωτὸν, εἰ καὶ διὰ τὴν ποιητικὴν λίβανον καὶ σοφοκλῆς λέγει· ἄμεινον δὲ μένανδρος ἐν τῇ σαμίᾳ φησὶ φέρε τὸν λιβανωτόν. σὺ δ' ἐπίθες τὸ πῦρ τρυφάς.

Λ ιθάριον πάνυ φυλάττου λέγειν· λιθίδιον δέ.

Λ όγιος ὡς οἱ πολλοὶ λέγουσιν, ἐπὶ τοῦ δεινοῦ εἰπεῖν καὶ ὑψηλοῦ οὐ τιθέασιν οἱ ἀρχαῖοι, ἀλλ' ἐπὶ τοῦ τὰ ἐν ἑκάστῳ ἔθνει ἐπιχώρια, ἐξηγουμένου ἐμπείρως.

Λ ύστρον μὴ λέγε ἀλλὰ στλεγγίδα.

Λ υχνίον· ἀντὶ τούτου λυχνεῖον λέγε ὡς ἡ κωμῳδία.

ΑΡΧΗ ΤΟΥ Μ.

Μ αγειρεῖον· ὁ μὲν μάγειρος, δόκιμον· τὸ δὲ μαγειρεῖον, οὐκέτι· ἀντὶ δὲ τούτου, ὀπτανεῖον λέγουσι.

Μέλλω οὐκ ἐρεῖς, ἀπὸ μέλλω μέλλεις.

Μ άμμην, τὴν τοῦ πατρὸς ἢ μητρὸς μητέρα οὐ λέγουσιν οἱ ἀρχαῖοι, ἀλλὰ τίτθην· μάμμην δὲ καὶ μάμμιον, τὴν μητέρα· ἀμαθὴς οὖν ὁ τὴν μάμμην, ἐπὶ τῆς τίτθης λέγων.

Μ αγγανείας· ἀντίπατρος ὁ σοφιστὴς βιβλίον τι γέγραφεν ἀγορὰν ἐπιγεγραφόμενον, ἔνθα τοὔνομα ἔθηκεν, ἴσως μενάνδρῳ ἀκολουθήσας. οὐ γὰρ δή τινι τῶν ἀρχαίων· ἡμεῖς δὲ οὐ μιμησάμενοι ἑπόμενοι τοῖς ἀρχαίοις, ἀλλὰ μαγγανεύματα λέγομεν.

Μ έθυσος ἀνὴρ οὐκ ἐρεῖς, ἀλλὰ μεθυστικός· γυναῖκα δὲ ἐρεῖς μέθυσον· καὶ μεθύσην.

Μ εῖραξ καὶ μεῖραξ, ἐπὶ γυναικὸς λέγουσι· τὸ δὲ μειράκιον, ἐπὶ ἀρσενικῶν.

Μ εσιδιωθῆναι, τὸ τεθῆναι καὶ ἐν τοῖς διαιτητείαις, καὶ ἐν τοῖς συμβολαίοις· ἀλλὰ τὸ μεσεγγυηθῆναι λέγε.

Μ εσοδάκτυλα· ἐναντίως εὔπολις ἀκούσας τοὔνομα. λέγε μὲν οὖν, τὰ μέσα τῶν δακτύλων.

Μ εσονύκτιον, ποιητικὸν οὐ πολιτικόν.

Μ ειρακιάζειν· τοῦτο οἱ μὲν ἀρχαῖοι, ἐπὶ τοῦ τὰ συμβαίνοντα μὴ τελείως φέρειν τιθέασι. μένανδρος δὲ, ἐπὶ τοῦ ἀσθενεῖν. παρὰ τὴν τῶν δοκίμων χρῆσιν.

Μ έχρις καὶ ἄχρις σὺν τῷ σ, ἀδόκιμα.

Μ ιαρία, ἀδόκιμον· τὸ δὲ μιαρὸς, ἀρχαῖον.

Μ ονόφθαλμον οὐ ῥητέον, ἑτερόφθαλμον δέ· κρατῖνος δὲ μονόφθαλμον εἴρηκε τὸν κύκλωπα.

Μ ύκητας μὴ λέγε, ἀλλὰ μύκητας, τὰ μανιτάρια.

ΑΡΧΗ ΤΟΥ Ν.

Ν εομηνία μὴ λέγε· τὴν ἰώνων γὰρ, ἀλλὰ νουμηνία.

Νηρὸν ὕδωρ, μηδαμῶς· ἀλλὰ πρόσφατον.

Νῆστις βάρβαρον· τὸ δ' ἀρχαῖον, διὰ τοῦ ι.

Ν ὴ τὼ θεώ, ὅρκος γυναικός· οὐ μὴν ἀνὴρ ὀμεῖται, εἰ μὴ γυναικίζοιτο.

Ν ίμμα ὁ πολὺς λέγει· ἡμεῖς δὲ, ἀπόνιπτρον λέγομεν, ὡς ὁ ἀριστοφάνης καὶ οἱ ἀμφ' αὐτόν.

Ν ίτρον· τοῦτο αἰολεῖς μὲν οὐκ ἔπη· ὥσπερ οὖν καὶ ἡρόδοτος διὰ τοῦ ν· ἀθηναῖοι δὲ διὰ τοῦ λ· λίτρον.

Ν ήδιον καὶ βείδιον, ἀρχαῖα καὶ δόκιμα· οὐχὶ νεύδιον καὶ βεύδιον διὰ τοῦ υ.

Ν όσσιον· νοσσίον ἀμφοῖν λείπει τὸ ε· διὰ τοῦτο ἀδόκιμα. λέγε οὖν νεοττὸς καὶ νεόττιον, ἵνα ἀρχαῖος ἀττικὸς φαίνῃ· νοσσάκιον δὲ, ἐκβλητέον τελέως.

Τὸ ξ', οὐκ ἔχει.

ΑΡΧΗ ΤΟΥ Ο.

Ο ἴωρας οὐ λέγουσιν, ἀλλ' οἱ ὥραις τρισυλλάβως· ἐπὶ δὲ τῆς αἰτιατικῆς. δισυλλάβως τὴν ὥρας· ἅπαξ βιασθεὶς ἀριστοφάνης ὑπὸ τοῦ μέτρου, οἱ ὥρας εἶπε· τῷ ἐνεχυμασμένῳ δὲ οὐ χρηστέον.

Ο ἰκίας δεσπότης· οὐχ ὡς ἡ λέξις οἰκοδεσπότης.

Ο ἰκοδομὴ οὐ λέγεται· ἀντ' αὐτοῦ δὲ οἰκοδόμημα.

Ο νυχίζειν καὶ ἐξονυχίζειν, ἑκάτερα ταὐτὸν σημαίνει· καὶ τίθεται ἐπὶ τοῦ ἀκριβολογεῖσθαι· τὸ δ' ἀπονυχίζειν, τὸ τὰς αὐξήσεις τῶν ὀνύχων ἀφαιρεῖν σημαίνει. ἐπειδὴ δὲ ὁ πολὺς συρφετὸς λέγουσιν ὀνύχισόν με, καὶ ὠνυχισάμην, διὰ τοῦτο σημειούμεθα τὰ ὀνόματα. καὶ σημειοῦμεν ὅτι εἰ μὲν ἐπὶ τοῦ τὰς ὄνυχας ἀφαιρεῖν τίθησί τις, χρήσαιτο ἂν τῷ ἀπονυχίζειν· ἐπὶ δὲ τοῦ ἀκριβολογεῖσθαι καὶ ἐξετάζειν ἀκριβῶς, τῷ ὀνυχίζειν χρήσαιτο ἄν.

ο' ρῶτος ἀρσενικῶς λεγόμενος ἁμαρτάνεται. οὐδετέρως δὲ τὸ ρῶτον.

ο' πισθεν αὖ διὰ τοῦ σ', μηδέποτε εἴπῃς, ὄπισθεν δέ.

ο' πωροπώλης. τοῦθ' οἱ ἀγοραῖοι λέγουσιν. οἱ δὲ πεπαιδευμένοι, ὀπωρώνης ὡς καὶ δημοσιώνης.

ο' ρθρινὸς οὔ. ἀλλ' ὄρθριος χωρὶς τοῦ ν'.

ο' ρθρος νῦν ἀκούω τῶν πολλῶν τιθέντων ἐπὶ τοῦ πρὸ ἡλίου ἀνασχόντος χρόνου. οἱ δὲ ἀρχαῖοι ὄρθρον καὶ ὀρθρεύεσθαι, τὸ πρὸ ἀρχομένης ἡμέρας, ἐν ᾧ ἔτι λύχνῳ δύναταί τις χρῆσθαι. ὅθ' τοίνυν ἁμαρτάνοντες οἱ πολλοὶ λέγουσιν ὄρθρου, τοῦθ' οἱ ἀρχαῖοι ἕω λέγουσιν.

ο' ρύπος ὁμοίως, οὐ τὸ ῥύπος.

ο' σμὴ λέγε διὰ τοῦ σ'. διὰ γὰρ τοῦ δ' ὀδμὴ, ἰώνων. παρατομεῖ οὖν ξενοφῶν εἰς τὴν πάτριον διάλεκτον, λέγων ὀδμή.

ο· ὐδηποτοῦν μὴ λέγε, ἀλλὰ δοκίμως οὐτιοῦν.

ο ὐθεὶς διὰ τοῦ θ' καὶ χρύσιππος καὶ οἱ ἀμφ' αὐτὸν οὕτω λέγουσι. σὺ δὲ ἀποφέπου λέγειν. οἱ γὰρ ἀρχαῖοι, διὰ τοῦ δ' λέγουσιν.

ο' φάρυγξ ἀρσενικῶς μὲν ἐπίχαρμος λέγει. ὁ δὲ ἀττικὸς, ἡ φάρυγξ.

ο' ψινὸς, ὁμοίως τῷ ὀρθρινὸς καὶ τοῦτο ἁμάρτημα. χρὴ γὰρ ἄνευ τοῦ ν' λέγειν, ὄψιος.

ΑΡΧΗ ΤΟΥ Π.

π αιδίσκη. τοῦτο ἐπὶ τῆς θεραπαινίδος οἱ νῦν τιθέασιν. οἱ δ' ἀρχαῖοι, ἐπὶ τῆς νεάνιδος.

Παῖξαι, δωρικῶς διὰ τοῦ ξ'. ὁ δὲ ἀττικὸς, παῖσαι καὶ παίσεται διὰ τοῦ σ'. καὶ συμπαίκτης ὁμοίως.

π αλαιστρικὸς ἄλεξίν φασιν εἰρηκέναι. ὁ δὲ ἀρχαῖος παλαιστικὸν λέγει.

π αλαστὴ τὸ μέτρον θηλυκῶς λέγεται καὶ ἄνευ τοῦ ι'. ἀμαθεῖς δὲ οἱ λέγοντες σὺν τῷ ι' καὶ σὺν τῷ σ' παλαιστὴς ὁμωνύμως τῷ ἀθλητῇ. ὁ μέντοι ἀθλητὴς, παλαιστὴς καλεῖται ἀρσενικῶς.

π ανδοχεῖον οἱ διὰ τοῦ χ' λέγοντες, ἁμαρτάνουσι. διὰ γὰρ τοῦ κ' χρὴ λέγειν. πανδοκεῖον, καὶ πανδοκεὺς, καὶ πανδοκεύτρια.

π άντοτε μὴ λέγε, ἀλλ' ἑκάστοτε καὶ διαπαντός.

π αραβόλιον. ἄδοκιμον τοῦτο. τῷ μὲν οὖν ὀνόματι οὐ κέχρηνται οἱ παλαιοὶ, τῷ δὲ ῥήματι φασὶ γοῦν οὕτω. παραβάλλομαι τῇ ἐμαυτοῦ κεφαλῇ. ἐχρῆν καὶ ἐπὶ τούτῳ λέγειν, παραβάλλομαι ἀργυρίῳ.

π αρακαταθήκην, καὶ μὴ παραθήκην λέγε.

π αρασίτους οὐκ ἔλεγον οἱ ἀρχαῖοι ἐπ' οἷσπερ ὡς οἱ νῦν, ἀλλὰ κόλακας. καὶ δράματα κόλακας τοιούτων ἀνθρώπων.

π αρεμβολὴ, δεινῶς μακεδονικόν. καίτοι ἐπὶ τῷ στρατοπέδῳ χρῆσθαι, παρεμβολῇ καὶ δοκίμῳ ὄντι.

π αροψὶς, τὸ ὄψον. οὐχὶ δὲ τὸ ἀγγεῖον. τοῦτο δὲ τρυβλίον.

π αρῶν, διῆλθεν λέγε, ἀλλὰ μὴ διὰ τοῦ ά.

π ενταετηρικὸς ἀγὼν καὶ πενταετηρὶς μὴ λέγε, ἀλλ' ἀφαιρῶν τὸ ά, πεντετηρὶς καὶ πεντετηρικὸς ἀγών.

π ενταμήνιον. πεντάπηχυ, ἑξάπηχυ, ἑξαέτης, καὶ ἐνταῦθα ἀφαιρήσεις τὸ ά, ἕξπηχυ καὶ ἑξέτης, καὶ ἕξπλεθρον καὶ ἕξπλεθρον λέγων, οὐχ ἑξάπλεθρον.

π εποίθησις οὐκ εἴρηται, ἀλλ' ἤτοι πιστεύειν, ἢ πεποιθέναι.

π έπον. τοῦτο καθ' αὑτὸ οὐκ ὀρθῶς τιθέμενον ὁρῶ. σημαίνει γὰρ τὸ ὄνομα, πᾶν τὸ ἐκπεπανσμένον. τιθέασι δ' αὐτὸ οἰκείως ἐπὶ τὴν σικύαν. χρὴ οὖν οὕτω λέγειν ὡς κρατῖνος. σικυὸν σπερματίαν ἢ ἐθέλεις, πέπονα σικυόν. καθ' αὑτὸ δὲ τὸ πέπων, ἐπὶ τοῦ αὐτοῦ μὴ τίθει.

π ερισσεύειν, ἀλλόκοτον. ἐχρῆν γὰρ ἐπιπερισσεύειν λέγειν.

π ερισπᾶσθαι λέγουσί τινες ἐπὶ τοῦ ἐν ἀσχολίᾳ γενέσθαι τιθέντες πάνυ κιβδήλως. τὸ γὰρ περισπᾶν καὶ περισπᾶσθαι, ἐπὶ τοῦ παραιρεῖν καὶ παραιρεῖσθαι τάττουσιν οἱ ἀρχαῖοι. δέον οὖν ἄσχολος εἶναι λέγειν.

π ερίστασις, ἡ συμφορά. τιθέασιν οἱ στωϊκοὶ φιλόσοφοι. οἱ δ' ἀρχαῖοι περίστασιν λέγουσι τὴν διά τινα ταραχὴν παρουσίαν. καὶ ἡ κωμῳδία καὶ ἡ φωνῳδία. μάθης δ' αὖ τηλεκλείδου λέγοντος ὦ δὲ τίς ἡδε κραυγὴ, καὶ δόρυβος περίστασις.

π ρωΐα μὴ εἴπῃς ἀντὶ τοῦ πρωΐ. ἔστι γὰρ ὥρας δηλωτικόν. διὸ εἰπόντος τινὸς πρωΐα ἀποδημήσεις, ἐὰν εἴπῃς μετὰ δύο ἢ τρεῖς ἡμέρας οὐκ ὀρθῶς ἐρεῖς. ἐὰν δὲ ἕωθεν ἢ περὶ μεσημβρίαν, ὀρθῶς ἐρεῖς.

π ηχῶν, πηχὸς, δεινῶς ἑκάτερον ἀνάττικον. δέον πήχεων, καὶ πήχεος.

π ιοῦμαι σὺν τῷ ύ λέγων, οὐκ ὀρθῶς ἐρεῖς. πίομαι γὰρ δεῖ τὸ ἀρχαῖον. καὶ πιόμενος ἄνευ τοῦ ύ. δίων δὲ ὁ φιλόσοφος σὺν τῷ ύ λέγων, ἁμαρτάνει.

π λάκα ἐπὶ ἀποθέσεως πεπλεγμένης τιθέασιν οἱ εἰκαῖοι. θαυμάζω οὖν πῶς ὁ πρωτος δόξας τὴν ἑλλάδα εἶναι φαβωρῖνος, ἐχρήσατο ἐν ἐπιγεγραμμένῳ ἐπιφθεγμένῳ, περὶ τῆς δημώδους σωφροσύνης.

π νῖγος, ἁμαρτάνουσιν οἱ βραχύνοντες τὸ ῖ. ἐκτείνουσι γὰρ τὸ ὄνομα καὶ τὰ ἀπ' αὐτοῦ. οἷον, πνιγηρὰ καλύβη.

π οῖ ἄπει, οὕτω συντάσσεται διὰ τοῦ ί. ποῦ δὲ ἄπει διὰ τοῦ ύ, ἁμάρτημα. σὺ δὲ τῷ ύ, ποῦ διατρίβεις.

π ολίτης λέγε, ἀλλὰ μὴ συμπολίτης.

π ορνοκόπος, οὕτω μένανδρος. οἱ δ' ἀρχαῖοι πορνότριψ λέγουσι.

Π οταπὸς διὰ τοῦ τ' μὴ εἴπῃς· ἀδόκιμον γάρ· διὰ τοῦ δ' δὲ λέγων, ὥσπερ γλώσσης θέσεις. ποδαπός ἐστι, Θηβαῖος, ἢ Ἀθηναῖος, ἐστὶ γὰρ οἷον ἐκ τίνος δαπέδου. ποταπὸς δέ ἐστιν, εἰ εἴποις ποταπὸς τὸν τρόπον Φρύνιχος, ἐπιεικής. χρὴ οὖν οὕτως ἐρωτᾶν. ποῖός σοί τις δοκεῖ εἶναι.

Π ροκόπτειν λέγουσι. τὸ δὲ ὄνομα ἡ προκοπὴ, παρ' αὐτοῖς οὐκ ἔστι.

Π ρόσφατον. καὶ περὶ τούτου πολλὴν ἐποιησάμην διατριβὴν, ἐπισκοπούμενος εἰ μόνον λέγεται πρόσφατος νεκρὸς καὶ πρόσφατον πρᾶγμα. εὑρίσκεται δὲ Σοφοκλῆς ἐν τῇ Ἀνδρομέδᾳ τιθεὶς οὕτω μηδὲν φοβεῖσθε προσφάτους ἐπιστολάς.

Π ρώτως, Ἀριστοτέλης καὶ Χρύσιππος λέγει. ἔστι δὲ διεφθαρμένον πάνυ τοὔνομα. λέγε οὖν πρῶτον.

Π τῶμα, ἐπὶ νεκροῦ τιθέασιν οἱ νῦν. οἱ δ' ἀρχαῖοι οὐχ οὕτως, ἀλλὰ πτώματα νεκρῶν, ἢ οἴκων.

Π ύελος. μυελὸς ὕελος ῥητέον. ἁμαρτάνουσι γὰρ οἱ μὴ διὰ τοῦ ε λέγοντες ἀλλὰ διὰ τοῦ α.

Π υεία. ταύτην τάττουσιν οἱ πολλοὶ, ἐπὶ τῆς ἐν τῷ βαλανείῳ πυέλου. καὶ ἔχει μὲν τὸ ἔτυμον ἀπὸ τοῦ πυροῦσθαι. οὐ μὴν τὸ ἀκριβὲς καὶ δόκιμον. πυέλους γὰρ οἱ ἀρχαῖοι καλοῦσιν, ἀλλ' οὐ πυείας.

ΑΡΧΗ ΤΟΥ Ρ.

ρ ᾳότερον μή. λέγε δὲ ῥᾷον. συγκριτικὸν γὰρ συγκριτικοῦ οὐκ ἔστιν. οἷον, εἴ τις λέγει κρειττότερον.

Ῥάφανον ἐπὶ τῆς ῥαφανίδος μὴ θῇς· σημαίνει γὰρ τὴν κράμβην.

Ρ έει, ζέει, πλέει. ἰωνικὰ ταῦτα διαιρούμενα· ἀλλὰ λέγε οὖν ῥεῖ, ζεῖ, πλεῖ.

Ρ οΐδιον διαιροῦντες λέγουσιν οἱ ἀμαθεῖς. ἡμεῖς δὲ, ῥόδιον.

Ρ ύμη. καὶ ταύτην οἱ μὲν Ἀθηναῖοι ἐπὶ τῆς ὁρμῆς ἐτίθεσαν. οἱ δὲ νῦν ἀμαθεῖς ἐπὶ τοῦ στενωποῦ. δοκεῖ δέ μοι καὶ τοῦτο μακεδονικὸν εἶναι, ἀλλὰ στενωπὸν καλεῖν χρή. ῥύμην δὲ, τὴν ὁρμήν.

ΑΡΧΗ ΤΟΥ Σ.

σ άκκαν δωριεῖς διὰ δύο κκ', οἱ δ' ἀττικοὶ δι' ἑνός.

Σαλπικτὴς τὸ δόκιμον διὰ τοῦ κ'. οὐχὶ δὲ διὰ τοῦ σ'. καὶ τὸ σαλπίσαι διὰ τοῦ σ', παρ' αὐτοῖς. διὰ δὲ τοῦ ξ' λέγε.

Σ αρῶσαι ἐπειδὰν ἀκούσῃς τινὸς λέγοντος, κάλλυσον παρακόρησον λέγειν. ὅτι οὐδὲ σάρον λέγουσιν, ἀλλὰ κόρημα καὶ κάλλυντρον.

Σ ημᾶναι, ἐσήμανα. καὶ θερμᾶναι ἐθέρμανα. καὶ καθᾶραι, ἐκάθαρα. καὶ ταῦτα παρὰ τὴν ἀρχαίαν χρῆσιν διὰ τοῦ α. λέγομεν δὲ διὰ τοῦ η· σημῆναι, καθῆραι, θερμῆναι.

Σ ικχαίνομαι. τῷ ὄντι ναυτίας ἄξιον τοὔνομα. ἀλλ' ὅμως βδελύττομαι ὡς Ἀθηναῖοι.

Σ ίναπυ οὐ λεκτέον. νᾶπυ δέ.

Σ κίμπους λέγε ἀλλὰ μὴ κράββατος.

Σ κνιφὸς κατὰ διάθεσιν οἱ πολλοὶ λέγουσι τὸν γλίσχρον καὶ μικροπρεπῆ περὶ τὰ ἀναλώματα. οἱ δ' ἀρχαῖοι σκνῖπα καλοῦσιν, ἀπὸ τοῦ θηριδίου τοῦ ἐν τοῖς ξύλοις, τοῦ κατὰ βραχὺ αὐτὰ κατεσθίοντος.

Σ κορπίζεται. ἑκαταῖος μὲν τοῦτο λέγει ἴων ὤν. ἀττικοὶ δὲ, σκεδάννυται φασί.

Σ μῆγμα καὶ σμῆξαι, καὶ τὰ τοιαῦτα ἀνάττικα. τὸ δὲ ἀττικόν, σμῆμα καὶ σμῆσαι.

Σ πίλος. καὶ τοῦτο φυλάττου. λέγε δὲ κηλίς.

Σ ταθρὸς ἄνθρωπος. οὕτως οὐ χρῶνται οἱ ἀρχαῖοι. ἀλλὰ σταθρὰ μὲν μεσημβρία λέγουσι, καὶ σταθρὰ γαλήνη. σταθερὸς δὲ ἄνθρωπος οὐδαμῶς, ἀλλ' ἐμβριθής. οὐ καλῶς οὖν Φαβωρῖνος σταθερὸς ἄνθρωπος εἶπε.

Σ ταμνία οἱ μὲν ἀμαθεῖς ἐπὶ τῶν ἀμίδων τάττουσιν. οἱ δ' ἀρχαῖοι, ἐπὶ τῶν οἰνηρῶν ἀγγείων.

Σ τέμφυλα οἱ μὲν πολλοὶ τὰ τῶν βοτρύων ἐκπιέσματα ἀμαθῶς. οἱ δ' ἀττικοὶ, στέμφυλα τὰ τῶν ἐλαιῶν.

Σ τρόβιλον. οἱ μὲν πολλοὶ τὸ ἐδώδιμον. λέγουσι δὲ καὶ αὐτὸ τὸ δένδρον. οἱ δ' ἀρχαῖοι, τὴν βίαιον τοῦ ἀνέμου εἴλησιν καὶ συστροφὴν, στρόβιλον καλοῦσι. καὶ στροβῆσαι τὸ στρέψαι, οὕτως οὖν ἡμῖν ῥητέον. τὸ μὲν ἐδώδιμον πιτύων καρπόν. τὸ δὲ δένδρον πίτυν. καὶ γάρ ἐστι πίτυς τὸ ἐκκεκωνισμένον. ἔτι νῦν, κόκκωνα λέγουσιν οἱ πολλοὶ ὀρθῶς.

Σ τυππεῖον τετρασυλλάβως οὐ χρὴ λέγειν, ἀλλὰ στύππιον.

Σ τρωματεὺς ἀδόκιμον. στρωματόδεσμος, ἀρχαῖον καὶ δόκιμον. λέγεται οὖν, καὶ ἐπὶ τῶν γ' ὀνομάτων.

Σ ύαγρος ῥητέον. σῦν ἄγριον οἱ ἀρχαῖοι λέγουσι.

Σ υγγνωμονῆσαι οὐ χρὴ λέγειν, ἀλλὰ συγγνῶναι.

Σ υγκαταβαίνειν εἰς τὰς ὄψεις. συγκαταβαίνειν εἰς διδασκαλίαν μὴ εἴπῃς, ἀλλὰ συγκαθεῖναι, καὶ συγκαθῆκεν εἰς τὸ παίζειν, ἢ εἰς ἄλλο τι.

Σ ύγκρισις πλουτάρχου ἐπιγέγραπται σύγγραμμά τι τῶν αὐτοῦ, σύγκρισις Ἀριστοφάνους καὶ Μενάνδρου. καὶ θαυμάζω πῶς φιλοσοφίας ἐπ' ἄκρον ἀφιγμένος, καὶ σαφῶς εἰδὼς ὅ,τι ποτέ ἐστιν ἡ σύγκρισις, ἐχρήσατο ἀδοκίμῳ φωνῇ. ὁμοίως δὲ καὶ τὸ συγκρίνειν καὶ συνέκρινεν ἡμάρτηται. χρὴ οὖν ἀντεξετάζειν καὶ παραβάλλειν λέγειν.

Σ ύμπτωμα, πολλάκις εὗρον κείμενον παρὰ Φαβωρίνῳ, ἐν τῷ περὶ ἰδεῶν λόγῳ. πόθεν δὲ λα-

βῶν ἔθηκεν οὐκ οἶδα, χρὴ οὖν συντυχίαν λέγειν ἢ λύσαντας, οὕτω· συνέπεσεν αὐτῷ τὸ δεηθῆναι. Δημοσθένης μέντοι ἐν τῷ κατὰ Διονυσοδώρου, ἅπαξ εἴρηκε τοὔνομα.

Σ υνήντετο. ἀπήντετο, ποιητικά· χρὴ οὖν ἀπήντησε καὶ συνήντησε.

ΑΡΧΗ ΤΟΥ Τ.

Τ ὰ ἴδια πράττω καὶ τὰ ἴδια πράττει, οἱ πολλοὶ λέγουσιν εἰκῆ. δέον τὰ ἐμαυτοῦ πράττω, καὶ τὰ σαυτοῦ πράττει.

Τάχιον Ἕλληνες οὐ λέγουσι θᾶττον δέ.

Τ εθηλυκέναι. ἀλεξανδρεωτικὸν τοὔνομα. διὸ ἀφετέον ἀλεξανδρεῦσιν αὐτὸ καὶ αἰγυπτίοις. ἡμῖν δὲ ῥητέον ἐθηλυκέναι.

Τ ελευταιότατα λέγειν, ἁμάρτημα τῶν περὶ παιδείαν δοκούντων τυγχάνειν. ἐπεὶ γὰρ ἀρχαιότατον εὗρον λεγόμενον παρὰ τοῖς ἀρχαίοις, ᾠήθησαν καὶ τοῦτο δεῖν. ἀλλὰ σὺ τελευταῖον λέγε.

Τ έμαχος κρέως, ἢ πλακοῦντος ἢ ἄρτου, οὐκ ὀρθῶς ἐρεῖ τις. ἀλλὰ τόμος κρέως, ἢ πλακοῦντος. τὸ δὲ τέμαχος, μόνον ἐπὶ ἰχθύος.

Τ έτευχε τιμῆς. τέτευχε τοῦ σκοποῦ μὴ λέγε, ἀλλ' ἀντ' αὐτοῦ τῷ δοκίμῳ χρηστέον. τετύχηκε.

Τ ὴν λιμὸν Δωριεῖς. σὺ δέ, ἀρσενικῶς τὸν λιμὸν φάθι.

Τ ὴν φθεῖρα λέγουσί τινες. οἱ δ' ἀρχαῖοι, ἀρσενικῶς. καὶ τὴν κόριν. σὺ δὲ ἀρσενικῶς τὸν κόριν λέγε.

Τ ί διαφέρει τόδε καὶ τόδε, οὐ χρὴ οὕτω λέγειν κατὰ δοτικὴν πτῶσιν, ἀλλά τί διαφέρει.

Τ ὸ μέντοι ἐφιλολογήσατο καὶ φιλολογῶ καὶ πάντα τὰ μετοχικὰ ῥήματα, ἀδόκιμα.

Τ ὸ ὁλοσφύρατον, ἔκβαλε. καὶ ἤτοι σφυρήλατον λέγε, ἢ ὁλόσφυρον.

Τ ὸ ῥάπισμα οὐκ ἐν χρήσει. χρῶ οὖν τῷ τὴν γνάθον πλατείᾳ χειρὶ πλῆξαι. ὃ ἐπὶ κόρρης πατάξαι ἀθηναῖοί φασι.

Τ ὸ σκάτος. καὶ τοῦτο ἐπ' εὐθείας τιθέμενον ἀμαθές. γενικῆς γάρ ἐστι πτώσεως τοῦ σκατός, ἡ δὲ εὐθεῖα, τὸ σκώρ. ἁμαρτάνοντες δὲ οἱ πολλοί, τὴν μὲν ὀρθήν, τὸ σκάτος ποιοῦσι. τὴν δὲ γενικὴν σὺν τῷ υ. τοῦ σκάτους.

Τ υλωνεῖον, καὶ τοῦτο πτῦ. σὺ δὲ κνέφαλον λέγε.

Τ υγχάνω. καὶ τοῦτο προσεκτέον. οἱ γὰρ ἀμαθεῖς οὕτω λέγουσι. φίλος μοι τυγχάνεις. φίλος σοι τυγχάνω. δεῖ δὲ τὸ ὢν προστιθέναι. φίλος μοι τυγχάνεις ὤν.

ΑΡΧΗ ΤΟΥ Υ.

Υ ἱέα. ἐν ἐπιστολῇ ποτὲ ἀλεξάνδρου τοῦ σοφιστοῦ εὗρον τοὔνομα τοῦτο γεγραμμένον καὶ σφόδρα ἐμεμψάμην. οὐ γὰρ ἐπεὶ υἱέος καὶ υἱεῖ ἐστὶν, εὐθὺς καὶ τὸν υἱέα εὕροι τις ἄν, ἀλλὰ τὴν αἰτιατικήν, υἱὸν λέγουσιν οἱ ἀρχαῖοι. τοῦτο δὲ καὶ Φιλόξενος ἐν τοῖς περὶ τῆς ἰλιάδος συγγράμμασι, διαμελέσαντα ἀπείρων, ἀδόκιμον μὲν εἶναι τὸν υἱέα δόκιμον δὲ τὸν υἱόν.

Υ ἱέως, οἱ ψευδαττικοί φασιν οἰόμενοι ὅμοιον εἶναι τῷ θησέως καὶ πηλέως.

Υ παιθρον μὴ λέγε, τὸ δὲ ἐν ὑπαιθρίοις περίστυλα.

Υ πάλλαγμα ἀμαθῶς τινες, ἀντὶ τοῦ ἐνέχυ (βαρροι λέγουσι.

Υ πόδειγμα. οὐδὲ τοῦτο ὀρθῶς λέγεται. παράδειγμα.

Υ πόστασις οὔρων. καὶ τοῦτο ἠμελημένον σημαίνει δὲ ἐπιπολὺ παρὰ τοῖς εὐλαβέσι τῶν οὔρων. ζητοῦντες τί ἀντ' αὐτοῦ ἀρχαῖον θείημεν ὄνομα, οὐ ῥᾳδίως ἄχρι νῦν εὑρίσκομεν. εἰ δὲ εὑρεθείη, ἀναγεγράψεται.

Υ στερίζειν τῷ καιρῷ λέγεται. ὑστερίζειν δὲ τοῦ καιροῦ. φαβωρῖνος δὲ οὐχ ὑγιῶς, κατὰ δοτικὴν συντάττει.

ΑΡΧΗ ΤΟΥ Φ.

Φ ανός, ἐπὶ τῆς λαμπάδος ἀλλὰ μὴ ἐπὶ τοῦ κερατίνου λέγε. τοῦτο δὲ λυχνοῦχον λέγε. ὁ φθορὸς αἷμα. τῶν ἀμαθῶν τινὲς ἰατρῶν λέγουσιν οὕτω σολοικίζοντες. δέον δὲ λέγειν, διεφθαρμένον αἷμα. τὸ γὰρ διέφθορε, διέφθαρε.

Φ ιλόσοφος, ὁ φιλῶν λόγους καὶ σπουδάζων περὶ παιδείαν. εἰ δὲ νῦν ἐπὶ τοῦ ἐμπείρου τιθέασιν οὐχ ὀρθῶς.

Φ λοῦς. καὶ τοῦτο ἡμάρτηται. οἱ γὰρ ἀθηναῖοι φλεὼς λέγουσι. καὶ τὰ ἀπὸ τούτου πλεκόμενα, φλέϊνα καλεῖται.

Φ ρεσιμεύεσθαι μὴ λέγε, ἀλλὰ χρήσιμον γενέσθαι.

ΑΡΧΗ ΤΟΥ Χ.

Χ αρισὸν, ἀδόκιμον. χαρισιὸν δέ. χηλὸν, ἀποσοβητέον ὅτι ποιητικόν. ἀντὶ δὲ τοῦ χειζὸν, χεῖζον εὑροῦμεν ἀποτορεύοντες τὸν λόγον ὡς καὶ ἀεὶ σαφεῖς.

Χ ρεωλυτῆσαι λέγει ὁ πολύς, ὁ δὲ ἀττικός, τὰ χρέα διαλύσασθαι.

Χ ρέως. ἀττικὸς ἂν φαίνοιο καὶ ἐπιμελής, ἐὰν δέῃ τοῦ ἐκ μεγάλου χρέως λέγεις. σὺ μέντοι τῇ σεαυτοῦ πολυμαθίᾳ, τὸν ἀεὶ σοφιστὴν διὰ τοῦ δεδανεικέναι τὸ χρέος ἐν ταῖς δευτέραις κεφάλαις εἰπόντα. ἐπεὶ τὸ χρέος ἔβαλε μετὰ τὸν πα-

σίαν, ἔοικε δὲ παρῳδηκῶς εἰρηκέναι. διόπερ οὐ χρηστέον αὐτῷ.

Χρηστὸς τὰ ἤθη πλεοναστικῶς φυλάττου. οἱ γὰρ δόκιμοι ἁπλῶς φασὶ χρηστὸς τὸ ἦθος.

Χρύσεα ἀργύρεα κυάνεα χάλκεα, ταῦτα ἰωνικὰ διαιρούμενα. χρὴ οὖν λέγειν. χρυσᾶ ἀργυρᾶ κυανᾶ τὸν ἀττικίζοντα.

Χρυσοῦς λέγε. τὸ γὰρ χρύσεος ἰωνικόν. ὡσαύτως καὶ ἀργυροῦς, ἀλλὰ μὴ ἀργύρεος. χαλκοῦς κυανοῦς, καὶ τὰ ὅμοια.

ΑΡΧΗ ΤΟΥ Ψ.

Ψύα. οἱ μὲν ἁπλῶς ἁμαρτάνοντες, διὰ τοῦ υ. οἱ δὲ διπλῆ ἁμαρτάνοντες, ψοία. ἔστι δὲ καὶ τὸ ὄνομα, πολυκίβδηλον.

Ψύλλος, βάρβαρον. ἡ δὲ ψύλλα δόκιμον, ὅτι καὶ ἀρχαῖον.

ΑΡΧΗ ΤΟΥ ω μεγάλου.

Ὠδηκεν ᾠκοδόμηκεν ἄριστα διὰ τοῦ ω ἀρχῆς, ἀλλ' οὐ διὰ τοῦ οι, οἴδηκεν οἰκοδόμηκεν.

Ὤμοκε, τελέως ἀμαθές. χρὴ γὰρ ὀμώμοκε λέγειν.

Ὠνήμην ὠνήσω, ὤνατο. πάντα ἀδόκιμα διὰ τοῦ ω. τὰ γὰρ ἀρχαῖα διὰ τοῦ ο. ὀνήμην ὤνησο ὤνητο.

Ὠρικῶσι. καὶ ὡρικώτης λέγω, οὕτω κρατῖνός φησι. μᾶλλον δὲ διὰ τοῦ ε λέγε, ἢ διὰ τοῦ ι. ὡρικιστί.

Ὥσπερ οἱ κωμῳδοποιοὶ ἡρακλέα. περικλέα. θεμιστοκλέα, ἐπεκτείνων τὴν ἐσχάτην λέγε. ἀλλὰ μὴ ἡρακλῆ καὶ περικλῆ, καὶ θεμιστοκλῆ.

Ὤτοις μὴ λέγε, ὥς τινες τῶν γραμματικῶν, ἀλλ' ὠσί.

Τέλος, τῆς Φρυνίχου ἐκλογῆς.

ΤΩΝ ΟΝΟΜΑΤΩΝ ΑΤΤΙΚΩΝ ΣΥΛΛΟΓΗ, ἐκλεγεῖσα ἀπὸ τῆς τεχνολογίας τῶν εἰκόνων τοῦ Φιλοστράτου· ἣν ἐξέδοτο ὁ σοφώτατος κύριος Μανουὴλ ὁ Μοσχόπουλος, καὶ ἀπὸ τῶν βιβλίων τῶν ποιητῶν. συνετέθη δὲ ἐνταῦθα κατὰ στοιχεῖον.

Τ Τὸ ἄ μόριον, ποτὲ μὲν δηλοῖ στέρησιν· ὡς ἐν τῷ ἄκλητος. ποτὲ δὲ ἄθροισιν, ὡς ἐν τῷ ἅπας. ποτὲ δὲ τὸ πολύ, ὡς ἐν τῷ ἀχανὲς πέλαγος· τὸ μέγα πάνυ καὶ ἐπιπολὺ κεχηνός. ποτὲ δὲ τὸ ὁμοῦ· ὡς ἀκόλουθος ὁ ὁμοκέλευθος. καὶ αἰεὶ ἔχει ποιητικῶς ἤγουν ἅμα ἴσχει. καὶ ἄκοιτις ἡ παράκοιτις. καὶ ἔστι τὸ ποιητικόν. καὶ ἀκοίτης ἀρσενικῶς. ἐνίοτε τὸ κακόν, ὡς ἐν τῷ ἀφυὴς ποιητικῶς ὁ κακοφυής. ἄλλοτε δὲ τὸ ἴσον· ὡς ἀτάλαντος ὁ ἰσοτάλαντος. ποτὲ δὲ ὀλίγον, ὡς ἀμαθὴς ποιητικῶς ὁ ὀλιγομαθής. ἐνίοτε δὲ πλεονάζει ἀττικῶς, μηδὲν σημαῖνον ὡς ἐν τῷ στάχυς ἄσταχυς· σπαίρειν ἀσπαίρειν. ὃ λέγεται καὶ ἐπὶ τῆς ἀκοντικῆς(?) ὁμοίου κινήσεως· ἤγουν ἐπιδεδεμένου τινός. ἢ καὶ κεκρατημένου ἔσω τινί. σκαίρειν δὲ τὸ εὐρύθμως κινεῖσθαι καὶ ὀρχηστικῶς. καὶ ἀπὸ μὲν τοῦ προτέρου σπαίρει ὁ ἰχθύς. ἀπὸ δὲ τούτου σκαίρει καὶ τὸ ἐν τῇ συνθέσει σκιρτᾶν. ταῦτα πάντα, τὰ μὲν ἀθροιστικά, δασύνεται. τὰ ἄλλα δὲ πάντα ψιλοῦται, πλὴν τοῦ ἅλυσις, καὶ ἅδης. ταῦτα γὰρ ἐν σημαινόμενα στερήσεως ὄντα σημαντικά.

Ι Ἰστέον ὅτι τὸ μακρὸν α φέρεται ὡς η ποιητικῶς. οὐδέποτε δὲ τὸ βραχύ· οἷον κοιλίη κραδίη. καὶ οὐδέποτε μακρὸν τι κουφίζεται.

Α Ἄγαλμα τὸ τοῦ θεοῦ ὁμοίωμα. ἀπὸ τοῦ ἀγάλλω, τὸ τιμῶ. ἀνδριὰς τὸ ἐπ' ἀνθρώπου ἀπὸ χαλκοῦ ἢ ξύλου ἢ λίθου ἢ τοιούτου τινὸς κατασκευασμένος. εἴδωλα δὲ τὰ φαινόμενα ἐν τοῖς ὀνείροις νυκτὸς ἢ μεθ' ἡμέραν φαντάσματα. στῆλαι δὲ κυβοειδεῖς λίθοι ἐπιγράμματα τινῶν φέροντες.

Α Ἀγάλλω τὸ τιμῶ καὶ κοσμῶ. ὁ μέλλων ἀγαλῶ. ὁ ἀόριστος ἤγηλα. ὁ παρακείμενος ἤγαλκα ἤγαλμαι. ἀφ' οὗ ἄγαλμα ἡ εἰκών. ἀπὸ τοῦ ἀγάλλω, τὸ ἀγαλλίασιν ἐμποιῶ. ἀφ' οὗ ἄγαλμα καὶ ὁ καλλωπισμός. καὶ τὸ ἀνάθημα. ἀγάλλομαι ἡ παθητικὴ τὸ χαίρω. ὃ καὶ ἀγαλλιῶμαι λέγεται.

Τ Τὸ ἄγειν ἐπὶ ἐμψύχων λέγεται. τὸ δὲ φέρειν ἐπὶ ἀψύχων. ἄγεται δὲ ὁ ἀνὴρ γυναῖκα. ἐπὶ γυναικὸς δὲ οὐ λέγεται ὅτι ἄγεται ἄνδρα. προσάγεται δέ τις τινὰ ἤγουν ἕλκει. ἄγει ἡ θάλασσα γαλήνην ἤγουν ἔχει. καὶ ἄγει ἑορτὴν τὸ δὲ τὸ ἔθνος ἀντὶ τοῦ τελεῖ. καὶ ποίας ἡμέρας δυνεῖς μ' ἄγειν παρὰ Σοφοκλεῖ. ἀντὶ τοῦ διάγειν ἤγουν διαβιβάζειν. καὶ ἄγω τινὰ εἰς δουλείαν ἤγουν ἐνάγω καὶ ἕλκω. καὶ ἐνάγω τὸ ἐρεθίζω. καὶ τοὺς νόμους μεγάλους ἄγω. ἀντὶ τοῦ ἡγοῦμαι. ἐξάγω. οὗ τὸ ἐναντίον εἰσάγω. συνάγω τὸ τὰ διῃρημένα συνάπτω. προσάγω τὸ προσφέρω. προσάγομαι δέ τι ἀντὶ τοῦ ἕλκω. προάγω τινὰ ἤγουν προφθάνω. προάγομαι δὲ τὸ εἰς ἀνάγκην καθίσταμαι τὸ δέ τι ποιεῖν. ὃ λέγεται ἀνάγω τὴν ναῦν ἐπὶ ἀναπλεύσεως. οὗ τὸ ἐναντίον κατάγω ὅταν τῷ λιμένι προσέχῃ. κατάγω καὶ ἐπὶ ἐλαττώσεως μεγέθους ἀξιωμάτων καὶ καθαιρέσεως. οὗ τὸ ἐναντίον ἀνάγω. ἀνάγομαι δὲ παθητικῶς τὸ ἀναπλέω. ἤτοι τὸ ἐκ τοῦ λιμένος εἰς τὸ πέλαγος πλέω. οὗ τὸ ἐναντίον κατάγομαι. λέγεται δὲ τὸ κατάγομαι, καὶ ἐπὶ τοῦ καταγωγίου καταλύω. διάγω τὸ διατρίβω. μετάγω τὸ μετατίθημι. παράγω τὸ παρειῶν(?) φέρομαι. παράγεται δὲ κατὰ γραμματικοὺς λέξις ἐκ λέξεως. καὶ παράγεται τὸ ἀπατᾶται. ἐπάγω καὶ ἐπάγομαι ἤτοι ἐπισύρω καὶ ἐφέλκομαι. λέγεται δὲ τὸ μὲν ἐπάγω, ἀντὶ τοῦ πρὸς τοῖς προτέροις ἐπιθεῖναι ἕτερον. τὸ δὲ ἐπάγομαι λέγεται καὶ ἐπὶ τῶν ἔμπροσθεν ἐρχομένων καὶ ἑλκόντων τι διὰ μέσου ὄπισθεν αὐτῶν. προσάγω τὴν πομπὴν ἀντὶ τοῦ καταφανῆ ποιῶ. ἀπάγω τὸ μακρὰν ποιῶ ἵστασθαι. ὑπάγω τὸ προάγω. ἄγω οὖν ὁ ἐνεστώς. ὁ παρατατικὸς ἦγον. ἄξω μέλλων. ἀγήοχα παρακείμενος. ἤγαγον δεύτερος ἀόριστος. ἄγομαι ἐπί τινος ἐπὶ παθητικῆς σημασίας. καὶ ἄγομαι γυναῖκα ἤγουν λαμβάνω. καὶ ἠγόμην παρατατικός. ἄξομαι μέλλων ἐπὶ τῆς σημασίας τοῦ ἐνεργητικοῦ. ἀχθήσομαι δὲ ἐπὶ παθητικοῦ. ἠγόμην β' ἀόριστος ἐπὶ ἐνεργείας.

Α Ἀγγελία τινὸς λέγεται ἣν ἔχουσι δὲ ἐπὶ παθητικῶς. ἀγγέλλει τις, ὑπ' ἐκείνου πεμφθείς. καὶ ἣν εἴποι τις περὶ ἐκείνου οὐχ ὑπ' αὐτοῦ ἀποσταλείς.

Α Ἀγέλη λέγεται ὅταν πολλὰ πρόβατα ὁμοῦ βόσκηται. ἢ πολλοὶ χοῖροι ἢ βόες, ἢ τοιοῦτό τι. ἐφ' ὧν λέγεται ὁ ἀπελάτης. ἀπελάτης γὰρ ὁ μετὰ ξίφους ἀπελαύνων ἀγέλην ζώων. ἀπὸ τοῦ ἀγέλη ἀγελαῖον ζῶον τὸ τῆς ἀγέλης. καὶ ἀπὸ τούτου ἀγελαῖος ἄνθρωπος ὁ τοῦ πλήθους. καὶ ὁ χυδαῖος. καὶ ἀγεληδὸν ἐπίρρημα ἀντὶ τοῦ κατ' ἀγέλας, διὰ τοῦ η, ἐπεὶ ἀπὸ τοῦ ἀγέλη παράγεται. ὥσπερ βοτρυδὸν διὰ τοῦ υ ψιλοῦ ἀπὸ τοῦ βότρυς ἀντὶ τοῦ κατὰ τὰς πυκνότητας τῶν ἐν βότρυι ῥαγῶν. ὥσπερ ἰλαδὸν ἀντὶ τοῦ κατ' ἴλας καὶ ἕτερα. τὸ μέντοι κρηνιδὸν διὰ τοῦ η γραφόμενον οὐκ ἠκολούθησε τῇ λέξει τοῦ κρουνοῦ ἀφ' οὗ παρήχθη. ἀλλ' ἤμειψε τὴν ου δίφθογγον εἰς τὸ η.

Α Ἀγορὰ τὸ συνηθροισμένον πλῆθος, καὶ ὁ τόπος ἐν ᾧ συναθροίζεται. καὶ ὁ τόπος ἐν ᾧ πωλεῖται τὰ ὤνια. ἀφ' οὗ καὶ τὸ ἀγοράζειν τὸ ἐν τῇ ἀγορᾷ διατρίβειν. καὶ τὸ ὠνεῖσθαι, καὶ ἀγοραῖος ἄνθρωπος ὁ χυδαῖος. καὶ ὁ ἐν ἀγορᾷ τιμώμενος. ἀγόραιος δὲ ὁ πονηρὸς καὶ ἐν ἀγορᾷ τεθραμμένος. καὶ ἀγορανόμος ὁ τῆς ἀγορᾶς ἐπιμελούμενος. ὅπως δικαίως πωλοῖντο τὰ ὤνια. καὶ ἀγορανομῶ ῥῆμα γενικῇ συντασσόμενον. ὡς τὸ ἀγορανομῶν σέλινος(?) ἐωνημένων ἐπετίμησε(?). καὶ ἀγορεύω ποιητικῶς τὸ λέγω. ἐξ οὗ τὸ δημηγορῶ καὶ παρηγορῶ. καὶ συνηγορῶ. καὶ τἄλλα.

Τ Τὸ ἀγαθὸν μόνον λεγόμενον ἐπὶ ψυχῆς λέγεται. ὡς τὸ καλὸν ἐπὶ σώματος. μετὰ δὲ προσδιορισμοῦ τὸ ἀγαθόν, καὶ ἐπὶ σώματος καὶ τεχνῶν καὶ ἄλλων

τοιοῦτον λέγεται. οἷον ἀγαθὸς τὴν ὄψιν, ἀγαθὸς τὴν τέχνην.

Ἄγριος ὁ ὠμός. Ἀγρεῖος δὲ ὁ ἐν ἀγρῷ οἰκῶν.

Ἀγνοῶ τὸ παντελῶς οὐ γινώσκω. Ἀμφιγνοῶ δὲ τὸ ἐν τισι διστάζω.

Ἀγωνίζομαι ἠγωνιζόμην. ἀγωνιοῦμαι ἠγωνισάμην.

Ἄγαμαι. ἀγάσομαι ἠγασάμην.

Ἀγαπῶ, τὸ φιλῶ, αἰτιατικῇ. ἀγαπῶ δὲ τὸ ἀρκοῦμαι, δοτικῇ. οἷον ἠγάπησε τοῖς παροῦσι.

Ἀγλαΐα ἡ καλλονή. Καὶ ἀγλαΐζω τὸ καλλωπίζω. καὶ ἀγλαὰ δῶρα, ποιητικόν.

Ἀγνωμόνως ἀντὶ τοῦ ἀνοήτως καὶ ἀντὶ τοῦ ἀδίκως.

Ἄγρα λέγεται καὶ τὸ θηρώμενον, καὶ τὸ θηρ.

Ἀγείρειν καὶ ἤγειρεν ἐπὶ τοῦ ἀθροισθῆναι. ὡς λαὸν ἤγειρα. καὶ ἐπὶ τοῦ παροξῦναι, οἷον, φασὶ θυμὸν ἀγεῖραι. Ἤγειρα δὲ μᾶλλον ἐπὶ τοῦ παρώξυνα.

Ἀδηφάγος ὁ πολλὰ ἐσθίων. ἀφ' οὗ ἀδηφάγοι φλέγες, αἱ πολλὰ ἀναλίσκουσαι. καὶ ἀδηφάγος λίχνος ὁ πότης.

Ἄδω τῷ θεῷ, ὅταν ὕμνον ᾄδω αὐτῷ. Ἄδω δὲ τὴν πόλιν ἢ τὴν γῆν, ὅταν αὐτὴν ποιήσω ᾠδήν. ἢ ὅταν τὰ κατὰ τὴν γῆν ᾄδω ἢ τὴν πόλιν.

Ἀπὸ τοῦ ἀδελφὸς, ἀδελφιδοῦς. ὁ ἀδελφοῦ ἢ ἀδελφῆς υἱός. καὶ ἀδελφὰ φρονεῖν, τὸ ἀδελφὰ καὶ ὅμοια φρονεῖν ἤτοι συνιέναι.

Τὸ ᾄδειν ποτὲ μὲν τὸ ψάλλειν δηλοῖ, ἐνίοτε δὲ τὸ φημίζειν. οὐδέποτε δὲ τὸ ἁπλῶς λέγειν.

Ἀδεὴς γίνεται ἀπὸ τοῦ α στερητικοῦ μορίου, καὶ τοῦ δέος

Ἀδικῶ. δρῶ τινὰ καὶ κακῶς ποιῶ. δ- (ὁ φόβος. ὁμοίως μετὰ αἰτιατικῆς καὶ ὅσα τοιαῦτα.

Τὸ ἀεὶ, ὅπερ καὶ αἰεὶ γράφεται, λέγεται ἐπὶ παντὸς παρεληλυθότος, καὶ ἐνεστῶτος, καὶ μέλλοντος. τὸ δὲ εἰσαεὶ, ἐπὶ μέλλοντος. οἷον

Ἀέκον τὸ δεινικῶς. ἀπὸ τοῦ α (εἰσαεὶ ἐργάζομαι. ἐπιτατικοῦ μορίου καὶ τοῦ τάω.

Ἀερίου τῶν τεσσάρων στοιχείων.

Ἄνεμος ἐστὶ ὁ πνέων. ὅπερ ἀήτης ποιητικῶς λέγεται.

Ἀθηναῖος ὁ ἀπὸ τῶν Ἀθηνῶν. γυνὴ δὲ ἡ ἀπὸ τῶν Ἀθηνῶν, Ἀττικὴ, οὐκ Ἀθηναία. αἰδοῖ τῆς τιμωμένης ἐκεῖ θεᾶς, ἥτις καὶ Ἀθηναία καλεῖται παρὰ τοῖς ποιηταῖς. Ἀττικῶς δὲ ὁ ἀττικίζων.

Ἀθῆναι μὲν καὶ Θῆβαι πληθυντικῶς γράφεται ἀεὶ καὶ οὐδέποτε ἑνικῶς. ὁμοίως καὶ Σάρδεις. καὶ Κλαζομεναί. καὶ ἕτερα ὀνόματα πόλεων. Κέρκυρα δὲ ἑνικῶς καὶ πληθυντικῶς. Λέγεται γὰρ ἡ Κέρκυρα, καὶ τὰ Κέρκυρα.

Ἆθλον καὶ βραβεῖον τὸ αὐτὸ, ὡς λῆμμα καὶ δῶρον. λέγεται δὲ οὕτω τὸ διδόμενον γέρας τῷ νικήσαντι ἀθλητῇ, ἀπὸ μὲν τῶν διδόντων αὐτὸ βραβευτῶν, βραβεῖον, ἀπὸ δὲ τῶν ἀθλούντων, ἆθλον. ὃ καὶ ἔπαθλον λέγεται. Οὕτω λέγεται καὶ πάθος, καὶ πρᾶγμα ἐνίοτε ἐπὶ τοῦ αὐτοῦ. ἀπὸ μὲν τοῦ ποιοῦντος, πρᾶγμα. ἀπὸ δὲ τοῦ πάσχοντος, πάθος. οἷον ὁ φόνος. καὶ ἡ στρέβλωσις ὁμοίως καὶ ἡ πληγὴ καὶ ὅσα τοιαῦτα. Ἆθλον μὲν οὖν τὸ βραβεῖον. ἀπὸ τοῦ α ἐπιτατικοῦ μορίου, καὶ τοῦ ἐθέλειν ἄθλον, καὶ ἆθλον ἐπὶ πάντα ἐχόντος. Ἆθλος δὲ ὁ ἀγὼν, ὅτι τὸ στερητικὸν α. Ἀθλητὴς δὲ ὁ ἀγωνιστής. Ἀθλοφόρος δὲ ὁ νικητὴς, ὁ τὰ ἔπαθλα δηλονότι

Ἀθέατος ὁ μὴ δυνάμενος θεα- (ἀπειρικάμενος. θῆναι. καὶ ὅστις οὐδὲν ἐθεάσατο. ὡς τὸ, ἐξ οὗ ἀπὸ πομπῆς ἀθέατος ἔμεινα.

Ὡσαύτως καὶ ἄποπτον τὸ ἀθέατον. Καὶ ἄποπτον ἀφ' οὗ δύναταί τις ἰδεῖν μακρόθεν.

Ἀθλιώτατα διάγει. ἀντὶ τοῦ δυστυχῶς διάγει. ἄθλιος γὰρ ὁ ταλαιπαθὴς ὁ πολλὰ δυσχερῆ ὑφιστάμενος. ὃς καὶ σχέτλιος λέγεται.

Αἰθὴρ ὁ οὐρανὸς ἢ ὁ ἀὴρ καὶ κατὰ τὴν κοινὴν φράσιν, ὅθεν ὕπαιθρον, τὸ μὴ ἐστεγασμένον. κυρίως δὲ αἰθὴρ, ὁ ἀπὸ τῆς σελήνης ἄχρι τοῦ οὐρανίου σώματος τόπος, εἰς ὃν αἵ τε τῶν πλανωμένων σφαῖραι, καὶ αὐτοὶ οἱ ἀπλανεῖς.

Αἴθων ὁ διάπυρος. Αἴθοψ δὲ ὁ μέλας. καὶ κλίνεται τὸ μὲν διὰ τοῦ ω μεγάλου. αἴθοπος δὲ διὰ τοῦ ο μικροῦ. ἀπὸ τούτου καὶ Αἰθίοπες ἔθνος, οἱ μέλανες. καὶ Αἰθιοπία.

Αἴνιγμα ὅ δι' ἑτέρου φαινομένου στοχάζεταί τις ἑτέρου τινός. καὶ αἰνίττεταί τι τόδε ἤγουν δι' ἑτέρου ἕτερον δηλοῖ. ἢ ὅταν αὐτῷ ἕτερόν τι φαινόμενον, ἑτέρου ἔννοιαν παρεισῇ.

Αἰχμὴ τὸ ξίφος τὸ ἐν τῷ δόρατι. Δόρυ δὲ δόρατος ὡς τὸ γόνυ γόνατος, τὸ ξύλον ἔνθα τίθεται ἡ αἰχμὴ ἤγουν ὁ κοντός.

Αἰσχύνη ἐπὶ ἀτόπων πράξεων λέγεται καὶ αἰσχρῶν. Ὅθεν ἀναίσχυντος ὁ μὴ αἰσχυνόμενος ἐπὶ τοῖς ἀτόποις. Καὶ ἀναισχυντία τὸ πρᾶγμα. Αἰσχύνω ἕτερον. αἰσχύνομαι δὲ ἐπὶ ἐφ' οἷς ἐπλημμέλησα. αἰσχύνω μὲν μακρὸν τὸ υ. αἰσχυνῶ δὲ ἐπὶ μέλλοντος βραχὺ ὅτι τοῦ ἐνεστῶτος συμφώνου λήξαντος, ἔμεινε βραχύ. εἰ γὰρ ἐπὶ τοῦ ἐνεστῶτος φύσει μακρὰ πάντα, πλὴν τῶν παραληγομένων τὸ ε ἐπὶ τοῦ μέλλοντος ὅμως εἰς θέσει μακρὰ μετὰ πλήσει σπείρω σπερῶ. κατὰ δὲ τὴν ἀπάντων τῶν μελλόντων ἀναλογίαν, διὰ τοῦ σ ὤφειλον καὶ οἱ ταύτης τῆς συζυγίας προφέρεσθαι. ἀπέλειψε δὲ ἡ χρῆσις ὅτι τῶν ἀμεταβόλων ἡγουμένων τὸ σ οὐχ ἕπεται. ὁ παρακείμενος ᾔσχυγκα, ὅτι παραλήγουσαν τὴν αὐτὴν ἔχει, ὁ παρακείμενος τῷ μέλλοντι. ὁ ἀόριστος ᾔσχυνα. ὅτι εἰ πεπαλαιωθεῖτο ὁ μέλλων, τὴν παραλήγουσαν ἐκτείνει ὁ ἀόριστος. τοῦτο δὲ ἐπὶ πάντων ἁπλῶς τῶν τῆς πέμπτης συζυγίας συμβαίνει.

Αἴρω τὸ ὑψῶ. Καὶ αἴρω τὸ ἀφανίζω. ὡς τὸ ἦρα ἄνευθεν ἐξ υἱῶν ἵκ. Ἤρατο δὲ νίκην καὶ κλέος ἀντὶ τοῦ ἔλαβεν. Αἴρω ἐξαίρω τὸ μεγαλύνω. καὶ ἐκβάλλω καταίρω εἰς τὸν λιμένα. καὶ κατῆρα καὶ κατῆρκα. Διαίρω τὸ ἀνοίγω ἐπὶ στόματος, ὡς τὸ διῆρα στόμα. Μεταίρω ἐπὶ μεταθέσεως. Ἀνταίρω τὸ μάχομαι. Ἐπαίρω, τὸ παρακινῶ. Ἀπαίρω, τὸ ἀποδημῶ. Ὑπεραίρω τὸ ὑψῶ. Ἰστέον δὲ ὅτι τοῦτο τὸ αἴρω διπλοῦν ἀποφέρεται σημαινόμενον τό τε σύνηθες ἡμῖν καὶ

τὸ πλε-

τὸ προσφθέγω. ὅμηρος μή μοι οἶνον ἄειρε μελίφρονα. Ἀπὸ δὲ τούτου τοῦ αἴρω, τὸ προσφθέγω φορβὴν, καὶ ἄρτος γίνεται, ὃν ἡ κρήτης ἐμβρίας προσφθέγομεθα. ὅτι δὲ ἀπὸ τούτου ὁ ἄρτος, δῆλον ποιεῖ καὶ Ἱπποκράτης. λέγει οὕτως. χειμῶνος καὶ ἔαρος αἱ κοιλίαι θερμαὶ εἰσὶ, καὶ ὕπνοι μακρότεροι. ἐν ταύτῃσι οὖν τῇσιν ὥρῃσι καὶ τὰ προσάρματα πλείω δοτέον. καὶ ἔστιν ἀπὸ φυτίας τῆς διὰ τοῦ ι. πλεονασμῷ τοῦ α λ φυταλίας οὕτω καὶ ἅρμα ἁρμαλιά. πολλῆς δεύονται ἁρμαλιῆς. Αἴρω οὖν ὁ ἐνεστώς. ἐμπεσόειζον παρατατικός. ἀρῶ μέλλων. ἦρα ἀόριστος, αἴρομαι ἐνεστώς. ἐμπεσοειζόμην παρατατικός. ἀροῦμαι μέλλων ἀντὶ τοῦ λήψομαι. Ἀρθήσομαι δὲ ἀντὶ τοῦ μετεωρισθήσομαι. ἠράμην ἀόριστος ἀντὶ τοῦ ἔλαβον. Ἤρθην δὲ ἀντὶ τοῦ μετεωρίσθην. Λέγεται δὲ ἐπηρκὼς ἐστὶ ἐνεργητικοῦ παρακειμένου. καὶ ἐπηρμένος ἐστὶ παθητικοῦ. Ἴσθι δὲ, ὅτι ἄλλο δηλοῖ τὸ αἴρω, καὶ ἄλλο τὸ αἱρῶ. ἡ γὰρ ἐξ πρόθεσις οὐ λέγεται ποτὲ μετὰ τοῦ αἱρῶ. ἀλλὰ μετὰ τοῦ παθητικοῦ αὐτοῦ λέγεται. καὶ δηλοῖ τὸ ἐλευθερῶ. ὥσπερ καὶ τὸ ἐξείλετο. ὃ γὰρ παρ' ἡσιόδῳ, ἐξείλετο μητίετα ζεὺς, ἀντὶ τοῦ ἐξεῖλε, κεῖται ποιητικῶς. καὶ μετὰ τοῦ αἴρω ἐνεργητικοῦ τίθεται ἡ ἐξ. καὶ οὕτω κατὰ τοῦ παθητικοῦ γράφεται. ἀφ' οὗ καὶ ἐξαίρετος.

A ἱρῶ τὸ κρατῶ καὶ αἱρῶ τὸ καταβάλλω. οἷον ὁ πέλεκυς τὰ δένδρα αἱρεῖ. Αἱροῦμαι δὲ παθητικῶς τὸ προκρίνω, καὶ βούλομαι. Ἐξ οὗ καὶ αἵρεσις ἡ ἁπλῶς βούλησις. Προαίρεσις δὲ ἐστὶ δύο πραγμάτων. ὅταν τὸ ἓν προτιμήσῃς τοῦ ἑτέρου. Αἱρῶ οὖν τὸ κρατῶ αἱρήσω ᾕρηκα. αἱροῦμαι αἱρήσομαι καὶ εἱλόμην. Ἀπὸ τοῦ αἱρῶ τὸ κρατῶ καὶ καταβάλλω, γίνεται ἀναιρῶ τὸ φονεύω. Καθαιρῶ τὸ καταβάλλω. Διαιρῶ τὸ τὰ ἡνωμένα χωρίζω. Συναιρῶ καὶ συναιροῦμαι τὸ δύο τινὰ εἰς ἓν συνάγω. Περιαιρῶ τὸ μετρίως στερίσκω. Καὶ ὑφαιρῶ τὸ κλέπτω. Ἀφαιρῶ τὸ μέρος τι τοῦ παντὸς λαμβάνω. Ἀφαιροῦμαι δὲ τὸ πᾶν. Ἀπὸ δὲ τοῦ αἱροῦμαι ὃ σημαίνει τὸ βούλομαι, καὶ προκρίνω, γίνεται ἐξαιροῦμαι τὸ ἐλευθερῶ. Προαιροῦμαι τὸ προκρίνω τὸ δὲ τοῦ δε. Ἀναιροῦμαι τὸ φονεύομαι καὶ ἀναλαμβάνω, καὶ ἀναφαίνομαι, ὡς τὸ ἀναιροῦνται οἱ νόμοι. καὶ τὸ ἀπολαμβάνω. οἷον, ἀναιρεῖται στέφανον. καὶ ἀναιρεῖται μετὰ χεῖρας βιβλίον. Καθαιροῦμαι τὸ καταβάλλομαι. Παραιροῦμαι τὸ παρενοχλῶ καὶ ἀφαιρῶ. λιβάνιος. τὰ μέγιστα καὶ τιμιώτατα τῶν ὄντων, τὰ μὲν ἤδη παραιρούμενος. Ἀνθαιροῦμαι τὸ ἕτερον ἀνθ' ἑτέρου προκρίνω. ἔνθεν ἀνθαιροῦμαι ζωῆς θάνατον. Ἀφαιροῦμαι τὸ ἀποστερῶ καὶ ζημιῶ, διπλῶς συντασσόμενον, οἷον ἀφαιρεῖται τὸν ἄνθρωπον τῆς οὐσίας. καὶ ἀφαιρεῖται τὴν οὐσίαν τὸν ἄνθρωπον. ὁ δὲ παρακείμενος ἀφήρημαι ἀφῄρεσαι ἀφῄρηται. ἐστὶ παθητικοῦ καὶ ἐνεργητικοῦ λαμβανόμενον. ὥσπερ εἴργασμαι καὶ ἐώνημαι. καὶ ἀφεῖμαι. μέσοι δὲ οὗτοι παρακείμενοι. ἔστι δὲ μέσος ὁ πάθος καὶ ἐνέργειαν παριστῶν. Ἀφήρημαι γὰρ καὶ ἀντὶ τοῦ ἐστερήθην, καὶ ἀντὶ τοῦ ἐστέρησα. Συντάσσεται δὲ τὸ ἀφήρημαι καὶ γενικῇ καὶ αἰτιατικῇ. καὶ γενικῇ μὲν, ὅτε μὴ ἔχων πρᾶγμά τι. δύναμαι τοῦτο κτήσασθαι, καὶ ἀμελήσας οὐ λάβω. οἷον ἀφήρημαι λόγων. ἀφήρημαι παιδείας. ταῦτα δὲ οὐκ εἶχον, τὸν λόγον φημὶ καὶ τὴν παιδείαν. δυνατὸν δέ μοι ἦν κτήσασθαι. καὶ διό τι ἠμέλησα οὐκ ἔλαβον. εἰς τοιαῦτα οὖν συντάσσεται γενικῇ ὡς προείπομεν. ὅταν δὲ ἔχω τι καὶ στερηθῶ τούτου, τότε τὸ ἀφήρημαι συντακτέον αἰτιατικῇ. οἷον ἀφήρημαι τὸ ἱμάτιον. Ὑφαιροῦμαι τὸ κλέπτω.

A ἰσθάνομαι. τὸ νοῶ, καὶ συντάσσεται μετοχῇ οἷον αἰσθάνομαι ἔξω τοῦ καιροῦ, καὶ τοῦ μέτρου φερόμενος. εἰ δὲ πρὸς ἕτερον πρόσωπον, μετὰ αἰτιατικῆς. οἷον αἰσθάνομαί σε ποιοῦντα τόδε. αἰσθάνομαι δὲ τὸ αἴσθησιν λαμβάνω γενικῇ. οἷον, αἰσθάνομαι τοῦ ψύχους. αἰσθάνομαι οὖν αἰσθήσομαι. ᾐσθόμην. ᾔσθημαι.

A ἴσθησις λέγεται καὶ ἡ δύναμις ἡ αἰσθητική, καὶ τὸ ἀπὸ τὴν αἴσθησιν. Καὶ νοῦς τὸ νοοῦν καὶ τὸ νοούμενον. ὡς τὸ νοῦς μὲν οὖν ἤδη καὶ αἴσθησις. ἤγουν τὰ νοητὰ καὶ τὰ αἰσθητά. πέντε δὲ οὐσῶν αἰσθήσεων, ἑκάστης αὐτῶν διττῶς λέγεται, μᾶλλον δὲ τριχῶς. σημαίνει γὰρ καὶ αὐτὴν χρῆσιν τοῦ αἰσθάνεσθαι πρὸς τὸ αἰσθητὸν, ἣν ἡ αἰσθητικὴ δύναμις πρὸς τὸ αἰσθητὸν ἔχει.

A ἰτία λέγεται ἡ πρόφασις καὶ ἡ ἀφορμὴ τινὸς πράγματος. Καὶ αἰτία ἡ μέμψις ὡς ἀριστείδης ἐν ἑνὶ κώλῳ ἄμφω παρέδωκε λέγων οὕτως. οὐδὲ δίκαιον τὴν μόνην τοῦ τολμήματος αἰτίαν. καὶ δι' ἣν εἰκότως ἔδεισε τοῦτῳ νυνὶ λόγῳ, ταύτην ἐκείνης ἀξιῶσαι τῆς αἰτίας, ἢ τὸ τῆς μέμψεως ἐστίν.

A ἰτιῶμαι ἐπιῶμαι αἰτιάσομαι ᾐτιασάμην (ὀνομάζω. Ἰστέον ὅτι τὸ αἴτιον πολλαχῶς λέγεται. λέγεται γὰρ ποιητικὸν αἴτιον, ὡς ὑποδειγματικῶς εἰπεῖν, ὁ τέκτων τῆς κλίνης. τελικὸν αἴτιον, ὡς ἡ ἀνάπαυσις, δι' ἣν ἡ κλίνη. ὑλικὸν αἴτιον, ὡς τὸ ξύλον, ἐξ οὗ ἡ κλίνη. εἰδικὸν αἴτιον, ἡ διατυπουμένη ἐν τῷ νῷ τοῦ τεχνίτου, καὶ διασκευαζομένη κατὰ διάνοιαν καὶ εἰδοποιουμένη διαμόρφωσις. παραδειγματικὸν αἴτιον, ὡς ἑτέρα κλίνη, πρὸς ἣν ἰδὼν ὁ τεχνίτης, τὴν εἰς ὕστερον αὐτῷ προκειμένην ἐδημιούργησεν. φυσικὸν αἴτιον, ὡς ὁ πατὴρ τοῦ υἱοῦ. καθὸ καὶ μόνον ὁ θεὸς καὶ πατὴρ αἴτιος τοῦ μονογενοῦς εἶναι λέγεται. τῆς δὲ κτίσεως ποιητικὸν αἴτιον εἶναι λέγομεν, τὸν θεόν. τελικὸν αἴτιον τὴν τῶν δημιουργηθέντων εὐεργεσίαν, καὶ τὴν πρὸς αὐτὰ ἀγαθότητα. εἰδικὸν αἴτιον τὴν ἐν αὐτῷ τῶν δημιουργημάτων γνῶσιν φαμὲν, ἣν ἐξ ἀϊδίου καὶ προαιώνιον ἔχει. οὐχ ὕστερον αὐτῷ ἐπιγινομένην

νίαν, ἀλλὰ συναιωνίζουσαι καὶ συμπαρεκτεινόμεναι ἀεί. τὸ δὲ ὑλικὸν αἴτιον, καὶ τὸ ὀργανικόν, καὶ παραδειγματικόν, πόρρω τῆς θείας καὶ ἀπειροδυνάμου φύσεως.

Α ἰτοῦμαι τὸ μετὰ παρακλήσεως αἰτῶ. Αἰτῶ δὲ τὸ ζητῶ.

Α ἴσιον τὸ δίκαιον. Ἐξαίσιον τὸ θαυμαστόν. Ἀπαίσιον τὸ μισητόν. κυρίως δὲ ἐπὶ τῆς τῶν ὀρνίθων μαντείας λέγεται τὸ ἀπαίσιον, καὶ ἀπὸ τούτου καὶ ἐπ' ἄλλων. δηλοῖ ἀπαίσιοι ὄρνιθες οἱ δυσοιώνιστοι. αἴσιοι δὲ τὸ ἐναντίον οἱ εὐσύμβολοι. τουτέστιν οἱ τὰ ἀγαθὰ σύμβολα δηλοῦντες.

Α ἷμα ἡ συγγένεια, καὶ ὁ χυμός. ὅμαιμος καὶ ὁμαίμων ὁ τοῦ αὐτοῦ αἵματος, ἢ τῆς αὐτῆς συγγενείας. σύναιμος δὲ ἄχρηστον.

Α ἰσχρός, μὲν, ὁ τὰ φαῦλα πράττων.

Α ἴσχιστος δὲ τὸ εἶδος ἀντὶ τοῦ δυσειδέστατος.

Α ἶνος καὶ μῦθος ὁ λόγος ποιητικῶς. ἐκ δὲ τούτων παραίνεσις καὶ παραμυθία καὶ γράφεται ταῦτα παρὰ τοῖς ῥήτορσι.

Α ἰολεῖν λέγεται τὸ ποικίλλειν. αἰόλλειν δὲ τὸ ταχύ. ἀπὸ τοῦ ἄελλα. ἀφ' οὗ κορυθαίολος ἕκτωρ. καὶ αἰόλοι σφῆκες, οἱ κατὰ τὸ μέσον συνεχῶς κινούμενοι. καὶ πόδας αἰόλος ἵππος ἤγουν ποδώκης.

Τ ὸ ἑβραῖος, καὶ τὸ χαλδαῖος καὶ τὰ τοιαῦτα εἰς τύπον τοῦ ἀθηναῖος καὶ κερκυραῖος λέγονται.

Α κούω σου τοὺς λόγους. ἐνίοτε δὲ καὶ ἀκούω σου τὸν λόγον. καὶ ἀκούω τινός, ἀντὶ τοῦ ὑπηρέτης εἰμί. Ἀφ' οὗ παρακούω τὸ παρανομῶ. ὅπερ τις εἰς ἑτέραν ἔννοιαν εἴπῃ. ἐγὼ δὲ ἑτέρως ἐνόησα. Καὶ παρακούω τὸ παρέργως ἀκούω. καὶ μὴ μετὰ σπουδῆς. Ἀντακούω δὲ πρότερος μὲν εἰπών, εἶτα τοῖς ἐμαυτοῦ λόγοις συμβαίνουσαν τὴν ἀπόκρισιν δεχόμενος. Διαφέρει δὲ τὸ ἀκούω καὶ τὸ ἀκροῶμαι. τὸ μὲν ἀκροᾶσθαι τὴν σπουδὴν τοῦ ἀκοῦσαι ἐμφαίνει. τὸ δὲ ἀκούειν τὴν αἴσθησιν μόνον τῆς ψυχῆς. Ἀκούω οὖν ἀκούσομαι ἤκουσα καὶ ἀκήκοα ἐνεργητικά.

Α κτὶς καὶ ἀκτὶν ἐπὶ τοῦ ἡλίου. Ἀκτὴ δὲ ὁ αἰγιαλός. Ἰστέον δέ, ὅπερ ἐστὶν ἐπὶ θαλάσσης ἀκτὴ ὁ κρημνώδης δηλαδὴ τόπος, τοῦτο ἐπὶ ποταμοῦ ὄχθη. Ὅπερ δὲ ἐπὶ θαλάσσης αἰγιαλὸς ὁ ἐπίπεδος δηλονότι καὶ ὁμαλός, τοῦτο ἐπὶ ποταμοῦ πλαταμών.

Α κρασία γίνεται ἀπὸ τοῦ α στερητικοῦ καὶ τοῦ κράτω. καὶ ἔστι τὸ κρα βραχύ. ἀκρασία δὲ ἀπὸ τοῦ κεράω κερῶ τὸ κιρνῶ. καὶ ἔστι τὸ κρα μακρόν.

Α κων, ὁ ἀβούλητος, τὸ α μακρὸν κατὰ κρᾶσιν δὲ ἐστὶν ἀπὸ τοῦ ἀέκων ἄκων. Ἄκων δὲ τὸ ἀκόντιον τὸ α βραχύ. ἔστι δὲ ποιητικόν. ἀκόντιον δὲ γράφεται.

Α κράγας. τῆς ἀκράγαντος θηλυκῶς γράφεται, ἥτις καλεῖται ἀπὸ τοῦ παρακειμένου ποταμοῦ τοῦ ἀκράγαντος, ἀρσενικῶς κλινομένου. Καὶ ὁ τάρας τῆς τάραντος ὄνομα πόλεων.

Α κινάκης τοῦ ἀκινάκου. ἔστι δὲ ἐγχειρίδιον βαρβαρικόν, ὅ φασιν οἱ ἕλληνες παραμαχαιρίδιον.

Α κμὴ ἡ ἰσχύς, Καὶ ἀκμάζω τὸ ἰσχύω. ὅθεν καὶ τὸ ἀκμαζούσῃ γνώμῃ τὸ δεῖ τι πράττειν, ἀντὶ τοῦ ἰσχυρᾷ γνώμῃ. ἡ μεταφορὰ ἀπὸ τῶν ἀκμαζόντων ζώων. ἀκμάζει γὰρ τὸ ζῷον, ὅτ' ἐστὶν ἐν ἀκμῇ. ἔστι δὲ ἀκμὴ τέλος τῆς αὐξήσεως. ἐν παντὶ γὰρ ταῦτα θεωροῦνται. αὔξησις, ἀκμή, καὶ παρακμή.

Α κόρεστος. λέγεται ὁ μὴ κόρον λαμβάνων τινός. οἷον ἀκόρεστος χρημάτων. ἀκόρεστος ἡδονῆς.

Α λωτὸν λέγεται τὸ δυνάμενον ληφθῆναι. Καὶ δυσάλωτον τὸ δυσκόλως ἔχον ληφθῆναι. οἷον αἰχμάλωτος ὁ διὰ τῆς αἰχμῆς ληφθείς. Καὶ ἀνάλωτος ὁ οὐ δυνάμενός τισιν ἐπιλαμβάνεσθαι. Ἁλωτὸν δὲ τὸ πεπολεμημένον οὐδέποτε λέγεται. Ὀρεάλωτον δὲ τὸ ἐν τῷ ὄρει πεπολεμημένον. τοῦτο δὲ παρὰ τὴν συνήθειαν εἴρηται. οὐδέποτε γὰρ ἀπὸ τοῦ ἁλῶ τοιαύτη γίνεται σύνθεσις.

Τ ὸ ἄλλο ἐπὶ φύσεως λαμβάνεται, οἷον ἄλλο ἄνθρωπος, καὶ ἄλλο ἵππος. τὸ δὲ ἀλλοῖον ἐπὶ ποιότητος. οἷον τὸ λευκὸν ἕτερον, τοῦ ἑτέρου τοῦ μέλανος.

Α λαλαγαὶ κυρίως αἱ ἐπὶ τῶν θυσιῶν εὐχαί. ἀφ' οὗ καὶ τὸ ἀλαλάζειν τὸ ὀξείᾳ καὶ ἐμμελεῖ φωνῇ εὔχεσθαι.

Α λλάττομαι τόδε τοῦδε ἤγουν διὰ τοῦδε. ὡς τὸ ὠνοῦμαι τόδε τοῦδε. Ἐναλλάττειν δὲ τὸ μετατιθέναι τὴν τάξιν ἀντιστρόφως. ἀφ' οὗ ἐναλλὰξ ἐπὶ τῶν πανούργων ἐναντία λέγεται. Ἐξαλλάττειν τὸ ἀμείβειν καὶ ἀλλοιοῦν. οἷον ἐξαλλάττει τις τὸ χρῶμα. ἤγουν ἀμείβει. Συναλλάττειν ἐπὶ συμφωνίας γάμου. ἀφ' οὗ συνάλλαγμα. Καταλλάττειν καὶ διαλλάττειν τὸ εἰς φιλίαν συνάγειν τινάς. Καταλλάττεσθαι δὲ καὶ διαλλάττεσθαι τὸ εἰς φιλίαν συνάγεσθαι. πλὴν τὸ μὲν διαλλάττεσθαι, τὸ διὰ μέσου τινὸς πρὸς τὴν προτέραν φιλίαν ἐπανιέναι δηλοῖ. τὸ δὲ καταλλάττεσθαι τὸ καὶ χωρὶς μέσου. ὅθεν καὶ διαλλακτὴς μὲν ἔστι, καταλλακτὴς δὲ οὔ. Μεταλλάττειν τὸ μεταβάλλειν ἀπό τινος εἴς τι. καθὸ λέγεται τὸ μετήλλαξε τὸν βίον, ἀντὶ τοῦ ἐτελεύτησε. Παραλλάττειν τὸ παρέρχεσθαι, καὶ τὸ κατά τι μὲν ὁμοιοῦσθαι, κατά τι δὲ διαφέρειν. καὶ τῇ παραθέσει ἀλλοῖον δείκνυσθαι. ἀφ' οὗ παραλλὰξ ἐπίρρημα. ἀντὶ τοῦ παρηλλαγμένως, ὅταν ἐφεξῆς ἑτέρῳ ἕτερον ἀλλοῖον κέηται, ἢ ἀντὶ τοῦ ἐφεξῆς.

Α νταλλάττειν τὸ ἄλλο ἀντ' ἄλλου εἰσφέρειν.

Α παλλάττειν, τὸ ἐλευθεροῦν καὶ τὸ διάγειν. ἀπαλλάττεσθαι δὲ τὸ ἀπέρχεσθαι, καὶ τὸ ἐλευθεροῦσθαι. Ὑπαλλάττειν, τὸ μὴ κύριον ἀντὶ τοῦ κυρίου λέγειν. καὶ ἁπλῶς τὸ ἕτερον ἀνθ' ἑτέρου εἰσάγειν.

Α λλα, σύνδεσμος ἐνίοτε μὲν ἐστὶ συμπλεκτικός. καὶ λέγεται ἐπὶ ἀναιρέσει τινός, καὶ συστάσει ἑτέρου. οἷον οὐκ ἔστι τόδε ἀλλὰ τόδε. καὶ ὅτι

ἐφ' ἑτέρῳ

ἐφ' ἑτέρῳ ἑτέρων ἐπάγεται ἰσοδυναμοῦν ἑτέρας αἱρέσεως. οἷον ἔστι τόδε, ἀλλὰ καὶ τόδε. καὶ ἁπλῶς ἐπὶ τῶν ἄλλως γινομένων. ὡς ἔχει τό, ἀσπίδα, φρύνοι, ἔφην καὶ Λαοδικέας. περὶ ἴφθι γε. καὶ κνῶα λυσιτήρια. καὶ πάλιν Λαοδικέας. ἀλλὰ τὰς πινακίδας εὐθαλεῖς ὁ Λαοδικεὺς ἔχει λαβών. Ἐνίοτε δὲ ἐστὶ συλλογιστικὸς. καὶ λέγεται ἐπὶ βεβαιώσει τινὸς πράγματος. ὡς τό, ἀλλ' ἢ μέμνημαι. καὶ ἀλλὰ μὴν τόδε ἐστίν.

Ἀλῶμαι τὸ πλανῶμαι. ἀφ' οὗ καὶ ἄλη ἡ πλάνη. καὶ ἀλύειν τὸ ἐν τινὶ χρείᾳ γινόμενον τινὰ ἀπορεῖν. καὶ ἀλύουσα κόμη ἡ ἀτακτοῦσα καὶ πλανωμένη.

Ἀλουργὸν χρῶμα τὸ πορφυροῦν. ἀλουργὶς δὲ ἀλουργίδος τὸ πορφυροῦν ἱμάτιον. ἀλουργὶς δὲ τὸ πορφυροῦν ἁπλῶς. εἴτε ἔνδυμα, εἴτε ἱστίον εἴη. εἴτε ἄλλο τι. καὶ ἔστι τριγενές. οἷον ὁ ἀλουργός. ἡ ἀλουργὶς καὶ τὸ ἀλουργές. ταὐτὰ ὁ πορφυρεὺς ἡ πορφυρὶς καὶ τὸ πορφυροῦν. ὥστε ταῦτα μὲν ὡς ἐπίθετα λέγεται, τὴν ποιότητα μόνον δηλοῦντα τοῦ χρώματος. οἷον χιτὼν ἀλουργής. ἐσθὴς ἀλουργής. ἡ χλαμὺς ἤ τι τοιοῦτον. ὥσπερ μέλας χιτὼν, καὶ μέλαινα ἐσθής. καὶ μέλαν ἱμάτιον. ἀλουργὶς δὲ καὶ πορφυρὶς, ὁμοῦ δηλοῦσι τό, τε ἔνδυμα καὶ τὴν ποιότητα τοῦ χρώματος.

Τὸ ἅλις. ἐνίοτε μὲν ἔχει προσκείμενον τὸ ἔχει ῥῆμα. καὶ λαμβάνει γενικὴν, προσυπακουομένου τοῦ ἕνεκα κατὰ τὸν λόγον τῶν ἄλλων ἐπιρρημάτων. ἃ μετὰ ῥήματος λεγόμενα, γενικὴν ἀπαιτεῖ. προσυπακουομένου αὐτοῦ, ὅτε καὶ ἐντελῶς ἔχει τῆς συντάξεως. οἷον ἅλις ἔχω δακρύων. ἐνίοτε δὲ ἔχει ἔξωθεν τὸ ἔχειν προσυπακουόμενον, καὶ λέγεται ἢ μετὰ εὐθείας μόνης, ὡς παρὰ Εὐριπίδῃ ἅλις κόρης σῆς θάνατος. ἀντὶ τοῦ ἱκανῶς ἔχει δηλονότι ὁ θάνατος τῆς σῆς κόρης. ἢ μετὰ γενικῆς ὅτε καὶ τὸ πρᾶγμα συνυπακούεται οἷον ἅλις τῶν δακρύων. ἤγουν ἱκανῶς ἔχει τὸ πρᾶγμα ἕνεκα τῶν δακρύων, καὶ ἀμφότερα δὲ ἐν χρήσει. ἡ δ' αἰτία τοῦ λέγεσθαι ἐνίοτε μὲν μετὰ εὐθείας. ἐνίοτε δὲ μετὰ γενικῆς, ὅτι ἐντελὲς λεγόμενον εὐθεῖαν ἔχει καὶ γενικήν. ἐπεὶ τα μερίζομένης τῆς συντάξεως, ἐξ ἀνάγκης λαμβάνει μίαν αὐτῶν, ὁποίαν ἂν τύχῃ πρὸς ἃ ἔχει οἰκείως. τοιοῦτον συμβαίνει καὶ ἐπὶ τοῦ φθονεῖν. καὶ ἄλλων μυρίων τὸ γὰρ ἐντελὲς φθονῶ σοι τοῦ δέους. καὶ φθονῶ σοι μόνον λέγεται. καὶ φθονῶ τῆς σῆς ἀρετῆς. ἐφ' ὧν τὸ ἐντελὲς εἰδότες, οἰκείως ἁρμόζομεν τὸ ἐλλεῖπον.

Ἀλύω τὸ φροντίζω. ἀλυσῶ δὲ τὸ καταφρονῶ.

Ἁλίσκομαι ἐνεστώς. ἡλισκόμην παρατατικός. ἁλώσομαι μέλλων. ἑάλωκα παρακείμενος. ἑάλων ἀόριστος δεύτερος.

Ἀλοᾶν, τὸ ἐπὶ τῆς ἅλω πατεῖν, καὶ τρίβειν τοὺς στάχυας. ἀλοιᾶν δὲ τὸ τύπτειν, ἐξ οὗ καὶ μητραλοίας. καὶ Ἀριστοφάνης, ἡ μητρὸς ἠλοίησεν ἢ παιδὸς γνάθον.

Ἄλλος ἐπὶ πλειόνων, ἕτερος ἐπὶ δύο.

Ἅλωσις καὶ ἁλωτὸς καὶ ἀνάλωτος κυρίως ἐπὶ τῶν κρατουμένων ἐν πολέμῳ λέγεται, ἢ μὴ κρατουμένων. καταχρηστικῶς δὲ καὶ ἐπὶ τῶν ἄλλως κρατουμένων, ἢ μὴ κρατουμένων.

Ἀλέξω. ἀλεξήσω καὶ αὔξω αὐξήσω. καὶ ἕψω ἑψήσω, ἐνεστῶτες καὶ μέλλοντες.

Τὸ ἀλλήλων οὔτε ἑνικὰ ἔχει, οὔτε εὐθεῖαν. ἐν τοῖς πληθυντικοῖς, οὔτε ἐν τοῖς δυικοῖς. οὔτε ἄρθρον ἐπιδέχεται. Οὔτε τὸ ἀμφότεροι ἐπιδέχεταί ποτε ἄρθρον, οὔτε ἑνικὰ ἔχει.

Ἁλιεὺς κοινὸν. ἁλίβρυστος ποιητικόν. ὁ ἐν τῇ ἁλὶ δηλονότι βρυχόμενος. Ἰστέον δὲ ὅτι. ἅλς ἡ θάλασσα ἑνικὰ μόνον ἔχει. ὁ ἅλς δὲ τὸ ἅλας, ἑνικὰ, καὶ δυικὰ, καὶ πληθυντικά. καὶ τὸ μὲν, ἀρσενικῶς γράφεται. ἡ θάλασσα δὲ θηλυκῶς.

Ἀμάντευτος ὁ μὴ μαντευόμενος. καὶ περὶ οὗ οὐ μαντεύεταί τις. ὥσπερ ἀθέατος καὶ ἄοπτος.

Ἀμφιβάλλειν τὸ μὴ εἰς ἕνα σκοπὸν βάλλειν τὸν λογισμὸν, ἀλλ' ἐπὶ δύο. ὅθεν καὶ ἀμφίβολος ὁ ἐν διπλῇ γνώμῃ κείμενος. καὶ ἀμφιβολία ἡ διπλῆ γνώμη. ἀμφίβολον καὶ ἀναμφισβήτητον καὶ ἀναντίρρητον γράφονται. τὸ δὲ ἀμφήριστον εἰς τοιαύτην σημασίαν, ποιητικόν ἐστιν.

Ἀμάω ἀμῶ τὸ θερίζω. Καὶ ἀμῶ τὸ συνάγω. καὶ ἀμησάμενοι ἀντὶ τοῦ συναγαγόντες. σπανίως δὲ γράφεται. Καὶ ἀμητὸς ὁ καιρὸς ὅτε ἀμῶσι. καὶ ὁ καρπὸς ὁ ἀμώμενος. καὶ ἡ ἐνέργεια. ἤγουν αὐτὸ τὸ ἀμᾶν. ὥσπερ ἀλωητὸς, ὁ καιρὸς ὅτε ἀλοῶσι. καὶ ὁ καρπὸς ὁ ἀλοώμενος. καὶ τὸ ἀλοᾶν. Καὶ τρυγητὸς ὁ καιρὸς ὅτε τρυγῶσι. καὶ ὁ καρπὸς ὁ φυτώμενος καὶ τὸ τρυγᾶν. ἀροτὸς δὲ ὁ καιρὸς ὅτε ἀροῦσι, καὶ τὸ ἀροῦν. δοκοῦσι δὲ ὀξύνεσθαι, ὡς ἱκετὸς ἐπαινετός. νοητός. ἀγαπητός. θετός, ὑμνητός καὶ ἁπλῶς πάντα τὰ εἰς τος. ἁπλᾶ, ὅσα ἀπὸ παθητικῶν παρακειμένων γίνεται περισπωμένων συζυγιῶν. αἰτία δὲ οὐ φαίνεται, δι' ἣν ἐπὶ τοῦ μὲν τοῦ σημαινομένου ὀξυτονηθήσεται. ἐπὶ δὲ τοῦ δὲ προπαροξυνθήσεται.

Ἄμπυξ κυρίως κόσμος τις χρυσῷ καὶ λίθοις πεποικιλμένος ὃν περὶ τὰς κεφαλὰς αἱ γυναῖκες φοροῦσι. ἀφ' οὗ κατὰ μεταφορὰν καὶ οἱ διάχρυσοι χαλινοὶ, ἄμπυκες λέγονται.

Ἀμύνω τὸ βοηθῶ, καὶ ἐκδικῶ. Ἀμύνομαι δὲ τὸ τιμωροῦμαι, ἤγουν κολάζω. Ἁμαρτάνω τὸ πταίω. ἤτοι ἁμαρτίαν ποιῶ ἀμεταβάτως.

Ἁμαρτάνω δὲ τὸ ἀποτυγχάνω μεταβατικῶς γενικῇ. οἷον ἥμαρτον τοῦ σκοποῦ. Ἐξαμαρτάνω τὸ πταίω. Καὶ διαμαρτάνω τὸ ἀποτυγχάνω γενικῇ ὁμοίως. καὶ τὰ ὀνόματα. ἁμαρτία καὶ διαμαρτία καὶ ἐξαμαρτία. Ἁμαρτάνω ἐνεστώς. ἡμάρτανον παρατατικός. ἁμαρτήσομαι μέλλων. ἡμάρτηκα παρακείμενος. ἥμαρτον δεύτερος ἀόριστος. ἀφ' οὗ καὶ ὁ ἁμαρτὼν μετοχή.

Ἀμυγδαλῆ τὸ δένδρον. ἀμυγδάλη ὁ καρπός. Εὔπολις ἐν Ταξιάρχ. δίδου μασᾶσθαι μ᾽ ἀξίας ἀμυγδάλας.

Τὸ ἀμφότεροι ἐπὶ προεγνωσμένης δυάδος λέγεται. καὶ διὰ τοῦτο οὐδέποτε ἄρθρον ἐπιδέχεται.

Ἀμβλὺ τὸ λεπτὸν καὶ ἀσθενές. καὶ ἀμβλυώσσω ῥῆμα ὁμοίως. ἐναντίον δὲ τοῦ ἀμβλὺ τὸ ὀξύ. ὡς λέγομεν ὀξὺς πυρετός, ὁ σφοδρός. ἀλλὰ καὶ ἀμβλὺς πυρετὸς ὁ λεπτὸς καὶ ἀνίσχυρος. καὶ ὀξεῖα φωνή, ἀλλὰ καὶ ἀμβλεῖα. ὡς καὶ ἡ βαρεῖα ἔχει ἐναντίον τὸ κούφη.

Ἀμείβομαι σημαίνει τρία. τὸ ἀντικαταλλάσσομαι. τὸ ἀντιχαρίζομαι ὅθεν καὶ ἀμοιβή. καὶ τὸ ἀποκρίνομαι. καὶ ἐνεργητικῶς τὸ ἐναλλάττω, ὅπερ καὶ μετὰ προθέσεως γράφεται. οἷον παραμείβει τὴν παιδικὴν ἡλικίαν. καὶ παραμειψάμενοι ἀντὶ τοῦ διεξελθόντες.

Τὸ ἀνίσχει λέγεται μεταβατικῶς. ὡς τὸ ἀνίσχει ἡ γῆ βοτάνας ἤγουν ἀναδίδωσι καὶ ἀναπέμπει. καὶ ἀμεταβάτως ἤγουν ἀνίσχει ἡ βοτάνη, ἀναδί- (δωσι.

Ἀναθυμίασις. λέγεται καὶ ἐπὶ τῆς γῆς, καὶ ἐπὶ τῶν βρωμάτων.

Ἂν σύνδεσμος, ἐνίοτε μὲν ἐπὶ πράγματος κεῖται δύναμιν ἔχοντος γενέσθαι. καὶ διὰ τοῦτο καὶ δυνητικὸς καλεῖται. ἐνίοτε δὲ κεῖται ἀργός. καὶ διὰ τοῦτο οὐδὲν κωλύει δύο τοιούτους συνδέσμους ἐν ἑνὶ λόγῳ κεῖσθαι.

Ἀναδίδωσιν ἀντὶ τοῦ ἀναβλαστάνει καὶ ἀναπέμπει. ἐν δὲ τῷ παραδίδωσιν ἡ πρόθεσις τὸ ἄλογον δη- (λεῖ.

Ἄντρον τὰ σπήλαια κυρίως ἐπὶ τῆς ξηρᾶς. καὶ ἄντρον κυρίως ἐφ᾽ ὧν πηγαί. Ἐπὶ δὲ θαλάττης ὁ ἐσπασμένος λίθος, ἀπὸ τῶν κυμάτων λέγεται σπιλάς. ὁ δὲ ἀνεστηκώς, προβλής. ἡ δὲ ὑπὸ τοῖς κύμασι δὲ πέτρα λέγεται ὕφαλος.

Ἀντίπαλος ἐπὶ παλαίστρας. Ἀντίδικος ἐπὶ κρίσεως. Ἀνταγωνιστὴς ἐπὶ παντὸς ἀγῶνος. Ἀντίβιος ἐπὶ μάχης. Ἀντίτεχνος ἐπὶ τῶν ἐναντίως ἐχόντων τεχνιτῶν. Ἀντίτυπον τὸ ἀντικροῦον, καὶ σκληρόν, ἀπὸ τοῦ τύπτω. καὶ ἀντίτυπα τὰ μεταγεγραμμένα καὶ τὸν αὐτὸν τύπον ἔχοντα ἀπὸ τοῦ τύπος.

Ἀνὴρ ἁπλῶς ὁ ἀντιδιαστελλόμενος πρὸς τὴν γυναῖκα. καὶ ἰδίως ὁ ἀνδρικὸν ἔχων φρόνημα. καὶ ὁ ἐν πέμπτῃ ὢν ἡλικίᾳ. μέχρι ταύτης γὰρ αὔξεται ὁ ἄνθρωπος. ἐνταῦθα δὲ ἵσταται καὶ τετελεσμένος ἐστὶν ὁ ἀνήρ. λέγεται ἀνήρ τις καὶ ὅταν λαβὼν γυναῖκα συνοικῇ αὐτῇ. ἀπὸ τούτου ἀνδρεῖος ὁ γενναῖος καὶ ἀνδρικὸν φρόνημα ἔχων. Καὶ ἀνδρεία γυνὴ ἡ ἀπὸ τούτου σημαινομένου δηλονότι. διαφθόρος. ἀνδρία δὲ ἡ ἀπὸ τῆς ἀνδρός. καὶ ἀνδρία ἡ τῆς ψυχῆς ὁρμὴ δηλονότι. ἔστι δὲ ἡ Ἄνδρος νῆσος περὶ τὴν Εὔβοιαν, οὗ τὸ ἐθνικὸν ὁ Ἄνδριος.

Ἄνθος. τῶν βοτανῶν. ἀφ᾽ οὗ καὶ ἄν- (δηλ. τῶν ἰ. θινος στέφανος, ὁ δὲ ἀνθῶν. ὥσπερ χρύσεος στατὴρ δηλονότι, ὁ τοιοῦτό τι, ἐκ χρυσοῦ. ἀλλὰ τὸ μὲν ἄνθινος, εἰ μὴ τὸ στέφανος ἔχει προκείμενον, ἁπλοῦς ἐστι. τὸ δὲ χρύσεος μόνον ἀεὶ λέγεται. καὶ δηλοῖ νόμισμα ἐκ χρυσοῦ. ἀπὸ δὲ τοῦ τῶν βοτανῶν ἄνθους, λέγεται ἄνθος κατὰ μεταφορὰν τὸ χρῶμα. ὡς παρὰ τῷ Φιλοστράτῳ. τῷ τῆς ἴδης ἄνθει ῥαίνεται. ἤγουν τῷ χρώματι τῆς ἴδης. ἔστι δὲ ἴδη βοτάνη τις, καθὸ λέγεται, τὸ ἀνθοκρόκοι σιπύες παρ᾽ Εὐριπίδῃ. καὶ τό, ἀγάρσεν μὴ γνῶσιν ὡς δῆλον θεσμοφόριον. παρὰ Σοφοκλεῖ. ἀντὶ τοῦ κεχρωματισμένον.

Ἀνέχω ἐνεργητικῶς τὸ ἀναβαστάζω. Καὶ ἀνέχομαι τὸ ἀναβαστάζομαι. οἷον ἀνέχομαι τῷ ἵππῳ. καὶ ἀνέχεται ὁ δόμος τοῖς κίοσιν. Ἀνέχομαι δὲ παθητικῶς τὸ ὑπομένω, αἰτιατικῇ. ἔστι δὲ οὗ καὶ γενικῇ. ὡς τὸ οὐκ ἀνέχομαί σου τοῦ θράσους. ἀνέχω τὰς χεῖρας ἐπὶ εὐχῆς. Τὸ δὲ ἀνίσχειν, ἐπὶ τῆς ἀνατολῆς τοῦ ἡλίου λέγεται. καὶ ἐπὶ τῆς ἀναβλαστήσεως τῶν βοτανῶν καὶ ἀπὸ τούτου καὶ ἐπὶ τῶν ἄλλων.

Ἀνατολὴ ἐστί, τοῦ ἡλίου. Ἐπιτολὴ δὲ ἡ φανέρωσις τῶν ἄστρων μετὰ τὴν κρύψιν τὴν ἡλιακήν. ὅτε καὶ ἐν ὀλίγον πρὸ τῆς ἡλίου ἀνατολῆς φαίνεται ἄστρον, ἐπιτέλλειν λέγεται. μετὰ γὰρ τὴν ἀνατολὴν τοῦ ἡλίου φαίνεται, εἰ καὶ ἐπὶ πάνυ πολὺ προὐχώρησεν ὁ ἥλιος. ὡς δοκεῖν ἑτέραν γίνεσθαι ἀνατολήν.

Ἀνάγεσθαι λέγομεν τὴν ναῦν. ὅτε ἀπὸ γῆς εἰς πέλαγος ἔρχεται. Κατάγεσθαι δὲ καὶ καταίρειν, ὅτε ἀπὸ πελάγους εἰς γῆν. λέγεται δὲ τὸ κατάγεσθαι κατὰ μεταφορὰν ἀπὸ τούτου καὶ ἐπὶ τῶν ὁδοιπορούντων, ὅταν εἰς καταγώγιον ἔλθωσι. καὶ ἐπὶ τῶν φυγάδων, ὅταν εἰς τὴν ἑαυτῶν ἐπανέρχωνται πατρίδα.

Τὸ ἀνταίρειν κυρίως ἐπὶ τῶν ἀντιτασσομένων λέγεται χερσὶν αἰρομέναις ἢ ῥοπάλοις ἢ τοιούτοις τισί. καὶ ἀπὸ τούτου καὶ ἐπὶ γνώμης καὶ τοιούτων τινῶν. ὡς, ἀνταίρει γνώμην καὶ ἀνταίρει μέ- (νος.

Ἀντιβαίνειν ἀντιπράττειν καὶ ἀντιτείνειν. Ταὐτὸν τῷ παρὰ τοῖς κοινοῖς ἀντιπατεῖν.

Ἀνωφέλητος ὁ μὴ ὠφελημένος. ἀνωφελὴς δὲ ὁ μὴ ὠφελήσας.

Ἀναστροφὴ ἣν ἀναστρέφει τις τινά. ἢ ἣν ἀναστρέφεταί τις ὑπό τινος.

Ἄνοια ἡ παντελὴς ἀφροσύνη. Ἄγνοια δὲ ἡ ἑνός τινος πράγματος ἀγνωσία. καὶ ἀγνοοῦν λέξιν. Μετάνοια δὲ καὶ μετάγνοια ταὐτόν. πλὴν ὅτι τὸ μὲν μετάνοια ἐστὶν ἐν χρήσει παρὰ τοῖς κοινοῖς, τὸ δὲ μετάγνοια παρὰ τοῖς ποιηταῖς.

Ἀνύω τὸ τελειῶ, καὶ ἀνύω τὸ μετὰ σπουδῆς τρέχω. οὐ μέλλω χρόνῳ ἀλλ᾽ ἀνύω. οὗ ἐναντίον τὸ μέλλειν.

Ἀνάγραπτος. ἀνάπηρος ἀνάπλεως ὁ δι᾽ ὅλου πε- (πληρωμένος.

Ἀναβάλλομαι τὸ ὑπερτίθεμαι καὶ τὸ ἐνδύομαι. ὅθεν καὶ ἀναβολὴ ἡ περιβολή, καὶ τὸ ἱμάτιον. ὡς τὸ ὁ δὲ ἀνεβάλλετο καλὸν ἀείδειν.

Ἀνάστασις λέγεται ἐπὶ ἀφανισμοῦ. οἷον. ἀνάστασις πόλεως. καὶ ἀνάστατα ἐποίησε τὰ ταύτης χωρία. καὶ ἀνάστασις ἐπὶ τοῦ πεσόντος, ὅταν ἀναστῇ.

καὶ ἐπὶ

καὶ ἐπὶ τοῦ ῥαθυμοῦντος, ὅταν ἐγερθῇ. καὶ ἀνίστησί τίς τινα κατὰ τὸ διπλοῦν τῆς σημαινόμενον. καὶ ἀνίστησιν ὁ ὅμηρος τὸν ἀχιλλέα ἐπὶ τῷ πατρόκλῳ. ἀντὶ τοῦ γράφει αὐτὸν ὅτι ἀνίστη.

Α' νατίθημι ἐπὶ φορτίων καὶ ἀχθωμάτων. Ἀνατίθεμαι δὲ τὸ ἀναβάλλομαι, καὶ ὑπερτίθεμαι δηλονότι, ἀνατίθεμαι τὰ κατηγορημένα. τὸ δὲ ἀναθεῖσα τοῦ καταθανεῖν παρὰ σοφοκλεῖ, κατὰ διάφορον συντακτέον εἰς γενικήν. δηλονότι ὑπερθεῖσα ποιησαμένη τοῦ θανάτου.

Α' ντέχω σοι ἤγουν ἐναντιοῦμαι. Ἀντέχομαι δέ σου ἤγουν ἀντιλαμβάνομαι. καὶ ἀντεῖχε τοῖς δεινοῖς. καὶ οὕτως. ἀντεῖχε πρὸς τὰ δεινά, ἤγουν ἐναντίως διέκειτο.

Α' ναλγὴς μὲν ὁ μὴ κρατούμενος νοσήματι. ἀνάλγητος δὲ ὁ τοῦ προσήκοντος μὴ ἐπιστρεφόμενος.

Α' νακωχή. ἡ πρὸς καιρὸν ἀναβολὴ τοῦ πολέμου. ὅτι εἰρήνην ἄγοντα τὰ στρατεύματα ἄνω τὰς ἀκωκὰς ἔχωσι. τουτέστι τὰς αἰχμάς. ἀνακωχὴ γοῦν καὶ ἀνακωχὴ ἀπὸ μεταφορᾶς τούτου λέγεται, καὶ ἐπὶ τοῦ ἐνεργοῦντος τίθεται πρὸς καιρὸν διαλιπόντος.

Α' ναβασμὸς καὶ ἀναβαθμός.

Α' ναβάτης ἐπὶ ἵππου. καὶ ἀνέβη ἐπὶ τὸν ἵππον. Ἐπιβάτης δὲ ἐπὶ πλοίου. ἐξ οὗ καὶ ἐπέβη τῆς νεώς. καὶ ἐπὶ συνουσίας, ἀνέβη τὴν ἄνθρωπον.

Η' ἀνὰ πρόθεσις δηλοῖ τὴν ἄνω φοράν. δηλονότι ἀναβρύχομαι καὶ ἀνίσταμαι. Καὶ τὴν εἰς τοὐπίσω κάμψιν, ὡς ἀνέστρεψαν ἀνεπίδησαν. Καὶ τὴν δευτέραν ὕπαρξιν τινὸς ἐνεργείας. δηλονότι ἀνεβίω τις ἀντὶ τοῦ αὖθις ἦλθεν εἰς τὴν ζωήν. καὶ ἀνεκαίνισε τὸ πρᾶγμα, ἀντὶ τοῦ, νέον αὐτὸ αὖθις εἰργάσατο.

Α' ξιῶ ποιεῖν τόδε. καὶ ἀξιῶ σε τοῦδε. καὶ ἀμφότερα ἀντὶ τοῦ ἄξιον κρίνω. καὶ τὸ παρακαλῶ, καὶ συντάσσεται αἰτιατικῇ μόνῃ.

Τ ὰ εἰς. αξ. μακρᾷ παραληγόμενα καὶ ἐπὶ τῆς γενικῆς μακρὸν διατηρεῖ. οἴαξ οἴακος. βραχεῖα δὲ βραχύ. φύλαξ. φύλακος.

Α' ντὶ τοῦ εἰπεῖν ἀξιόλογος ἄνθρωπος. καὶ ἀξιομνημόνευτος. ἤγουν ἄξιος λόγου. καὶ ἄξιος μνήμης.

Α' παγγέλλω τὰ παρ' ἑτέρων εἰρημένα, ἢ γεγραμμένα, ἀπὸ στόματος λέγω. καὶ τὸ λέγω ἢ φράζω ἅπερ ἐγὼ οἶδον καὶ γινώσκω.

Α' παλλάττω τὸ ἐλευθερῶ. καὶ τὸ διαλύω. δηλονότι, οὐκ ἄμοιρος ἀπαλλάττουσι τῆς τῆς ἐφημέρου τροφῆς δεομένων.

Α' παλλάττομαι ἤγουν ἐλευθεροῦμαι καὶ ἀπέρχομαι.

Α' πορεῖ τις ἀντὶ τοῦ ἀμηχανεῖ, καὶ ἄπορος ὁ μὴ μηχανὴν εὑρίσκων. ἄπορος δὲ ὁ ποταμὸς ὁ μὴ περάσιμος.

Α' πέχω ἀντὶ τοῦ ἀπολαβὼν ἔχω. καὶ ἀπέχω τοῦ δεῖνος σταδίους τόσους. ἀντὶ τοῦ διίσταμαι. ἀπέχομαι δὲ πάνυ τινῶν βρωμάτων ἢ πομάτων καὶ τῶν ὁμοίων. ἀφ' οὗ καὶ ἀποχὴ ἐπὶ διαστήματος λέγεται ἤγουν ἀπὸ τοῦ ἀπέχω.

Α' παλὸς ἐπὶ ζώων, καὶ φυτῶν. δηλονότι ἁπαλὰ βρέφη καὶ ἁπαλὰ ῥόδα. μαλακὸν δὲ ἐπὶ κηροῦ καὶ τῶν τοιούτων. καὶ ἀπὸ τούτου ἐπὶ ἤθους καὶ λόγων. μαλάσσεται γὰρ ὁ κηρὸς καὶ ἦθος καὶ λόγος. καὶ ἔτι σίδηρος ὑπὸ πυρός. ἤγουν χαυνοῦται καὶ ἐνδίδωσι. παρὰ δὲ τῇ θείᾳ γραφῇ, καὶ λόγοι ἁπαλύνονται ὑπὲρ ἔλαιον.

Α' παγορεύω ἅμα τῷ βάρους ἀντὶ τοῦ ἐνδίδωμι. καὶ ἀπαγορεύω τὸν νοσοῦντα ἤγουν ἀπελπίζω. Καὶ ἀπαγορεύω τὴν ἁμαρτίαν ἤγουν ἀποτάσσομαι. Καὶ ἀπαγορεύουσι τὴν δεινὴν φορὰν ἤγουν ἀπείρηκα ταύτης.

Α' ποσείομαι βάρος ἤγουν ἀποτίθεμαι.

Α' ποθοῦμαι καὶ διωθοῦμαι, τὸ διώκομαι καὶ ἀποστρέφομαι.

Τ ὸ ἁπλοῦν ἐπὶ μὲν ἐπὶ ἄλλων τινῶν λέγεται, δηλοῖ τὸ ἀσύνθετον, καὶ ἔχει ἐναντίον τὸ σύνθετον. ἐπὶ δὲ ἐπὶ ἤθους καὶ λόγων δηλοῖ τὸ ἀποίκιλον καὶ μὴ πολύτροπον. οἷον ἁπλοῦν ἦθος, καὶ ἁπλοῦς λόγος. ᾧ ἐναντίον τὸ ποικίλον καὶ πολύτροπον. Ἀπὸ τούτου ἐπίρρημα τὸ ἁπλῶς. ὃ λέγεται καὶ ἀντὶ τοῦ καθόλου. τουτέστιν ἐν ἑνὶ λόγῳ πολλὰς δηλῶσαι.

Τ ὸ ἅπαξ ἐπίρρημα ἐστὶν ἀπαριθμήσεως. ὡς τὸ τετράκις, τὸ πεντάκις καὶ τὰ τοιαῦτα. λέγεται δὲ καὶ ἀπὸ τοῦ οὐδ' αὐτὸς ἐπίρρημα κατὰ ταύτην τὴν ἀκολουθίαν τὸ οὐδ' ἅπαξ. καὶ τὸ μὲν ἅπαξ ἐφ' ὧν γίνεται ἀριθμῶν φυλάττει τὸ αὐτὸ εἶδος. οἷον ἅπαξ τὰ τέσσαρα. τέσσαρα. ἅπαξ τὰ πέντε. πέντε. τὸ δὲ οὐδ' ἅπαξ ἐφ' ὧν γίνεται ἀριθμῶν ἀναιρεῖ αὐτόν. οἷον, οὐδ' ἅπαξ τὸ ἓν οὐδέν. οὐδ' ἅπαξ τὰ τέσσαρα οὐδέν. οὐδ' ἅπαξ τὰ πέντε οὐδέν.

Α' παντᾶν καὶ τὸ συναντᾶν καὶ τὸ ὑπέρχεσθαι. ἀπαντᾷ μέν τις τινὶ. ἐν προσέρχηται αὐτῷ. ὑπαντᾷ δὲ βασιλεῖ ἤ τινι ὑπερέχοντι.

Τ ὸ ἀπαίδευτος. καὶ ἐπὶ ψυχῆς λέγεται. καὶ ἐπὶ σώματος. λέγεται καὶ ἀπαίδευτος ὁ ἀκόλαστος. κολάζειν γὰρ τὸ παιδεύειν, καὶ κεκολασμένα ἤθη τὰ πεπαιδευμένα. παρὰ δὲ τοῖς ποιηταῖς ὁ ἀπαίδευτος καὶ ἀποφώλιος λέγεται. οὐ μὴν πᾶς ὁ ἀπαίδευτος. ἀλλ' ὁ κατὰ ψυχὴν μόνος.

Τ ὸ ἀποδύεσθαι. ἐναντίον τὸ ἐνδύεσθαι. λέγεται δὲ ἀποδύεσθαι, ἐπὶ τῶν γυμνουμένων ἁπλῶς, καὶ ἀδίκως, οἷον, ἀπεδύσατο τὴν λεοντῆν. καὶ ἐνεδύσατο τὴν ἐλεπτικήν. Τὸ δὲ ἀναδύεσθαι λέγεται ἐπὶ τῶν ἀποκνησάντων καὶ εἰς ἀγῶνα ὁρμησάντων. εἶτα διὰ δειλίαν ὑποφυγόντων τὸν ἀγῶνα καὶ ἐνδυσαμένων. Λέγεται τὸ ἀναδύεσθαι καὶ ἐπὶ τοῦ ἀναβαίνειν ἐπὶ τῆς θαλάττης. ᾧ ἐναντίον τὸ καταδύεσθαι, οἷον καταδύεταί τις εἰς τὸν βυθὸν καὶ ἀναδύεται ἐκ τοῦ βυθοῦ.

Α' ποσπᾶν. τὸ βιαίως χωρίζειν τὰ κεκολλημένα. Ἀνασπᾶν τὸ βιαίως ἀνέλκειν. Κατασπᾶν τὸ βιαίως καθέλκειν.

Α ποστασίου δίκη ἐστὶ κατὰ δούλων, ἀποστάντων τοῦ δεσπότου. ἀποστασίου δὲ ὁπότε μέτοικος ἐγκαλοῖτο, ὡς μὴ ἔχων προστάτην.

Α ποκήρυκτος παῖς ὁ ὑπὸ τοῦ πατρὸς ἐκβληθεὶς τῆς οἰκίας διά τι ἀδίκημα. ἐκποίητος δὲ ὁ δοθεὶς εἰς υἱοθεσίαν ἄλλῳ ὑπὸ τοῦ πατρός, ὃν καὶ εἰσποιητὸν τοῦ δεξαμένου λέγουσιν.

Α πόδρας. ἐπὶ τὸ πρῶτον πρόσωπον εὔχρηστον ἀπέδραν, καὶ ἀπέδραμεν ἡμεῖς τὸ πληθυντικόν. καὶ ἀριστοφάνης ἐν ταγηνισταῖς. ἀλλ' ὅμως δ' αὖ οὐκ ἀπέδραμεν. καὶ ἀπέδρασαν ἐκεῖνοι τὸ πληθυντικόν.

Α ποκηρύξαι. τὸ ὑπὸ κήρυκι ἀποδόσθαι. μένανδρος. ἀπεκήρυξεν αὐτὴν ἐγγυῶν. ἤγουν ὑπὸ κήρυκι ἐπώλησεν. ἐπικηρύξαι δὲ ὥσπερ εἴρηται.

Α πείρξω τινὰ βουλόμενον ἐνεργεῖν τι. εἶρξω δὲ ἀφέξω μένειν. καὶ ὅσον ἔσω τοῦ ἔργου κινῆσαι τὰ ἀντὶ τοῦ αἰχσίλλω.

Τ ὸ ἀποστερῶ, εἰ ὅτε μὲν ἀπὸ αἰτιατικῆς εἰς γενικὴν ἔχει τὴν σύνταξιν. οἷον ἀποστερεῖ σε τοῦδε. εἰ ὅτε δὲ ἀπὸ αἰτιατικῆς εἰς αἰτιατικήν.

Τ ὸ ἀπάρχεσθαι παρὰ τοῖς ῥήτορσι, τὸ ἀπαρχὰς κυρίως ἀνατιθέναι δηλοῖ.

Α ποπατεῖν καὶ ἐκκενοῦν τὰ περιττὰ τῆς γαστρὸς ὑπάγειν. ἤγουν τὸ χέζειν. καὶ ἀποπάτημα τὸ χεζόμενον. γράφεται δὲ καὶ τὸ χέζειν. ὡς τὸ ἐλευθέρα κέρκυρα χέζ' ὅπου θέλεις.

Α προόπτως φθείρεταί τις, ὅταν οὐ προορᾷ τὴν ὁδὸν, μή τι ἔχει δεινόν. ἀλλὰ μεριμνῶν ταύτην διέρχεται.

Α παίρω τὸ ἀποδημῶ. ἀπαρῶ ἀπῆρα καὶ ἀπῆρκα.

Α πάκτω. ἄγω. ἄξω. ἀγήοχα. ἦγμαι, ἦξαι. ἦκται. ἐκτὸν ὄνομα, καὶ ἀπὸ τούτου ἀπακταίω ἀπακτῶ.

Α ποῤῥήσσομαι. ἀποῤῥήξομαι. ἀπέῤῥωγα. ἀπέῤῥαγεν.

Α ποδίδωμι μὲν τὸ ὀφειλόμενον. ἀποδίδομαι δὲ τὸ πιπράσκω.

Α πόῤῥητος ἡ μωρία ἡ μεγάλη. Α ποκείρω τὸ διαχωρίζω παρὰ τῷ λουκιανῷ. τέτταρας ἡμῶν αὐτῶν ἀποκείραντες. ἀποκείρω καὶ ἐπὶ γαστρὸς τὸ ἀποψύχω, καὶ ἀποπατῶ. οἷον ἀποκείρει δ' ἄφαρ γαστήρ. ἀπόσα λαιμαργίη δέξατο πανταλέη. ἀποκείρομαι δὲ παθητικῶς ἐπὶ λόγου καὶ συντάσσεται δοτικῇ.

Α ποδημία καὶ ἐκδημία τὸ αὐτό. ὅταν τις ἐκ τῆς πατρίδος εἰς ἀλλοδαπὴν ἀπέρχηται. ἐπιδημία δὲ καὶ ἐνδημία, ταὐτὸν ἐπὶ τοῦ ἐναντίου.

Α πολαβὼν ὃ τὸ κεχρεωστημένον λαβών. καὶ ἀπείληφα ἀντὶ τοῦ τὸ χρεωστημένον ἔλαβον. καὶ ἀπολαβὼν ἀντὶ τοῦ ἀπολεξάμενος παρ' ἀριστοφάνει. οὔκουν πρὶν ἀπολαβὼν κωδωνίσω. ἤτοι ἐξετάζω.

Α πάγεται κυρίως ἐπὶ αἰχμαλωσίας καὶ ἐπὶ καταδίκων. οἷον ἀπάγεται τὴν ἐπὶ θανάτου καὶ ἀπάγεται ὁ λῃστής. ἤγετο περιηγμένος τῷ χεῖρε. περιάγω γὰρ τῷ χεῖρε ἤτοι εἰς τοὐπίσω δεσμῷ. περιάγω καὶ τὸ πᾶσι καταφανῆ ποιῶ τινά. καὶ περιενέχατε παρὰ τῷ συνεσίῳ εἰς τὴν τοιαύτην σημασίαν. περιηγοῦμαι δὲ τὸ εἰς λεπτὸν διηγοῦμαι. ἐξ οὗ καὶ περιηγητὴς ὁ κατὰ λεπτὸν διηγούμενος. καὶ παρὰ λουκιανῷ περιήγησαί μοι τὰ ἐν ἅδου.

Α πάγωγή ἐστιν, ὅταν μετὰ τὴν ἀπόφασιν ὡς καταδίκας ἐξέρχεταί τις τοῦ δικαστηρίου.

Α πολογεῖσθαι τὸ διὰ λόγου τὴν κατηγορίαν ἀποσκευάζεσθαι. ἡ γὰρ κατηγορία πρὸς τὴν ἀπολογίαν ἀντίκειται. καὶ ὁ κατηγορούμενος πρὸς τὸν ἀπολογούμενον, οἷον, ἀδικώτατον ἐστὶν ὦ ἄνδρες ἀθηναῖοι τὸ τὸν κατηγοροῦντα ἰσχύσαι παρ' ὑμῖν πρὶν τὸν φεύγοντα ἀπολογίας τυχεῖν.

Α ποφαίνομαι τουτέστιν ἀποφαντικῶς λέγω. λαμβάνεται δὲ ἐπὶ ὄντος καὶ μὴ ὄντος. οἷον, ἀπεφήναντο οἱ δικασταί, ψῆφον καταδικάζουσαν ἢ σώζουσαν. καὶ τὸ πρᾶγμα ἀπόφασις.

Α πομνημονεύω τὸ μνείαν ἔχω γενικῇ. ἀπομνημονεύω δὲ ἀντὶ τοῦ ἀποῤῥίπτω τῆς μνήμης, αἰτιατικῇ.

Α πόῤῥωξ ἡ κατὰ ἀποκοπὴν ῥύσις, ἤγουν ὁ λεγόμενος σταλαγμός. ὃ καὶ ποιητικῶς ἀπόῤῥωξ λέγεται, ὅμηρος. στυγὸς ὕδατος ἐστὶν ἀπόῤῥωξ.

Τ ὸ ἅπτομαι ἀόριστον ἔχει τὴν ἀφήν. τὸ δὲ προσάπτομαι, τὸ ὑπὸ σταλμένως καὶ ὡσανεὶ ἄκροις δακτύλοις ἅπτεσθαι δηλοῖ. ὥσπερ καὶ ψαύω καὶ προσψαύω. καὶ ἐγγίζω καὶ προσεγγίζω. καὶ χρῶμαι καὶ προσχρῶμαι.

Α πάτη. τὸ ὑφ' ἑτέρου παραλογισθῆναι. καὶ ἀπατάω ἀπατῶ καὶ ἐξαπατῶ, τὸ αὐτό. πλάνη δὲ τὸ ἀφ' ἑαυτοῦ τῆς ἀληθείας διαμαρτεῖν.

Α ργὸς ἐπὶ ἀρσενικοῦ καὶ θηλυκοῦ παρ' ἀττικοῖς. ἀριστοφάνης. ἀλλ' ἐπεσάθη σὺ μὴν ἔργων ὡς ἀργὸς ἦν. ἀργὸν τὸ λευκὸν ἐξ οὗ καὶ ἄργυρος. ἀργύφεον ποιητικῶς τὸ αὐτό. ἄργυρος μὲν λέγεται καὶ χρυσὸς ἡ οὐσία τοῦ ἀργύρου καὶ τοῦ χρυσοῦ. ἀργύρειον δὲ καὶ χρυσεῖον τὰ ἐξ αὐτῶν νομίσματα. ἀργυροῦν δὲ ἢ χρυσοῦν σκεῦος.

Α ργαλέον τὸ μετέχον ἄλγους. ὥσπερ θαρσαλέον τὸ μετέχον θάρσους.

Α ῤῥητον τὸ μὴ δυνατὸν ῥηθῆναι. καὶ τὸ μὴ ἄξιον ῥηθῆναι. τὸ δὲ μὴ ἄξιον ἢ ὡς ἀπόῤῥητον, οὐκ ἔστιν ἄξιον λέγεσθαι ἢ ὡς αἰσχρὸν. ἢ ὡς μυστήρια δηλοῖς. ἄῤῥητον ὑπερβολικῶς καὶ τὸ μέγα ἢ τὸ πολύ.

Α ρέσκω τινὶ ἀντὶ τοῦ ἀρεστὸς αὐτῷ φαίνομαι. ἀττικῶς δὲ μετὰ αἰτιατικῆς. ὡς παρὰ πλάτωνι. ἀλλ' ἐμὲ αὖ σε ταῦτ' ἀρέσκει. ἀρέσκομαι δὲ τινὶ ἀντὶ τοῦ ἀποδέχομαι αὐτόν.

Α ρχομαι τοῦδε ἤτοι ἀρχὴν ποιοῦμαι, ὡς ἐπὶ

μόνου

μόνον ποιήσων. Ἄρχομαι δὲ ἀπὸ τοῦδε, οὗ τοῦτο μόνον ποιήσων, καὶ ἐφ' ἕτερον ὑπερβησόμενος. Ἄρχομαι δὲ τὸ ἀρχὴν λαμβάνω. ὡς ἐν τῷ, ἄρχεται δὲ ὁ πόλεμος. Ἄρχομαι καὶ τὸ ἐξουσιάζομαι.

Τὸ ἄρδην. ἀπὸ τοῦ αἴρω γίνεται. καὶ ὅτε τὸ αἴρω δηλοῖ τὸ ὑψῶ, καὶ τὸ ἀφανίζω. καὶ τὸ ἄρδην δύο δηλοῖ, τὸ μετεώρως καὶ κούφως, ἔστι δὲ τὸ ἀφανιστικῶς.

Ἁρπαγὴ ἡ μετὰ βίας ἀφαίρεσις. Ἁρπάγη δὲ τὸ ἄγκιστρον δι' οὗ τῶν φρεάτων τὰ ἐμπεσόντα ἐξαίρομεν.

Ἀράχνης τὸ ζωΰφιον ἀρσενικῶς τὸ ζῶον. ἀράχνη δὲ καὶ ἀράχνιον τὸ ὕφασμα.

Τὸ ἄρα συμπερασματικὸν ὄν, καὶ ἀντὶ μακροῦ δέχεται. ἔστι δὲ τὸ μὲν ἀπορρηματικὸν ἄρα μακρὸν ἀεί. τὸ δὲ συμπερασματικὸν οὐκ ἀεὶ βραχύ.

Ἀρόω ἀρόσω. ἀρόσιμον δὲ ἀρόσιμος γὰρ χ' ἑτέρων ἐπὶ γῆς.

Ἀριστάω ἀριστῶ τὸ γευματίζω ἐξ οὗ ἄριστον τὸ γεῦμα. ἀριστεύω δὲ τὸ ἀνδραγαθῶ.

Ἀρύομαι ὕδωρ. ἀρύτομαι δὲ καὶ ἄλλοι δι' εἶδός τι. ὥσπερ τὸ ἀντλῶ.

Τὸ ἀρὰ μέση λέξις ἐστί. δηλοῖ γὰρ καὶ τὴν κατάραν καὶ τὴν εὐχήν. ἔστι δ' ὅτε καὶ τὴν βλάβην. ὥσπερ καὶ τύχη ποτὲ μὲν ἡ εὐτυχία. ποτὲ δὲ ἡ δυστυχία. καὶ δαίμων ὁμοίως. καὶ ἀλάστωρ.

Ἅρμα κοινῶς τὸ τέθριππον. ἅρματα δὲ πολεμικῶς τὰ ὅπλα.

Ἁρμόσαι τὸ ἁρμόδιον καὶ τὰ συνθετικὰ ψιλοῦται.

Ἄρρην καὶ ἄρσην. ἀττικώτερον δὲ τὸ ἄρρεν.

Ἀρκῶ ἀντὶ τοῦ ἱκανός εἰμι. καὶ ἀρκεῖ μοι τὸ πρᾶγμα ἀντὶ τοῦ ἱκανόν ἐστιν. Ἐπαρκῶ δὲ τὸ βοηθῶ. τὸ τοῖς χρείαν ἔχουσιν ἀρκετὰ δίδωμι.

Ἀπαρκῶ τὸ ἀποσοβῶ.

Ἀριθμεῖν. ἐπὶ ψήφου. μετρεῖν, ἐπὶ μεδίμνου. σταθμᾶν, ἐπὶ ζυγοῦ.

Ἀριστεὺς ὁ ἐν πολέμῳ νικῶν. Ἀριστεῖον τὰ δῶρα τὰ ἐπὶ τῇ νίκῃ διδόμενα. Ἄριστος ὁ καθυπέρτερος ἐν παντὶ πράγματι καὶ τοὺς ἄλλους ὑπερβαλλόμενος. Ἀριστεία δὲ ἡ ἐνέργεια.

Τὸ ἀσπάζεσθαι. καὶ τὸ φιλεῖν ποτὲ μὲν δηλοῦσι τὴν φιλικὴν διάθεσιν. καὶ ἔχουσιν ἐναντίον τὸ μισεῖν. ποτὲ δὲ τὴν σωματικὴν ἐνέργειαν ὅπερ ἔχει οὐδὲν ἐναντίον.

Ἀστράπτει ὁ θεὸς ἀντὶ τοῦ ἀστραπὴν πέμπει. καὶ ἀστράπτει λίθος ἀντὶ τοῦ λάμπει.

Ἀτμὸς ἡ ἀναπνοή, ἀὴρ οὗτος ὃν ἀναπνέομεν.

Ἄνεμος ἀήτης ποιητικῶς, καὶ αὔρα ἀὴρ κινηθείς. διαφέρουσι δὲ ἀλλήλων. τὸ τὴν μὲν αὔραν ἐπὶ τῶν ἐξ ὑγροῦ πνευμάτων τάττεσθαι. τὸν δὲ ἄνεμον ἐπὶ τῶν ἐν ἀέρι πνευμάτων. τὰ πνεύματα δὲ καὶ τοὺς ἀήτας ἐπὶ παντὸς ἀέρος κινηθέντος.

Ἀστὴρ καὶ ἄστρον διαφέρει. ἀστὴρ γὰρ ὁ μονομερής. ἄστρον δὲ τὸ ἐκ πολλῶν ἀστέρων συγκείμενον.

Ἄστυ ἡ πόλις καὶ ἀστυκὸς ὁ πολίτης. ἀστεῖος δὲ ὁ πολιτικός, καὶ κομψὸς καὶ χαρίεις ἀνήρ. ἐξ οὗ καὶ ἀστεΐζομαι καὶ ἀστεϊσμὸς τὸ σὺν χάριτι καὶ παιδιᾷ ὁμιλεῖν.

Ἀττικὴ γυνὴ ἡ ἀπὸ τῶν Ἀθηνῶν, καὶ ἀττική, ἡ χώρα αὐτῶν.

Ἄτεχνον τὸ μὴ μετὰ τέχνης καὶ ἐνεργείας γινόμενον, ᾧ ἐναντίον τὸ τεχνητόν. Ἄτεχνον καὶ ὃ ἐργάσαιτο μέν τις, οὐ μὴν δὲ ἐντέχνως, ᾧ ἐναντίον τὸ ἔντεχνον. ἄτεχνος καὶ ὁ μὴ εἰδὼς τέχνην, ἢ εἰδὼς μέν, οὐ μὴν δὲ καλῶς, ᾧ ἐναντίον ὁ τεχνικός. καὶ ἄτεχνος ζωὴ παρὰ τῷ θεολόγῳ Γρηγορίῳ ἡ χωρὶς τῶν τεχνῶν συνισταμένη.

Τὸ ἅτε ἐπίρρημά ἐστι συγκείμενον ἔκ τε τοῦ ἃ ὑποτακτικοῦ οὐδετέρου ἄρθρου. καὶ τοῦ, τε, συνδέσμου. συνυπακούεται δὲ ἡ κατὰ πρόθεσις ἀττικῶς. καὶ ἔστιν ἀντὶ τοῦ καθά.

Ἀτάσθαλοι. οἱ εἰς θεὸν ἁμαρτάνοντες. καὶ ἀτάσθαλον ἔργον τὸ ἀθέμιτον καὶ παράνομον.

Ἀτιμάω. ἀτιμῶ τὸ ἄτιμον ποιῶ. Ὅμηρος. οὕνεκα τὸν Χρύσην ἠτίμησ' ἀρητῆρα. Ἀτιμόω δὲ ἀτιμῶ τὸν δεῖνα ἤγουν δι' ἀτίμου λόγου ὑβρίζω. Ἀτιμάζω δὲ τὸ δι' ἔργου ὑβρίζω καὶ τὸ ἐξευτελίζω.

Τὸ ἅττα ἀντὶ τοῦ ἅτινα, προτάττεται καὶ δασύνεται. τὸ δὲ ἄττα ἀντὶ τοῦ τινὰ ὑποτάσσεται καὶ ψιλοῦται.

Αὐθέκαστος. ὁ ἀκοινώνητος. καὶ ἐν τοῖς καθ' αὑτὸν θέλων ἀριθμεῖσθαι, ἢ ὡς ἀπαξιῶν πάντας διὰ τὸ νομίζειν αὐτὸν ἑαυτῷ δύνασθαι ἀντὶ πάντων ἀρκεῖν. ἢ ὡς ἀνεπιτηδείως ἔχων πρὸς τὰς ἐπιμιξίας δι' ἁπλότητα γνώμης.

Αὔξησις ἐπὶ ἐμψύχων. Αὔξη καὶ βλάστη ἐπὶ φυτῶν,

Αὖθις μετὰ τοῦ σ. τὸ πάλιν. αὖθι δὲ ἀντὶ τοῦ αὐτόθι χωρὶς τοῦ σ. καὶ αὖτις μετὰ τοῦ τ τὸ ὕστερον.

Τὸ ἀφίστασθαι οὐ λέγεται ἐπὶ ὡρισμένου διαστήματος, ἀλλὰ τὸ μὴ ἁπτόμενοί τινες, εἴτε πολὺ κεχώρισται τούτου εἴτε ὀλίγον.

Ἄφενος. ὁ ἀπὸ τῶν ὡρῶν πλοῦτος. καὶ ἀρσενικῶς καὶ οὐδετέρως. ἀφ' οὗ ἀφνειὸς ὁ πλούσιος ἔχων τὸν πλοῦτον.

Ἀφανίζεται. ἀντὶ τοῦ ἀπόλλυται, καὶ φθείρεται διόλου. Καὶ ἀφανίζεται τὸ κρυπτόμενον καὶ μὴ φαινόμενον. ὡς παρὰ τῷ Φιλοστράτῳ. οὐχ ὡς ἀπόλοιντο ἀλλ' ὡς ἀφανισθεῖεν εἰς μέσον ἐμβᾶσαι.

Ἀφετηρία. τὸ πετροβόλον ὄργανον. Ἀφετηρία δὲ ἡ ἀρχὴ τοῦ ἱπποδρόμου. καὶ ἁπλῶς πᾶσα ἀρχή.

Ἄφνω χωρὶς προθέσεως, ἐξαίφνης, μετὰ προθέσεως.

Ἀφικνοῦμαι. ἐνεστώς. καὶ ἱκνοῦμαι τὸ ἅπτομαι, ὡς ὑπισχνοῦμαι καθικνοῦμαι γενικῇ. ὁ ἀόριστος ἀφικόμην. ὁ μέλλων ἀφίξομαι καὶ ἵξομαι. ἀφίξομαι ἀντὶ τοῦ ἐλεύσο-

μαι. ἀφίξομαι ἀντὶ τοῦ ἅψομαι.

ΑΡΧΗ ΤΟΥ Β.

β άλλω ὕδωρ εἰς ἄγγος, καὶ βάλλω λίθον ἤγουν πέμπω, καὶ βάλλω τῷ λίθῳ ἤγουν τιτρώσκω. ὁμοίως καὶ βάλλεταί τις λίθῳ καὶ βάλλεταί τις λίθον. ἀφ' οὗ βολὴ ἐπὶ τοῦ πεμπομένου. καὶ τοῦ διαστήματος τῆς βολῆς. καὶ ἐπὶ τοῦ λεγομένου τὸ βέλος. ἀπὸ τούτου καὶ τὸ βέλος. ἔστι δὲ βέλος τὸ πεμπόμενον καὶ ἡ βολή. καὶ τὸ ἐκ τῆς βολῆς τραῦμα. καταχρώμενος δὲ ὁ ὅμηρος λέγει. ὡς δ' ὅταν ὠδίνουσαν ἔχῃ βέλος ὀξὺ γυναῖκα. Ἀπὸ τοῦ βάλλω τὸ βαλεῖν ἀπαρέμφατον. ὅπερ ἐστὶν ἀόριστον. γίνεται δὲ ἀπό τε τοῦ μέλλοντος τοῦ βαλῶ, καὶ ἀπὸ τοῦ ἔβαλον δευτέρου ἀορίστου. ἔστι δὲ ἐν τούτῳ μόνον. οὐ γὰρ ἂν εὕροις ἀλλαχοῦ ἐν τῇ πέμπτῃ συζυγίᾳ τῶν βαρυτόνων. ἀπαρέμφατον τοῦ τε μέλλοντος ἅμα καὶ ἀορίστου δευτέρου.

B άλλομαι. παθητικῶς δὲ νοῶ. ὡς τὸ βαλλόμενος εἰς νοῦν, ἤτοι νοήσας. καὶ βεβλημένος εἰς νοῦν. Ἐμβάλλω εἰς τὸ ἀγγεῖον ὕδωρ. ἢ ἐν τῷ ἀγγείῳ. ἐκβάλλει ὁ ἀνὴρ τὴν γυναῖκα. Καὶ ἐκβάλλει ὁ ποταμὸς εἰς τὴν θάλασσαν. Συμβάλλει ὁ συναρμόζων. Καὶ συμβάλλει πόλεμον. Συμβάλλεται δέ τις τὸ δέ τι στοχαζόμενος καὶ νοῶν. Προσβάλλω τὸ προσέρχομαι, ὅπερ οὐ μόνον δοτικῇ. ἀλλὰ καὶ αἰτιατικῇ συντάσσεται. προβάλλει τίς τι, ἤγουν προτίθησι. Προβάλλεται δὲ μάρτυρα ἢ αἰτίαν. οἷον προβάλλομαι νόσον, ἤγουν προφασίζομαι. Ἀναβάλλει ὕδωρ ἡ πηγή. Ἀναβάλλεταί δέ τις τὸ ὑπερτίθεται, καὶ ἅλλει, καὶ ἐνδύεται. Καταβάλλει τινὰ τὶς καθαιρῶν. Καταβάλλεται δὲ θεμέλιον. ἢ ἀρχὴν, ἢ σπόρον. ἢ χρέος, ἢ φόρον, ἢ τίμημα. ἢ τοιοῦτό τι. Διαβάλλει τινὰ τὶς ἤγουν ὡς κακὸν ἀποδείκνυσι. Μεταβάλλει τίς τι ἤγουν ἐξ ἑτέρου ἕτερον ποιεῖ. Παραβάλλει τόδε τῷδε, ἤγουν συγκρίνει. Παραβάλλει καὶ τὸ πλησιάζει. καὶ τὸ ἀφικνεῖται. Καὶ τὸ παρεικάζει. ἐξ οὗ καὶ παραβολὴ ἡ εἰκών. Παραβάλλω ἐπὶ τῶν ἵππων, ὡς παρ' ὁμήρῳ παραβλήματα αἱ τῶν ἵππων τροφαί. παραβάλλομαι δὲ παθητικῶς. τὸ παρεξετάζομαι καὶ συγκρίνομαι. καὶ τὸ ῥιψοκινδύνως τι ποιῶ. πρὸς κῦμα παραβαλλομένους. καὶ ὅμηρος παραβαλλόμενος τὴν ἐμὴν ψυχήν. ἤγουν κινδύνοις παραρρίπτων. Ἀντιβάλλει ἤγουν ἐξ ἐναντίας βάλλει. Ἐπιβάλλει τὶς ἐπιθεὶς ἢ νοῶν. ἐπιβάλλεται δὲ τῷ δέ τινι. ἀντὶ τοῦ ἐπιχειρεῖ. Περιβάλλω τί τινι ἤγουν περιτίθημι. Καὶ περιβάλλω τινὰ ἤγουν περιπτύσσομαι, καὶ περιπλέκομαι. Καὶ περιβάλλει ὁ θεὸς τὸν οὐρανὸν νεφέλαις. ἤγουν ἐνδύει. καὶ παρὰ φιλοστράτῳ. περιβάλλων χορὸν τοῖς τείχεσιν ἀνδρῶν ὡπλισμένων. ἀντὶ τοῦ κύκλῳ τιθείς. Ἀμφιβάλλω τὸ μὴ ἐφ' ἕνα σκοπὸν βάλλω τὸν λογισμὸν, ἀλλ' ἐπὶ δύο. ὅθεν καὶ ἀμφίβολος ὁ ἐν διπλῇ γνώμῃ κείμενος. καὶ ἀμφιβολία ἡ διπλῆ γνώμη. Ἀποβαλὼν μὲν, ὁ ἄκων ἀπώλεσα. Ἀποβαλόμενος δὲ ὁ ἑκὼν ἔρριψα. Ὑποβάλλει τὶς τινὶ λόγον, ἀντὶ τοῦ ὑποτίθεται. ὑποβάλλεται δὲ τὰ ἀλλότρια ὁ ἰδιοποιούμενος. ὅθεν καὶ ὁ ὑποβολιμαῖος. Ὑπερβάλλω τὸ ὑπερέχω, καὶ ὑπερβαίνω.

B αλβὶς καὶ γραμμὴ καὶ ὕσπληγξ, καὶ ἄφεσις, ὅθεν ἀφίενται οἱ δρομεῖς. Βατὴρ δὲ ὅθεν ἅλλεται ὁ ἀθλητικός.

B αίνω. τὸ πορεύομαι ποιητικῶς. καὶ τὸ ἵσταμαι παρὰ μόνοις ῥήτορσι. καὶ βέβηκεν ἀντὶ τοῦ πεπόρευται καὶ ἀντὶ τοῦ ἵσταται. Καὶ βάσις ἡ πορεία καὶ ἡ στάσις καὶ βάθρον.

T ὁ βάκχος ἐπίθετον τοῦ διονύσου καὶ τῶν ὀπαδῶν αὐτοῦ.

B αιὸς ἐπὶ ἀριθμοῦ καὶ ἐπὶ μεγέθους.

B αλανεῖον. ὁ τόπος ὁ περιέχων. λουτρὸν δὲ λέγεται τὸ θερμὸν ὕδωρ, πρὸς τὸ λούειν ἑτοιμασθέν.

B ασιλὶς ἡ βασίλισσα γράφεται.

T ὁ βαρὺς ἐνίοτε μὲν λέγεται ἐπὶ ψυχῆς. ἐνίοτε δὲ ἐπὶ σώματος. βαρὺς μὲν γὰρ ἐπὶ ψυχῆς ὁ δύσκολος, καὶ ἀγανάκτησιν ἔχων. βαρὺς δὲ ἐπὶ σώματος ὁ βεβαρημένος καὶ δυσκίνητος. ποτὲ μὲν οὖν τὸν βαρυνόμενον δηλοῖ καὶ ἐπὶ πάθους λέγεται. ποτὲ δὲ τὸν βαρύνοντα, καὶ ἐνεργείας ἐστὶ δηλωτικόν.

B αράθρεος ὁ βαράθρου ἄξιος. βάραθρον δὲ εἰς ὃ τοὺς κακούργους ἔβαλον.

B έβηλον τὸ ὅσιον μὲν, βατὸν δέ. καὶ βέβηλος ὁ ἀνόσιος. ἀβέβηλον δὲ τὸ ὅσιον καὶ παντελῶς ἄδυτον. ὡσαύτως καὶ ἄβατον τὸ μὴ πρέπον πατηθῆναι. καὶ ὃ οὐ διῆλθέ τις. καὶ ὃ οὐ δύναταί τις διελθεῖν. ἤγουν τὸ ἀδιεξίτητον.

B εστιαρίτης ὁ ῥάπτης. βέστια γὰρ παρὰ ῥωμαίοις τὰ ἱμάτια. ἐξ οὗ καὶ βεστιάριον κυρίως ἐν ᾧ τὰ βασιλικὰ ἐνδύματα φυλάσσονται.

B ῆμα ἡ βάσις. καὶ βῆμα ὁ τόπος, ἐν ᾧ κάθηται ὁ βασιλεύς. ἢ ὁ κριτὴς τοῦ πλήθους παρεστηκότος.

B ία ἐστὶν ἡ παρὰ φύσιν φορά. βία καὶ ἡ ἰσχύς. Βίος ἡ τοιάδε ζωή. καὶ ὁ περιεκτικὸς τῆς τοιᾶσδε ζωῆς. οἷον ποῖόν τις βιότοιο τὰ μοῖρα τρίβετο. καὶ ἡ αὐτίκα μελλόντων θανάτῳ ζωσίμως παρ' εὐριπίδῃ. ὁ δ' ἡμέρα θάνατον ἢ βίον φέρει ἤγουν ζωήν. Καὶ βιὸς ὀξυτόνως τὸ τόξον. Καὶ βιωτὸς βίος ὁ βεβιωμένος. Βιόω βιῶ τὸ ζῶ. καὶ ἀπὸ τούτου ῥῆμα τίς μὲν ἕτερον, βιῶ μὲν ἄχρηστον μὲν ἐν τῷ ἐνεστῶτι. κανονίζεται δὲ ἀπὸ τούτου, τὸ ἐβίων καὶ βιῶναι καὶ ὁ βιούς. ὡς παρὰ

ἀπὸ τοῦ

ἀπὸ τοῦ γνῶμι ἀχρήστου, τὸ ἔγνων καὶ γνῶναι, καὶ ὁ γνούς. ἔστι δὲ βιῶναι μὲν τὸ ζῆν. βιοτεύειν δὲ τὸ πορίζειν τὰ πρὸς τροφήν. πᾶς ὁ βίος μετὰ τοῦ ἄρθρου, δηλοῖ τὸν βίον ὁλόκληρον. πᾶς δὲ βίος χωρὶς τοῦ ἄρθρου, πάντας ἐμοὶ τοὺς διαφόρους βίους. Βιῶναι μὲν ἔστι τὸ ζῆν. Ἀποβιῶναι δὲ τὸ τεθνηκέναι.

B αῦνον λέγεται τὸ πῦρ. καὶ βάναυσος τέχνη ἡ διὰ τοῦ πυρὸς ἐνεργουμένη.

B λέπω τὸ ἁπλῶς ὁρῶ καὶ τὸ ἐλπίζω. οἷον εἰς σὲ βλέπω. καὶ τὸ προορῶ. ὅθεν καὶ προβλέποντες λέγονται οἱ προφῆται, καὶ οἱ ζῶντες. καὶ βλέπουσιν οἱ ὀφθαλμοὶ ὅταν μὴ τυφλοὶ ὦσιν. Βλέπω καὶ τὸ θαρρῶ. βλέπω τόδε καὶ βλέπω εἰς τόδε. ἰστέον δὲ ὅτι τὸ βλέπειν εἰ λέγεται πρός τι μὴ μαρτυρούσης τῆς εἰς προθέσεως, οὐδὲν πλέον δηλοῖ, ἢ τὴν ἐνέργειαν τῆς ὁρατικῆς δυνάμεως, μετὰ δὲ ταύτης ἐνίοτε μὲν δηλοῖ σπουδήν. καὶ τὸ ἔχειν ἐπιτεταμένην τὴν γνώμην. ἐνίοτε δὲ ἐλπίδα. οἷον εἰς σὲ βλέπω. ἀντὶ τοῦ εἰς σὲ ἐλπίζω. ἐνίοτε δὲ μίμησιν. οἷον εἰς σὲ βλέπων τόδε ποιῶ. ἀντὶ τοῦ σὲ μιμούμενος.

Βλέπω καὶ θεῶμαι ταυτόν. ὄψομαι καὶ θεάσομαι μέλλοντες. ἐθεασάμην καὶ εἶδον ἀόριστοι. ἐθεάθην δὲ ἐστὶ ὑφ' ἑτέρου.

B λέπει πῦρ ὁ πυρώδεις ἔχων τοὺς ὀφθαλμούς. καὶ βλέπει μάχην ὁμοίως, ὁ μαχίμους αὐτοὺς ἔχων.

B λάπτω τὸ βλάβην ποιῶ καὶ τὸ ἐμποδίζω.

B δέλλα ἀπὸ τοῦ βδάλλω τὸ ἀμέλγω. ἐξ οὗ καὶ νεόβδαλτον γάλα τὸ νεωστὶ ἀμελχθέν.

Γ ροβέβληταί τις ἤγουν πρόβολος ἵσταται. καὶ προβέβληται ἤγουν ἔμπροσθεν ἵσταται.

B λύειν μὲν τὸ ἀναβάλλειν καὶ ἀναδιδόναι. ἐξ οὗ καὶ μυροβλύτης. Βρύειν δὲ τὸ αὔξειν. Ἰστέον δὲ ὅτι τὸ βλύζειν καὶ τὸ βρύειν, ποιαὶ λέξεις εἰσὶν ἀπὸ τοῦ γινομένου ἤχου ἐν ταῖς ἀναβλύσεσι τῶν ὑδάτων [illegible]μέναι.

B ούλομαι ἐγὼ ἀγαθὸς εἶναι, οὐδέποτε δὲ δύναται εἰπεῖν βούλομαι ἐγὼ εἶναι με τοιόνδε. βούλομαι δὲ σε ἀγαθὸν εἶναι καὶ ἐπὶ τρίτου. βούλομαι τὸν δεῖνα πλουτεῖν.

B ουλὴ ἡ συνάθροισις τῶν βουλευτῶν. καὶ ὁ τόπος. βουλευτήριον ἔνθα συνάγονται οἱ βουλευταί. ἕως οὖν καθήμενοι βουλεύονται καλεῖται βουλή. ἀφ' οὗ δὲ τελεσθῇ λέγεται βούλευμα. Καὶ βουλὴ τὸ σκέμμα. Βούλημα δὲ ἡ θέλησις.

B ουλεύω τὸ θέλω ἤτοι τὸ βουλὴν ἔχω. Συμβουλεύω δὲ τὸ παραινῶ. Ὡσαύτως καὶ βουλεύομαι τὸ σκέπτομαι περί τινος πράγματος. Συμβουλεύομαι δὲ τὸ, τὸ σκεπτόμενον ἄλλοις κοινοῦμαι.

B οηθὸς ἐστὶν ὁ συνεφαπτόμενός τινι εἰς πᾶν ἔργον. τιμωρὸς δὲ ὁ αὐτὸς κυρίως ὁ ἐκδικητής, ὁ τινὰ παθόντα κακῶς παρά τινος ἐκδικῶν.

B ουλεύω καὶ βουλεύομαι. βουλεύσω καὶ βουλεύσομαι. βεβούλευκα καὶ βεβούλευμαι. ἐβούλευσα καὶ ἐβουλευσάμην.

T ῷ βραχεῖ ἐναντίον τὸ μακρόν. καὶ τῷ ἐπὶ βραχεῖ ἐπιρρήματι, τὸ ἐπὶ μακρῷ.

T ῷ βραδεῖ ἐναντίον τὸ ταχύ. ἢ τὸ ὀξύ. καὶ ἐπὶ μαχαίρας. καὶ ὀφθαλμῶν λέγεται τὸ ὀξύ. καὶ ἔχει ἐναντίον τὸ ἀμβλύ. Λέγεται καὶ ἐπὶ τῶν μετεχόντων ὀξώδους ποιότητος. καὶ ἔχει ἐναντίον τὸ γλυκύ. λέγεται καὶ ἐπὶ φωνῆς καὶ ἔχει ἐναντίον τὸ βαρύ. Λέγεται πάλιν τὸ βαρὺ καὶ ἐπὶ ὄγκου. καὶ ἔχει ἐναντίον τὸ κοῦφον, ἤτοι τὸ ἐλαφρόν.

B ραβεῖς. καὶ βραβευταὶ οἱ διοικηταὶ τοῦ ἀγῶνος. οἱ τὰ ἆθλα διδόντες. ἀφ' οὗ βραβεῖον τὸ ἆθλον.

B ρενθύεται. ἀντὶ τοῦ ἐπαίρεται ἀπὸ τοῦ βρένθου τὸ μύρον. οἱ γὰρ ἀλαζονευόμενοι μύρῳ χρίεσθαι εἰώθασι.

B ρύα. χρεμετίζεται. λίαν δὲ ποιητικόν.

B ρύχα ὑποβάθρα ποιητικόν. ὑποβρύχιον γὰρ τὸ ὑπὸ τῶν κυμάτων καλυπτόμενον.

B ωμὸς τὸ οἰκοδόμημα ἐν ᾧ θύουσι. Ἀπὸ τούτου βωμὸν καὶ ὁ περιέχων τοῦτο ναός. Βωμὸς ἐν ᾧ τὰ ἅρματα ἐτίθετο. ὡς παρ' Ὁμήρῳ. ἅρματα δ' ἀμβωμοῖσι τίθει. Ναὸς καὶ ἱερὸν πᾶν τὸ οἰκοδόμημα. ὑφ' οὗ περιέχεται ὁ βωμός. Πρόναον τὸ ἔμπροσθεν τοῦ ναοῦ. τέμενος ἐν ᾧ καθιδρύεται τὸ ἄγαλμα. Λέγεται δὲ τέμενος ἁπλῶς καὶ ὁ ἀποκεκομμένος καὶ ἀνατεθειμένος τόπος τινί.

B ωμολοχία λέγεται καὶ εὐτραπελία, ἐπὶ τῶν ἐπιτηδευόντων παίγνια. δι' ὧν κινοῦσι τοὺς ὁρῶντας, ἢ ἀκούοντας εἰς γέλωτα.

ΑΡΧΗ ΤΟΥ Γ.

Γ αμεῖ τις ἀμεταβάτως ἀντὶ τοῦ γάμον ἔχει. τουτέστι συνημμένος ἐστὶ γυναικί. ὡς ἐν τῷ ἐν γαμέταις. ζῆς ἔτ' ἐλαφρότερον. καὶ γαμεῖ τὴν δὲ μεταβατικῶς ἀντὶ τοῦ εἰς γάμον λαμβάνει, ἢ λαβὼν ἔχει.

Γ άλλοι οἱ ἀπόκοποι.

Γ αστὴρ ἡ κοιλία καὶ κλίνεται τῆς γαστρὸς κατὰ ἀποκοπήν. ἀπὸ τούτου κατὰ σύνθεσιν γαστριμαργία. καὶ γαστρίμαργος ὁ τὴν γαστέρα μάργος. ἤγουν μαινόμενος καθ' Ὅμηρον. ὡς τὸ διέπρεπε γαστέρι μάργη. ἢ ὁ ἀργὸς αὐτὴν κατ' ἀντίφρασιν κατὰ τὸ εἰρηκότα τοὺς κρῆτας γαστέρας ἀργοὺς ἤγουν γαστριμάργους. ὡς καὶ λαίμαργος ὁ τὸν λαιμὸν ἀργός.

Γ ενέθλιος ἡμέρα ἐπὶ τῶν ζώντων. ἐν ᾗ ἕκαστος ἐγεννήθη. γενέσιος δὲ ἡμέρα. ἐν ᾗ τις ἐτεθνήκει, γενεσία γὰρ ἡ δι' ἐνιαυτοῦ ἐπιφοιτῶσα τοῦ τεθνεῶτος μνήμη. καὶ γενέθλια πληθυντικῶς ὁ

ἐν γενέσει τινὸς τελουμένη ἑορτή. ὥσπερ γαμέλια ἡ ἐν γάμῳ. καὶ ἐγκαίνια, ἡ ἐν ἐγκαινισμῷ. κατὰ ταῦτα ἐλέγετο καὶ κρόνια ἑορτὴ τοῦ κρόνου. καὶ διάσια ἡ τοῦ διός. καὶ τιτάνικὴ τῶν τιτάνων καὶ ἕτερα.

Γ ύνα μὲν καὶ γυναῖκες καὶ ἀγυνὴς καὶ γυναικῶν γυναῖ δύο τοῦ. γένος δὲ ἐστί. ἴσθι δὲ ὅτι τὸ γεγενῆσθαι ἐπὶ μόνων ἐμψύχων λέγεται. τὸ δὲ γεγονέναι καὶ ἐπὶ ἀψύχων.

Γ εγένημαί σοι φίλος καὶ ἐξεγένετό μοι τόδε. ἤγουν ἄδεια ἐγένετό μοι.

Γ ύης γύης ὁ τόπος τῶν σπαρτῶν. γύαι δὲ ὁ τόπος ἔνθα αἱ τείχη. γυαλὰς δὲ αἱ τείχες.

Γ ῆ. ἡ ἁπλῶς γῆ. χέρσος ἡ ἀνήροτος γῆ. ἄρουρα ἡ ἠροτριασμένη. χθοὺς ἡ λεπτὴ γῆ. καὶ κόνις ὁ κονιορτός.

Γ ῆρας παλαιότου τὸ δέρμα γηρατέον. ἔοικε δὲ τὸ ζῷον κατὰ τοὺς ὄφεις εἶναι. καὶ γὰρ ἐπὶ τούτων φαμὲν γῆρας ὄφεων. γηράσκοντες γὰρ οἱ ὄφεις, ἀποξύουσι τὸ τῆς λεβηρίδος πάχος.

Γ ίνεται παρ' ἐμοὶ ὁ δεῖνα. παραγίνεται ὡς ἐμὲ γίνομαι δὲ ἐν τῇ οἰκίᾳ. καὶ γίνεται εἰς ἐμὲ παρά του χρηστόν.

Γ ινώσκω ἐστὶ τινὰ καὶ γινώσκω πάντων τῶν καλῶν τὰ γράμματα. ἀντὶ τοῦ σαφῶς καλῶ. γνωρίζω δὲ ἕτερον ἑτέρῳ. ἀντὶ τοῦ γνώριμον ποιῶ. καὶ γνωρίζει πῶς τὴν τοῦ συμβάντος φωνήν. ἤγουν ἀναγνωρίζει. ὅπερ κυρίως ἐπὶ τῶν ἀπὸ νόσου ἀνακφηλαύτων λέγεται. καὶ ἀναγινωσκόντων τὸν γνώριμον. ὡς ἐν τῇ νόσῳ ἠγνόουν. ἔστι δὲ ἡ χρῆσις τοῦ γινώσκω οὕτω κατανοίζομαι. γινώσκω. γινώσκεις. γινώσκει. τὰ δυϊκά. ἴστον ἴστον κατὰ συγκοπὴν τὰ πληθυντικὰ ἴσμεν. ἴστε. ἴσασι. γινώσκω ἐνεστώς, ἐγίνωσκον παρατατικός. γνώσομαι μέλλων. καὶ εἰδήσω καὶ εἴσομαι. ἔγνων ἀόριστος. ἔγνωκα παρακείμενος καὶ οἶδα. ἐν τῷ δευτέρῳ οἶδας. καὶ πλεονασμῷ τῆς. θα συλλαβῆς οἶσθα θα καὶ κατὰ συγκοπὴν οἶσθα. γινώσκω δὲ τὸ νοῶ. διαγινώσκω τὸ διακρίνω. καταγινώσκω ἐπὶ κατηγορίας.

Γ εωργὸς μὲν κοινόν. γέτης δὲ ποιητικόν. γεωργὸς δέ ἐστι κοινὸν ὄνομα. καὶ διαιρεῖται εἰς ἀμπελουργόν. φυτηκόμον. κηπωρὸν καὶ ἕτερα.

Γ λεῦκος ὁ νέος οἶνος ὁ κοινῶς λεγόμενος μοῦστος. αὐθημερινὸς δὲ ὁ ἀηδὴς οἶνος. ἐκβοσταῖος δὲ καὶ ἐξίτης ὁ παρεσβηκὼς καὶ ἐξώδης γενόμενος.

Γ νώμη ὁ τρόπος καὶ ὁ λογισμός.

Γ όητες κυρίως οἱ ἐπῳδαῖς τισὶ χρώμενοι, ἐπὶ ἀνακλήσει τῶν κατοιχομένων. καὶ γοητεία ἡ ἐπὶ ἀνάστασιν τῶν νεκρῶν γινομένη. ἀπὸ τοῦ γόου ὁ θρῆνος. ὥσπερ καὶ μαγγανεία ἡ ἐπίκλησις δαιμόνων τινῶν ἀγαθοποιῶν. πρὸς ἀγαθοῦ τινος σύστασιν.

Γ όνος καὶ γονὴ τὸ σπέρμα τοῦ ἀνδρός. ὃ παραλαβοῦσα ἡ γυνὴ καὶ θάλψασα καὶ τὸν τεταγμένον χρόνον κατασχοῦσα, ἀποτίκτει. ὥσπερ δὲ σπέρμα τῆς γῆς ὁ σῖτος καὶ ἡ κριθὴ καὶ τὰ τοιαῦτα. διότι εἰς τὴν γῆν σπείρονται, οὕτω καὶ ὁ καταβαλλόμενος πρὸς τὴν γυναῖκα σπόρος, τῆς γυναικὸς ἂν λέγοιτο κατὰ τὸν προσήκοντα λόγον. ἀπὸ τούτων καὶ τὸ γόνιμον καὶ τὸ ἄγονον λέγεται. ταῦτα γὰρ ἐναντία εἰσὶ καὶ ἐπὶ τῶν αὐτῶν λέγεται. πρῶτα μὲν ἐπὶ ἀνδρὸς δυναμένου παιδοποιεῖν ἢ μὴ δυναμένου. καὶ ἐπὶ μήτρας δυναμένης σπέρμα ζωογονεῖν, ἢ μὴ δυναμένης. ἔπειτα καὶ ἐπὶ φυτῶν δυναμένων καρποφορεῖν ἢ μὴ δυναμένων. καὶ ἐπὶ γῆς ἐπιτηδείου σπέρμα θάλπειν καὶ τρέφειν, ἢ μὴ ἐπιτηδείου. καὶ ἐπὶ ποιητοῦ δυναμένου ποιεῖν ποιήματα καὶ μὴ δυναμένου. καὶ ἔτι ἐπὶ βρέφους δυναμένου τελειωθῆναι ἢ πρέποντος.

Γ ράφω μὲν τὸ τύπους γραμμάτων χαράσσω. καὶ τὸ ζωγραφῶ καὶ τὸ ἐπιστέλλω. ἀφ' οὗ καὶ γράμματα αἱ ἐπιστολαί. γράφω καὶ τὸ ξέω. γράφομαι δὲ σὺν παθητικῶς τὸ κατηγορῶ. παραγράφει τις ὡς ἐν βίβλῳ παρὰ τὴν σελίδα γραφῶν. παραγράφεται δὲ μαρτυρία ἀντὶ τοῦ παρακρούεται. ἐπιγράφει τις ἐπιγράμματα γράφων. ἐπιγράφεται δὲ τόνδε δεσπότην ἤγουν ὁμολογεῖ. συγγράφει τις τινὶ κοινωνῶν αὐτῷ τοῦ γράφειν. συγγράφεται δὲ ὅτι τὰ καθ' ἑαυτὸν γινόμενα γραφῇ παραδίδωσι. διαγράφω δὲ τὸ διαχωρίζω. ὑπογράφω τὸ ὑποδεικνύω.

Γ υῖα ἐπ' ἀνθρώπων αἱ χεῖρες καὶ οἱ πόδες. ἀφ' οὗ παρ' ὁμήρῳ, ἀμφιγυήεις ὁ περὶ τοὺς πόδας βεβλαμμένος. ἐπὶ δὲ τῶν τετραπόδων οἱ πόδες.

Γ ωνὴ λέγεται μὲν ἐπὶ τοῦ θήλεος. λέγεται δὲ καὶ ἐπὶ τῆς ἐχούσης ἄνδρα. ἔστι δὲ τὸ γυ βραχὺ ἀεί. διὸ καὶ τὸ γύναι οὐκ ὀφείλει προπερισπᾶσθαι. ἀλλὰ μᾶλλον παροξύνεσθαι.

ΑΡΧΗ ΤΟΥ Δ.

Δ ακρύω ἐπὶ τοῖς δὲ καὶ ἐπιδακρύω τοῖς δὲ. ἤγουν δακρύω διὰ ταῦτα.

Δάκνω. δήξομαι ἔδακνον. δέδηχα μαι. δηχθήσομαι. δέδηγμαι καὶ ἰδήχθην. δακσμὸς ὁ φέρος. καὶ ἀπὸ τούτου δακσμοφορεία τὸ τ' αὐτό. ἀναδασμὸς δὲ ἡ ἀναμέτρησις.

Δ αὶς δαιτὸς ἡ εὐωχία ποιητικόν. ἔστι καὶ δαίτη δαίτης ὡς ἐν ὀδυσσείᾳ.

Δ ῆρὶ ὁ τράχηλος ὃς καὶ δειρὴ λέγεται. ἀφ' οὗ καὶ περιδέραιος κόσμος ὁ περιτραχήλιος.

Δ ελεάζω. τὸ ἀγκιστρεύω ἀντὶ τοῦ δέλεαρ αὐτῷ τίθημι. καὶ δελεάζω τοὺς ἰχθῦς ἀντὶ τοῦ ἀπατῶ.

Δ εξίωσις κυρίως ὅταν δέχηταί τις τινὰ τὴν δεξιὰν αὐτοῦ χεῖρα προτείνων. καὶ ἀπὸ τούτου

ἁπλῶς

ἁπλῶς ἐπὶ τῶν χάριν ποιούντων πρός τινας.

Δ εσπότης λέγεται πρὸς δοῦλον· κύριος δὲ πρὸς ἐλεύθερον.

Τ ὁ δέω ἐπὶ μὲν τοῦ πρώτου προσώπου σημαίνει τὸ ἐλλείπομαι· ὡς τὸ πολλοῦ δέω· καὶ τὸ δεσμῶ. ἐπὶ δευτέρου δὲ δεσμεῖς. ἐπὶ δὲ τοῦ τρίτου τὸ ἐλλείπει καὶ τὸ δεσμεῖ καὶ τὸ πρέπει. καὶ τὸ χρεία ἐστί. καὶ τὸ μὲν δεῖ ἀντὶ τοῦ πρέπει μετὰ ἀπαρεμφάτου. τὸ δὲ δεῖ ἀντὶ τοῦ λείπει μετὰ γενικῆς. οἷον, πολλοῦ γε καὶ δεῖ. καὶ ἐνδεῖ ἀμεταβάτως. οἷον, ἐνδεῖ δέ σοι τῷ λογισμῷ. ἤγουν τῷ λογαριασμῷ. καὶ ἐνδεῖ μεταβατικῶς ἀπὸ δοτικῆς εἰς γενικήν. οἷον ἐνδεῖ σοι ἀνθρώπου τοῦ ἀνθρωποκτόνου δυσὶ συλλαβαῖς. δέομαι δὲ παθητικῶς τὸ χρῄζω καὶ ἱκετεύω. κλίνεται δὲ οὕτω. δέω δῶ τὸ δεσμῶ ἐνεστώς. ἔδεον παρατατικός, δέσω μέλλων. ἔδησα ἀόριστος. δέομαι δοῦμαι ἐνεστὼς παθητικός. ἐδεόμην ἐδούμην παρατατικός. δεθήσομαι μέλλων. ἐδέθην ἀόριστος. δέδεμαι παρακείμενος. τὸ δὲ δέομαι τὸ παρακαλῶ οὕτως. δέομαι ἐδεόμην. δεήσομαι δεδέημαι καὶ ἐδεήθην. δέδοικα ἀντὶ τοῦ φοβοῦμαι. δεδίττομαι δὲ ἕτερον ἤγουν ἐκφοβῶ. Ἴσθι δὲ ὅτι ἔστι ῥήματα ἐν εἴδει τῶν παρακειμένων λαμβανόμενα ἀντὶ ἐνεστώτων. δέδοικα δέδορκα πέφευκα. οἱ τούτων ὑπερσυντέλικοι ἀντὶ παρατατικῶν ἀξιοῦνται. ἐδεδοίκειν καὶ ἐπεποίθειν καὶ ἐπεφεύκειν. τὸ δὲ δεδίττομαι οὕτως ἂν κλινεῖται. δεδίττομαι δεδίξομαι ἐδεδιξάμην.

Δ εῦρο καὶ ἀντὶ τοῦ ἐνταῦθα καὶ ἀντὶ τοῦ ἄγε. οὐδέποτε δ' ἐστὶ ῥῆμα. δηλοῖ δὲ καὶ κίνησιν καὶ στάσιν.

Δ οκοῦμαι τὸ φαίνομαι. ἐνδείκνυμαι δὲ λόγον ἐνεργητικῶς.

Δ εσμέω δεσμῶ τὸ πεδῶ. δεσμεύω δὲ δεσμῶ τὸ εἰς εἱρκτὴν τινὰ εἰσάγω.

Δ εινὸς ὁ χαλεπὸς ἀπὸ τοῦ δέος ὁ φόβος. δεινὸς ὁ ἐπιτήδειος ἀπὸ τοῦ δεῖν τὸ πρέπον. ἴσθι δὲ ὅτι τὸ δεινὰ ὀξυνόμενον, ἐπαναβιβάζουσι τὸν τόνον. ὡς ἐπὶ τοῦ δεῖν ἐπιτέλλει τελεῖν. οἱ δὲ ποιήσαντες ἀλόγως ποιοῦσι.

Δ έσποινα λέγεται οὐ μόνον ἡ βασιλὶς ἀλλὰ καὶ ἡ τοῦ οἴκου δεσπότις. καὶ ἰδιωτικῶς κυρίαν φαμέν.

Δ έδια. δέδιας. δέδιε. τὸ πρῶτον τῶν πληθυντικῶν οὐ δέδιαμεν. ἀλλὰ δέδιμεν ὡσαύτως καὶ τὸ δεύτερον δέδιτε. τὸ δὲ τρίτον δεδίασι. ὁ ὑπερσυντέλικος ἐδεδίειν. τὸ πρῶτον τῶν πληθυντικῶν οὐκ ἐδεδίειμεν. ἀλλ' ἐδέδιμεν ἐδέδιτε. τὸ τρίτον ὁμοίως ἐδέδισαν.

Τ ὸ δεῖν καὶ τὸ δοκεῖν. οὐκ ἀπὸ τοῦ δέον καὶ δοκέον συναλείφεται. διότι οὐκ ἐπὶ πάντων λέγεται ἐφ' ὧν τὸ ἐντελὲς αὐτῶν. ἀλλὰ δεῖν μὲν ἐπιθεῖναι γράψαι λέγεται. ὥσπερ καὶ δέον ἐστὶν γράψαι. δεῖν δὲ ὂν γενέσθαι τόδε ἐγένετο τόδε οὐ λέγεται. ὥσπερ τὸ δέον γενέσθαι τόδε ἐγένετο τόδε, οὕτω καὶ τὸ πλεῖν ἐξ ἀνάγκης οὐκ ἀπὸ τοῦ πλέον γίνεται. ἐπεὶ καὶ αὐτὸ οὐκ ἐπὶ πάντων λέγεται ἐφ' ὧν τὸ πλέον μὲν γὰρ δύναται τόδε, τοῦ δὲ λέγεται. πλεῖν δὲ δύναται οὐ λέγεται. Σημείωσαι δὲ ὅτι τὸ δεῖν καὶ τὸ δοκεῖν ἀντὶ τοῦ δέον καὶ δοκοῦν γράφεται. τὸ δὲ πλεῖν ἀντὶ τοῦ πλέον οὐδαμῶς. καὶ τὸ μὲν δεῖν καὶ δοκεῖν ῥήτορσι χρήσιμα. τὸ δὲ πλεῖν ποιηταῖς. εἰσὶ δὲ οὐδέτερα ὀνόματα.

Τ ὰ εἰς δε λήγοντα ἐπιρρήματα εἰ μὲν ἀπὸ αἰτιατικῆς τῶν ἑνικῶν γίνεται, παρὰ μόνοις τοῖς ποιηταῖς εἰσὶν ἐν χρήσει. οἷον οἶκόνδε κῶόνδε ἅλαδε. εἰ δὲ ἀπὸ αἰτιατικῆς τῶν πληθυντικῶν, εἰς ζ ὄνομα παρὰ τοῖς κοινοῖς ἐν χρήσει. καὶ ταῦτα πάντα ἐν χρήσει. οἷον ἀθήναζε. μουνιχίαζε. θύραζε. ἐφ' οἷς καὶ τὸ σ καὶ τὸ δ εἰς ζ κεράννυται, λανθάνειν ποιεῖ τὴν ἀκολουθίαν. εἴρηται δὲ ἐν τῷ ὄνομα ἐστὶν ἐν χρήσει διὰ τὸ ἔραζε. ἐπεὶ γὰρ τὸ ἔρα οὐκ ἦν ἐν χρήσει παρὰ τοῖς κοινοῖς. οὐδὲ τὸ ἔραζε ἐστὶν ἐν χρήσει.

Δ εισιδαιμονία ὁ ἄλογος φόβος τῶν θεῶν.

Δ ημηγορεῖν τὸ μέσον τοῦ δήμου ἀγορεύω. καὶ δημηγόρος ὁ ῥήτωρ καὶ δημαγωγὸς ὁ αὐτός. καὶ καταδημαγωγῆσαι τὸν δῆμον ἀντὶ τοῦ καθομαλίσαι.

Δ ιάστροφοι ὀφθαλμοὶ οἱ τῶν μαινομένων καὶ οἱ βλέποντες πρὸς ἄλλο μέρος. καὶ πρὸς ἄλλο δοκοῦντες βλέπειν. ἀπόστροφοι δὲ οἱ ἀπεστραμμένοι.

Δ ίνη ἐπὶ ποταμοῦ λέγεται ὅθεν καὶ δῖνος ξανθοδίνης καὶ ἀργυροδίνης ποταμὸς καὶ χρυσοδίνης καὶ βαθυδίνης. καὶ τὸ ῥεῦμα ἐπὶ ποταμοῦ λέγεται καὶ ἐπὶ ὕδατος ῥέοντος. ῥεῖθρον δὲ καὶ ῥόθιον ἐπὶ θαλάττης. καὶ κῦμα κυρίως ἐπὶ θαλάττης. ἐνίοτε δὲ καὶ ἐπὶ ποταμοῦ.

Δ ιοχετεύειν τὸ δι' αὔλακος ὕδωρ κομίζειν.

Δ ῖνος ἡ κύκλῳ συστροφή. ἀπὸ τούτου καὶ τὸ κύκλῳ στρεφόμενον σῶμα, δῖνος. οἷον οὐρανός. καὶ τὸ κυκλικὸν μὲν σῶμα. ἐν μέσῳ δὲ στρεφόμενον, οὕτω λέγεται διὰ τὸ κυκλικῶς τὰ ἄλλα στρέφεσθαι ἐν αὐτῷ.

Δ ιαλέγομαι διαλέξομαι. διείλεγμαι διελέχθην.

Δ ιατρίβειν τὸ ἐλευθεριάζειν καὶ παίζειν. διατριβὴ ἡ εὐφροσύνη καὶ ἡ τέχνη. καὶ τὸ ἐνασχολεῖσθαι καὶ ὁ τόπος.

Δ ίκαιος ὁ σὺν δίκῃ ζῶν. δίκαιος δὲ ὁ ἄξιος ἀπαρεμφάτως.

Δ ιαβάλλω τὸ φαυλίζω καὶ τὸ διαβαίνω καὶ διαπερῶ. οἷον μακρὰ διαβάλλω πελάγη ὥσπερ καὶ ὑπερβάλλω τὸ ὑπερβαίνω

Δ ιαφέρει τόδε τοῦδε ἤγουν διάφορόν ἐστι. διαφέρεται δὲ ἀντὶ τοῦ μάχεται. καὶ διαφορὰ ἡ μάχη. ἀφ' οὗ διάφορος ὁ ἐχθρὸς καὶ διάφοροι τὸ διαφορὰν ἔχειν. καὶ διάφορα φρενὶ ἀντὶ τοῦ μάχο-

ται. ὡς ἔχει τὸ τῶν πατέρων. τοῦ φαύλου ἔτερα μὲν τὰ ἐνθύμια. ἕτεραι δὲ αἱ πράξεις. διάφορα δὲ πάντα καὶ μαχόμενα.

Δ ιαφορεῖ τοὺς κινδύνους τις, ἤγουν ὑπομένει. καὶ διαφορεῖ τὰς ἐκκλησιαστικὰς φροντίδας. καὶ διαφορεῖ μοι ὁ δεῖνα, ἤγουν ἐπιτήδειός ἐστιν ἐμοὶ καὶ προσήκει μοι. ἀφ' οὗ ἀδιάφορος, ὁ μὴ προσήκων μὴ δὲ οἰκειότητά τινα ἔχων. καὶ διαφορεῖ ἥλιος σελήνης. διαφορεῖται δέ τις πρὸς ἀδελφὸν περὶ πατρώου κλήρου.

Δ ιαν. γνοίη. διδοίη. ἐλοίη. τὸ δὲ βιῴη, σημείωσαι διὰ τὸ βιοῦς βιοῦντος. τὸ γὰρ οὐ διφθόγγῳ ἐστὶν. ὅτε τρέπεται εἰς ω μέγα δωρικῶς. δῴη δὲ ἀπαρεμφατικὸν ποιητικῶς.

Τ ὸ δὶς καὶ τὸ τρὶς ἀπὸ τοῦ δισσῶς καὶ τρισσῶς γίνεται κατὰ συγκοπήν.

Δ ιφθέρα αἰγῶν. μηλωτὴ προβάτων.

Δ ιπλοῦν ἐπὶ μεγέθους. διπλάσιον ἐπὶ ἀριθμοῦ καὶ μεγέθους.

Δ ίδοταί τι ὑπό τινος ἁπλῶς. ἀποδίδοται δὲ τὸ χρέος ὀφειλόμενον. καὶ ἀποδίδομαι τὸ ἴσον ἐπὶ ἐνεργητικῆς σημασίας. ἤγουν πιπράσκω.

Δ ίσκος λέγεται ὁ στρογγύλος λίθος. ὅθεν καὶ δισκεύειν τὸ λίθον ἀφιέναι καὶ ῥίπτειν. ἀπὸ τούτου λέγεται δίσκος καὶ ὁ κύκλος τοῦ ἡλίου.

Δ ιαδιδράσκει τις φυλακήν. ἀποδιδράσκει δὲ ὅταν ἀφύλακτος ᾖ. ὥσπερ τὸ διαλέγεσθαι καὶ χρηματίζειν. τὸ μὲν λέγεται ἐπὶ θεῶν. τὸ δὲ διαλέγεσθαι ἐπὶ ἀνθρώπων. οὕτω καὶ δίκαι μὲν ἐπὶ ἀνθρώπων. θέμιστες δὲ ἐπὶ θεῶν.

Δ ίκη γάρ ἐστι κρίσις ἣν οἱ ἄνθρωποι κρίνουσι. θέμις δὲ δίκη ἣν οἱ θεοὶ δικάζουσι. ἔστιν οὖν τὸ μὲν δίκαιον ἐπὶ ἀνθρώπων. τὸ δὲ θεμιτὸν ἐπὶ θεῶν, τὸ δὲ ὅσιον ἐπὶ ἁγίων.

Δ ιαφθορεὺς ἔθος τὸ διαφθεῖρον. οὐ τὸ διεφθαρμένον. ἀριστοφάνης ἐν κόραις. διέφθορας τὸν ὄρνιν ἤμων. μοιχὸς δὲ ἀδελφοῖς. οὐδέ τις τὴν κόρην διεφθορώς. ὅμηρος ἀτρείας ἡ λέξις διέφθορας. ὅθεν ὁ διέφθορος ἂν μὲν εἴποις ἀτεχνῶς σολικείζεις.

Τ ὸ διαπρέπει λέγεται μὲν μεταβατικῶς μετ' αὐτῆς ἀεὶ προθέσεως. οἷον διαπρέπει τόδε ἐπὶ τοῖσδε. ἤγουν διὰ πάντων τούτων πρέπει. τουτέστι παραβαλλόμενον πρὸς ταῦτα πάντα, ἀποκρύπτει αὐτά. καὶ ἐκπρεπὴς αὐτὸ μόνον δοκεῖ ἐν αὐτοῖς εἶναι. ἐπιπολὺ δὲ ἀεὶ ἡ δυνάμει, ἡ ἐνεργείᾳ ποιεῖται ταύτην τὴν ἑαυτοῦ μετάβασιν. καὶ οὐδέποτε ἐφ' ἑνὸς ὑποθετικοῦ γὰρ φόνου τινὰ δύναμιν ἔχει. δυνάμει δὲ εἴρηται διὰ τὰ περιληπτικὰ τῶν ὀνομάτων. οἷον τὸ χορός. τὸ δῆμος. τὸ πλῆθος. ταῦτα γὰρ ἑνικὰ ὄντα τῇ φωνῇ, πληθυντικὰ τῇ δυνάμει εἰσί. λέγεται δὲ καὶ μόνον κατ' ἐξαίρετον καθὰ καὶ ὑποθετικὰ ἐνίοτε.

Δ ιαποιεῖσθαι ἐστὶ τὸ περί τι καταγίνεσθαι καὶ ἐνεργεῖν.

Δ ίκτυον μὲν καὶ σαγήνη καὶ ἀμφίβληστρον ἐπὶ τῶν ἁλιέων. ἄρκυς δὲ καὶ στάλικας ἐπὶ τῶν θηρατῶν.

Δ ιώκω δίκην ἀντὶ τοῦ κολάζομαι. λαμβάνω δίκην ἀντὶ τοῦ τιμωροῦμαι.

Δ ιίσταμαι τὸ διαχωρίζομαι. ὅθεν καὶ διάστασις καὶ διαστάδην ἐπίρρημα ἀντὶ τοῦ ἐκ διαστάσεως ὑπεναντίας.

Δ ιαφωνεῖν λέγεται τὸ μὴ ὁμονοεῖν, μὴ δὲ συμφωνεῖν, καὶ δηλοῖ ἐνταῦθα ἡ διὰ τὸν χωρισμόν. ὡς ἐν τῷ διηγεῖσθαι ἀντὶ τοῦ διαχωρίσθης. διαφωνεῖν λέγεται καὶ ὅταν ἐπιχειρῶσί τις ὑπὲρ δύναμιν βοῆσαι. εἶτα μένει ἀχανής. διαπαρὰ ουσιν οἱ παρὰ τὴν δύναμιν ἐπιχειροῦντες βοᾶν. καὶ δηλοῖ ἐνταῦθα ἡ διὰ πλείονα ἔμφασιν.

Δ ικάζω ἀντὶ τοῦ κρίνω. δικάζομαι δέ σοι ἀντὶ τοῦ μετὰ σοῦ κρίνομαι. παραδικάζω δὲ οὐ γράφεται. ἀντὶ τούτου δὲ χρώμεθα τῷ δικάζω. ὅπερ δηλοῖ τὸ ἀπὸ τῶν δικῶν λαμβάνειν. οἷον δεινοὶ γὰρ αἱ ψῆφοι δικάσαι τὴν ἀλήθειαν. ἤγουν παρακρῖναι.

Δ ιαιτῶ ἐγὼ καὶ διαιτῶ ἕτερον. ὡς τὸ ἀλλ' ὁ προσταχθεὶς χρόνος, δίηγε μ' αἰεί.

Δ ιαπορθμεύειν τὸ διαβιβάζειν τὴν ἡμέραν ἔν τινι καὶ διανυκτερεύειν τὸ τὴν νύκτα διαβιβάζειν.

Δ ίαιτα κυρίως ἡ παρὰ τῶν ἰατρῶν ὁριζομένη τροφὴ τοῖς ἀσθενέσι. καὶ διαιτῶ οὕτω καὶ διαιτῶμαι. ὅθεν ἐκδιδιαιτημένος ὁ ἀκόλαστος. καὶ ἔξω διαίτης. καὶ συνδιαιτῶμαι τὸ συνδιάγω τινὶ καὶ συναναστρέφομαι.

Μ ία πρόθεσις ὅτε μὲν συντάσσεται γενικῇ, δηλοῖ μεσιτείαν. οἷον διὰ σοῦ ἐποίησα τόδε. μεσιτεύοντος σοῦ δηλονότι. ὡς μὴ δυνηθῆναι ἐμὲ ἄνευ σοῦ ἀνύσαι. ὅτε δὲ αἰτιατικῇ, αἰτίαν. οἷον διὰ σὲ ἐποίησα τόδε. σημαίνει δὲ ἐν τῇ συνθέσει μερισμὸν καὶ πλείονα. μερισμὸν μὲν οἷον διαίρεσιν διαστολὴν διανομήν. πλείονα δὲ ἔμφασιν. οἷον διεγείρομαι διανίσταμαι. καὶ ἐπὶ ἄλλης ἐννοίας δίηλθον τὸ πρᾶγμα. καὶ διέρχομαι τόνδε τὸν τόπον. εἰσί τινα ῥήματα ἑτέρας συζυγίας, ὄντα χωρὶς προθέσεως. εἰς ἑτέραν δὲ μεταβαίνοντα. εἰ προσλάβωσι πρόθεσιν. οἷον δοκέω δοκῶ. προσδοκέω προσδοκῶ καὶ σκοπέω σκοπῶ. ἐπισκοπέω ἐπισκοπῶ. δοκῶ οὖν τὸ νομίζω καὶ τὸ νομίζομαι. ὁ μέλλων δὲ τὸ δόξω τὸ παθητικὸν μόνον δηλοῖ. ὅθεν ἔδοξα ἀόριστος καὶ τὰ δύο.

Δ όρατα μὲν ἀκόντια. δοῦρα δὲ τὰ ἁπλῶς ξύλα. κλίνεται γὰρ τὸ δόρυ τοῦ δόρυος καὶ κατὰ μετάθεσιν δουρὸς καὶ ἐκβολῇ τοῦ υ δορός. ἔστι δὲ ποιητικὸς, ἔστι δὲ καὶ ἑτέρα εὐθεῖα συνεσταλμένη τὸ δόρας καὶ κλίνεται τοῦ δόρατος. ἀφίεται οὖν ἡ εὐθεῖα αὐτοῦ ὡς ἄχρηστος. καὶ λαμβάνεται ἑτεροκλίτως, δόρυ δόρατος. ἡ δοτικὴ τῶν πληθυντικῶν δόρασι. οὕτω καὶ τὸ ὕδωρ ὕδατος. ἔστι γὰρ καὶ ὕδωρ ὕδωρος. καὶ ὕδας ὕδατος. καὶ κλίνεται ὡς ἔφαμεν.

Δουλῶ

Δ ουλῶ ἐμαυτόν· καταδουλοῦμαι δὲ τὴν ἑλλάδα. δόσις ἡ ἁπλῶς δόσις· ἀπόδοσις δὲ ἐπὶ χρέους· μετάδοσις ἐπὶ μετοχῆς. δοξάζω τὸ τιμῶ καὶ ὑπολαμβάνω. καὶ δόξα ἡ τιμὴ καὶ ἡ ὑπόληψις.

Δ ραχμὴ εἶδος νομίσματος ἀργυροῦ, δηναρίξ κοκκισῶντος. Δράγμα δὲ τὸ τῶν θεριστῶν χειρόβολον· δρᾶμα δὲ τὸ τῶν ποιητῶν· ἀπὸ τοῦ δρῶ τὸ πράττω.

Δ ρομικὸς ὁ ἔχων δύναμιν δραμεῖν· δρομεὺς δὲ ὁ ἔχων συνήθειαν τοῦ τρέχειν· ὁμοίως καὶ βαδιστικός· καὶ πυκτικὸς ὁ αὐτός· πύκτης δὲ ὁ εὐθρεῖν.

Δ ρόσος ἄλλο καὶ ἔνδροσον ἄλλο· ἔνδροσον γάρ ἐστι σῶμά τι μετέχον δρόσου· τοιοῦτον καὶ ἐπὶ τῆς ὕλης καὶ τοῦ ἐνύλου. ἔνυλον γὰρ φύσις ἄλλη τις μετέχουσα ὕλης, ὡς ἡ ψυχὴ μετέχουσα τοῦ σώματος. Δρόμος καὶ ἐπὶ τοῦ τρέχοντος· καὶ ἐπὶ τοῦ ἀποκειμένου τόπου τῷ βουλομένῳ τρέχειν.

Δ ρῦν κοινότερον πᾶν ἐκάλουν δένδρον οἱ παλαιοί. Οὕτω καὶ ἀκρόδρυα πᾶσαν τὴν ὀπώραν. Καὶ δρυφάκτους οὐ μόνον τοὺς ἐκ δρυίνων, ἀλλὰ καὶ τοὺς ἐξ οἱουδηποτοῦν ξύλου. καὶ δρυπεπεῖς ἐλαίας ὁμοίως.

Ο ἱ ἀττικοὶ χρῶνται τοῖς προστακτικοῖς ἀντὶ τῶν ἀποτακτικῶν ἀπαγορευτικῶν· καὶ αὐτοῖς προστακτικοῖς ἀντὶ ὁριστικῶν. τοῦ μὲν οὖν προτέρου παράδειγμα, τοῦ ἀριστοφάνους ἐν θεσμοφοριαζούσαις· μὴ φθόνει ὦ ζεῦ τῆς ἐπιούσης ἡμέρας. τοῦ δευτέρου δὲ μένανδρος· οἶδ' ὅτι ποίησον ἀντὶ τοῦ ποιήσεις· ἐν αὐτῷ φόνον καὶ εὐριπίδης, τὸ οἶσθ' οὖν ὃ δρᾶσον ἀντὶ τοῦ δράσεις, ἐξήνεγκε.

Δ ύεται ὁ ἥλιος· καὶ ἔδυ· δύω γὰρ τὸ θέμα· ἀλλὰ καὶ δύνω· ὡς πληθύω καὶ πληθύνω· κάλλιον δὲ τὸ πληθύω, ἢ τὸ πληθύνω. ἐπεί, πληθύοντι ποταμῷ ἐοικώς. Δύω ποιητικῶς τὸ εἰσέρχομαι, ὅπερ μετὰ τῆς εἰς προθέσεως εἰσδύω· μετὰ τῆς ἐν, ἐνδύω τὸ φορῶ. Περιδύω ἀντὶ τοῦ ἐκδύω ἐπὶ λῃστείας. Ἀποδύω καὶ ἐκδύω ἐπὶ ἀγῶνος· ἐγκαταδύς· ὑπεισδὺς καὶ εἰσδὺς καὶ διαδύς· χρήσιμα.

Δ υσάμμορος ὁ κατὰ πολὺ δυστυχής· ἀπὸ τοῦ δυς τὸ κακῶς καὶ τοῦ ἃ τοῦ σημαίνοντος τὸ ἄνευ, καὶ τοῦ μόρος ἡ τύχη.

Δ ύσκολος ὁ ἀγέλαστος καὶ ἀνομίλητος. Εὔκολος δὲ ὁ ἄνθρωπος ὁ εὐπαράγωγος καὶ πρὸς ἅπαντα ἕτοιμος. Εὔκολον πρᾶγμα καὶ δύσκολον πρᾶγμα, τὸ εὐχερῶς ἢ δυσχερῶς γινόμενον.

Δ υσπρόσοδος ὁ δυσέντευκτος.

Δ υσπειθὴς ὁ δυσχερής. λέγεται δυσχερὴς καὶ ὁ δυσκόλως ὑπείκων· ᾧ ἐναντίον ὁ εὐπειθής.

Δ ύναμαι μετὰ ἀπαρεμφάτου· οἷον δύναμαι χρηστὸς γενέσθαι· καὶ ἀπολύτως, μεγάλα παρὰ τῷ βασιλεῖ δύναται. ὁπότε δὲ μετὰ μέλλοντος· ἀλλ' οὐ μετὰ ἀορίστου πρώτου, ἢ δευτέρου.

Δ ωρὶς διάλεκτος ἡ τῶν δωριέων· καὶ δωρὶς γυνὴ ἡ ἀπὸ τοῦ γένους τῶν δωριέων. ὥσπερ ἑλληνὶς ἡ ἀπὸ γένους τῶν ἑλλήνων.

Δ ῶρον ἐπὶ πραγμάτων· δωρεὰ ἐπὶ τιμῆς ὡς τό, εὔφραινον αὐτὸν δώροις τε καὶ δωρεαῖς. ἔστι δὲ δῶρον τὸ κατὰ χάριν διδόμενον· τὸ γὰρ ἐπὶ κόπῳ λαμβανόμενον, μισθὸς λέγεται.

ΑΡΧΗ ΤΟΥ Ε.

Ε αρ ἔαρος καὶ ἦρος, ἔαρι καὶ ἦρι. ἔαρ· πάντα ἐν χρήσει. παρὰ δὲ τοῖς ποιηταῖς καὶ τὸ ἦρ. δηλοῖ δὲ ἡ λέξις παρ' αὐτοῖς καὶ τὸ αἷμα.

Ε βουλήθην καὶ ἐδυνήθην· κάλλιον λέγειν ἢ ἠβουλήθην καὶ ἠδυνήθην.

Ε γείρει τις τὸν κάμνον, καὶ ἐγείρει τὸν ῥαθυμοῦντα. τοιοῦτον καὶ τὸ ἀνίστημι. ἀνίστησι γάρ τις τινὰ κείμενον. καὶ ἀνίστησι τὸν ῥαθυμοῦντα, ἤγουν διεγείρει. καὶ ἀνίστησιν ὁ ὅμηρος τὸν ἀχιλλέα ἐπὶ τῷ πατρόκλῳ· ἤγουν λέγει αὐτὸν ὅτι ἀνίστη.

Κ ατὰ δῖον λέγεται καὶ τὸ γεννᾷ. γεννᾷ γὰρ ἀνὴρ παῖδα καὶ γεννᾷ ὁ πλάτων τὸν οὐρανὸν ἀντὶ τοῦ γεννᾶσθαι λέγει.

Ε γχειρῶ τὸ χεῖρας ἐπιβάλλω. ἐγχειρίζω δὲ τὸ εἰς χεῖρας δίδωμί τινι.

Ε γημεν ὁ ἀνὴρ γυναῖκα. ἐγήματο δὲ ἡ γυνή. οὐχὶ ἐγαμήθη· ἄχρηστον γάρ.

Ε γὼ τὴν ψυχὴν δηλοῖ. ἐμοῦ δὲ τὸ σῶμα. καὶ τὰ ἐμὰ δὲ τὰ κτήματα.

Ε γγυῶ καὶ κατεγγυῶ τὸ δίδωμι κυρίως κόρην. λῶσσι κατηλύκες ἑταιρείαν σίβων.

Ε γγυῶμαι δὲ παθητικῶς τό, τε ὑπισχνοῦμαι καὶ τὸ λαμβάνω ὡς γυναῖκα. ὡς ἔχει τὸ τοῦ λιβανίου· ἕτερον ἐγγυᾶσθαι γύναιον.

Ε γγυτέρω ἐπίρρημα· ἔστι δὲ συγκριτικόν· τὸ ὑπερθετικὸν ἔγγιστα.

Ε δίδαξα μὲν ἐγώ· ἐδιδαξάμην δὲ ἀντὶ τοῦ εἰς διδάσκαλον ἔπεμψα· καὶ τὰ ἐπιτήδεια παρέσχον πρὸς τὸ διδαχθῆναι· καὶ ἀριστείδης· οὐκ ἐδιδάξατο τοὺς παῖδας· ἀλλ' ἐδίδαξεν αὐτός. καὶ ἀριστοφάνης· ἐδιδαξάμην μέντοι σε ὦ μέλε. ἀλλ' ὁ σοφοκλῆς καὶ ἀντὶ τοῦ ἐφθέγξατο· καὶ ἀγυνάμους ὀργὰς ἐδιδάξατο.

Τ οιοῦτον καὶ τὸ ἔπηξα μὲν ἐγὼ ναῦν. ἐπηξάμην δὲ ἐμαυτοῦ κατασκευάσας. Ἐπηξάμην δὲ διὰ τοῦ ναυπηγοῦ, τὰ ἐπιτήδεια δούς. οἷον, πήγνυσι μὲν τὴν ναῦν ὁ τεχνίτης· πήγνυται δὲ ὁ ναύκληρος.

Τ οιοῦτον δέ τι καὶ ἐπὶ τῆς αὐτῆς χρείας, καὶ ἐπὶ τοῦ ὑφαίνω, ὕφηνα μὲν γὰρ ἤγουν ἔπλεξα· ὑφηνάμην δὲ ἀντὶ τοῦ ἐφαίνην ἐγώ.

Ε ννέα μετὰ δύο ν· ψιλοῦνται δέ, εἰ καὶ τὸ ἓ τῶν ἀριθμῶν πανταχοῦ δασύνεται· ὁμοίως καὶ τέσσαρα μὴ τέταρτον διὰ τὸ κοινὸν ὁ ...

ἐτῶν. ἐναντίας δὲ χρόνος προπαροξυτόνως.

Ε ναι. διὰ τὸ ῡ καὶ δασύνεται. ἀπὸ γὰρ τοῦ ἓν γίνεται. ἐὰν δὲ διπλασιασθῇ τὸ ῡ αἰολικῶς, ψιλοῦται.

Ε ἴδη αἱ μορφαὶ καὶ τὰ διαιρούμενα ἀπὸ τοῦ γένους, ἤγουν αἱ διάφοροι φύσεις τῶν πραγμάτων. οἷον ἄλλο εἶδος ἀνθρώπου καὶ ἄλλο ἵππου.

Ε ἴδωλα τὰ φαινόμενα ἐν τῷ οὐρανῷ φαντάσματα. ἅπερ ἅμα τῷ φανῆναι ἀφανίζονται. ἄστατα ὄντα καὶ ἀβέβαια.

Ε ἷλεν ἀντὶ τοῦ κατέλαβεν. ὡς τὸ ζωὸν ἷλεν. καὶ εἷλέ τις τὴν δὲ τὴν πόλιν ἀντὶ τοῦ παρέλαβε. καὶ ἕλεν ἀντὶ τοῦ ἀνεῖλε ποιητικῶς ἀντὶ τοῦ ἐφόνευσε. σημείωσαι δὲ ὅτι, τοῦ ἕλω τὸ λαμβάνω ἀχρήστου ῥήματος. μόνος ὁ δεύτερος ἀόριστος, εἷλον ἐστὶν ἐν χρήσει, καὶ τὸ ἀπαρέμφατον ἑλεῖν. ὃ μετὰ τῆς ἀνὰ προθέσεως σημαίνει τὸ φονεῦσαι. Μετὰ τῆς παρὰ τὸ ἀποκόψαι. Μετὰ τῆς ἀντί. τὸ ἀντὶ τοῦ δε τόδε προκεῖται. ὃ παθητικῶς γράφεται. οἷον ἀνθελέσθαι. Μετὰ τῆς περὶ, τὸ ἐξ ἐπιπολῆς ἀποσυλῆσαι. Μετὰ τῆς ἀπὸ τὸ ἀπὸ τοῦ παντὸς ἀφῃρηκέναι. Μετὰ τῆς ὑπὸ, τὸ, λαθραίως λαβεῖν. Μετὰ τῆς ἐξ τὸ ἐκβαλεῖν. καὶ μετὰ τῆς σὺν τὸ ὁμοῦ λαβεῖν.

Τ ὁ ἔτι ἀντὶ τοῦ εἶθε. καὶ ἐν τῷ πεζῷ λόγῳ ἐν χρήσει ἐστίν.

Ε ἴρω τὸ πλέκω δασύνεται. ἀφ' οὗ εἱρμὸς καὶ ὅρμος ὁ περιτραχήλιος κόσμος. Εἴρω δὲ τὸ λέγω ψιλοῦται. Εἴρων λέγεται ὁ ἔχων καὶ προσποιούμενος μὴ ἔχειν. ἀλαζὼν δὲ ὁ μὴ ἔχων καὶ προσποιούμενος ἔχειν.

Ε ἰσῆλθον εἰς τὴν οἰκίαν λέγεται κατὰ λόγον. τὸ δὲ εἰσῆλθε, δηλοῖ μὲν τὸ ἔσω ἦλθεν, οὐ μὴν καὶ ὅπη εἰσῆλθεν ἀορίστως καὶ διατοῦτο ἐπάγεται τὸ εἰς τὴν οἰκίαν. ἢ εἰς τὴν πόλιν, ἢ τοιοῦτό τι. καὶ οὐ δοκεῖ φορτικόν.

Ε ἱμαρμένη καὶ πεπρωμένη τὸ αὐτό. καὶ μοῖρα ὡσαύτως. ἐλάμβανον δὲ αὐτὰ ἐνθάδε φυσικῶς καὶ καθολικῶς τινὰς δυνάμεις ἐν τῷ κόσμῳ. τύχη δὲ ἐνθάδε τῶν συμβαινόντων καλῶν ἢ κακῶν μηδενὸς βουλευομένου περὶ αὐτῶν. τινὲς δὲ τῶν ἑλλήνων τὴν τύχην, τὴν αὐτὴν ἐνόμιζον τῇ εἱμαρμένῃ. Γράφεται δὲ ἐνθάδε διὰ τῆς ει ἀπὸ τοῦ προσεῖσθαι. ἔστι δὲ τὸ εἱμαρμένη ὄνομα μετοχικόν. οὐ μετοχή, ὥσπερ καὶ τὸ ἐρχομένη καὶ τὸ ἄρχων ἐνίοτε. καὶ τὸ ἑκὼν, καὶ τὸ καύσων. καὶ ὅσα ἔξιτον τοῦ ἰδιώματος τοῦ ῥήματος. ὅπερ ἔπαθον ταῦτα, τὸ μὲν εἱμαρμένη καὶ ἐρχομένη ἐπεὶ παθητικὰ ὄντα καὶ ὀφείλοντα πρὸς δοτικὴν συντάττεσθαι ὡς τὰ παθητικὰ ῥήματα, συντάττεται πρὸς γενικὴν λέγονται. ἡ εἱμαρμένη γὰρ τοῦ δεῖνος λέγεται. καὶ ἡ ἐρχομένη τοῦ δεῖνος. ὁ δὲ ἄρχων ἐπεὶ ὀφείλων ἐπίρρημα ἔχειν ἐπαγόμενον, δηλοῦν τὰς ἀρχὰς τὴν ἐνέργειαν ὁποία ἐστίν, ὅπερ ἀπαιτεῖ τὸ ῥῆμα. οἷον ἄρχει τις δικαίως, ἐν γὰρ τῷ ἄρχειν δικαίως, τὸ δικαίως οὐ πρὸς τὸ ἄρχειν τείνει. ἀλλὰ πρὸς τὸν ἔχοντα τὴν ἀρχὴν, διατοῦτο ἐνίοτε μὲν ἐπίρρημα ἔχει ἐπαγόμενον. ὅτε καὶ μετοχή ἐστιν, ἐνίοτε δὲ ὄνομα ἐπίθετον ἐπαγόμενον ἔχει. ὅτε, ἐξ ἀνάγκης ὄνομα ἐστίν. ὡς ἐν τῷ ἄρχοντι ἀγαθός. κρατερός τε αἰχμητής.

Τ ὁ δὲ ἑκὼν ἐπεὶ ὀφείλον ἀπαρεμφάτῳ συντάσσεσθαι ὡς τὰ τῆς θελήσεως πάντα ῥήματα οἷον, θέλω σωθῆναι. διατοῦτο οὐδέποτε οὕτω συντάσσεται. Τὸ δὲ καύσων ἐπεὶ ὀφείλον μεταβατικὸν εἶναι, ὡς τὸ καίω, διατοῦτο οὐ μεταβαίνει. ἔστι δὲ καύσων τὸ πολὺ θάλπος.

Τ ὁ εἰδῶμεν ἀπὸ τοῦ εἰδέω εἰδῶ, ἀχρήστου θέματος. καὶ ἐκ τούτου ῥῆμα εἰς μι, εἴδημι, ὁ παρατατικὸς εἴδην, ἡ μετοχὴ εἰδεὶς εἰδέντος. ἄχρηστα πάντα. καὶ ἐκ τούτου εὐκτικὸν μόνον εἰδείην. καὶ ὑποτακτικὸν ἐὰν εἰδῶ.

Τ ὁ εἶεν, ποτὲ μὲν ἐπίρρημα ἀποδεκτικόν. καὶ προκαταστατικὸν τῶν τε εἰρημένων καὶ ῥηθησομένων. οἷον. τί δή σοι παῖς ὁ τοῦ λαερτίου, ποτὲ δὲ ῥῆμα, ὡς τό, τινὲς ἂν εἶεν, κλίνεται δὲ οὕτως. εἴην. εἴης. εἴη. εἴητον. εἰήτην. εἴημεν καὶ κατὰ συγκοπὴν αἰολικὴν εἶμεν εἶτε, τὸ τρίτον οὐκ εἴασαν ἀλλ' εἶεν. Οὕτω πᾶς τῶν συζυγιῶν τῶν τε βαρυτόνων καὶ περισπωμένων, καὶ τῶν εἰς μι, οἱ ἀόριστοι κλίνονται, πλὴν ἐνθάδε μὲν τῶν βαρυτόνων καὶ τῶν εἰς μι συζυγιῶν, τὸ τρίτον μόνον γράφουσιν ἐν κοινῇ συγκεκομμένως. οἷον τυφθεῖεν. τὸ δὲ πρῶτον παρὰ τοῖς ποιηταῖς. οἷον τυφθεῖμεν. ἐπεὶ δὲ τῶν περισπωμένων, καὶ τὰ δύο συγκεκομμένως, οἷον ποιοίημεν, ποιοῖμεν.

Ε ἰσπέπτομαι τὸ ἵπτω. Καὶ εἰσπέτομαι τὸ ἵπταμαι.

Ε ἰμὶ τὸ ὑπάρχω τὸ δεύτερον εἰ. τὸ τρίτον ἐστί. τὰ δυικὰ ἐστὸν ἐστόν. τὰ πληθυντικά. ἐσμέν. ἐστέ. εἰσίν. Ἔνειμι ἀντὶ τοῦ ἐνυπάρχω. Εἴσειμι ἀντὶ τοῦ εἰσέρχομαι. Ἔξειμι ἀντὶ τοῦ ἐξέρχομαι. Σύνειμι ἀντὶ τοῦ συνέρχομαι, καὶ ἀντὶ συνυπάρχω. διατοῦτο δὲ ἐνθάδε ὁμιλίαν λέγεται, καὶ ἔτι ἐνθάδε συνουσίαν. Πρόσειμι ἀντὶ τοῦ προσέρχομαι. Πρόειμι ἀντὶ τοῦ προέρχομαι. Ἄνειμι τὸ ἀνέρχομαι. Κάτειμι τὸ ἐναντίον τούτου. Δίειμι τὸ γράμμα. ἤγουν διέρχομαι. Μέτειμι λόγους. ἤγουν μετέρχομαι. Καὶ μέτειμί τινα ἤγουν κολάζω. Πάρειμι ἀντὶ τοῦ παρὰ δ' εἰμί. Ἔπειμι τὸ ἐπέρχομαι. Περίειμι ἀντὶ τοῦ περιέρχομαι. Ἄπειμι τὸ ἀπέρχομαι.

Ε ἰκάζω τὸ ὁμοιῶ. Εἰκάζω τὸ ἐκ τοῦ εἰκότος καὶ στοχασμοῦ νοῶ. ὅθεν καὶ εἰκασμὸς ὁ στοχασμός. καὶ εἰκάσαι τὸ στοχάσασθαι. καὶ εἰκὸς ὡς ἐστιν εἰκάσαι.

Ε ἵργω τὸ κωλύω ψιλοῦται. ὅθεν καὶ ἀπείργω. Εἵργω δὲ τὸ εἰς εἱρκτὴν ἐμβάλλω. ἤγουν εἰς

δεσμωτήριον

δεσμωτήριον δικαιοῦται, ἐξ οὗ καὶ τὸ καθαρ-γισμός.

Εἴργω μὲν, τὸ τὸν βουλόμενον ἅψασθαί τινος ἔργου κωλύω. Ἀνείργω δὲ τὸ τὸν ἁψάμενον ὁτουοῦν τοῦ ἔργου, καὶ ἀνύσαντα, ἀνασέλλω.

Εἰσποιῶ τὸ οἰκειῶ. ὅθεν καὶ εἰσποιητοὺς φαμὲν υἱοὺς, τοὺς υἱοθετούς.

Ἡ εἰς πρόθεσις δηλοῖ κίνησιν εἰς τόπον. οἷον ἀπέρχομαι εἰς τὸν δεῖνα τόπον. ἐν δὲ τῇ συνθέσει δηλοῖ κίνησιν ἐν τῷ ποῦ. οἷον εἰσέρχομαι εἰσπαίω.

Εἰσφέρειν ἐστὶ τὸ κατὰ νόμους διδόναι. χορηγεῖν δὲ τὸ ἀφ᾽ ἑαυτοῦ τινὰ διδόναι.

Τὸ ἐκτρέπεσθαι κυρίως ἐπὶ ὁδοῦ λέγεται. ὅταν ἣν βαδίζει τις ὁδὸν καταλιπὼν, ἑτέραν βαδίσῃ. καὶ ἀπὸ τούτου ἁπλῶς ἐπὶ τῶν ἀπό τινος εἴς τι μεταπιπτόντων.

Τὸ ἔκλαγξε καὶ ἡ κλαγγὴ, καὶ τὸ ἔκλαγεν, ἐπὶ τῆς γεράνου λέγεται. καὶ ἀπὸ τούτου καὶ ἔκλαγξαν οἰστοὶ παρ᾽ Ὁμήρῳ ἀντὶ τοῦ κτύπον ἐποίησαν.

Τὸ ἐκεῖ ἐπίρρημα ἐστὶ τοπικὸν ἀναφορικόν. ἀνταποδίδοται δὲ τὸ ἔνθα πρὸς αὐτό. ὥσπερ δὲ ἀπαντᾷ πρὸς τὸ ἐρωτηματικὸν τὸ ποῦ. λέγεται γὰρ πρὸς μὲν τὴν ἐρώτησιν τὸ ποῦ, τὸ ἐκεῖ ἀναφορικόν. πρὸς δὲ τὸ ἐκεῖ τὸ ἔνθα ἀνταποδοτικόν. οἷον, ποῦ ἐστὶν ὁ δεῖνα, ἐκεῖ. ἔνθα ὁ δεῖνα. κεῖται δὲ τὸ ἐκεῖ μετὰ ῥήματος στάσιν δηλοῦντος. τὸ δὲ ἐκεῖσε ὅτε ἐστὶ ῥῆμα δηλοῦν κίνησιν.

Ἐκβάλλω ἐκβαλῶ ἐξέβαλον. ἐκβέβληκα. ἐκβαλλομαι. ἐκβληθήσομαι. ἐκβέβλημαι. ἐξεβλήθην.

Ἑκατέρωθεν μὲν καὶ ἑκατέρωσε. καὶ ἑτέρωσε καὶ ἑτέρωθι. ἄλλοθι δέ.

Ἴσθι ὅτι τὸ ἑκουσίως οὐχ εὕρηται παρὰ ῥήτορσι.

Ἑκάτερος λέγεται ὅταν ὦσι δύο μόνοι. Ἕκαστοι δὲ, ὅταν πολλοὶ μὲν ὦσι, εἰς δύο δὲ μεμερισμένοι. τούτου γὰρ εὕρηται τὰ ἑνικὰ καὶ τὰ δυϊκὰ τὰ πληθυντικῶς ἐκφερόμενα. σημασίαν δὲ ἔχει δυϊκήν. οἷον, ἑκάτερα τὰ μέρη. ἐπεὶ γὰρ δύο σημαίνει καθ᾽ ἕν, πῶς ἔνεστι δηλῶσαι πληθυντικά. Οὕτω καὶ ἐπὶ ἀμφοτέρου νοήσεις. ἐπεὶ γὰρ ἡ σημασία τούτου εἰς δύο λαμβάνεται, καὶ εἰς πολλὰ, οὐκ εἰκὸς ἔχειν ἑνικά. ὅθεν οὔτε ἑνικὰ οὔτε δυϊκὰ ἔχει. Τὸ δὲ ἕκαστος, ἑνικὰ καὶ δυϊκὰ καὶ πληθυντικὰ ἔχει καὶ χωρὶς δὲ ἄρθρου γράφεται. Καὶ ἑκάτερα καὶ ἀμφότερα καὶ ὅσα ἐπὶ ἀριθμοῦ. εἰ δὲ καὶ τεθῇ ἄρθρον εἰς τὸ προσηγορικὸν μετάγεται. οἷον, οἱ δύο ἄνθρωποι. τὸ γὰρ οἱ ἄρθρον εἰς τὸ ἄνθρωποι, ὡσαύτως καὶ εἰς τὰ ἕτερα νοήσεις. οὕτω καὶ εἰς ἕν, οἷος ἐνὶ ὧν καὶ πλείων. οὐδείς. μηδεὶς καὶ οὐδεὶς ἔχουσι πληθυντικὰ εἰκότως. ὅτι τὸ μὲν εἷς ἐπεὶ σημαίνει ἑνικὸν ἀδυνάτως ἔχει προχωρῆσαι εἰς τὰ δυϊκὰ καὶ πληθυντικά. τὸ δὲ οὐδεὶς καὶ μηδεὶς καὶ τὰ τοιαῦτα, κλίνεται καὶ εἰς πληθυντικά.

Ἐκμαίνομαι ἐγὼ ἀντὶ τοῦ μανίαν ἔχω. ἐκμαίνω δὲ ἕτερον ἀντὶ τοῦ εἰς μανίαν ἐμβάλλω.

Ἐλέφας. καὶ τὸ ζῶον καὶ τὸ ὀστοῦν αὐτοῦ.

Ἕλικες αἱ τῆς ἀμπέλου ψαλίδες. καὶ ἁπλῶς αἱ κα-νῶς περιπλοκάδες.

Τὸ μὲν ἐλπίζειν λέγεται ἐπὶ καλῶν. τὸ δὲ φοβεῖσθαι ἐπὶ κακῶν. τὸ δὲ προσδοκᾶν, ἐνίοτε μὲν ἐπὶ ἀγαθῶν. ἐνίοτε δὲ ἐπὶ κακῶν. οἷον ἐλπίζω ἐλευθερωθήσεσθαι. καὶ μετὰ ὀνόματος ἐλπίζω ἐλευθερίαν. φοβοῦμαι τεθνήξεσθαι, ἢ φοβοῦμαι θάνατον, ἢ τοιοῦτό τι. προσδοκῶ ἀπαλλαγήσεσθαι τῆς νόσου. καὶ μετὰ ὀνόματος. προσδοκῶ ἀπαλλαγὴν τῆς νόσου. καὶ προσδοκῶ πείσεσθαι κακά. καὶ προσδοκῶ κίνδυνον.

Ἐλαία λέγεται τὸ δένδρον. ἐλάα δὲ ὁ καρπός.

Ἐλαύνω ἵππον καὶ ἐλαύνω σίδηρον. καὶ ἐλαύνω τοῖχον. καὶ ἁπλῶς ἐπὶ παντὸς πράγματος εἰς μῆκος ἐκτεινομένου.

Ἑλίσσω τὸ συστρέφω, καὶ ἀνελιξάμενος τὴν βίβλον ἀντὶ τοῦ ἀνοίξας.

Ἔλυτρον τὸ σκέπασμα κυρίως δὲ ἐπὶ κυκλοτερῶν τινῶν. οἷον, καρύων, ἢ ᾠῶν, ἢ ἄλλων τοιούτων. ἀπὸ γὰρ τοῦ ἐλύω τὸ ἐπικρύπτω γίνεται. πᾶν οὖν ἔλυτρον, ὥσπερ ὀνομάσεις καὶ σκέπασμα. οὐ μὴν πᾶν σκέπασμα καὶ ἔλυτρον. οὐ γὰρ ἀντιστρέφει.

Ἐλεύθερος κατὰ ψυχὴν καὶ ἐλεύθερος κατὰ σῶμα. Ἀπελεύθερος δὲ ὁ ἀργυρώνητος ὢν τὸ πρῶτον, εἶτα ἐλευθερωθείς. Ὁ δὲ ἐλευθερώσας αὐτὸν πάτρων καλεῖται. καὶ κλίνεται πάτρωνος.

Ἐμποδὼν ἐπίρρημα ἐπὶ τῶν ἐν ποσὶ κειμένων. καὶ οὐκ ἐώντων τινὰ βαδίζειν. καὶ ἀπὸ τούτου ἁπλῶς ἐπὶ τῶν ἐξ ἐναντίου ἐμποδιζόντων. καὶ ἐμποδὼν ἀντὶ τοῦ ἐν ποσί. ὡς παρ᾽ Εὐριπίδῃ. ἀλλ᾽ ἐμποδὼν μάλιστα τοῦ ἥκω φράσων. ἤγουν ἐν ποσὶ καὶ ἔγγιστα. Ἐκποδὼν δὲ ἐπίρρημα ἀντὶ τοῦ ἀπὸ τῶν ποδῶν. καὶ ἐκ ποδῶν δύο μέρη τοῦ λόγου. ἤγουν ἐκ ποδῶν ἄχρι κεφαλῆς.

Ἔμπνους ὁ ζῶν. καὶ πνοὴν ἔχων. ἤγουν ψυχὴν ἔχων. Ἔμπνους καὶ ὁ ὑπὸ ἀνέμου ἐμπνεόμενος. πνοὴ γὰρ ἡ ψυχὴ καὶ τοῦ ἀνέμου ἡ κίνησις. ἔστι δὲ τριγενὲς ὁ ἔμπνους, ἡ ἔμπνους, καὶ τὸ ἔμπνουν.

Ἔμελλον μὲν ἤτοι ποιεῖν, ἢ ποιήσειν. ποιῆσαι δὲ οὔ.

Ἔμπειρος ὁ ἔχων πεῖραν. δίφθογγον. Ἔμπηρος δὲ ὁ παρασεσημασμένος ἤγουν ὁ παράσημος τὸ μέλος, ὅπερ ἀνάπηρος γράφεται κάλλιον. Ἔμπυρος δὲ ὁ πεπυρακτωμένος λέβης, ψιλόν.

Ἐμβάλλει μὲν ὁ αὐτὸς εἰς τὴν γῆν. Ἐμβάλλει δὲ καί τις τινὰ εἰς τὸ δεσμωτήριον.

Ἡ ἐμαυτοῦ ἀντωνυμία, καὶ ἡ, σεαυτοῦ, καὶ ἡ, ἑαυτοῦ εὐθεῖαν οὐκ ἔχουσι, διότι ταυτοπάθειαν δηλοῦσι. ἤγουν ὅταν τὸ αὐτὸ πρόσωπον καὶ ποιῇ καὶ πάσχῃ. πρὸς ὃ δὲ φέρεται ἡ ἐνέργεια, ἐκεῖνο πλαγίως λέγεται ἀεί, τὸ δὲ ἐνεργοῦν ἔχει τὴν εὐθεῖαν. οἷον, τύπτω ἐγὼ σέ. οὐχὶ σύ. οὕτω καὶ τύπτω ἐμαυτὸν, καὶ κατηγορῶ ἐμαυτοῦ οὐχὶ κατηγορεῖ

ἐμαυτόν. καὶ οὐ λέγομεν ἔτι τύπτω ἑαυτόν. οὔτε τύπτεις σὺ ἐμαυτόν, ἢ ἑαυτόν. ἀλλ' ἐγὼ ἐμαυτὸν καὶ σὺ σαυτόν. καὶ ἐκεῖνος ἑαυτόν. καὶ ὥσπερ τὸ ἐμαυτοῦ οὐ λαμβάνεται εἰς. β΄. πρόσωπον, ἢ εἰς τρίτον. οὐδὲ τὸ ἑαυτοῦ εἰς δεύτερον, ἢ εἰς πρῶτον, ἄτοπον γάρ. ἐπὶ δὲ τῶν πληθυντικῶν οὐκ ἐν συνθέσει, ἀλλ' ἐν διαστάσει τίθενται. οἷον ἡμᾶς αὐτοὺς τύπτομεν, καὶ ὑμᾶς αὐτοὺς τύπτετε. καὶ σφᾶς αὐτοὺς τύπτουσιν, εὕρηται δὲ καὶ ἑαυτοὺς τύπτουσιν. ὅπερ ἀλόγως γέγονεν, ἐν τούτοις δὲ τοῖς πληθυντικοῖς ἐπεὶ ἐλλείπουσιν οἱ τοῦ πρώτου προσώπου καὶ οἱ τοῦ δευτέρου, ἔχει χώραν ἡ τοῦ τρίτου προσώπου λέγεσθαι ἐν τοῖς τρισὶ (προσώποις.

Ἐμὸν τὸ πρᾶγμα ὅταν ἐγὼ μόνος ἔχω. ἡμέτερον δὲ ὅταν κοινὸν ᾖ πολλοῖς.

Ἔμπορος λέγεται ὁ πραγματευτὴς ἀπὸ τοῦ πορίζεσθαι, ἀφ' οὗ καὶ μεγαλέμπορος, καὶ λογέμπορος. παρὰ δὲ τῷ Ὁμήρῳ, ὥσπερ ἐγκαμεῖν λέγουσι τὸ ἐπ' ἀλλοτρίας οἰκίας ἔργον ποιεῖν, οὕτω καὶ ἐμπορεύεσθαι τὸ ἐπ' ἀλλοτρίας νεὼς τὸν πλοῦν ποιεῖσθαι. καὶ ἔμπορος ὁ τοιοῦτος, ὡς τὸ ἢ ἔμπορος ἐλήλουθας νεὼς ἐπ' ἀλλοτρίης.

Ἐντρυφᾷ τις τῷ δεῖνι τῷ πράγματι, ἤγουν διατρίβων ἐν ἐκείνῳ τρυφᾷ. καὶ ἐν τῷ ἐμφαγόντες, ἡ ἐν πρόθεσις διατριβὴν δηλοῖ ἐν τῷ πράγματι.

Τὰ παρὰ τὸ σθένος καὶ γένος ὀνόματα σύνθετα, κύρια μὲν ὄντα, παροξύνεται οἷον Δημοσθένης, Ἀντισθένης. ἐπίθετα δὲ ὄντα, ὀξύνεται. οἷον μεγασθενὴς ἀσθενής. μονογενής, εὐγενής. κατὰ ταῦτα, καὶ Ἀριστοφάνης καὶ Μηνοφάνης παροξύνεται κύρια ὄντα. ἀφανὴς δὲ καὶ προφανὴς καὶ διαφανὴς ὀξύνεται ἐπιθετικῶς λεγόμενα. ὧν τὰ μὲν κύρια ἀπὸ τοῦ φαίνειν γίνεται. τὰ δὲ ἐπίθετα ἀπὸ τοῦ φαίνεσθαι πάντα προπαροξύνεται εἴτε κύρια εἰσὶν εἴτε ἐπίθετα. οἷον, ἄφαντος. πρόφαντος. διόφαντος.

Ἔναγχος ἀντὶ τοῦ πρὸ ὀλίγου, ἀττικοί. καὶ μετὰ παρεληλυθότος, οἷον ἔναγχος διελεγόμην.

Τὸ ἔνδροσον, τὸ ἔμμουσον, τὸ ἔλλογον τὸ ἔμμετρον, καὶ ὅσα οὕτω παράγονται ἐν συνθέσει ὄντα τῆς ἐν προθέσεως μίαν ἔχουσιν ἀκολουθίαν. καὶ ταυτὸ δύνανται τοῖς μετουσιαστικοῖς. ἔνδροσον γὰρ τὸ ἐν δρόσῳ ταυτόν, τὸ παρὰ τοῖς ποιηταῖς δροσερόν. καὶ ἔμμουσον τὸ ἐν μούσῃ καὶ ῥυθμῷ, καὶ ἔλλογον τὸ ἐν λόγῳ καὶ ἔμμετρον τὸ ἐν μέτρῳ.

Ἔννους ἁπλῶς ὁ ἔχων νοῦν. καθὸ λέγοιτ' ἂν πᾶς ἄνθρωπος ἔννους. κατεχρήσαντο δὲ τῇ λέξει ἀντὶ τοῦ συνετοῦ καὶ φρονίμου.

Ἡ ἐν πρόθεσις ὅτε ῥήματι σύγκειται κίνησιν ἐχόντι, ἐνίοτε μὲν τὸ ἔνδον δηλοῖ. ὡς τὸ ἐμπίπτειν, καὶ ἐμβαλεῖν. ἃ δηλοῦσι τὸ ἔσω ἔρχεσθαι. ἐνίοτε δὲ δείκνυσι τὴν κίνησιν τοῦ ῥήματος ἔν τινι. ὡς τὸ ἐμβλέπειν. ἔστι γὰρ τὸ ἐμβλέπειν, τὸ ἔν τινι ἱστᾶν τὸ βλέμμα, καὶ μὴ ἐᾶν πλανᾶσθαι ἔνθα καὶ ἔνθα.

Ἐνεγκεῖν ἄχρηστον καὶ ὁ μέλλων αὐτοῦ. ἀντ' αὐτοῦ δὲ τὸ φέρω. ὁ μέλλων οἴσω. ὁ ἀόριστος ἤνεγκα. ὁ δεύτερος ἀόριστος ἤνεγκον ἄχρηστος, ἐκ τούτου δὲ ἀπαρέμφατον ἐνεγκεῖν, καὶ ἐνεγκεῖν ἀντὶ τοῦ α. ἀορίστου ἐνέγκαι ἀπαρέμφατον μὲν ἄχρηστον. εὐκτικὸν δὲ ἐν χρήσει. τὸ προστακτικὸν ἔνεγκε. τὸ. β΄. ἀπὸ τοῦ. α΄. ἐνεγκάτω ὥσπερ τὸ εἰπάτω. τὸ εὐκτικὸν ἐνέγκοιμι καὶ ἐνέγκαιμι ἀπὸ τοῦ. α΄. τὸ ὑποτακτικὸν ἐνέγκω. ἡ μετοχὴ ὁ ἐνεγκών, τούτου γοῦν τὸ παθητικὸν ἄχρηστον. ὁ ἀόριστος ἠνεγκάμην ἀντὶ τοῦ ἔλαβον. τὸ ἀπαρέμφατον ἐνέγκασθαι. τὸ προστακτικὸν ἔνεγκαι. τὸ εὐκτικὸν ἐνεγκαίμην, ἡ μετοχὴ ὁ ἐνεγκάμενος.

Ἔναυλον. τὸ μετέχον αὐλημάτων. καὶ ἔναυλον τὸ ἔνοικον καὶ ἐφέστιον. ὡς τὸ ἔναυλος, ἢ θυραῖος. ἤγουν ἐντὸς τοῦ οἴκου ὢν ἢ ἐκτός.

Ἐνδύω. ἐνδύσω ἐνέδυσα ἄλλον. ἐνέδυν καὶ ἐνδέδυκα ἀντὶ τοῦ ἐνεδύθην ἐγώ. ἐνεδυσάμην ποιήσασθαί τι ἐν ἐμαυτῷ, ἤγουν ἐκύρωσα.

Ἐνέβεια τὰ θηκοτίτλα, οὕτως ἔλεγον οἱ παλαιοί.

Ἡ ἐν πρόθεσις δηλοῖ τὸ ἐπάνω, καὶ τὸ ἐντός. οἷον, ἐν δὲ λίθοις ἐμάχοντο. ἤγουν ἐπάνω λίθων. καὶ ἐν τῷ οἴκῳ ὢν ἤγουν ἐντὸς τοῦ οἴκου.

Ἐαρίσαι. τὸ ἔαρ που διαγαγεῖν. ἐγχειμάσαι δὲ τὸ χειμῶνα. ἐνθερίσαι δὲ τὸ θέρος. τὸ δὲ μετοπωρίσαι ἄχρηστον ὄν.

Τὸ ἐνταῦθα. ἐπὶ πρώτου προσώπου νοεῖται. οἷον ἐνταῦθα ἔνθα εἰμὶ ἐγώ. καὶ ἐπὶ τῶν ἄλλων, ἀδιαφόρως δέ. τὸ δὲ αὐτοῦ, δευτέρου. τὸ δὲ ἐκεῖ, τρίτου. δηλοῦσι δὲ ταῦτα στάσιν. τὸ δὲ ἐντεῦθεν δηλοῖ κίνησιν ἀπὸ τῶν ἐνταῦθα. καὶ τὸ αὐτόθεν ἀπὸ τοῦ αὐτοῦ, καὶ τὸ ἐκεῖθεν ἀπὸ τοῦ ἐκεῖ.

Τὸ ἔνθα. καὶ ἀντὶ τοῦ ὅπου, καὶ ἀντὶ τοῦ ὅτε. τοπικὸν γὰρ καὶ χρονικόν.

Ἐνέχομαι. ἀντὶ τοῦ κρατοῦμαι δοτικῇ. ἐνέχομαι θανάτῳ. ἤγουν ὑπόκειμαι, καὶ ἐνέχομαι πλημμελήματι, καὶ ἐπὶ τοιούτων ἐκληπτέον τοῦτο. ἤγουν ἐπὶ καταδίκης, ὡσαύτως δὲ καὶ τὸ ἔνοχος θανάτῳ.

Ἐνόπλιον. μέτρον λέγεται, τὸ ἔχον δύο δακτύλους. εἶτα σπονδεῖον καὶ πάλιν δύο δακτύλους καὶ σπονδεῖον.

Ἐναντίον, τὸ ἐξ ἐναντίας μάχεσθαι δοτικῇ. ἐναντίον δὲ τὸ ἀντικρὺ γενικῇ.

Ἐντόσθια. καρπῶν καὶ δένδρων λέγονται, τὰ ἐντὸς τοῦ στερεοῦ ὄντα. ἤγουν αἱ λεγόμεναι ψύχαι.

Τὸ ἐξενεγκεῖν λέγεται μὲν καὶ ἐπ' ἄλλων. λέγεται δὲ ἰδίως καὶ ἐπὶ νεκροῦ. καὶ ἡ ἐκφορὰ ὁμοίως. ἐξέφερον δὲ τὸν νεκρὸν ἵνα πάντες ἴδωσι τὸν θάνατον αὐτοῦ. μήποτε φαρμακευθεὶς ἢ τοιοῦτό τι παθὼν ἀποθάνῃ. ὅπερ ἐπεκράτησε καὶ γίνεται μέχρι τοῦ νῦν ἀπὸ συνηθείας, τὴν γὰρ αἰτίαν οἱ πλείους ἀγνοοῦσι.

Ἐξώλης. ὁ ἄξιος ἀπωλείας. προώλης δὲ ὁ καὶ πρὸ καιροῦ.

Τὸ ἐξήρτημαι. οὐ μόνον πρὸς γενικήν, ἀλλὰ καὶ πρὸς δοτικὴν παρ' Αἰσχύλῳ. ἐκηβόλοις τόξοισιν ἐξηρτημένοι. ταῦτα δὲ ἀντὶ τοῦ κρέμαμαι εὕρηται. ἐξήρτημαι δὲ ἀντὶ τοῦ εἰς ἑαυτὸν κρεμῶ, αἰτιατικῇ. ὡς τοὺς ὑμετέρους γονέας ἐξήρτητο. ἀπήρτημαι δὲ τὸ διΐσταμαι γενικῇ.

Ἐξετάζω· τὸ ἐρευνῶ. καὶ ἐξετάζω τὸ ἀπαριθμῶ. ἀφ' οὗ καὶ ἐξέτασις ἡ ἀπαρίθμησις. ὡς τὸ ποιουμένῳ περὶ πολεμικῆς δὲ τὴν τῆς δυνάμεως ἐξέτασιν.

Ἐξέδωκέ τις λόγον. καὶ ἐξέδωκέ τις τινὰ τινί, ἀντὶ τοῦ ἄδειαν ἔδωκεν αὐτῷ κατ' αὐτοῦ.

Ἡ ἐξ. πρόθεσις δηλοῖ κίνησιν ἐκ τόπου. οἷον ἐκ τῆς δὲ τῆς πόλεως ἔρχεται. ἐν δὲ τῇ συνθέσει κίνησιν ἐκτός. οἷον ἐξέρχεται καὶ ἐκπηδᾷ.

Ἐξαίτη ἤγουν αὐτόθεν ὡς τὸ ἐξαίτη κακοῦ.

Ἐξελεῖν, τὸ ἐκβαλεῖν, ὅθεν καὶ ἐξούλης δίκη ἐπὶ τὴν δίκην νικησάντων ἀπολαβεῖν χωρίον ἢ οἰκίαν. εἶτα ἀπελαυνομένων ὑπό τινων.

Ἐξεμελέτησα. μεταβατικόν, ἀντὶ τοῦ μελέτας γέγραφεν ἐπόνησα. πῶλον τὸν ἀκραγαντῖνον γοργίας σοφιστὴν ἐξεμελέτησα. καὶ ἀμετάβατον, ὥς φησι συνέσιος. αὐτὰς μὲν τὰς ἱερὰς συλλαβὰς οὐκ ἐξεμελέτησα. ἤγουν οὐκ ἐν ἀκριβείᾳ καὶ διὰ φροντίδος ἔχω.

Ἐξαιτοῦμαι, ὅταν ἀπό τινός γε ἐξαιρῶμαι κινδυνεύοντα. καὶ ἐξαιτοῦμαι ὅταν ὑπ' ἐχθροῦ τινος αἰτοῦμαι. τοῦ μὲν πρώτου λιβάνιος. ἐκείνου τὸ ἀκινδύνου, ὅς τις αὐτὸν ἐξαιτήσεται, τοῦ δὲ δευτέρου δημοσθένης. ἐγὼ δὲ χαίρω, ὅς εὐθὺς ἐξητούμην ὑπὸ φιλίππου.

Ἔοικεν. ἀντὶ τοῦ φαίνεται καὶ συντάσσεται ἀπαρεμφάτῳ ὡς ἀπιστεῖν ἔοικε. καὶ ἀντὶ τοῦ ὁμοιοῦται καὶ συντάσσεται δοτικῇ. οἷον ἔοικεν ὁ δεῖνα τῷ δεῖνι. καὶ ἔοικεν ἀντὶ τοῦ πρέπει ποιητικῶς. καὶ ἔστιν ἀπόλυτον. ὡς παρ' ὁμήρῳ. ἐπεὶ οὐδ' ἔοικεν.

Τὸ λαλητέον, τὸ ποιητέον, τὸ νοητέον. καὶ ἁπλῶς τὰ θετικὰ πάντα, εἰ μὲν ἐνεργητικὰ εἶεν, ὡς ἐπιρρήματα λαμβάνονται. οἷον, ποιητέον τόδε τὸ πρᾶγμα. ἀντὶ τοῦ ἄξιον ποιῆσαι. καὶ ἀσκητέον τὴν ἀρετὴν ἀντὶ τοῦ ἄξιον ἀσκῆσαι. εἰ δὲ παθητικῶς δύνανται λαμβάνεσθαι, ὅτε οὕτω λαμβάνονται, ὀνόματα εἰσίν. οἷον διωκτέον ἐστὶ κακὸν ἀντὶ τοῦ ἄξιον διώκεσθαι. καὶ λαλητέον τόδε τὸ πρᾶγμα, ἀντὶ τοῦ ἄξιον λαληθῆναι. τὸ δὲ πορευτέον εἰ καὶ ἐπίρρημά ἐστιν, ὅμως παθητικῶς λέγεται. ἀντὶ τοῦ ἄξιον πορευθῆναι. ἐνεργητικὸν γὰρ οὐκ ἔστιν. εἰσὶ δὲ τὰ τοιαῦτα πάντα ῥηματικά. οἷον ποιητέος. ποιητέα. ποιητέον. λαλητέος. λαλητέα. λαλητέον. ἰστέον ὅτι. οἱ ἀττικοὶ ἀπὸ τοῦ συνήθους ἀεὶ καὶ χαμηλοῦ τὸν λόγον ἐπαίροντες, ἐπεὶ εὗρον ἐν τῇ συνηθείᾳ τὸ ποιητέον καὶ τὸ λαλητέον. καὶ τὰ τῆς ἀκολουθίας ταύτης χωρὶς προσθήκης τινὸς λεγόμενα προσετίθεσαν αὐτοῖς τὸ ἐστί. ὃ συνυπακούεται ἔξωθεν παρὰ τοῖς κοινοῖς. ἵνα καινότερον τὸν λόγον ἐργάζωνται.

Ἐπαινῶ. ἐπαινέσομαι, ἐπῄνεσα. ἐπαινεῖν τὸ διὰ λόγου ἐπαινεῖν. ἐπαινεῖν καὶ τὸ ἀποδέχεσθαι. οἷον ἐπαινῶ τὴν σιγήν. καὶ ἐπαινῶ τὴν συμμετρίαν. ἐπαινεῖται δέ τις ἐφ' οἷς ποιεῖ καλοῖς. καὶ ψέγεται ἐφ' οἷς ποιεῖ κακοῖς. μακαρίζεται δέ τις ἐπὶ ἰσχύϊ καὶ δυνάμει, καὶ πλούτῳ. ἃ οὐκ αὐτὸς ἐνεργήσας ἐκτήσατο. ἀλλ' ἢ κληρονομήσας ἢ ἀπὸ τῆς φύσεως λαχών.

Ἐπιβουλεύω. τὸ κατά τινος βουλεύομαι. ἐν δὲ τῷ ἐπιορκεῖν, ἡ πρόθεσις καταφρόνησιν δηλοῖ. καὶ τὸ ἐπάνω τῶν ὅρκων γίνεσθαι. ἀπὸ τούτου ὁ ἐπίβουλος. ἐπίβολος δὲ ὁ ἐπιτυχὴς καὶ ἔστιν ἡ λέξις ἐν χρήσει, καὶ τοῖς ποιηταῖς, καὶ τοῖς ἀττικοῖς. ἐπικράτησε δὲ γράφεσθαι διὰ τοῦ η διὰ τὰ μέτρα. ἐφεξῆς γὰρ ἔχει τέσσαρα βραχέα, ἃ οὐχ ἥρμοζον ἡρωϊκῷ μέτρῳ. ἄλλως τε ὅτι καὶ ἀπὸ τοῦ ἐπιβάλλειν γίνεται ἐπίβολος τραπέντος τοῦ ε εἰς η.

Ἐπιπολῆς. καὶ ἐπιπόλαιον τὸ ἐπάνω τῆς ἐπιφανείας. καὶ ἐπιπολάζει τῷ ὕδατι πάντα τὰ κοῦφα, καὶ ἐπιπολάζει φυσὶ τῷ δεῖνι τόπῳ. ἤγουν ἐπιχωριάζει καὶ ἐγχώριός ἐστιν.

Ἔπαλξις τὸ ἐπάνω τοῦ τείχους ἔνθα ἱστάμενοι ἀποσοβοῦσι τοὺς πολεμίους.

Τὸ ἐπάγεσθαι. καὶ ἐπισύρεσθαι καὶ ἐφέλκεσθαι, ταυτὸ σημαίνουσι. λέγεται δὲ κυρίως ἐπὶ τῶν ἔμπροσθεν ἐρχομένων καὶ ἑλκόντων τι διδόμενον ὄπισθεν αὐτῶν.

Ἐπίορκος ὁ τὸν ὅρκον καταφρονῶν. εὔορκος δὲ ὁ ἀντικείμενος τούτῳ.

Ἐπιμαχεῖν λέγουσιν ὅταν τοὺς ἐπιόντας ἀμύνονται μόνον. συμμαχεῖν δὲ τὸ τοὺς ἐπιόντας, μετ' ἐκείνων οἷς συμμαχοῦσιν ἀμύνασθαι. θουκυδίδης ἐν τῇ πρώτῃ διέσταλκε λέγων. κερκυραίους ἀθηναίοις συμμαχίαν μὲν οὐ ποιήσασθαι, ἐπιμαχίαν δέ.

Ἐπι[illegible] ἐστὶ τὸ παρρησιάζειν καὶ ἐπιδεικνύειν τινὰ ἑαυτόν.

Τοσοῦτον χρόνον παρῆν τόδε, ἀντὶ τοῦ ἐπὶ τοσοῦτον. καί, πόσον χρόνον δὲ δημοσίοις ἐπὶ πῶς χορηγεῖ. ἤγουν ἐπὶ πόσον κεῖται ἐκ τοῖς δημοσίοις. καὶ ἐπὶ τῶν ἄλλων ὁμοίως.

Ὅτι δὲ ἡ ἐπὶ πρόθεσις κεῖται, ἐπὶ τούτοις δῆλον, ἀπὸ τοῦ πολλὰ τοιαῦτα ἐνίοτε λέγεσθαι μετὰ τῆς ἐπί. οἷον ἐπ' ὀλίγον ἐφ' ἱκανὸν ἐπὶ πολὺ εἱστήκει ἄφωνος. ἢ ἐπὶ πολὺ μέρος χρόνου. τουτέστι πολὺν χρόνον.

Ἐπομβρεία λέγεται, ὅταν ἐπάλληλοι ὄμβροι ὦσιν. ᾧ ἐναντίον ἡ ἀνομβρεία. αὐχμὸς δὲ λέγεται, ἡ ἀπὸ τῆς ἀνομβρείας ξηρότης. ἀφ' οὗ αὐχμηρὸς καὶ αὐχμώδης ἁπλῶς ὁ ξηρότητος μετέχων.

Ἐπιτρέπω σοι τόδε ἀντὶ τοῦ ἐπὶ τῇ σῇ ἐξουσίᾳ δίδωμι τόδε. καὶ ἐπιτέτραπταί τινι λαός. ἤγουν ἐπὶ τῇ ἐξουσίᾳ, καὶ διοικήσει αὐτοῦ ἐδόθη. προτρέπω δὲ ὅτε τὴν ἐμὴν γνώμην δίδωμι καὶ παρακινῶ τινὰ εἴς τι. ἀφ' οὗ προτρεπτικοὶ λόγοι. καὶ προτροπή. οἷς ἐναντίοι, οἱ ἀποτρεπτικοὶ λόγοι καὶ ἡ ἀποτροπή.

Ἐπὶ ὅρκοις κάθηται. ἤτοι ὁρκοσκοπεῖ.

Ἐπείγω ἕτερον ἀντὶ τοῦ παρακινῶ. καὶ ἐπισπεύδω. ἐπείγομαι δὲ ἀμεταβάτως ἀντὶ τοῦ σπεύδω.

Ἐπικηρύξαι ἐστὶ τὸ ὑποσχέσθαι χρήματα δώσειν τῷ συλλαβόντι, ἢ ἀποκτείναντι πολέμιον. ἐπικηρυκεύεσθαι δὲ τὸ ἐπὶ συμβιβάσεως καὶ σπονδῶν, τὰς πόλεις κήρυκας πρὸς ἀλλήλας διαπέμψασθαι.

Ἐπιτήδειος. ὁ συνήθης καὶ φίλος. ὡς τό, ἐχρήσατό τινι τῶν ἐπιτηδείων.

Ἐπίτιμος. ὁ ἔντιμος. ἐπιτίμιος δὲ ὁ ἐπίπληκτος. ἀφ' οὗ καὶ τὴν ἐπίπληξιν ἐπιτίμιον φαμέν, καὶ ἐπιτίμησον αὐτῷ ἀντὶ τοῦ ἐπίπληξον.

Ἔπω τὸ λέγω ἐστὶν ἄχρηστον. ὃ παρὰ τοῖς ποιηταῖς γράφεται μετὰ τῆς ἐν προθέσεως ἐνέπω. ὁ μέλλων ἔψω, ἄχρηστος. ὁ ἀόριστος εἶπα ἄχρηστος ῥήτορσιν. ὁ τὸ β' εἶπας εὔχρηστον. ἡ δ' ἄλλη κλίσις αὐτοῦ ἄχρηστος. ὁ β' ἀόρ. εἶπον εὔχρηστος. τὸ δεύτερον αὐτοῦ ἄχρηστον. εἰ δὲ μετὰ τοῦ ἐν συντεθῇ εὔχρηστος. οἷον, ἔνισπε, καὶ πᾶσα δὲ ἡ κλίσις

αὐτοῦ ἄχρηστος. ὡσαύτως καὶ ἡ εἰς ἑτέρας ἐγκλίσεις αὐτοῦ
κλίσις, ἄχρηστος. οἷον εἰπεῖν ἀπαρέμφατον καὶ εἰπὲ προ-
στακτικόν, τούτων δὲ ἡ ἄλλη κλίσις ἄχρηστος. ἀντὶ αὐτοῦ δὲ
γράφεται τὸ εἶπον προστακτικοῦ ἀορίστου, ἡ πᾶσα κλί-
σις. οἷον τὸ εἰπάτω καὶ τὰ ἄλλα. καὶ εἴποιμι εὐκτικὸν καὶ εἴπω
ὑποτακτικὸν καὶ εἰπὼν μετοχή. ὁ μέντοι εἶπα ἀόριστος
ἐπ' οὐδεμίαν ἔγκλισιν μεταβαίνων οὐκ ἐν χρήσει γίνεται
ῥήτορσι. ποιηταῖς δὲ καὶ μόνοις, καὶ τούτων μάλιστα, τοῖς
δωρίζειν, καὶ ἰωνίζειν εἰδόσι χρήσιμος γέγονεν.

Ε ἶπον μέν σοι. καὶ λέγω σοι καὶ ἀντεῖπόν σοι καὶ ἀντιλέγω σοι.
λέγω δέ σε κακῶς, καὶ ἀντεῖπόν σε κακῶς μετὰ τοῦ ἐπιρ-
ρήματος. οὐ βούλομαι τὸν μάντιν ἀντειπεῖν κακῶς. αἴτιον
δὲ οὐ τὸ ἐπίρρημα. ὡς οἴονταί τινες. ἀλλὰ τὸ αὐτὸ εἶναι τοῖς
λεγομένοις. ὥσπερ γὰρ φαμὲν λέγω λόγον, καὶ ἆρ' οἶσθα τὰ
γὰρ ὄντα σαφῆ λέγοις λέγων, οὕτω καὶ τοῦτο, καὶ ἔτι δὲ κα-
λῶς ἔχω τοῦ σώματος φαμέν, οὐ τὸ ἐπίρρημα τῆς γενικῆς
αἴτιον. ἀλλὰ καὶ τὸ ἕνεκα λαμβανόμενον ἔξωθεν.

Τ ὸ ἐφέπω. τὸ θάλπω τινὰ κυβερνῶ καὶ θάλπω. διέπω δὲ τὸ
Ε πωμὶς τὸ ὑπερέχον τῶν βραχιόνων. καὶ εἶδος ἐν (διοικῶ.
Ε πίκουρος. λέγεται ὁ τοῖς πολεμουμένοις (δύματος.
βοηθός. σύμμαχος δὲ ὁ τοῖς πολεμοῦσι.
Ε πομαί σοι καὶ ἕπομαι μετὰ σοῦ. οἷον, ἕπου μετ' ἐμοῦ παιδί
Ε πος ποιητικῶς τὸ λόγιον, καὶ ἔμμετρος στίχος. (ειον.
ἡμῖν δὲ χρήσιμον ἐστὶ μόνον, οὕτως ἐκβαλὲν ἐν γραφῇ.
καὶ ὡς ἔπος εἰπεῖν ἀντὶ τοῦ ὡς ἐν ὀλίγῳ εἰπεῖν, ἤγουν συντό-
μως, τοῦτο γὰρ ὡς ἂν εἴποι τις εἰς παροιμίαν ἔπεσεν.
Ε παχθὴς, ὁ ἐπάγων ἄχθος καὶ λύπην. ἀπεχθὴς δὲ ὁ μισητός. Καὶ ἀπηχθημένος ὁ μεμισημένος.
Ε πίδοξος. ὁ προσδόκιμος. ὁ κοινῶς προσδοκώμενος. Καὶ ἐπίδοξος ὁ ἔνδοξος.
Ε πίληψις. καὶ ἐπιληψία, ἡ κατοχὴ τοῦ ἐγκεφαλικοῦ. καλεῖται δὲ ἡ ἐπίληψις καὶ παιδίον. καὶ ἡράκλειος καὶ νόσος ἱερά. παιδίον μὲν ὅτι ὡς ἐπὶ τὸ πλεῖστον, τοῖς παιδίοις συμβαίνει. ἡράκλειον δὲ ὡς μέν τινές φασιν ἐπειδὴ τῷ ἡρακλεῖ συνέβη. ὡς δ' ἔχει ἡ ἀλήθεια, ἐπειδὴ δυσίατον τὸ νόσημα ἐστὶ καὶ ἰσχυρὰ καὶ ἰσχύος ἡρακλέους δεομένη. ἱερὰ δὲ διὰ τὸ ἀπὸ σελήνης γίνεσθαι αὐτὴν διὰ θεϊκὴν μῆνιν. ἢ διὰ τὸ ἐν ἱερῷ τόπῳ γίνεσθαι.
Ε πιβοῶμαί σε ἀντὶ τοῦ ἱκετεύω αἰτιατικῇ. Ἐπιβοῶμαί σοι δὲ ἀντὶ τοῦ ἐπιφωνῶ δοτικῇ.
Ε πέρχεται. τὸ ὡς πολέμιός τις ἐπὶ τινα ἔρχεται. ὅθεν καὶ ἔφοδος καὶ ἐπιδρομή. Ἐπέρχεταί μοι τὸ παρίσταταί μοι, καὶ ἐπὶ νοῦν ἔρχεται, οἷον ἐπέρχεταί μοι εἰπεῖν. Καὶ ἐπέρχεται τὸ διὰ τόπου διέρχεται. Ἐπέρχεται δὲ διέρχεται καὶ ἀναγινώσκει βιβλίον. ὁ λόγος ἐπέρχεται καὶ ἐπιπορεύεται ἢ στέλλεται. ὡς τὸ μῆκος ὁδοῦ τοσόνδε ἐπέρχεται.
Ε πυθόμην μεγακλέα λέγομαι. ἀπὸ δὲ μάχης ἐπύθοντο ἀντὶ
Ε πιτίθημι. ἑτέρῳ πράγματι, ἤγουν ἐπαίνω (τοῦ ἤσθοντο.
αὐτοῦ τοῦ τοῦτο τίθημι. ἐπιτίθεμαι δὲ ἐπὶ ἀντὶ τοῦ βαρὺς γίνομαι.
Ε πιχώριος. ὁ ἐντόπιος. καὶ ἐπιχωριάζω ῥῆμα σημαῖνον δύο. ἐπιχωριάζω μὲν ἀντὶ τοῦ ἐνδημῶ, καὶ ἐπιχωριάζω, τὸ τὰ ἐπιχώρια ἔθιμα πράττω.
Ε πιδίδωμι. ἀντὶ τοῦ αὐξάνω. καὶ ἐπιδίδωμι τὸ ἁπλῶς δίδωμι. ἐκ τούτου γὰρ ἐπίδοσις ἡ αὔξησις καὶ ἡ ἁπλῶς
Ε πέλαβε μὲν ἡλίου δύντος τὴν γῆν σκότος, ἐπε- (δόσις.
λάβετο δὲ τις ἑτέρου τοῦ μὴ προσήκοντος. ἐπιόντος ἢ πράξαντος
Ε ρυθρὸν τὸ βεβαμμένον ἀπὸ κοκκίνου. Ἐρυ- (τος.

ἐρόδανον δὲ εἶδος βοτάνης, δι' οὗ τὰ ἔρια βάπτουσιν.
Ἐρυθριᾷ δὲ τὸ ἰδίᾳ τὴν παρειάν.
Ε ργαστήρια. οἱ οἶκοι ἔνθα ἐργάζονται οἱ χειροτέχναι.
Ε ρωτῶ. τὸ ἀπόκρισιν ζητῶ. ἐπερωτῶ δὲ κυρίως ὅταν ἐπὶ τῇ ἐρωτήσει, ἑτέρᾳ ἐρωτήσει χρῶμαι. προσεπερωτῶ δὲ τὸ μετὰ τὴν δευτέραν καὶ τρίτην ποιοῦμαι ἐρώτησιν. τοιοῦτον καὶ τὸ εἶπον καὶ ἐπεῖπον καὶ προσεπεῖπον. ἐρωτῶ οὖν ὁ μέλλων ἐρήσομαι. ὁ ἀόριστος ἠρώτησα. ὁ δεύτερος ἠρόμην. ἐρέσθαι ἀπαρέμφατον. ἐροῦ προστακτικόν. ἐὰν ἔρωμαι ἐὰν ἔρῃ ὑποτακτικόν. τὸ δὲ εἴρετο ποιητικῶς μὲν, διὰ διφθόγγου γράφεται. κοινῶς δὲ διὰ τοῦ η. οἱ μὲν γὰρ κοινοὶ λέγουσι τὸν ἐνεστῶτα ἔρομαι. οἱ δὲ ποιηταὶ εἴρομαι προσλήψει τοῦ ι. διὰ ταύτης οὖν οἱ μὲν, τρέπουσι τὸ ε εἰς η ἐν τῷ παρῳχημένῳ. οἱ δὲ φυλάττουσι τὴν δίφθογγον.
Τ ὸ ἐργάζομαι. παθητικὴ ἐστὶ φωνῇ σημα- ([illegible].
σίαν δὲ ἐνεργητικὴν καὶ παθητικὴν ἔχει. οἷον ἐργάζομαι ἐγώ τι. καὶ ἐργάζομαι ὑπό τινος ὃ καὶ ἀδικοῦμαι. ἐργάζομαί σε κακὸν μετὰ δύο αἰτιατικῶν. καὶ ποιῶ σε κακόν, καὶ μετὰ ἐπιρρήματος, ποιῶ σε κακῶς. καὶ ἐργάζομαί σε κα-
Ε ρυμα. φρούριον καὶ πολύχνιον τὸ αὐτὸ τὸ δὲ (κῶς.
πολύχνιον γράφεται καὶ πολύχνη θηλυκῶς.
Ε ρως. ἔρωτος κοινόν. ἔρος δὲ ἔρου. αἰολικόν. ἔρως ἐπὶ παρόντων. πόθος ἐπὶ ἀπόντων.
Ε ρανος. ἡ σύναξις καὶ ἡ δυσπραξία δὲ καὶ χρεία. ἔρανον λιμοῦ ἐγενόμην, ἤγουν ἀπάνισμα ἀφ' οὗ παρέδραμον λιμοῦ ἐγενόμην, ἤγουν ἀπάνισμα παρέδραμεν. ὡς τοῦ λιμοῦ δηλονότι δραστη- ριωτέρου ὄντος, ἢ κατὰ τὴν ἐμὴν ἀπώλειαν. κατὰ τοῦτο λέγεται καὶ τὸ παραναλώμα ἤγουν πάρεργον ἀνάλωμα.
Ε ρμηνεύω. τὰ παρ' ἑτέρων γεγραμμένα διασαφῶ. καὶ ἑρμηνεύω τὸ ἑλληνικῶς φράζω. Ἰστέον δὲ ὅτι, ἑρμηνεία μὲν λέγεται ἐπὶ τοῦ τυχόντος. Ἐξήγησις δὲ ἐπὶ τῶν θείων.
Ε ρῶ. τὸ ἐπιθυμῶ. καὶ ἔραμαι ποιητικῶς τὸ αὐτό. ἐρῶμαι δὲ τὸ ὑπ' ἄλλου ἐπιθυμοῦμαι. ὥσπερ ἐραστὴς μὲν ἐρῶν ἐρώμενος δὲ ὁ ἀπὸ τοῦ ἐραστοῦ ἐρώμενος.
Ε ρρωται, ἀντὶ τοῦ ὑγιαίνει, καὶ ἀντὶ τοῦ ῥωμαλέος ἐστί.
Τ ὸ ἔρχομαι καὶ τὸ πέμπω, μετὰ μετοχῆς μέλλοντος συντάσσεται, οἷον ἔρχομαι ποιήσων τόδε. καὶ πέμπω σε ποιήσοντ-
Ε ρύω τὸ ἑλκύω ποιητικόν, ἀπὸ τούτου γίνεται (τα τόδε.
ῥυμὸς δι' οὗ ἡ ἄμαξα ἕλκεται. ἀπὸ δὲ τοῦ ἐρύω τὸ φυλάσσω ἀχρήστου θέματος. γίνεται ἔρυμα τὸ φύλαγμα. ὡς καὶ ὁ θεολόγος γρηγόριος, μόλις ἂν καὶ τὸ καρτερώτατον ἔρυ-
Η ἐσθὴς γράφεται κοινῶς ἐν χρήσει. ἔσθημα δὲ (μα.
καὶ ἔσθησις ποιητικῶς. διαφέρει δὲ ἐσθὴς καὶ στολή. τῷ τὴν μὲν ἐσθῆτα. ἐπὶ τῶν ἁπλῶς ἐνδυμάτων τάττεσθαι. τὴν δὲ στολὴν ἐπὶ τῆς διαφερούσης χρωμάτων τῶν ἐσθήτων. οἷον ἄλλη στολὴ τῶν ἑλλήνων καὶ ἄλλη στολὴ τῶν βαρβάρων.
Ε στηκὼς καὶ ὁ ἑστὼς καὶ τἄλλα διπλᾶ. τὸ ἑστηκὸς δέ.
Τ ὸ ἑστάναι ἀπὸ τοῦ ἑστήκω ἑστακέναι ἑστάναι. καὶ τὸ διδόναι καὶ τιθέναι καὶ ζευγνύναι ἀπὸ τοῦ ἐνεστῶτος. τὸ δὲ θεῖναι καὶ στῆναι καὶ δοῦναι, ἀπὸ τῶν δευτέρων ἀορίστων. Ἰστέον ὅτι πᾶς παρακείμενος διὰ τοῦ κ ἔχων τὴν λήγουσαν καὶ μακρὰ παραληγόμενος ἐν ἀποβολῇ τοῦ κ ποιεῖται συστέλλει τὴν παραλήγουσαν. οἷον ἑστηκὼς ἑστώς. βεβηκὼς βεβαώς. δεδοικὼς δεδιώς. τεθνηκὼς τεθνεώς. ἕστηκα ἑστώ. ἕστηκα δὲ ἕτερον ἀντὶ τοῦ ἀνέστησα. καὶ ἀνέστηκα ἤτοι ἀντὶ τοῦ ἀνέστην. ἑστήκειν ἑστήκειτο ἀπὸ τοῦ ἑστήκω, ἑστάτω κατὰ συγκοπήν. διὸ καὶ βραχύνεται ὅθεν γοῦν ἄλλοθεν οὐχ ὁρῶ.

Ἑστιάτωρ

Ἑστιάτωρ ὁ εὐωχῶν. δαιτυμὼν δὲ ὁ εὐωχούμενος.

Ἐστέρημαι τοῦδε καὶ ἐστέρημαι τόδε.

Ἔνεστιν. ἀντὶ τοῦ ἐνυπάρχει. ὡς τὸ ἔνεστί μοι πλοῦτος. Καὶ ἔνεστιν ἀντὶ τοῦ δυνατόν ἐστιν. Ἔξεστιν ἀντὶ τοῦ ἄδειά ἐστιν. Σύνεστιν ἀντὶ τοῦ συνυπάρχει, καὶ ὁμιλεῖ. καὶ ἀντὶ τοῦ διαλέγεται, καὶ συντυγχάνει. καὶ ἀντὶ τοῦ συνουσιάζει. Πρόσεστιν ἀντὶ τοῦ σὺν ἄλλοις οἷς ἔχω ἔστι μοι καὶ ἄλλο τι. Μέτεστιν ἀντὶ τοῦ μετουσία ἐστὶν ἤγουν μετοχή. καὶ συντάσσεται ἀπὸ δοτικῆς εἰς γενικήν. οἷον, μέτεστί μοι πλούτου ἤγουν μετουσία ἐστί μοι πλούτου. Πάρεστιν. ἀντὶ τοῦ παρών ἐστιν. ἢ παροῦσά ἐστιν. ἢ ἤδη οὐδὲ τόδε παρόν ἐστιν. Ἔπεστιν ἀντὶ τοῦ ἐξουσία ἐστί. συντάσσεται δὲ ἀπὸ δοτικῆς εἰς ἀπαρέμφατον. οἷον, ἔπεστί μοι ποιεῖν τόδε. ἀντὶ τοῦ ἐπ' ἐμοί ἐστι τοῦτο ποιεῖν. ἤγουν ἤδη τῇ ἐμῇ ἐξουσίᾳ. Περίεστιν ἀντὶ τοῦ περιουσία ἐστὶν ἤγουν πλῆθος. καὶ συντάσσεται ἀπὸ δοτικῆς πρὸς γενικήν. οἷον περίεστί μοι σοφίας. Περίεστι καὶ ἀντὶ τοῦ κρείττων ἐστίν. καὶ Ὅμηρος. οἳ περὶ μὲν βουλῇ Δαναῶν, περὶ δ' ἐστὲ μάχεσθαι. ἤγουν περίεστε μὲν καὶ κρείττους ἐστὲ ἐν τῇ βουλῇ τῶν Δαναῶν. περίεστε δὲ καὶ ἐν τῷ μάχεσθαι, ἀπὸ γενικῆς εἰς δοτικήν. Περίεστιν ἀντὶ τοῦ ζῇ. ὡς τό, ἔτι δὲ περίεστιν. Ἄπεστιν ἀντὶ

Ἔτι λέγεται ἐπὶ τοῖς κοινοῖς ἀντὶ τοῦ ἀκ (τοῦ μακρά ἐστι. μήν. οἷον, ἔτι νέος ἐστί. καὶ ἔτι ποιῶ τόδε. λέγεται καὶ ἀντὶ τοῦ ἐπὶ τούτῳ. οἷον, εἶπον τόδε, ἔτι λέγω καὶ τόδε. ἀντὶ τοῦ ἐπὶ τούτῳ. καὶ ἀντὶ τοῦ εἰς τὸ ἑξῆς. οἷον, οὐ μὴ ἔτι ποιήσω τόδε, ἀντὶ τοῦ ἑξῆς οὐ μὴ ποιήσω. ἔστι καὶ [illegible].

Ἕτερον. τὸ ἓν τῶν δύο. ἀπὸ τούτου γίνεται καὶ τὸ πρότερον. ἐπὶ δύο τινῶν ἔχον τὴν θέσιν. Ἑκάτερον καὶ τὰ δύο κατὰ ἕν. Ἀμφότερον ὁμοῦ καὶ τὰ δύο. Τὸ δὲ ἕκαστος δηλοῖ πολλοὺς κατὰ ἕνα. τὸ δὲ πᾶς οὐ κατὰ ἕνα δηλοῖ πάντας, ἀλλ' ὁμοῦ. ἔστι δὲ τὸ πᾶς συντακτικὸν μορίων. ὡς δηλοῖ καὶ τοῦτο. τὸ δὲ πᾶς οὐ τὸ καθόλου σημαίνει ἀλλ' ἔτι (καθόλου.

Ἔτους ὥραν ἰδίως τὸ θέρος φασὶν Ἀττικοί.

Ἑταῖρος. ὁ προσοικειωθεὶς κατὰ φιλίαν. ἑταίρα δὲ καὶ ἑταιρὶς ἡ προκειμένη πᾶσι τοῖς παρ' αὐτὴν βουλομένοις. ἤγουν ἡ κοινῶς ἐλευθέρα. ἀφ' οὗ ἑταίρησις τὸ ἔργον τῶν ἑταιρίδων. καὶ ἑταιρικὸς ἤδη τῶν θηλυδριῶν. ἤγουν τῶν παρόντων τὰ τῶν ἑταιρίδων.

Ἑστιῶ ἑστιάσω ἑστίακα. καὶ ἑστιάθην ὑφ' ἑτέρου.

Ἐσθλὸς ὁ ἐθελοντὴς μαχόμενος, ἤγουν ὁ ἀνδρεῖος. οὗ ἐναντίον τὸ δειλός. ἀπὸ τούτου ἐσθλὸς ὁ ἀγαθὸς τὸν τρόπον. καὶ (ἐσθλὰ τὰ ἀγαθά.

Ἑτερόφθαλμος. ὁ κατὰ τύχην πηρωθεὶς τὸν ἕτερον ὀφθαλμόν. μονόφθαλμος δὲ ὁ ἕνα ὀφθαλμὸν ἔχων. ὡς καὶ Κρατῖνος. μονόφθαλμον λέγει τὸν Κύκλωπα.

Ἔτυχον οὐκ ἔστι ποτὲ ἀντὶ τοῦ ἐπέτυχον. τὸ δὲ ἐπὶ (παρα-) τυχὸν, ἐπὶ καλοῦ μόνον λέγεται. τὸ δὲ ἔτυχον καὶ ἐπὶ καλοῦ καὶ ἐπὶ κακοῦ, δηλοῖ δὲ τὸ κατὰ τύχην ἐμπεσεῖν τινὰ ἢ εἰς καλὸν ἢ εἰς κακόν. Ἀπέτυχον δὲ ἐπὶ καλοῦ μόνου, οὐ χ(ρή)

Εὐρώπη τὸ ἀπὸ Βυζαντίου μέχρι Γαδείρων, (ἐπὶ κακοῦ. μέρος τῆς οἰκουμένης. καὶ ὄνομα γυναικός. ἣν φασὶν ὁ Ζεὺς ἁρπάσας ταῦρος γενόμενος διὰ θαλάττης ἤγαγεν ἐπὶ Κρήτην. Ἰστέον δὲ ὅτι εὐρώπη μὲν καὶ συνώπη διὰ τοῦ ω μεγάλου γράφεται. ἀνερόπη δὲ καὶ ἀντιόπη καὶ Ἰόπη καὶ Καλλιόπη.

Εὔχομαι τῷ θεῷ, καὶ εὔχομαι τῷ ἀνθρώπῳ (διὰ τοῦ ο μικροῦ. τῷ ὑπὲρ οὗ τὴν εὐχὴν ποιοῦμαι. Κατεύχομαι δὲ τὸ καταρῶμαι. Εὔχομαι τῷ θεῷ εἰς ἀπαρέμφατον παρωχημένον. εὔχομαι δὲ τὸ ὑπισχνοῦμαι εἰς μέλλοντα. εὔχομαι εὔξομαι εὐξάμην.

Εὐθύνω. τὸ κατ' εὐθεῖαν ἄγω καὶ κυβερνῶ. ἢ τὸ εὐθὺς ποιῶ. ἔστι δὲ εὐθὺς τὸ μὴ σκολιότητα ἔχον. εὐθύνω καὶ τὸ κολάζω ἐξ οὗ καὶ εὐθύνη. καὶ ἀπευθύνω ὁμοίως ἤδη τῶν δύο τούτων σημαινομένων.

Εὐπρόσωπος αὐτὸς ὁ εὐειδής. καὶ ἀπὸ τούτου εὐπρόσωπος λόγος ὁ πιθανός, καὶ ἀρεστὸς φαινόμενος. οὕτω λέγεται καὶ τὸ εὐπρεπής, πρότερον μὲν, ἐπὶ εἴδους. οἷον, εὐπρεπὴς αὐτὸς ὁ εὔ[illegible]. καὶ καλὴν μετὰ τοῦ πρέποντος παρασήματος, ἔχων τὴν τῶν μελῶν ἁρμονίαν. εἶτα καὶ εὐπρεπὴς σκῆψις ἡ ἁρμόδιος καὶ εὐπρόσωπος δοκοῦσα καὶ εὐπρεπὴς λόγος.

Εὐμενὴς ἐναντίον δυσμενής. ἔστι δὲ δυσμενὴς ὁ (γοῦν) ἐχθρός. ἀφ' οὗ δυσμένεια ἡ ἔχθρα. εὐμένεια δὲ καὶ εὔνοια τὸ ἐναντίον. ὁμοίως καὶ τῷ εὐαγεῖ ἐναντίον ὁ ἐναγής.

Εὑρίσκει τις τὸ ὄν, καὶ ἐξευρίσκει τὸ μὴ ὄν. ἐφευρίσκει δὲ οὐ τὸ μὴ ὄν. κἂν δοκεῖ [illegible] τοῦτο τινές. οὐ μὴν τὸ ὄν, ἀλλ' ὃ ἐξευρίσκει τις, τὸ ἐπινοεῖ πρός τι καὶ ἕτερόν τι. εἶτα τοῦτ' ἐκείνῳ προστίθησι. καὶ ἔστι μὲν αὖθις καὶ μετ' αὐτοῦ τοῦ προστεθέντος ἐκείνῳ, ὃ καὶ πρότερον ἦν. ἀλλ' οὖν τῇ ἐκείνου ἐφευρέσει τι καὶ προσθήκῃ, χρησιμώτερον ἀποπέφανται. οἷον λέγεταί τις Θρᾷξ Διονύσιος ἐξευρεῖν τινα τῶν γραμμάτων ἀπὸ τῶν φοινίκων γραμμάτων. ὃ προσεφεῦρε τις τινὰ τῶν διπλῶν. ψαλλίδα εἰπὼν τὴν παλλίδα ἀντιστρόφως τὰ σύμφωνα θείς. εὗρε δέ τις ἁπλῶς πολλὴ ἔτη χρημάτων.

Εὗνις λέγεται ὁ μεμονωμένος. καὶ γίνεται ἀπὸ τοῦ εἷς ἑνὸς ἕνις.

Εὑρεῖν ἀπαρέμφατον μέλλοντος δευτέρου. ὁ (καὶ εὕρισ- ἐνεστὼς εὑρίσκω. ὁ μέλλων εὑρήσω. ὁ γὰρ ἐνεστὼς ἐπιλελησμένος ἐξέλιπεν. ὁ πρῶτος ἀόριστος ἐξέλιπεν. ὁ δεύτερος εὗρον. ἐκ τούτου εὑρεῖν πρὸς δεύτερον μέλλοντα μεταβαίνοντος. τὸ δὲ ηὕρετο οὕτως. εὑρέω εὑρῶ εὑρήσω εὕρηκα. εὑρησάμην εὑρήσω εὑρήσατο καὶ κατὰ συγκοπὴν εὕρετο. τὸ δὲ εὕρετο οὕτως. εὑρέω εὑρῶ εὑρήσω εὕρησα. εὑρησάμην εὑρήσω εὑρήσατο. εὗρον εὑρόμην εὗρε εὗ

Εὐγενής. ὧν ἡ πατρὶς περιφανὴς καὶ τὸ γένος. γέ (ρετος νος γὰρ ἡ πατρὶς καὶ ἡ γονή. εὐπατρίδαι δὲ παρ' Ἀττικοῖς οἱ αὐτόχθονες. καὶ κατὰ τοῦτο περιφανεῖς. οἱ εὖ ἔχοντες ἕνεκα τῶν πατέρων ὡς εἶναι τοὺς εὐπατρίδας ἤδη πλέον τῶν εὐγενῶν, ὥστε εἴ τις εὐπατρίδης καὶ εὐγενής. οὐ μὴν εἴ τις εὐγενὴς καὶ εὐπατρίδης. Ἀπὸ τούτου κατὰ μεταφορὰν καὶ εὐγενὴς ὁ μεγαλοπρεπὴς καὶ γενναῖος. καὶ εὐγενὲς ἦθος τὸ ἀστεῖον. καὶ πεπαιδευμένον καὶ δόκιμον ἔχον. καὶ εὐγενὴς ψυχὴ καὶ εὐγενὴς λόγος.

Εὐήτριος χιτὼν ὁ λεπτός, καὶ ἀραιός.

Εὖ ἀντὶ τοῦ ὀρθῶς, καλῶς, καὶ ἀντὶ τοῦ χρησίμως.

Εὔπαιδες. οἱ καλλίπαιδες, καὶ οἱ πολύπαιδες.

Εὔζωνος γυνὴ ἡ πλουσία. καὶ πολυτελεῖ ζώνῃ χρωμένη. εὔζωνος δὲ ἀνὴρ ὁ ἐλαφρὸς καὶ μηδὲν περὶ τὴν ζώνην ἄχθος ἐπιφερόμενος. τοῦ εὖ τὸ εὔκολον δηλοῦντος ἐν τούτοις.

Ἀντὶ τοῦ εἰπεῖν εὐρυώδεος, ὅπερ ἐστὶ ποιητικόν, εὐρὺς κατὰ τοὺς ὤμους εἴποις.

Εὐτραπελία καὶ βωμολοχία λέγεται ἤδη τῶν ἐπιτηδευόντων παίγνια, δι' ὧν κινοῦσι τοὺς ὁρῶντας, ἢ ἀκούοντας εἰς γέ(λωτα).

Ἐφέστιος. ὁ οἰκῶν ἐν ἀλλοτρίᾳ οἰκίᾳ. ὡς παρ' Ὁμή(ρῳ. ἀλλ' ἐμὲ τὸν δύστηνον ἐφέστιον ἤγαγε δαίμων. καὶ ὁ ἔχων οἰκίαν. ὡς παρὰ τῷ αὐτῷ. φασὶ μὲν λέγεσθαι ἐφέστιοι ὅσοι ἔασιν.

Ἐφέστιος. καὶ ἁπλῶς ἐν οἰκίᾳ ὤν. ὁ μέστιος δὲ καὶ συνέ-

στος, ὁ ἐν μιᾷ οἰκίᾳ μεθ' ἑτέρου ὤν.

ε' φώρασαι. τινὰ κλέπτοντα. καὶ ἐφώρασαι ἕτερον ἐ-

ζ' φισβος. ὁ ἐν περιπατισμοῖς δύο τριῶν (ταίρων. παλαιόντων. παλαίειν τῷ νικήσαντι.

τ ὁ ἐφ' ᾧ λαμβάνεται καὶ μετὰ ἀπαρεμφάτου καὶ μετὰ μέλλοντος. ὡς τὸ ἐφ' ᾧ μηκέτι μανεῖται. καὶ ἐφ' ᾧ

ε' φίεμαι. ἀντὶ τοῦ ἐπιτέλλομαι. ἐξ οὗ (ποιῆσαι καὶ ἐφετμὴ ἡ ἐντολὴ ποιητικοί. ἐφίεμαι δὲ τὸ ἐπιθυμῶ εὔχρηστον. ἐξ οὗ καὶ ἔφεσις ἡ ἐπιθυμία. ὧν ἐνεργητικὰ οὐκ εἰσίν. ἀλλ' ἐφθησαν ἐνθάδε ἄλλης σημασίας τεθέντα. τὸ γὰρ ἐφίημι. διπλῆν ἐν ἑαυτῷ παριστάνει τὴν σημασίαν. ἐφίημι γὰρ τὸ προστρέπω καὶ ἐνδίδωμι. ὡς τὸ ἐφίημί σοι λέγειν. καὶ ἰδίως παρὰ τοῖς ῥήτορσιν. ἐφίημι τὸ ἀπὸ τοῦ δικαστηρίου εἰς τὸ δικαστήριον μεταβαίνω. ἐξ οὗ καὶ ἔφεσις τὸ πρᾶγμα ἡ μεταγωγὴ καὶ ἡ μετάβασις, ἀπὸ τοῦ διαιτητῶν εἰς τοὺς δικαστάς. ὡς παρὰ λουκιανῷ. ἡ δὲ ἔφεσις ἐνθάδε τὸν δίαιταν. καὶ παρὰ τὸν δίαιταν. καὶ παρὰ τῷ θεολόγῳ τὸ ἀπαραλόγιστον κριτήριον. μεθ' οὗ ἔφεσις οὐκ ἔστι. καὶ ἐφέστιμος ἑορτὴ ἡ μεταγώγιμος.

τ ὁ ἐφ' οἷς ἀντὶ τοῦ δι' ἃ καὶ ἀντὶ τοῦ καθ' ἃ ποιητικῶς. ὡς τὸ ἐφ' οἷς ὥσπερ παλλύβιος ὑπεβαλόμην.

ε' χω. τὸ κέκτημαι καὶ τὸ ἐλαύνω ποιητικῶς αἰτιατικῇ συντάσσεται. ἔχω δὲ δύναμαι ἀπαρεμφάτῳ. ὡς τὸ οὐκ ἔχω λέγειν. ἔχω τὸ διάκειμαι ἐπιρρήματι ὡς τὸ καλῶς ἔχω. ἐνίοτε δὲ ἡ γενικὴ προστίθεται, ὡς μὴ ἔξωθεν τοῦ εἶναι δὴ, καλῶς ἔχω τοῦ σώματος. ἡ δοτική, ὡς τὸ ὁ δεῖνα ἐπιτηδείως μοι ἔχει. ἡ αἰτιατική, νοουμένης τῆς κατά. ὡς τὸ, καλῶς ἔχω τὸ σῶμα.

ζ' χομαι δὲ τὸ ἅπτομαι γενικῇ. ἐξέχει μὲν καὶ προέχει καὶ προβέβληται ἀκτή τις εἰς τὸ πέλαγος. ὑπερέχει δέ τις ὁ φιλῶν αὐτήν. προσέχει τις τὸν νοῦν τοῖς λεγομένοις. προσέχεται δὲ τὸ προσπέφυκε καὶ προσκολλᾶται. ἀνέχει μὲν ὁ νέος ἡλίας. καὶ ἀνέχει ὁ ἥλιος, καὶ πηγὴ, καὶ βοτάνη. ἀνέχεται δέ τις τοῦ λυπήσαντος, ἐπειδὰν φέρῃ. ἀπέχει μὲν χαλκηδὼν βυζαντίου σταδίους τόσους. ἀπέχεται δέ τις κρεῶν καὶ οἴνου. καὶ τῶν τοιούτων. παρέχω μὲν ἐμαυτὸν τῷ δεῖνι. καὶ παρέχεται τὰ ὄρη ἀνθρώποις τι πολύ. παρέχεται τις πολὺ νόμισμα. ἤτοι ἕτερον, ὅπερ οὐκ ἀπὸ τῆς ἑαυτοῦ φύσεως. ἔστι δ' ὅτε καὶ τοὐναντίον λέγεται.

ζ' ωλον τὸ μάταιον καὶ ἕωλον τὸ χθεσινὸν, καὶ ἕωλος νεκρὸς ὁ σεσηπώς.

ζ' ωθινὸν τὸ πρωϊνὸν καὶ ἑωθινὴ ἡ πρωΐα.

ε' ὼς δὲ ἐνθάδε τόπου. δηλοῖ, ἡ ἑῴα καὶ ἡ ἑσπερία λέξις ἐστὶ καὶ ἐνθάδε χρόνου ὡς αἰσχύλος. πάρεστιν ἕως ἥλιος σχεδά.

ζ' ώκεσαι ἀντὶ τοῦ ὡμοιώθη. εἴκω τὸ ὁμοιῶ. ὁ παρακείμενος ἔοικα. ὁ μέσος ἔοικα. εἶτα ἔοικα. ὁ ὑπερσυντέλικος ἐῴκειν. ὁ τρίτον, τῶν πληθυντικῶν ἐῴκεσαν. καὶ ἀττικῶς ἐῴκεσαν. οὕτω καὶ ᾔδεσαν ᾔδησαν, καὶ εἴκεσαν εἴκησαν.

ε' ώσμαι ἀντὶ τοῦ ἠγορεύθην. σημαίνεται γὰρ λίαν, ἀνδράποδον ἦν καιρικὸν, ἐκ σικελίας ἐωνημένον ἀντὶ τοῦ ἠγορασθέν. ἐώνημαι καὶ ἀντὶ τοῦ ἠγόρασα ἐνθάδε ἐν ὑβριζέας. ἀριστοφάνης. τοῦ σώματος γὰρ οὐκ ἐᾷ τὸν κύριον κρατεῖν ὁ δαίμων. ἀλλὰ τὸν ἐωνημένον, ἤτοι τὸν ἀγοράσαντα.

ΑΡΧΗ ΤΟΥ Ζ.

ζ Αμολξις ζαμόλξιδος. ὡς πάρις πάριδος. τὰ δὲ κύρια τὴν εἰς δος κλίσιν, ἀλλάξασι. ὥσπερ τὰ προσηγορικὰ ἀπὸ τῶν. ἔφις ὄφεως λέξις λέξεως. ἦν δὲ ὁ ζάμολξις τὰ τοῦ πυθαγόρου μεμυημένος. καὶ πρὸς αὐτὸν ἀπηκριβωμένος. εἶτα πρὸς τὸ οἰκεῖον ἔθνος ἐπανελθὼν, ἐθαυμάσθη. καὶ πιστευθεὶς ὡς νομοθέτης. ὃν καὶ θανόντα τοῖς θεοῖς ἐναριθμοῦσι καὶ ὡς θεὸν ἤδη σέβονται.

ζ ζῶμα. τὸ ζώνη καὶ τὸ ζώννυσι δύο τινὰ γίνεται ἀπὸ τοῦ ἔζωσμαι. ὃ δὲ θέμα ἄχρηστον. λέγεται δὲ ἀντὶ αὐτοῦ τὸ ζώννυμι. ὁ μέλλων ζώσω. ὡς ὀμῶ ζώσω ζωννύω ζώννυμι. οὕτω καὶ ὄλλω ὀλλύω ὄλλυμι. καὶ γάνω γανύω γάνυμι. καὶ πάντα τὰ οὕτω παρ-

τ ὁ ζημιῶ. ἀπὸ αἰτιατικῆς εἰς δοτικὴν (ρχόμενα. καὶ συντάσσεται. οἷ ζημιῶσι χρήμασι. καὶ ἀπὸ αἰτιατικῆς εἰς αἰτιατικὴν μετὰ τῆς εἰς προθέσεως. οἷ) εἰς χρήματα αὐτὸν ἐζημίωσαν.

ζ ητῶ. τὸ ἐρευνῶ καὶ ἐξετάζω. ὡς ὁ θεολόγος. ζητῶ τι τοῦ ἐμαυτοῦ. ἀντὶ τοῦ ἐξετάζω τὸ ἀπόνοι ἐμοί.

ζ ηλωτής. ὁ μιμητής. ἀπὸ τοῦ ζηλόω. ζηλῶ. ζηλώσω. τὸ δὲ ἀπὸ τοῦ ζῆλος. ἔστι δὲ ζῆλος ἀνάγερσις τῆς ψυχῆς ἐνθάδε τὰ καλὰ πρὸς παράλαγμα ἀρετῆς. σημαίνει δὲ ζῆλος καὶ τὸν φθόνον. ὅθεν καὶ ζηλότυπος.

τ ὁ ζηλῶ. δύο δηλοῖ. τὸ φθονεῖν καὶ τὸ μακαρίζειν. ὥσπερ δὲ λέγεται ἐνίοτε τὸ ἐπαινεῖν ἀντὶ τοῦ ἐργάζεσθαι, δὴ ἀπλῶς ἐπαινεῖ τις ἀντὶ τοῦ ἐργάζεται. καὶ τὸ ἵνα γὰρ ἐπαινῶ ἀντὶ τοῦ σιωπῶ. οὕτω καὶ τὸ ζηλοῦν καὶ μακαρίζειν ἐνίοτε ἐνθάδε τοῦ μιμεῖσθαι τεθήκασι. οὐκ ἔξω λόγου ταῦτα ποιοῦντες. ὁ γὰρ ἐπαινεῖ τις τοῦτο πάντως εἰκὸς καὶ ἐργάζεσθαι αὐτόν. καὶ ὃν μακαρίζει τις ἐφ' οἷς ἔχει ἀγαθοῖς, δῆλον ὅτι, ἢ ἀπολαύειν ἐνθάδε τούτων γὰρ λέγεται ὁ μακαρισμὸς, τοῦτον πάντως καὶ μιμήσαιτο ἂν ἵνα τοῦ αὐτοῦ τύχῃ μακαρισμοῦ.

ζ ύμη τὸ λεγόμενον προζύμιον. φύραμα δὲ τὸ μεμιγμένον ἄλευρον.

ζ υγός. ὁ τοῦ βοός. ζυγὸν δὲ οὐδετέρως τὸ ζύγιον.

ζ ώπυρον ὁ ἐν τῇ σποδιᾷ μικρὸς σπινθήρ. ἐμπύρευμα δὲ ἀπὸ πυρὸς μέρος παλλαχόσε μεταδιδόμενον εἰς προσαύξησιν.

ζ ώνη ἡ τοῦ ἀνδρὸς, ζώνιον δὲ τὸ τῆς γυναικός.

ΑΡΧΗ ΤΟΥ Η.

ἡ γοῦμαι τὸ ἄρχω γενικῇ. ἡγοῦμαι τὸ ὁδηγῶ καὶ προοδοποιῶ δοτικῇ. οἱ γὰρ βλέποντες τοῖς τυφλοῖς ἡγοῦνται. ἡγοῦμαι τὸ νομίζω αἰτιατικῇ. ἡγήσομαι ἡγησάμην καὶ ἥγημαι.

η' δοναί. μὲν τὴν ἀφροσύνην. ἡδονὰς (μου. δὲ τοῦ μακεδόνων. ἡδὺς ἁπλοῦν. ὁ ἡδίων συγκριτικόν. ὁ ἥδιστος ὑπερθετικόν. τὰ δὲ θηλυκά, ἡ ἡδεῖα ἡ ἡδίων, ἡ ἡδίστη. τὰ οὐδέτερα ἡδὺ ἥδιον ἥδιστον.

η' δύς. τὸ θρυλούμενον παρὰ πλάτωνι. πολὺς γάρ ἐστιν ὁ φιλόσοφος τούτῳ χρώμενος ἀντὶ τοῦ

ἔφη

ἔφη δὲ οὕτως. εἶτα ὑπεξαιρουμένου τοῦ ε καὶ τοῦ φ, ἦ. καὶ ἔστι ποιητικὸν αὐτὸ καθ' αὐτό. ὡς τό, ἦ καὶ ἐπ' ἀργυρέῃ κώπῃ σχέθε χεῖρα βαρεῖαν. συντιθέμενον δὲ μετὰ τοῦ ος τοῖς διαλογικῶς γράφουσι πρὸς χρῆσιν ἔγκειται. λαμβάνεται δὲ καὶ ἐνθάδε θηλυκοῦ τοῦ ος παρέλκοντος.

Τ ὁ ἤ. τὸ σημαῖνον τὸ παρὰ ἀεὶ μετὰ συγκριτικοῦ γράφεται. οἷον καλλίων ὁ δεῖνα, ἢ ὁ δεῖνα, ἢ οὕτως. κρείσσων ἐστὶν ἢ κατὰ τὸν δεῖνα. τὸ τί εἰπεῖν ὅτι, βελτίων ὁ δεῖνα τοῦ δεῖνος, πᾶσι δῆλόν ἐστι.

Η θη. τοὺς φόρους καὶ ἤθη τὰς δι' ἔθους διατριβάς.

Ι ἰσθεῖν. ἀντὶ τοῦ εἰσελθεῖν καὶ οὐχ οὕτως οὐδαμοῦ ἐστὶ λαμβάνεται παρὰ τοῖς ἀκριβέσιν, ἀλλ' ἀεὶ ἀντὶ παρατατικοῦ. τὸ ἐναντίον τούτου ἐξιέναι πλεύσειν. ἤγουν ἐμπλεῦσαι τινὸς πράγματος ἦλθον. Προσιέναι τῷ δεῖνι. ἤγουν πλησίον ἐκείνου πορεύεσθαι. Ανιέναι ἀντὶ τοῦ ἀνῆλθεν. οὗ τὸ ἐναντίον κατιέναι. Διιέναι τὴν ὁδὸν ἤγουν διὰ τέλους πορεύεσθαι. καὶ διιέναι τὸν λόγον. Διεξιέναι δὲ τὸ μέχρι τέλους δηλοῖ. καὶ τὸ ἔξω τέλους πορευθῆναι μετὰ τῆς κατὰ προθέσεως μετιέναι. Παριέναι δὲ ἀντὶ τοῦ εἰς τὸ μέσον τοῦ τόπου τὸ δὲ ἔστι. σημαίνει δὲ ἡ παρὰ πλεονάζουσα. ὥσπερ καὶ παρέλθε τις εἰς τὸ στάδιον. σημαίνει δὲ ταῦτα καὶ τὸ παρελθεῖν. τῆς παρὰ δηλούσης τὸ ἔξω. οἷον παριέναι τὸ στάδιον. ἀντὶ τοῦ ἔξω τοῦ σταδίου γενέσθαι. Περιιέναι ἀντὶ τοῦ κύκλῳ τινὸς ἐρχόμενον. Απιέναι ἤγουν μακρὰν ἐλθεῖν. κανονίζεται δὲ ταῦτα οὕτως. εἶμι τὸ πορεύομαι ὁ μέλλων εἴσω. ὁ παρακείμενος εἶκα καὶ ἐν διαλύσει εἶκα. καὶ ἐν [illegible] εἶα. προσγραφομένου τοῦ ι. ὁ ὑπερσυντέλικος εἵκειν εἵκεις εἵκει εἵκειτον εἵκειτον. εἵκειμεν εἵκειτε, εἵκεσαν. καὶ ἐκβολῇ τοῦ ι εἵκεσαν καὶ

Η κω. τὸ ἔρχομαι καὶ τὸ ἦλθον. ὁ τοῖς ἐξήκουσι παλαιοῖς διὰ τοῦ ι ἐγράφετο. τὸ παθητικὸν οὐχ εὕρηται ἵκομαι. βάρβαρον γάρ. τὸ δὲ προσλαβὸν, ἱκνοῦμαι γέγονεν εὔχρηστον. μετὰ τῆς ἀπὸ προθέσεως λεγόμενον. οἷον ἀφικνοῦμαι. ὁ παρατατικὸς ἀφικνούμην. ὁ μέλλων ἀφίξομαι. ὁ ἀόριστος ἀφικόμην. ὅτι δὲ τὸ ἀφικόμην μέσος ἀόριστος δεύτερός ἐστι, δῆλον ἀπό τε τῆς σημασίας καὶ ἀπὸ τοῦ ἀφικέσθαι ἀπαρεμφάτου. τὸ δὲ ἱκνοῦμαι χωρὶς τῆς προθέσεως τὸ παραγενέσθαι δηλοῖ. οἷον ἱκνοῦμαί σε. ἥκω ἔξω. ἀφίξομαι ἀφικόμην.

Τ ὁ ἥκω δηλοῖ τὸ ἀρτίως ἦλθον. τὸ δὲ εἶμι τὸ ἀρτίως πορεύομαι. ἐνεστὼς δ' εἰ καὶ ἐνεστὼς φαίνεται, ἀλλ' οὖν καὶ εἰς σημασίαν μέλλοντος λαμβάνεται, ὡς παρὰ τῷ ποιητῇ. νῦν δ' εἶμι φθίηνδε. ὅσον οὖν διαφέρει τὸ ἥκω πρὸς τὸν παρεληλυθότα, τοσοῦτον τὸ εἶμι πρὸς τὸν μέλλοντα. ἥκω ποιήσας. ἥκω ποιῶν. ἥκω ποιήσων.

Η λιος λέγεται τὸ νυχθήμερον, ὅτι διὰ τοῦ νυχθημέρου ἀποκαθίσταται ὁ ἥλιος. ὅθεν ἤρξατο τῇ τοῦ οὐρανοῦ περιφορᾷ ἥλιος καὶ ὁ διωρισμένος χρόνος. ὅτι διὰ τοῦ διαλειμμάτων διέρχεται τὸν ἑαυτοῦ κύκλον ὁ ἥλιος. καὶ ἀποκαθίσταται, ὅθεν ἤρξατο τῇ ἑαυτοῦ κι-

Η λιῶσαι κώμη ἡ ὑπόλευκος. (νήσει.

Τ ὁ ἦλθον δ' ἀντὶ τοῦ ἀορίστου μόνον τυγχάνει, εἰς ἅπασαν ἔγκλισιν ἐστὶν εὔχρηστον. τὰ δ' ἄλλα ἄχρη-

Η λευθερώθην οὐκ ἐρρίφθη. (στα.

Η νία. καὶ ῥυτῆρες τὸ αὐτό. εἰσὶ δὲ οἱ ἱμάντες τοῦ χαλινοῦ, οὓς κατέχουσι ταῖς χερσὶν οἱ ἱππεύοντες. χαλινοὶ δὲ τὸ ὅλον. ἰδίως δὲ τὰ ἐν τῷ στόματι τοῦ ἵππου. φάλαρα δὲ τὰ ἐν τῷ μετώπῳ.

Η ν. ἤδη. τὸ τρίτον ἦν. ἤτον. ἦσθην. ἦμεν ἦτε ἦσαν.

Τ ὁ ἡλίκος. πρὸς τὸ τηλικός δὲ ἔχει τὴν ἀναφοράν. λέγεται δὲ ἀμφοτέρων ἐνθάδε ἡλικίας κυρίως. οἷον, τηλικός δέ ἐστιν ἀντὶ τοῦ τοσοῦτος τὴν ἡλικίαν. καὶ ἡλίκος ἀντὶ τοῦ ὁ πόσος τὴν ἡλικίαν, ἀπὸ τούτου καὶ ἐνθάδε μεγέθους ἁπλῶς.

Η νυσα τὴν ὁδὸν ἁπλῶς ἀντὶ τοῦ ἐπλήρωσα. Κατήνυσα δὲ εἰς λιμένα. ἢ εἰς καταγώγιον. ὅμοιον τῷ κατάγομαι καὶ καταίρω.

Η ρετό τις νίκην καὶ ἤραντο πόλεμον τινὲς πρὸς ἀλ-

Τ ὁ ἥξω ἐνθάδε παρωχημένου γράφε- (λήλους. ται. τὸ δὲ ἧξ ἐνθάδε μέλλοντος καὶ ἐνεστῶτος.

Τ ὁ ἥττημαι. μετὰ γενικῆς. ἐνίοτε δὲ καὶ μετὰ δοτι-

Η χὸ ποιητικόν. ἠχὼ κοινόν. ἠχὼ δὲ τὸ τῆς (κῆς. κραυγῆς ἀντίφθεγμα καὶ ὄνομα θεᾶς.

Τ ὁ εἰς ὧν. συνθετικὰ δισύλλαβα φύσει μακρὰ παραλήγεται. ἥσειν. ἥξειν. διὰ τοῦ ἔστι καὶ τὸ μέλλον καὶ

Η λίκος. καὶ τηλίκος ἀντωνυμίαι, ἀντὶ τοῦ (ἥττον. ὅσος καὶ ὁ πόσος λαμβάνονται. εὕρηται δὲ καὶ ἐνθάδε ποσοῦ. ὡς τὸ ἡλίκον μὲν ἐκίνησε γέλωτα. καὶ τηλίκον ἦν, τὸ συμβεβηκός. τηλικοῦτος ἐνθάδε ποσοῦ καὶ σωματικοῦ μεγέθους. ὡς τὸ τηλικοῦτος ὤν. καὶ τηλικοῦτον πώγωνα καθειμένος. τηλικόσδε ὁ ποσοειστικόν. ὡς καὶ Σωκράτης πρὸς μέλητα. οὐ γάρ με λέληθας τηλικοῦτον ὄντα, τηλικόσδε ὤν. [illegible]

ΑΡΧΗ ΤΟΥ Θ.

Θ άλαμος ὁ τῶν νυμφίους περιέχων οἶκος γάμου τελουμένου. ὁ κοινὸς λεγόμενος παστὸς ἤτοι τὸ κελλίον, καὶ ἁπλῶς δωμάτιον. καὶ καταχρηστικῶς κοιτών. θάλαμος δὲ ἡ κατάδυσις τοῦ ὄφεως. πρόδομος ὁ μετὰ τὸν θάλαμον οἶκος. δόμος ὁ μετὰ τὸν πρόδομον.

Θ αλαττεύω τὸ ἐν θαλάττῃ διάγω. ὥσπερ καὶ παρθενεύω τὸ ἐν παρθενίᾳ διάγω.

Θ αλλός. ὁ κλάδος κυρίως, ἐνθάδε δάφνης καὶ ἐλαίας ὁ θάλλων ἀεί.

Θ αρρῶ. ἐπεί. θαρσούμενος δὲ ὕστερον.

Θ άλεια. τὸ ἐπίθετον τῆς εὐωχίας, καὶ ἡ μοῦσα διὰ δύο φθόγγων. δαῖς θάλεια. καὶ μοῦσα θάλεια. αὐτὴ δὲ ἡ εὐωχία θαλία λέγεται. διὰ τοῦ ι. καὶ ἡ χάρις ἡ πορνική. καὶ ἡ νηρηΐς.

Θ ανατᾶν. λέγεται, τὸ ἐπιθυμεῖν ἀποθανεῖν. ὥσπερ καὶ βασιλειᾶν τὸ ἐπιθυμεῖν βασιλείας, καὶ τιμᾶν τὸ ἐπιθυμεῖν τιμηθῆναι. Θανατίαν δὲ θανατῶν

Τ ὰ ἐπίθετα ἢ ὕστερον τι δηλοῦ- (ὕστερον. σι τῶν ὀνομάτων ἐφ' ὧν λέγονται. ἢ ἐν τὴν αὐτὴν αὐτῆς ἔχουσι σημασίαν, πρὸς ἀντιδιαστολήν

ἑτέρου σημαινομένου λέγεται, ἢ ἑτέραν τινὰ αἰτίαν ἔχει καθ' ἣν λέγεται. τὸ δὲ θανάσιμος μόρος ἐπιθετικῶς λεγόμενον· οὔτε ἕτερόν τι σημαίνει, ἢ ὁ θάνατος ἐσήμαινεν· οὐ ταυτὸ τὸ σημαῖνον αὐτῷ, πρὸς ἀντιδιαστολὴν ἑτέρου σημαινομένου λέγεται. οὐ γάρ ἐστι ποτὲ θάνατος μὴ θανάτου ἐμποιῶν· οὔτε ἄλλην τινὰ αἰτίαν ἔχει, καθ' ἣν λέγεται. ὥστε ἀρχοῦντος τοῦ θανάτου τῷ λόγῳ τὸ θανάσιμος περιττῶς λέγεται κατὰ ποιητικὴν ἐξουσίαν.

Θαρσεῖ τις τὴν δὲ τὴν πρᾶξιν, καὶ θαρσεῖ τό δὲ τὸ χρεῖον.

Θαμβῆσαι κυρίως τὸ φοβηθῆναι θεὸν ἰδόντα. καὶ ἀπὸ τούτου ἁπλῶς τὸ ἐκπλαγῆναι.

Θαυμάζω· τὸ ἐκπλήττομαι. καὶ τὸ ἐπαινῶ. Γράφεται δὲ καὶ παθητικῶς θαυμάζομαι τὸ ἐπαινοῦμαι. ἐξ οὗ καὶ θαυμαστὴς ὁ ἐπαινέτης. θαυμάζω σε τῆς σοφίας. καὶ λαμβάνει ἔξωθεν τὸ ἕνεκα. ἢ οὕτω· θαυμάζω σε ἐπὶ τῇ σοφίᾳ. καὶ κρεῖττόν ἐστι τοῦτο. λέγεται δὲ τὸ θαυμάζειν ποιητικῶς θηεῖσθαι. δηλοῦσι δὲ τὸ ὁρᾶν τι μετ' ἐκπλήξεως, διὰ τὸ θεῖον εἶναι. Θαυμάζει τις ἀρετὴν ἀντὶ τοῦ ἀγαπᾷ ἐργάζεσθαι αὐτήν. καὶ θαυμάζει λόγους ἀντὶ τοῦ ἀγαπᾷ κτᾶσθαι λόγους.

Τὸ θάλλειν ἐπὶ δένδρων λέγεται. τὸ δὲ ἀνθεῖν ἐπὶ ἀνθέων. ὅθεν θαλλεῖς μὲν κλάδοι· ἀνθεῖς δὲ λειμῶνες. ἔγκαρπα δὲ δένδρα· ὧν ὁ καρπός ἐστι χρήσιμος ἀνθρώποις εἰς τροφήν. ἄκαρπα δὲ τὸ ἐναντίον. ἤγουν ὧν τοῖς καρποῖς οὐ χρῶνται οἱ ἄνθρωποι.

Θέαμαι θεῶμαι τὸ βλέπω ἐπὶ δευτέρας συζυγίας τῶν περισπωμένων. Θεάω δὲ θεῶ ἐπὶ τρίτης, τὸ θεότητος μεταδίδωμι. καὶ ἀμφότερα ἐν χρήσει. Θεάομαι δὲ θεοῦμαι ἐπὶ πρώτης τὸ θαυμάζω παρὰ τοῖς ποιηταῖς ἐν χρήσει.

Τὸ θεωρεῖν κυρίως ἐπὶ ψυχῆς λέγεται, τὸ δὲ ὁρᾶν, ἐπὶ σώματος, δηλοῖ δὲ τὸ τὰ θεῖα ὁρᾶν καὶ τὸ σκέπτεσθαι.

Θεαταί· καὶ ἐπὶ θεάτρου λέγονται καὶ θεώμενοι. ἰστέον δὲ ὅτι ὥσπερ ἐστὶ θεατὴς ἐπὶ τῆς ὁράσεως, οὕτως ἐστὶν ἀκροατὴς ἐπὶ τῆς ἀκοῆς. ἀμφότερα γὰρ ἐπὶ θεάτρου λαμβάνονται.

Θεραπεύω τὸ δουλεύω. διὸ οὐκ ἔα τὸν δεσπότην ἄλλον θεραπεύειν. Θεραπεύω τὸ τιμῶ. ἀγαθὸν θεραπεύεις σοφιστήν. Θεραπεύω τὸ ἰῶμαι. σώματος μὲν γὰρ ἀρρωστίαν θεραπεύει τέχνη. Θεραπεύω καὶ τὸ ἐκθεραπεύω. διὸ θεραπεύω σε δώροις. Θεράπων ὁ δοῦλος. τὸ θηλυκὸν, θεράπαινα καὶ θεραπαινὶς ἡ δούλη. Θεραπεία δὲ τὸ πλῆθος τῶν οἰκετῶν. καὶ ἡ ἰατρεία.

Θερμουργός· ἄνθρωπος ὁ σπουδαῖος. θερμὸν ἔργον τὸ κακὸν καὶ ἀπούδαντον.

Θέλγειν. κυρίως ἐστὶ τὸ εἰς ὃ θέλει τις ἄγειν τινά. ὅθεν καὶ θελκτήρια τὰ ᾄσματα. ἀπὸ τοῦ ταῖς ᾠδαῖς τοὺς ἀκούοντας θέλγειν· καὶ ἄγειν εἰς τέρψιν τὴν ἀοιδῶν.

Θηλάζω ἑτέρως μεταβατικῶς, ὅτε λέγεται περὶ τῆς θηλείας. θηλάζει αὐτὸ ἡ τίκτουσα. καὶ θηλάζει τὰ βρέφη ἀμεταβάτως.

Θηρῶμαι. λέξιν καὶ θηρῶμαι δόξαν παθητικῶς γράφεται. ἐπὶ δὲ ἄγρας, τὸ θηρᾶ λέγεται ἐνεργητικῶς. θηρᾶται δὲ τὸ θηρίον.

Θλάσις. καὶ θλᾶν ἐπὶ τῶν χαυνουμένων, καὶ παραλυομένων τῆς ἑαυτῶν συμπήξεως. ἀπὸ πληγῆς ἢ τοιούτου τινός. ὁ παρὰ τοῖς ἀττικοῖς φλᾶν λέγεται.

Θνήσκω. ἐνεστώς. ἔθνησκον παρατατικός. θνήξομαι δὲ καὶ θανοῦμαι μέλλων. ἀπέθανον ἀόριστος. τέθνηκα παρακείμενος. τὸ τρίτον τεθνήκασι, καὶ κατὰ συγκοπὴν τεθνᾶσι. τὸ δὲ τεθνάναι οἱ μὲν κανονίζουσιν ἀπὸ τοῦ θνῆμι. ὁ δεύτερος ἀόριστος ἔθνην. ἡ μετοχὴ ὁ θνὰς τοῦ θνάντος. καὶ τὸ ἀπαρέμφατον μετὰ ἀναδιπλασιασμοῦ τεθνάναι. ἀπὸ ταύτης γοῦν τῆς μετοχῆς ποιοῦσι καὶ τὸ προστακτικὸν τέθναθι τεθνάτω. καὶ τὸ εὐκτικὸν τεθναίην. ἔστι γοῦν ποιητικόν. οἱ δὲ, ἀπὸ τοῦ τεθνηκέναι τεθνάναι. χωρεῖ γοῦν ἐνταῦθα κανονισθῆναι. καὶ τὸ τεθνάτω κατὰ συγκοπὴν, ἀπὸ τοῦ τεθνηκέτω. ὥσπερ καὶ τὸ ἑστάτω ἀπὸ τοῦ ἑστηκέτω.

Θλίβω τὸ λυπῶ. ἀπὸ θλίβω ἐπὶ σταφυλῶν τὸ ἀποπιέζω. ἀπὸ τούτου καὶ ἐπὶ ἄλλων. διὸ ἐξέθλιψεν ἡμᾶς ὁ θεός.

Θούριος ὁ ὁρμητικὸς καὶ θούριοι πόλις, ἡ καὶ σύβαρις. καὶ θούριος ὁ ἀπ' ἐκείνης.

Θραύειν καὶ συντρίβειν ἐπὶ ξηρῶν. ἔστι δὲ συντρίβειν κυρίως τὸ εἰς χνοῦν λεπτύνειν. τέμνειν δὲ ἐπὶ οἱουδήποτε διαιρουμένου ἢ ξίφει, ἢ ἐγχειριδίῳ, ἢ τοιούτῳ τινί. καὶ τὸ κόπτειν ἐπὶ τούτου. ἔστι δὲ τὸ κόπτειν, καὶ τὸ κρούειν, ὡς τὸ, τίς ἐσθ' ὁ κόψας τὴν θύραν.

Ὅτι θρᾷξ θρᾷσσα. κίλιξ κίλισσα. λίβυς λίβυσσα. μάγνης μάγνησσα. κρὴς κρῆσσα. καὶ πάντα ἁπλῶς ὁμοίως.

Θρύπτω· τὸ εἰς μικρὰ τέμνω. ἀφ' οὗ καὶ θρύφος τὸ τοῦ ἄρτου τεμάχιον. θρύπτομαι δὲ τὸ ἀκκίζομαι ἀφ' οὗ καὶ τρυφή.

Θρασὺς ἐν γλώσσῃ, ἢ κατὰ γλῶτταν. ὁ τοι θρασύγλωσσος.

Θρέμματα· ποιητικῶς πολυθρεπτικῶς τὰ βοσκήματα. ὅθεν καὶ πολυθρέμμων ἄνθρωπος ὁ πολλὰ ζῶα πλουτῶν.

Θρέμμα κατὰ τοὺς ποιητὰς ὁ ἀνατραφείς. ὡς σοφοκλῆς. ὦ θρέμμ' ἀναιδές.

Θύρα. καὶ πύλαι λέγονται αἱ σανίδες αἱ ἀνοιγόμεναι καὶ κλειόμεναι. καὶ τὸ διάστημα ὅπερ ἐπέχουσιν αὗται.

Θυγατριδῆ ἀπὸ τοῦ θυγάτηρ, ἡ τῆς θυγατρὸς θυγάτηρ. καὶ θυγατριδοῦς ὁ τῆς θυγατρὸς υἱός. ὥσπερ υἱωνὸς ὁ τοῦ υἱοῦ υἱός. καὶ υἱωνὴ ἡ τοῦ υἱοῦ θυγάτηρ.

θυγάτηρ.

Θ υραῖος, ἀντὶ τοῦ ἐκτὸς, καὶ δηλοῖ, στάσιν. καὶ θύραζε ἀντὶ τοῦ ἔσω, καὶ δηλοῖ κίνησιν ἔξωθεν εἰς τὰ ἔσω. θύραθεν ἀντὶ τοῦ ἔξωθεν. καὶ δηλοῖ κίνησιν ἀπὸ τῶν ἔνδον εἰς τὰ ἔξω.

Θ ύω. ἐνεστώς. ἔθυον παρατατικός. θύσω μέλλων. ἔθυσα ἀόριστος. τέθυκα παρακείμενος. θύομαι ἐνεστώς. ἐθυόμην παρατατικὸς. τεθύσομαι μέλλων. τέθυμαι παρακείμενος. ἐτύθην ἀόριστος, τροπῇ τοῦ θ εἰς τ.

Θ υμὸς ὀργῆς διαφέρει. ὁ μὲν γὰρ θυμὸς, ὀξὺς καὶ ὀλιγοχρόνιος. ἡ δὲ ὀργὴ, βραδυτέρα μὲν μονιμωτέρα δὲ. θυμὸς ἡ ψυχὴ μακρὸν τὸ υ, καὶ τὰ ἀπὸ τούτου γινόμενα. οἷον ἀθυμῶ λειποθυμῶ. πρόθυμος. μεγάθυμος. θύμος δὲ τὸ ἀγριοκρόμμυον βραχύ.

ΑΡΧΗ ΤΟΥ Ι.

Ι α διὰ τοῦ ια μακρὸν ἔχουσι τὸ α. οἷον δειλία. πλὴν τοῦ δία, ἡ ἐνδοξάτη. ὁμοίως καὶ τὰ ἀπὸ τῶν διὰ τοῦ εω. οἷον μοιχεία. οἷς ὁμοίως καὶ τὸ θεία χρεία μνεία.

Ι α ἀκολουθία καὶ ὀλιγοποιία καὶ ἀηδία καὶ θυμηδία. καὶ ὅσα τοιαῦτα ἔχουσι τὸ δι, ὡς σύνθετα. τὰ δὲ ἁπλᾶ διὰ διφθόγγου. οἷον δουλεία. πορεία. πορνεία. ἠλεία.

Ι ασιν καὶ προΐασιν εἶμι τὸ πληθυντικὸν ἴμεν. ἴτε. ἴσι. καὶ ἴασι.

Ι άσιμος. ὁ δυνάμενος θεραπευθῆναι.

Ι δέα. ἡ μορφὴ, καὶ ἀπὸ τούτου ἰδέαι, αἱ ὁδοὶ, καὶ οἱ τρόποι. καὶ παρὰ πλάτωνι, ἰδέαι οἱ τόποι. καὶ παρὰ τοῖς ῥήτορσιν, ἰδέαι αἱ μορφαὶ, οἷον τῶν λόγων.

Ι διώτης λέγεται καὶ ἐπὶ ἀρχῆς. ὁ μὴ μετέχων δηλαδὴ ταύτης. ᾧ τινι ἀντίκειται ὁ ἄρχων, ἢ ὁ βασιλεὺς, λέγεται καὶ ἐπὶ τῶν ἄλλων τεχνῶν. καὶ γὰρ ὁ μὴ μετέχων λόγου, ἰδιώτης λέγεται, ὁμοίως καὶ ἐπὶ τῶν ἄλλων.

Ι δρῶσαι. τὸ ἀνακτεθερμᾶσθαι τῷ θερμῷ ζέσει, ἐπὶ τοῦ στραγγευθῆναι.

Ι δρομηνία ἡ ἱερὰ ἡμέρα τοῦ μηνὸς, τινὰς γὰρ ἡμέρας τοῦ μηνὸς ἱερὰς εἶχον ἕλληνες.

Ι α διὰ τοῦ ιζω ῥήματα βαρύτονα ὑπερβαίνουσι τὴν δισυλλαβίαν ἐπὶ τοῦ μέλλοντος ἀποβάλλουσι τὸ σ καὶ περισπῶνται ἀττικῶς. καὶ βραχὺ τὸ ι ποιοῦσι. οἷον ὀνειδίζω ὀνειδίσω ὀνειδιῶ. ἐλπίζω. ἐλπίσω. ἐλπιῶ. ἐπὶ δὲ τῶν δισυλλάβων οὐδέποτε τοῦτο γίνεται, μόνα δὲ τὰ ὁριστικὰ καὶ ἀπαρέμφατα προφέρουσιν οὕ. τὰ δὲ ὑποτακτικὰ οὐδαμῶς. σολοικισμὸς γὰρ τὸ ἐὰν ἐλπιῶ καὶ θεριῶ. ἐφ' ὧν δὲ τὸ ι ἐκτείνεται. σὺν τῷ σ, ὁ μέλλων λέγεται χωρὶς ἐκτεινομένης τῆς παραληγούσης συλλαβῆς. οἷον δανείζω δανείσω. τὸ δὲ δανειῶ βαρβαρισμὸς τὸν τῶν ἀθηναίους φασὶν ἀθροισθεὶς εἰς ἐκκλησίαν αὐτοὺς ἀθροισθέντας ἐπὶ τῶν δαδούχων, ἐπειδὴ εἰς ἀπορίαν καθεστήκασι χρημάτων, ἔπειτά τις αὐτοῖς τῶν πλουσίων ὑπισχνεῖτο ἀργύριον δώσειν οὕτω πως λέγων. ὅτι ἐγὼ ὑμῖν δανειῶ, θορυβεῖν, καὶ μὴ ἀνέχεσθαι διὰ τὸν βαρβαρισμὸν, καὶ οὐδὲ λαβεῖν τὸ ἀργύριον ἐθέλειν. ἕως αἰσθόμενος ὁ μέτοικος καὶ ὑπολαβόντος αὐτῷ τινὸς ἔφη. δανείσω ὑμῖν τοῦτο τὸ ἀργύριον, τότε δὲ ἐπαινέσαι καὶ λαβεῖν. διὰ τοῦτο τὸ βαδίσω καὶ βαδιῶ ἀμφότερα δόκιμα. ἐπὶ καὶ αὐτὸ, τὸ ἀττικὸς ἑκατέρως λέγεται. καὶ ἐκτεινομένου καὶ συστελλομένου τοῦ ἐν τῇ μέσῃ συλλαβῇ.

Ι στέον ὅτι πολλὰ ῥήματα βαρύτονα καὶ περισπώμενα παράγουσιν οἱ ποιηταὶ εἰς σχηματισμὸν τὸν διὰ τοῦ ιζω. οἷον ἀλέω ἀλεγίζω. νεμεσῶ. νεμεσίζω. πελεμαλῶ πελεμαλίζομαι.

Ι ημι ἐνεργητικῶς τὸ πέμπω. ὅπερ δίχα προθέσεως οὐχ εὑρίσκεται ἐν χρήσει κατὰ τοὺς ποιητὰς, ἀφίημι γὰρ φαμὲν καὶ παρίημι. ἵεμαι δὲ παθητικῶς τὸ ὁρμῶ.

Ι θύνειν. ἐπὶ τῆς κυβερνήσεως λέγεται τῆς νεώς. καὶ ἀπὸ τούτου ἐπὶ πάντων τῶν εὐθύτητα ποιούντων.

Ι ὁ ἴθι ὅμως ἐστὶ ῥῆμα συντάσσεται μετὰ μετοχῆς μέλλοντος. οἷον ἴθι ποιήσων τόδε, εἰ δὲ ἐπίρρημα παρακελευσματικὸν ὥσπερ τὸ ἄγε, συντάσσεται μετὰ προστακτικοῦ. οἷον ἴθι φράσον. καὶ ἴθι ποίησον τόδε.

Ι α διὰ τοῦ ιλος ἅπαντα βραχὺ ἔχουσι τὸ ι. εἴτε διὰ τοῦ ι. εἴτε διὰ τοῦ υ ψιλοῦ. διὰ μὲν τοῦ ι ποικίλος. διὰ δὲ τοῦ υ ψιλοῦ, χρεμύλος. καὶ τὰ τούτοις παραπλήσια. πλὴν τοῦ αἴτιλος καὶ πίλος.

Ι α διὰ τοῦ ινω ῥήματα, οἷον τείνω κρίνω κλίνω, μακρὸν ἔχει τὸ ι.

Ι α διὰ τοῦ ιος. ἅπαντα προπερισπῶνται πλὴν τοῦ κηρινίου καὶ τῖνος ὁ ῥύπος.

Ι α εἰς ιν διαλήγοντα, οἷον τὸ δελφὶν καὶ δελφὶς ἀκτὶν καὶ ἀκτὶς φύσει μακρά εἰσιν ἐπειδὴ πᾶν ἀρσενικὸν καὶ θηλυκὸν εἰς ιν καταβαλὸν τὸ λῆγον μακροκατάληκτον.

Ι α διὰ τοῦ ινω. περισπώμενα ῥήματα, μακρὸν ἔχουσι τὸ ι. οἷον κινῶ τὸ σαλεύω. βινῶ τὸ συνουσιάζω. πινῶ τὸ ῥυπῶ δι' οὗ καὶ πῖνος ὁ ῥύπος περισπᾶται.

Ι α εἰς ιξ ὀνόματα ἀρσενικοῦ μὲν γένους ὄντα ἐκτείνουσι τὸ ι. θηλυκοῦ δὲ συστέλλουσιν. ἐπὶ δὲ τῆς γενικῆς ἅπαντα μακρὰ παραλήγονται.

Ι ὸς ὁ τοῦ σιδήρου καὶ ἰώδης ποιητικῶς, ὁ ἔχων εἶδος ἰοῦ, ἤτοι ὁ μέλας.

Ι α διὰ τοῦ ιος ὀνόματα κύρια τε παροξύτονα, καὶ τὰ προπαροξύτονα βραχὺ ἔχει τὸ ι. παροξύτονα μὲν οἷον ἐναντίος. κίος καὶ χίος νῆσοι. βίος. πλὴν τοῦ δῖος ὁ ἔνδοξος καὶ κῖος ὁ ἀπὸ τῆς κίου καὶ χῖος ὁ ἀπὸ τῆς χίου. ταῦτα γὰρ ἀπὸ

ἀρχαίως ὄντα, μακρὸν ἔχει τὸ ι. ἀπὸ γὰρ τοῦ
δίιος δῖος γέγονε. καὶ ἀπὸ τοῦ κίος κῖος. καὶ ἀπὸ
τοῦ χίος χῖος. προπαροξύτονα δὲ δῖα, ἄπιος.
ὅσιος.
Τ ὰ διὰ τοῦ ιον. οὐδέτερα ὑποκοριστικὰ παρο-
ξύτονα καὶ προπαροξύτονα βραχὺ τὸ ι ἔχει.
παροξύτονα μέν, οἷον ψωμίον. θηρίον. ἀρνίον.
προπαροξύτονα δέ, οἷον σωμάτιον. γραμμά-
τιον.
Ἶ πες. οἱ τοῖς κέρασιν ἐμφυόμενοι σκώληκες.
θρῖπες οἱ ἐν τοῖς ξύλοις. κῖες οἱ ἐν τοῖς πυροῖς
καὶ κριθαῖς. ἶκες οἱ τοὺς ὀφθαλμοὺς τῶν ἀμπέ-
λων ἐσθίοντες. ἴουλοι οἱ περὶ τὰ τείχη ἀνέρ-
ποντες πολύποδες.
Ἱ ππασία παρὰ τοῖς κοινοῖς. ἱππεία καὶ ἱπποσύ-
νη παρὰ ποιηταῖς.
ρος. ὄνομα κύριον. καὶ ἶρις τὸ ἐν οὐρανῷ γινό-
Ἶ μενον τόξον παρὰ ποιηταῖς.
ὁ ἴσον ἀεὶ πρὸς ἕτερον λεγόμενον ἀπαιτεῖ τὴν
Τ ἑαυτοῦ χρῆσιν. καὶ ἐλλιπῶς ἔχει ἐὰν ᾖ μόνον. ἀπο-
διδομένης δ' αὐτῆς ἐντελὴς ὁ λόγος γίνεται.
οἷον αἱ χεῖρες ἴσαι τῇ προθυμίᾳ. καὶ ἡ προθυ-
μία ἴση ταῖς χερσίν. δι' ἀνάγκης γὰρ ἡ ἰσότης
ἑκατέρων περὶ ἑκάτερα αὐτὰ ταῦτα χω-
ρεῖ, μὴ κειμένου ἑτέρου ἐφ' ὃ ἂν αὐτῆς ἡ ἀπό-
δοσις γίνοιτο. Ἴσθι δὲ ὅτι τὸ ἴσον βραχύνε-
ται καὶ ὀξύνεται. καθότι ἐκ τοῦ εἴσω τὸ ὁ-
μοιοῦ γίνεται. καὶ τὰ ὀνόματα τῶν ῥημάτων
βραχύτερα. Τὸ ὑπερθετικὸν ἰσαίτατος ὡς
μεσαίτατος καὶ γεραίτατος. οὐ γὰρ γράφε-
ται ἰσότατος.
Ἵ σταται. μίαν ὁδόν. ποιητικὸν ἀντὶ τοῦ πορεύε-
ται τὴν αὐτὴν ὁδὸν ἀεί. ὁ γὰρ βαδίζων μεμο-
νωμένην ὁδόν, καὶ μὴ ἄλλην διὰ ἄλλης περιερ-
χόμενος, φαίνεται ἵστασθαι.
Ἴ σθι. ἀντὶ τοῦ γίνωσκε καὶ ἀντὶ τοῦ ὕπαρχε. καὶ
ἀμφότερα διὰ τοῦ ι. διαστέλλεται δὲ ἀπὸ τῆς
ἐννοίας. εἰ ἀπὸ τοῦ τὸ ἕτερον ἤγουν τὸ ὕπαρχε,
διὰ τοῦ ε. γέγραπται ὥς φασιν. ἐνθάδε δὲ τοῦ τρίτου
προσώπου λέγεται τὸ μὲν ἴστω. ἤγουν τὸ γινω-
σκέτω. τὸ δὲ ἔστω ἤγουν τὸ ὑπαρχέτω. ἔστιν οὖν
ἡ κλίσις τοῦ ἴσθι ἀντὶ τοῦ γίνωσκε. διὰ τοῦ ι ἅ-
πασα. οἷον ἴσθι ἴστω. ἴστον ἴστων ἴστε. ἴστωσαν, καὶ
ἴστων. τοῦ δὲ ἴσθι ἀντὶ τοῦ ὕπαρχε διὰ τοῦ ε. οἷον
ἴσθι, ἔστω. ἔστον, ἔστων. ἔστε ἔστωσαν καὶ ἔστων. ἴσθι
δὲ προστακτικὸν ἀντὶ τοῦ ἔγειραι. καὶ οὐχ ἴστα
οὕτως ἵστημι ἵστης ἵστη. καὶ τὸ προστακτικὸν ἵστη
ἱστάτω. ἵστατον ἱστάτων. ἵστατε ἱστάτωσαν καὶ ἱστάντων.
συντάσσεται τὸ ἴσθι ἀντὶ τοῦ γίνωσκε μετὰ
μετοχῆς. οἷον ἴσθι τὸν ἄνθρωπον τοσαῦτα.
Τ ὰ εἰς ις θηλυκὰ δισύλλαβα ὀξύτονα φύσει μα-
κρὰν τὴν παραλήγουσαν ἔχοντα, μὴ ὄντα κύ-
ρια, μὴ δὲ ὑποκοριστικὰ ἐκτείνει τὸ ι. ἐνθάδε τῆς
γενικῆς οἷον σφραγὶς σφραγῖδος. κηλῖδος. βαλ-
βῖδος. ἀπὸ γὰρ τῆς βηλοῦ γίνεται. κρηπῖδος. κληῖδος.
θηλυκὰ δὲ εἶπε διὰ τὸ παιδός. δισύλλαβα δὲ
διὰ τὸ κορωνίδος. ὀξύτονα δὲ διὰ τὸ μήνιδος. φύ-
σει μακρὰν τὴν παραλήγουσαν ἔχοντα, διὰ τὸ
ἐλπίδος. κύρια δὲ διὰ τὸ Δωρίδος. ὑποκοριστι-
κὰ δὲ διὰ τὸ ἁμαξίδος. νησῖδος. τὸ μὲν πλοκα-
μῖδος διὰ τὴν ἐπαλληλίαν τῶν τεσσάρων βρα-
χέων ἐκτείνει τὴν παραλήγουσαν.
Τ ὰ ἀπὸ τῶν εἰς της ληγόντων ἀρσενικῶν ὀνομάτων
καὶ εἰς ου κλινομένων γινόμενα θηλυκὰ εἰς ις
λήγοντα καὶ εἰς ιδος κλινόμενα ὀφείλουσι φυ-
λάττειν τὸν τόνον τῆς συλλαβῆς ἐφ' ἧς εἶχε καὶ
τὸ ἀρσενικόν, οἷον στρατιώτης στρατιώτου. στρα-
τιῶτις στρατιώτιδος. νησιώτης νησιώτου. νησιῶ-
τις νησιώτιδος καὶ τὰ ὅμοια.
Τ ὰ δὲ ἀπὸ τῶν εἰς ος ληγόντων καὶ εἰς ου κλι-
νομένων εἰς ις γινόμενα θηλυκὰ καὶ εἰς ιδος
κλινόμενα οὐ φυλάττουσι τὸν τόνον ἐπὶ τῆς
συλλαβῆς ἐφ' ἧς καὶ τὸ ἀρσενικόν, ἀλλ' ἐν τῇ
ληγούσῃ. οἷον δμῶος δμώου. δμωῒς ἡ δούλη
δμωΐδος. λάλος λάλου. λαλὶς γλῶσσα λα-
λίδος. αἰχμάλωτος αἰχμαλώτου αἰχμαλωτὶς
αἰχμαλωτίδος. καὶ τὰ ὅμοια.
Τ ὰ ἀπὸ τῶν εἰς η ληγόντων θηλυκῶν σχηματιζό-
μενα ἀναβιβάζουσι τὸν τόνον. καὶ εἰς ις λή-
γουσι, καὶ διὰ τοῦ ιδος κλίνονται. οἷον ἀλκὴ ἡ
δύναμις ἄναλκις, ὁ ἀνίσχυρος ἀνάλκιδος. κνή-
μη εὔκνημις εὐκνήμιδος ὁ καλὰς κνήμας ἔ-
χων. ποιητικὸν δὲ τοῦτο.
Ἵ στημι. καὶ ὁ παρατατικὸς ἵστην. καὶ τὸ ὑπο-
τακτικὸν ἐὰν ἱστῶ. καὶ τὸ ὑποτακτικὸν πα-
θητικὸν ἐὰν ἱστῶμαι ἐὰν ἱστῇ ἐὰν ἱστῆται. ἐνί-
στησί τις ἀρχὴν ποιούμενος. ἐνίσταται δέ τινι
ὁ ἀνθιστάμενος. ἐξίσταται ἀντὶ τοῦ ὑποχωρεῖ.
συνίστησί τις τινὰ μαρτυρῶν αὐτόν. συνίσταται
δὲ τὸ ὕπαρξιν ἔχον καὶ φύσιν εἰς τὸ εἶναι. προσί-
σταται ἀντὶ τοῦ ἐμποδίζει. καὶ προσιστάμενον
τὸ ἐμποδίζον. προΐσταται ἀντὶ τοῦ ἔμπροσθεν
ἵσταται καὶ βοηθεῖ τοῖς ὄπισθεν. ἀφ' οὗ καὶ προ-
στάτης. ἀνίσταται ἀντὶ τοῦ ἐγείρεται. καθίστα-
ται ἀντὶ τοῦ γίνεται. διίσταται ἀντὶ τοῦ χωρί-
ζεται. μεθίσταται ἀντὶ τοῦ μετατίθεται. παρί-
στησί τις ὃ ἀποδείκνυσι. παρίσταται δέ τινι τόδε
ἀντὶ τοῦ δοκεῖ. καὶ παρίσταται ἀντὶ τοῦ πλη-
σίον ἵσταται καὶ ἀντὶ τοῦ συμμαχεῖ. ἀφ' οὗ πα-
ραστάτης. καὶ παρίσταται ἀντὶ τοῦ ὡς δοῦλος
ἵσταται. ἀνθίσταται ἤτοι μάχεται. ἐφίστησί τις
τοῖς ἀναγινωσκομένοις μετ' ἐπιστασίας αὐτὰ
διιών. ἐφίσταται δὲ ὁ ἐλθών. περιίσταται ἀντὶ
τοῦ κύκλῳ ἵσταται. ἀφίσταται ἤτοι πόρρω γίνεται.
ὑφίστησι μὲν ὁ θεὸς τὰ πάντα ὑπόστασιν τούτοις
διδούς. ὑφίσταται δὲ ὁ λυπηρὰ πάσχων.
Τ ὰ διὰ τοῦ ιτης. ἅπαντα εἴτε διὰ τοῦ ι. εἴτε διὰ τοῦ
υ. ψιλοῦ μακρᾷ παραλήγονται. οἷον πολίτης
πρεσβύτης. τὸ δὲ κριτὴς καὶ δικαιοκρίτης
βραχέα.
Ἱ στορῶ. τὸ παλαιὸν τόπον διέρχομαι καὶ ἱστορῶ
τὰ παλαιὰ πράγματα ἀφηγοῦμαι καὶ τὸ

ἐρωτῶ ποιητικῶς.

Ι χνος. ὁ τύπος τοῦ ποδὸς καὶ ἀπὸ τούτου ἡ πορεία ἀφ' οὗ πάλιν ἴχνος ἡ πορεία. ἐπεὶ γὰρ διὰ τῶν ποδῶν ἡ πορεία γίνεται, λέγεται τὸ ἴχνος κατὰ μεταφορὰν ἀπὸ τῶν ποδῶν καὶ ἐπ' ἄλλων· οἷον ἴχνη χειρῶν. καὶ ἴχνος ἀνθρώπου. καὶ ἴχνος παλαιᾶς αἰτίας παρὰ τῷ σοφοκλεῖ. καὶ ἴχνη ἀγαλμάτων καὶ ἁπλῶς ἐπὶ πάντων τῶν ἀμυδρῶς καὶ ἐν τύπῳ φαινομένων.

Ι χθυάω ἰχθυῶ καὶ ἰχθυάομαι ἰχθυῶμαι ἰχθυώμενοι ἀντὶ τοῦ ἰχθύας ἀγρεύοντες. καὶ ἰχθυᾶ ἀντὶ τοῦ ἰχθύας ἀγρεύειν ἐπιθυμεῖ. καὶ ἕτερα ὅσα δευτέρας συζυγίας ὄντα καταλήγουσιν εἰς ᾶ. ἐπὶ τοιαύτης σημασίας λαμβάνονται· οἷον μαθητιᾷ ἀντὶ τοῦ ὀρέγεται μαθεῖν.

Ι ωνία. χώρα καθ' ἣν ἡ σμύρνα καὶ ἡ ἔφεσος μᾶλλον γραπτέον αἰσχίων καὶ αἴσχιστος. ἢ αἰσχρότερος καὶ αἰσχρότατος. ὡς ἐχθίων ἔχθιστος καὶ κακίων κάκιστος.

Τ ὰ διὰ τοῦ ιω ῥήματα οἷον κυλίω κονίω ἐσθίω. ἐπὶ μὲν τοῦ ἐνεστῶτος βραχὺ ἔχουσι τὸ ῑ. ἐπὶ δὲ τοῦ μέλλοντος μακρόν.

Τ ὰ διὰ τοῦ ιῶ πλεονάζοντα ῥήματα, οἷον ἰῶ τὸ θεραπεύω. ἐσιῶ τὸ διώκω. κατηφιῶ ἐρυθριῶ βραχὺ ἔχουσι τὸ ῑ. σοφοκλῆς δὲ τὸ ἀνιῶ μακρὸν δέχεται πανταχοῦ.

Δ ὶ εἰς ῑ λήγουσαι ἐπεκτάσεις. οἷον τουτί. δευρί. ἐνθενί. καὶ τὰ παραπλήσια μακρὸν ἔχουσι τὸ ῑ.

Τ ὰ εἰς ιψ. ἐπὶ τῆς εὐθείας, θέσει μακρὸν ἔχουσι τὸ ῑ. ἐπὶ δὲ τῶν πλαγίων φύσει. οἷον ῥὶψ ῥιπός. γὺψ γυπός. ἶψ ἰπός. οὕτω καὶ φοῖνιξ φοίνικος καὶ κήρυκος.

ΑΡΧΗ ΤΟΥ Κ.

κ Αθίζω ἕτερον μεταβατικῶς. καὶ καθίζω ἐπὶ ἀμεταβάτως. καθέζομαι δὲ ἐπὶ ἀμεταβάτου καθέζομαι καὶ καθίζομαι καὶ καθίζω καθιζοῦμαι καὶ καθίσω ἐκάθισα ἐκαθισάμην. καὶ χωρὶς τοῦ ι. ὁ παρατατικὸς ἄχρηστος. μόνον τὸ τρίτον τῶν ἑνικῶν καθῆστο. τὸ προστακτικὸν κάθησο. οὐχὶ κάθου. τὸ τρίτον καθήσθω. τὸ ὑποτακτικὸν καθῶμαι ἡ μετοχὴ καθήμενος. τὸ δὲ καθεσθήσομαι καὶ ἐκαθέσθην βάρβαρα.

Γ προκαλοῦμαι. πρὸς πόλεμον καὶ πρόκλησις ἐπὶ πολέμου. ἐκκαλοῦμαι δὲ τὸ διά τινος καλῶ τινα ἀπὸ τῆς οἰκίας. ἰστέον ὅτι. ὅταν ὦσιν αἱ προθέσεις ἐν παραλλήλῳ λαμβανόμεναι. ἢ ὡς συλλαβαὶ προστιθέμεναι τοῖς ῥήμασι, τότε μετὰ τῆς προθέσεως αὐξάνονται τὰ ῥήματα. οἷον καθίζω ἐκάθισα. καθεύδω ἐκάθευδον. ἐνέπω ἤνεπον. καμμύω ἐκάμμυσεν. οὐ γὰρ ἕτερόν τι δηλοῦσι μετὰ τῶν προθέσεων τὰ τοιαῦτα. ἀλλ' ὅπερ ἐδήλουν καὶ χωρὶς αὐτῶν τοῦτο καὶ πάλιν δηλοῦσι καὶ μετ' αὐτῶν.

Τ ὸ καθεύδειν. τὸ κνώσσειν τὸ ἰαύειν. δηλοῦσι μὲν τὸ ὑπνοῦν. ἐνίοτε δὲ λαμβάνονται καὶ ἐπὶ τῆς ψιλῆς κατακλίσεως.

Τ ὸ μὲν καθὰ οἱ ἀττικοὶ χρῶνται. τὸ δὲ καθώς οὐδέποτε. ἀλλ' ἡ τῶν ἀλεξανδρέων διάλεκτος καθ' ἣν ἡ θεία γραφὴ γέγραπται.

Κ αδμεία. νίκη παροιμιακῶς ἐπὶ τῶν κακῶς νικώντων. καδμεία καὶ ἡ ἀκρόπολις τῶν θηβῶν. ἀπὸ κάδμου τοῦ τὴν πόλιν κτίσαντος. ἡ δὲ τῶν ἀθηναίων ἰδίως ἀκρόπολις ἐκαλεῖτο. ἡ δὲ τῆς κορίνθου ἀκροκόρινθος.

Κ ακῶ κακῶ ἕτερον. κακύνομαι δὲ ἀντὶ τοῦ κακὸς γίνομαι ἀμετάβατον.

Κ ακώσεως δίκη ἐστὶ τοῖς τε ἐπικλήροις κατὰ τῶν γεγαμηκότων, καὶ κατὰ τῶν παίδων τοῖς γονεῦσι καὶ κατὰ τῶν ἐπιτρόπων ἡ ὑπὲρ τῶν ὀρφανῶν. ἐπίκληρος δὲ ἐστὶν ἡ ἐπὶ παντὶ τῷ κλήρῳ ὀρφανὴ καταλελειμμένη μὴ ὄντος αὐτῇ ἀδελφοῦ. ἡ δ' αὐτὴ λέγεται καὶ ἐπικληρεῖτις.

Κ άλλαια. ἐν τῶν ἀλεκτρυόνων πώγωνες. κάλλη δὲ τὰ ἄνθη τῶν βαμμάτων.

Κ άλαμοι κυρίως ἐπὶ τῶν ἐπιτηδείων εἰς τὸ γράφειν. καὶ εἰς αὐλοὺς καὶ εἰς ἄλλα τινά. δόναξ δὲ ἐπὶ τῶν ἐπιτηδείων μόνων εἰς αὐλούς.

Κ αῖσαρ ὄνομα ἐστὶν ὃ καὶ ῥωμαϊκὸς ἑρμηνεύεται ἀνατομή. ἀνέτεμον γὰρ τὴν αὐτοῦ μητέρα καὶ ἐξέβαλον αὐτόν. ἐγένετ' οὖν καὶ αὐτὸς ὕπατος τοῦ στρατοῦ. καὶ ἰδιοποιησάμενος τὸν ὑφ' αὐτὸν, ἐκράτησε τῆς ἀρχῆς καὶ ἐντεῦθεν τετίμηται τὸ ὄνομα αὐτοῦ. καὶ μετετέθη τοῖς μετὰ ταῦτα εἰς σύμβολον τιμῆς. καὶ ἔστι ῥωμαϊκόν. καλὸς ἐπὶ σώματος, ὁ ὡραῖος. ἐν τῷ ἐναντίῳ αἰσχρὸς ὁ δυσειδής.

Κ αλλιέρημα ἢ ἀφιέρωσις. ὥσπερ τὸ τρίτον ἐπὶ μορίων ἢ τὸ τέταρτον. ἢ τί ἕτερον τῆς ἀκολουθίας ταύτης. ἐνίοτε μὲν λέγεται μόνον. ἐνίοτε δὲ μετὰ τῆς συνθέσεως τοῦ μορίου. ἤγουν τριτημόριον ἢ τεταρτημόριον, οὕτω καὶ τὸ κακὸν ἐπὶ φόνου. ἐνίοτε μὲν λέγεται μόνον. ἐνίοτε δὲ μετὰ τῆς συνθέσεως τοῦ φόνου, ἤγουν κακόφονον.

Κ άπος ἡ συνεχὴς ἀναπνοή.

Ο κάλως. τοῦ κάλω γράφεται διὰ τοῦ ω μέγα κατὰ ἀποβολὴν τοῦ σ. ὡς μενέλεω. καὶ ὁ κάλος τοῦ κάλου διὰ τοῦ ο μικροῦ. καὶ κάλως κάλωος. ὡς ἔχει τὸ ποιητικὸν ἐκεῖνο. ῥοχθεῦσι δὲ κάλωες, ἔστι δὲ ἐκ τούτου παροιμία πάντα κάλων κινεῖ. ἐπὶ τῶν εὖ καλῶς σπουδαζόντων. ἡ μεταφορὰ ἀπὸ τῶν ναυτιλλομένων. οἵτινες πάντα τὰ σχοινία κινοῦσι πρὸς πλοῦν. πάντα κάλων κινεῖ ἀντὶ τοῦ πᾶσαν μηχανήν.

Κ αταχύματα. τὰ καταχεόμενα ὕδατα. ἐπὶ λουτρῶν καὶ τῶν ὁμοίων. καταχύσματα δὲ αἱ ἰσχάδες καὶ τἄλλα τραγήματα τῶν νέων ἢ τῶν δούλων, ἃ κατέχεον. ἀεὶ σοφαρεῖς. δ' τ' οὐχὶ δι' ἐξ

τοῦτα τὰ καταχύσματα. καὶ δημοσθένης, ἐν τῷ κατὰ στεφάνου ψευδομαρτυριῶν. ἀλλ' αὐτὸς μὲν οὐκ ὤκνησε τὴν δέσποιναν γῆ μου. ἢ τὰ καταχύσματα αὐτοῦ κατεχθέντο τι ὁπότ' ἐωνήθη.

Καταλύει τις εἰς πανδοχεῖον. ἀπὸ μεταφορᾶς τάττεται τῶν καταιρόντων ἀπὸ πελάγους εἰς λιμένα. ὡς ἀπὸ ὕψους δῆθεν ποιός. λέγεται καὶ ἐνθάδε τῶν ἐπ' ὀχήματος φερομένων. οἷον λύσας τοὺς ἵππους κατάγεται εἰς πανδοχεῖον. κατάγεται τις λέγεται καὶ εἰς λιμένα. καὶ εἰς τὴν ἑαυτοῦ πατρίδα. ὅταν φυγὰς ὢν ἔπειτα συγχωρηθεὶς, οἴκαδε ἀφίκηται. καὶ κάθοδος ἡ εἰς τὴν πατρίδα ἄφιξις. καταλύει δὲ τὸν βίον μεταβατικῶς. καὶ ἀναλύει τὸν βίον ἤγουν διαφθεῖ εἰς τὰ ἐξ ὧν συνετέθη. ἡ γὰρ ἀνὰ τὴν εἰς τοὐπίσω ἀναστροφὴν δηλοῖ. ὡς ἐπανέζευξε καὶ ἐπανῆλθεν. ἔχει δὲ ταῦτα καὶ τὴν ἐπισημαίνουσαν κίνησιν. οἷον ἀναστραφεὶς, τὰ εἰς ἄκρον ἡνωμένα λύω. καὶ ἀνάλυσις. ὅμηρος δὲ τὴν ἱστὸν τῆς πηνελόπης ἀνάλυσιν ὀνομάζει ὡς μεθ' ἡμέραν μὲν [illegible] ἐξυφαινούσης. νύκτωρ δ' αὖ πάλιν καταλυούσης. δηλούσης καὶ τῆς ἀνὰ τὴν ἐκ δευτέρου φύσιν, ὡς πολλάκις ποιησάσης τοῦτο.

Ἡ κατὰ πρόθεσις ὅτε δηλοῖ τὸ ἐπάνω μετὰ γενικῆς συντάσσεται. οἷον κατὰ ψάμμου ἀθύρουσι τὰ παιδία καὶ κατὰ γῆς ἵσταται. καὶ ὅτε μὲν συντάσσεται γενικῇ, λόγον ἐπιφέρει τινὰ ἢ ὕβρεως καὶ καταφορᾶς ἢ ἐπαίνου. ἢ καθολικώτερόν τι πρὸς μερικώτερα. ὡς τὸ γένος πρὸς τὰ εἴδη καὶ τὸ εἶδος τῶν ὑφ' αὐτὸ ἀτόμων. ὅτε δὲ αἰτιατικῇ συντάσσεται στάσιν δηλοῖ ἐν τινι πράγματι. καὶ κίνησιν ἐνίοτε. σημαίνει δὲ ἐν τῇ συνθέσει πλεῖστα ἔμφασιν. οἷον κατάφασιν καὶ καθαίρεσιν καὶ καταβολὴν οἷον καταβάλλω καθαιρῶ.

Καταλείπω καταλείψω κατέλειπα κατέλιπον. καταλείπομαι καταλέλειμμαι κατελείφθην. καταλειφθήσομαι καταλελείψομαι.

Κατόπτρον ὁ λατινικῶς λεγόμενος καθρέπτης. ἔσοπτρον δὲ τὸ κοινῶς φακεῖον.

Τὸ κάρα τὸ μὲν πρότερον ἔχει βραχύ. οἷον παίζεσ' κάρα, ὀξύνει. ὥς τε οὔτε εἰς α λήγοντα πάντα τὸ δεύτερον συστέλλει. κρᾶτα δὲ τὴν κεφαλήν. ἔστι δὲ εὐθεῖα ἡ κράς. τὸ μὲν πρότερον μακρόν. τὸ δὲ δεύτερον βραχύ. τὸ κρᾶτα δὲ οὐδέτερον βραχύ.

Κατασκευάζω τὸ ἐργάζομαι. καὶ ποιῶ. λέγεται δὲ ἐνθάδε τῶν ποικίλως συνισταμένων. καὶ ὄνομα ἀπὸ τούτου κατασκευὴ ἡ τάξις τῶν κατασκευαζόντων καὶ τὸ ἔργον τὸ κατασκευασθέν. ἀνασκευάζω δὲ κατασκευαζόμενον ἀνατρέπω. ἐναντίον γὰρ τῷ κατασκευάζειν τὸ ἀνασκευάζειν. καὶ ὄνομα ἀπὸ τούτου ἀνασκευή. ἐναντίον τῇ κατασκευῇ. συσκευάζω τὸ σκευωρῶ. ἀφ' οὗ ὄνομα συσκευὴ ἡ σκευωρία. μετασκευάζω τὸ μεταποιῶ. παρασκευάζω τὸ εὐτρεπίζω. ἐπισκευάζω τὸ ἐπὶ τῷ προϋπάρχοντι κόσμον προστίθημι.

Κατέγνωσαν αὐτοῦ τοῦ κατέκριναν αἰτιατικῇ. κατέγνωσαν δὲ ἐνθάδε καταγνώσεως γενικῇ.

Τὸ κατηγορῶ ἀπὸ γενικῆς εἰς αἰτιατικήν. οἷον κατηγορῶ σου ἀμαθίαν. κατηγορῶ τὸ κατά τινος λέγω. καὶ κατηγορῶ τὸ φάσκω παρὰ φιλοσόφοις, γενικῇ. κατηγορῶ δὲ τὸ παριστῶ αἰτιατικῇ. ὡς τὸ κατηγοροῦσιν ἡ θλίψις μικροψυχίαν. καὶ κατηγορεῖ τὸ σκυλάκιον τὸ προσελθὸν πρῶτον τῆς μητρὸς τὸν πατέρα. ἀντὶ τοῦ δεικνύει ἐν αὐτῷ. κατηγορεῖν καὶ τὸ κατά τινος ἀγορεύειν. καὶ ἔχει τὴν σύνταξιν ἀπὸ γενικῆς εἰς αἰτιατικήν. οἷον κατηγορῶ σου φόνον. κατηγορῶ σου ἀδικίαν. καὶ ἔστι μὲν ἡ τετελεσμένη σύνταξις αὐτοῦ αὕτη. ἔστι δ' ὅτε καὶ μετὰ γενικῆς μόνης λεγόμενον. τὸ τοιοῦτον δὲ καὶ ἐν ἄλλοις συμβαίνει πλείστοις. οἷον προσέχω τὸν νοῦν τοῖς λεγομένοις. λέγεται δὲ καὶ προσέχω τοῖς λεγομένοις χωρὶς ἐκείνου. καὶ τὸ φθονῶ ἐντελῶς μὲν ἔχον τῆς συντάξεως, ἀπὸ δοτικῆς εἰς γενικὴν συντάσσεται. οἷον φθονῶ σοι τοῦδε. λέγεται δὲ καὶ φθονῶ σοι μόνον καὶ ἔτι φθονῶ τῆς σῆς ἀρετῆς.

Κάταξις. ἐνθάδε ἐστὶν ἡ τοιοῦτόν τι ἄγω. καὶ τὸ κλᾶν ἐνθάδε τοῦτον λέγεται. θραύειν καὶ συντρίβειν ἐνθάδε ξηρῶν. ἔστι δὲ συντρίβειν κυρίως τὸ εἰς χνοῦν λεπτύνειν. τέμνειν δὲ ἐνθάδε ἀπουδήποτε διαιρουμένων. ἢ ξίφει ἢ ἐγχειριδίῳ ἢ τοιούτῳ τινι. καὶ τὸ κόπτειν ἐνθάδε τούτων. ἔστι δὲ κόπτειν καὶ τὸ κρούειν. ὡς τὸ τίς ἔστιν ὁ κόψας τὴν θύραν.

Τὸ κατεχάνθη δοτικῇ συντάσσεται. ὡς τὸ δεινοῖς πολλοῖς κατεχάνθην.

Κατάκλισις. ἡ συντελεσθεῖσα καὶ κατακλίνεται ἡ οἰκία ἤτοι καταπίπτει. ἀνάκλισις δὲ ἡ ἀνάπαυσις. καὶ ἀνακλίνεται ἐπὶ ἀναπαύσεως. κλίσις δὲ ἁπλοῦν ἐπὶ τοιαύτῃ σημασίᾳ ποιητικόν ἐστι.

Κατέστη κυρίως ἐπὶ ὑγρῶν. οἷον ὕδατος καὶ τῶν τοιούτων. ὅτε τεθολωμένον ἦν κατέστη. ἀπὸ τούτου καὶ ἐπὶ πραγμάτων. ὅτε ἀπὸ ταραχῆς καὶ συγχύσεως εἰς εἰρήνην ἔλθωσι. κατέστην σοι εἰς λόγους ἀντὶ τοῦ ὡμίλησά σοι. καταστὰς εἰς ἀπολογίαν ἀντὶ τοῦ ἐλθών.

Καρπός. ὁ τῶν δένδρων. ὅθεν καὶ ἄκαρπα δένδρα ὧν ὁ καρπὸς οὐκ ἔστι βρῶσις τοῖς ἀνθρώποις. καὶ κάρπιμα τὸ ἐναντίον. καὶ εὔκαρπα τὰ εὐφοροῦντα πολλοὺς καρπούς. καὶ εὔκαρπος γῆ ὁμοίως. καρπὸς καὶ τὸ μεταξὺ τῶν δακτύλων τῆς χειρὸς καὶ τοῦ πήχεος. καρπὸς ὁ τῶν φυτῶν καὶ ἀπὸ τούτου ἐπὶ ἀρετῆς ἢ τοιούτου ἀφ' ὧν ἐκκαρπίζω τοὺς καρποὺς συνάγω. καὶ καρποῦμαι δόξαν ἢ πλοῦτον. ἢ τοιοῦτό τι. καὶ παρὰ λουκιανῷ τὰ ἀπὸ τῶν ἄλλων πονούμενα καρποῦται. ἤγουν ἐσθίει καὶ κερδαίνει.

καρπὸς καὶ τὸ πόδας τοῦ πήχεος. ἤγουν τῆς
ὠλένης. τὸ πρὸς τῇ σφαγῇ, οὐ τὸ πρὸς τῷ ἀγκῶ
νι. ἀφ' οὗ ἐπικάρπιοι κόσμοι.

Τ ὁ καὶ μετὰ ὑποτακτικῶν ὀφείλει τίθεσθαι
ὁ δὲ ἀριστοφάνης μετὰ ὁριστικοῦ τίθησιν. ὡς τὸ
καὶ δέδιμεν ἀποθανεῖν.

Κ έδρος. θηλυκῶς μὲν τὸ δένδρον. ἀρσενικῶς δὲ
ὁ καρπός. ἀλλὰ θύε τοὺς κέδρους.

σ καύσων. καὶ ὁ αἴθων διὰ τοῦ ω μεγάλου κλίνε
ται. ἐπειδὴ γὰρ ἐκ μετοχῶν εἰς ὀνόματα μετε
ποιήθησαν, καὶ τὴν διὰ τοῦ ντ κλιτικὴν ἀπέ
βαλον κλίσιν, εἰς τὴν φυσικὴν ἔκτασιν με
τέπεσον.

Κ είρομαι ἐνεστώς. ἐκειρόμην παρατατικός. κε
ροῦμαι μέλλων. ἐκειράμην ἀόριστος. ἐκάρην ἐπὶ
δευτέρου ἀορίστου. ὃ τάττεται ἀεὶ ἐπὶ κουρᾶς.

Τ ὁ κεῖσθαι. εἰς τὸ ἵστασθαι διαιρεῖται. εἰς τὸ κα
θῆσθαι καὶ εἰς τὸ ἀνακλίνεσθαι. ἐπίκειται τῇ
κεφαλῇ πῖλος. περίκειται δὲ στέφανος, καὶ πε
ρίκειμαι σῶμα. καὶ ἐνδύματα καὶ πλοῦτον
καὶ ἀρετὴν, περιλαμβάνουσι γὰρ ταῦτα ἐ
οὐκ ἐπίκειται.

Τ ὁ παρὰ τὸ κέρας καὶ κρέας καὶ γῆρας εἰς
ως ὀνόματα διὰ τοῦ ω μεγάλου γράφεται. οἷον
ἀγήρως. λειπόκρεως. καὶ τὰ μὲν ἄλλα κατὰ
ἀποβολὴν τοῦ σ κλίνεται. τὰ δὲ παρὰ τὸ κέ
ρας διὰ τοῦ τ. οἷον αἰγόκερως αἰγοκέρωτος. μο
νόκερως μονοκέρωτος.

Τ ὁ κελεύω ἐνεργητικῶς ἀεὶ γράφεται. μετὰ δὲ
προθέσεως συντιθέμενον παθητικῶς. ὡς τὸ
ἐγκελεύομαι καὶ παρακελεύομαι καὶ κέ
λομαι ποιητικῶς τὸ αὐτό.

Κ εραμεικός. τόπος ἐν ἀθήναις ἔνθα καὶ γυμνι
κός τις ἀγὼν ἐτελεῖτο. ἔοικε δὲ καὶ κεραμέων ἐρ
γαστήριον ἐκεῖθι τυγχάνειν. παρῆκται γὰρ ἀπὸ
τοῦ κεραμεὺς κεραμέως παρενθέσει τοῦ ι κε
ραμεικός.

Τ ὁ κέντει. συζυγίας ἐστὶ πρώτης τῶν περισπω
μένων.

Τ ὁ κεῖμαι. κείσομαι. ἐκείμην παρατατικός.
ἀπαρέμφατον κεῖσθαι. καὶ τὸ προστακτικὸν κεῖ
σο, διαλελυμένον ἔχει τὸ εὐκτικὸν αὐτοῦ, κεί
μην κέοιο κέοιτο. ὡσαύτως καὶ τὸ ὑποτακτι
κὸν ἐὰν κέωμαι ἐὰν κέῃ ἐὰν κέηται. καὶ ὅσα
τούτῳ παραπλήσια τὴν αὐτὴν ἀκολουθίαν
ἔχει.

Κ ηρίον. τὸ ζωὸν μέλιτι. κηρὸς ὁ κεχωρισμένος τοῦ
μέλιτος. λαμπὰς ἡ ἐκ ῥύπου κατεσκευασμέ
νη πρὸς τὸ φαίνειν.

Κ ῆτος. ἀπὸ τοῦ κύτος τὸ πλάτος. ὡς τὸ ἔμπαλιν
ἀπὸ τοῦ ἵστημι στῶ. στῆλος καὶ στύλος.

Κ ῆρας ἄγοντες τοῖς δὲ τὸ τοιῶσδε ἢ τοιῶσδε
ἀποθανεῖν δηλονότι ἢ πνιγῆναι ἢ κρημνισθῆ
ναι ἢ ἄλλο τι τοιοῦτον παθεῖν, ἐκεῖνο ἐκάλουν
κῆρας.

Κ ῆδος. σημαίνει ἕξ. τὴν κατ' ἐπιγαμίαν συγγέ
νειαν, τὸ πένθος, τὴν θεραπείαν, τὴν λύπην, τὴν
φροντίδα, καὶ τὸ κτῆμα. ὡς ὁ δίων. μὴ γάρ ἦν
ποτε ὦ ζεῦ λαβεῖν μὴ δὲ κερδᾶναι τοιοῦτον
κῆδος.

Κ ιθαρις ἡ λύρα, καὶ οἱ χρώμενοι αὐτῇ κιθαρι
σταί. οὓς ἡμεῖς λυρῳδοὺς φαμέν. κιθαρίζει δὲ ὁ
χρῆται ὁ κιθαρῳδός. αἰσχίνης ὁ τῷ κατὰ τι
μάρχου διαστέλλει. καὶ φησὶν οὕτω. περὶ αὐ
τὸν εἶχε κιθαριστὰς καὶ κιθαρῳδούς. κιθαρι
στὴς μὲν ἐστὶν ὁ μόνον ψάλλων. κιθαρῳδὸς δὲ ὁ ψάλ
λων καὶ ᾄδων.

Κ ινδυνεύω ἀντὶ τοῦ ἐν κινδύνῳ εἰμί. καὶ κινδυ
νεύω ποιεῖν τόδε, ὅπερ οὐ θέλω δηλονότι. ἀλλ'
ὑπό τινος ἀνάγκης εἰς τοῦτο συνελαύνομαι. καὶ
κινδυνεύω πείσεσθαι τόδε. ἀφ' οὗ κίνδυνος ἐπὶ
τῶν δύο τούτων σημαινομένων. κίνδυνος γὰρ αὐ
τὸ τὸ δεινόν. καὶ κίνδυνος πείσεσθαι τινὰ τόδε.
ὅπερ οὐκ αὐτὸ δηλοῖ τὸ δεινόν. ἀλλὰ τὴν ἐπὶ
τῷ δεινῷ συνελαύνουσαν ἀνάγκην.

Κ ίλιξ. ἀνήρ. κίλισσα γυνή. ὁμοίως λίβυς λίβυσ
σα. θρᾷξ θρᾷσσα. μάγνης μάγνησσα. κρὴς κρῆσσα.

Κ λῆσις μὲν ὅταν ἡ εἰς ὁτιοῦν τῶν δικαστηρίων γι
νομένη. πρόκλησις δὲ ἡ εἰς ἄρειον πάγον.

Τ ὁ κλάω καὶ κλαίω ἐπὶ παθητικοῦ παρακειμέ
νου, καὶ μετὰ τοῦ σ γράφεται. καὶ χωρὶς αὐ
τοῦ. ἄμεινον δὲ τὸ δεύτερον. τὰ δὲ ἀπὸ τούτων ὀ
νόματα, μετὰ τοῦ σ εὑρίσκεται πλεῖον. οἷον ἄ
κλαυστος καὶ ἄκαυστος. κλαίω κλαύσομαι
καὶ κλαίσω καὶ ἔκλαυσα.

Κ λῦσαι μὲν λέγεται ποτήριον ἢ ἄλλό τι ἀγγεῖον
νίψαι ἢ πρόσωπον ἢ χεῖρας. πλῦναι δὲ ἐσθῆτας.

Κ λίμαξ. ἡ σκάλα καὶ εἶδος παλαίσματος. κλέος
ἡ δόξα καὶ ἁπλῶς ἡ φήμη.

Κ ληρονομῶ γενικῇ. παρὰ δὲ τῇ θείᾳ γραφῇ αἰ
τιατικῇ.

Κ λέπτω οὐ μόνον τὸ ὑφαιροῦμαι σημαίνει, ἀλ
λὰ καὶ τὸ ἀπατῶ καὶ τὸ δωροδοκῶ. ὡς μαρ
τυρεῖ καὶ ὁ κωμικός. κλέπτων δὲ τοὺς βλέπον
τας ὑπὲρ ἑκόντισιν. ἤγουν δωροδοκῶν παρὰ
θε τοὺς νοοῦντας. καὶ συνέσιος φοβοῦ τοὺς δι
καστὰς ἂν μὴ κλέπτωσιν. ἤγουν ἂν μὴ δωροδο
κῶσι.

Κ λύδων ἐπὶ θαλάσσης λέγεται καὶ ἀπὸ τούτου
καὶ ἐπ' ἄλλων ὁμοίως θαλάττῃ ταραττομένων.

Κ λυδώνιον δὲ τὸ κῦμα τῆς θαλάσσης ὁ περὶ τῷ αἰγια
λῷ, ἀνθ' ἧς ὕσης ἐπικλύζεται. ἀλλὰ καὶ αὐτὸς ὁ
κλύδων λέγεται. ὁ καμὼν ὅτι παραλήγουσαν τὴν
αὐτὴν ἔχει ὁ παρακείμενος τῷ μέλλοντι. ἀλλ' ἐπὶ
τοῦ κεκλίμεθα τοῦτο οὐ διασώζεται. παντά
πασι γὰρ δῆλον ὅν, ἐκ τοῦ κλινῶ μέλλοντος τοῦ
το κλινόμενον. ὁ δὲ τὴν παραλήγουσαν συ
στέλλει. ὅτι τὰ ἀμετάβολα τηροῦντα ἢ ἐμπίπτον
συνεσταλμένην ἔχει τὴν παραλήγουσαν. ἢ ἐξα
κολουθεῖν ὁ παρακείμενος βούλεται ἐνταῦθα
μακρὸν εὕρηται. καὶ δῆλον ἐκ τοῦ ὑμῖν μὲν, ἡμῖν
τῷ χορῷ κεκλίμεθα παρὰ σοφοκλεῖ.

Τὸ κλύω. ποιητικόν ἐστι. λέγεται δὲ ἐστὶν ἐν τῇ ποιήσει ἀεὶ βραχύ. τὸ δὲ κλῦθι καὶ δῦθι καὶ φάθι, ὡς τὰ λοιπὰ τῶν εἰς θι ἀορίστων μακρᾷ παραλήγεται. καίτοι ἀπὸ τοῦ κλύε καὶ δύε κατὰ μεταπλασμὸν γενόμενα. διὰ τὸ ἐν ἀρχαῖς τῶν στίχων τίθεσθαι. τὸ δὲ κέκλυθι βραχύνεται διὰ τὸ ἐκτείνεσθαι τὸ κε. ὁμοίως καὶ τὸ ὄρνυθι. τὸ δὲ ἴθι βραχύνεται.

Κνίζειν τὸ ἐρωτικῶς λυπεῖν μεταβατικῶς. καὶ κνιζόμενος ὁ ἐρωτικῶς λυπούμενος. κνυζᾶται δὲ κύων ἀμεταβάτως διὰ τοῦ υ ψιλοῦ, ὅτε προσερχόμενος καὶ σαίνων λαλιάν τινα ἀπὸ χαρᾶς ἀφίησι.

Κνίσα τῶν ὀπτουμένων κρεάτων ἢ καὶ σμελέων. ἀτμὸς δὲ καὶ ἐπὶ τούτων καὶ ἐπὶ τοῦ πυρός.

Κνώδων τὸ ξίφος. κνώδαξ δὲ κνώδακες τὰ σιδήρια τοῦ τόρνου. ἐν οἷς τὸ τορνευόμενον ξύλον, ἐμβαλλόμενον στρέφεται.

Κνήμη τὸ ἔμπροσθεν τοῦ γόνατος. γαστροκνήμη δὲ τὸ ἔμπροσθεν παχύ. κόμπος ἡ διὰ τοῦ λόγου ἔπαρσις. ὄγκος δὲ ἐπὶ σώματος.

Κόμη ἐπὶ ἀνθρώπων καὶ φυτῶν. ὅθεν καὶ κομᾷ ὁ ἄνθρωπος ἤγουν κόμην φέρει. καὶ κομᾷ ὁ τόπος ἤγουν φυτὰ ἔχει. καὶ κομᾷ τὸ δένδρον τοῖς κλάδοις. καὶ κομᾷ τοῖς ἀγαθοῖς. ἤγουν θάλλει καὶ εὐθηνεῖ. καὶ κομᾷ ὁ πλούσιος τῷ πλούτῳ.

Κόλπος λέγεται ἐπὶ ἱματίων καὶ θαλάττης.

Κοινὸν γένος λέγεται, τὸ κοινότητα ἔχον κατὰ τὸ ὄνομα. διακεκριμένον δὲ τοῖς ἄρθροις. ἐπίκοινον δὲ τὸ κοινωνίαν ἔχον κατὰ τὸ ἄρθρον. οἷον ὁ ἀετός. δηλοῖ γὰρ καὶ τὸν ἄρσενα καὶ τὸν θήλειαν.

Κόρυδος μὲν τὸ ὄρνεον. λέγεται δὲ καὶ γῆς ἱερόν. κορύδαλος δὲ δῆμος Ἀθήνησιν ἐν ᾧ σωτείρας κόρης ἱερόν.

Κόνις τὸ χῶμα. κονὶς δὲ κόνιδος τὸ ἐπὶ τῆς κεφαλῆς φθειρῶδες.

Κορυδὸς ὁ κορυδαλὸς τὸ στρουθίον. τὸ ἔχον ἐπὶ τῆς κεφαλῆς ἀνεστηκότα πτερὰ ὥσπερ λόφον. ἐν λόφοις ὁ τῶν ἑλλήνων μῦθος τὸν τάφον εἶναι βούλεται τοῦ πατρὸς αὐτῶν. φασὶ γὰρ αὐτοὺς εἶναι πρὸ τοῦ τὴν γῆν συστῆναι. ἀποθανόντα δὲ τὸν πατέρα αὐτῶν ἐπεὶ οὐκ εἶχον ὅπου θάψουσιν, ἐπὶ ταῖς ἑαυτῶν θάψαι κεφαλαῖς. ὅπερ βούλεται δηλοῦν καὶ παρὰ τῷ θεοκρίτῳ, ἐπιτυμβίδιοι κορυδαλλίδες. ἤγουν αἱ ἐπὶ ταῖς ἑαυτῶν κεφαλαῖς ἔχουσαι τοῦ πατρὸς τύμβον.

Κολάζω τὸ τιμωροῦμαι καὶ τὸ παι- (φέρεται. δεύω. ἀφ' οὗ κεκολασμένον ἦθος τὸ πεπαιδευμένον. καὶ ἀκόλαστον ἦθος τὸ ἀπαίδευτον.

Κόπτω τὸ τέμνω καὶ κόπτω τὸ κρούω. ὡς τό, τίς ἔσθ' ὁ κόψας τὴν θύραν. ὁ κόπτων ἔξω τὴν θύραν, ἐπὶ τῶν ἔξωθεν. τὸ δὲ ψοφεῖν ἐπὶ τῶν ἔνδοθεν. κόπτομαι δὲ τὸ θρηνῶ.

Τὰ εἰς κος. τινὰ μὲν εἰσὶ κτητικά οἷον πλατωνικὸν βιβλίον καὶ βασιλικὸς λόγος. ὃν ἔγραψεν ὁ βασιλεύς. ἢ ὃν ἕτερος ἔγραψεν εἰς τὸν βασιλέα. τινὰ δὲ δηλοῦσιν ἐπιτηδειότητα πρός τι. οἷον δρομικός. ὁ ἐπιτηδειότητα ἔχων εἰς τὸν δρόμον. κἂν μηδέποτε ἔδραμε. καὶ πυκτικὸς ὁ ἐπιτηδειότητα ἔχων εἰς τὸ γενέσθαι πύκτης. καὶ γραμματικὸς ὁ δυνάμενος ἔχειν γενέσθαι γραμματικός, μηκέτι δὲ ὤν. τὰ δὲ, λέγονται ἐνεργείᾳ. οἷον μουσικὸς ὁ εἰδὼς μουσικήν. καὶ γραμματικὸς ὁ εἰδὼς γραμματικήν. τὰ δὲ, φύσει οἷον λογικὸς ὁ λόγῳ χρώμενος.

Κομίζω τὸ φέρω. ποιητικῶς τὸ ἐπιμελοῦμαι. διὸ καὶ γηροκόμος. κομίζομαι τὸ λαμβάνω καὶ τὸ φέρομαι.

Κόνις καὶ κονιορτὸς καὶ κονίσαλος ποιητικῶς τὸ αὐτό. κονία δὲ ἡ τίτανος διὸ καὶ ἐλαιοκονία καὶ κονιασμὸς τοίχου.

Κούρη ἐπὶ γυναικῶν ἡ κόρη, ὥσπερ ἐπὶ ἀνδρὸς ὁ κοῦρος. ἔστι δὲ ποιητικόν. ἀπὸ τούτου δὲ κατὰ σύνθεσιν ὁ κουροτρόφος ἐν χρήσει παρὰ τοῖς κοινοῖς. ὥσπερ καὶ μῆλον τὸ πρόβατον ποιητικόν. μηλωτὴ δὲ κοινόν.

Κόκκος λέγεται καὶ ὁ τοῦ σίτου κόκκος, καὶ ὁ τὸ κόκκινον βάπτων.

Κοτυληδόνες κυρίως τὰ τοῖς πλοκάμοις τοῦ πολύποδος ἐπικείμενα κοιλώματα, δι' ὧν τῶν πετρῶν ἐπιλαμβάνονται.

Κομιδῇ ἐπίρρημα ὁρισματικόν. οὕτω καὶ τὸ κοινῇ γεγόνασι δὲ ἀπὸ δοτικῆς. οἷον ἡ κομιδὴ τῆς κομιδῆς τῇ κομιδῇ. εἶτα κομιδῇ ἀντὶ τοῦ λίαν. οὕτω καὶ ἡ κοινὴ τῆς κοινῆς τῇ κοινῇ. εἶτα κοινῇ ἀντὶ τοῦ κοινῶς.

Κοντὸς μὲν τὸ μακρὸν δόρυ. ἀκόντιον δὲ τὸ βραχὺ καὶ ῥιπτόμενον.

Κρανίον λέγεται τὸ ὀστοῦν τῆς κεφαλῆς. ὅταν ἐπιλειπουσῶν τῶν σαρκῶν αὐτὸ καταλείποιτο μόνον.

Κρατῶ τὸ ἅπτομαι αἰτιατικῇ. κρατῶ δὲ τὸ νικῶ γενικῇ καὶ αἰτιατικῇ. οἷον ἀμυμώνη ἡ τοῦ δαναοῦ θαμίζουσα ἐπὶ τὸ τοῦ ἰνάχου ὕδωρ κεκράτηκε τοῦ θεοῦ. ἤγουν εἰς ἔρωτα ἑαυτῆς ἐκίνησε τὸν θεόν. ὡς ἐκείνην μὲν κρατεῖν τοῦ θεοῦ, τὸν δὲ θεὸν ἡττᾶσθαι αὐτῆς. καὶ κράτος ἤρατο ἀντὶ τοῦ ἐδέξατο. διὰ τί καὶ τὰς αἰτιατικὰς ἑνικὰς τῶν ἀρσενικῶν καὶ θηλυκῶν, καὶ τὰς πληθυντικὰς εὐθείας καὶ αἰτιατικὰς τῶν ἀρσενικῶν καὶ θηλυκῶν, καὶ οὐδετέρων τῶν ἀπὸ τῶν εἰς ων συγκριτικῶν συναλείφουσιν ἐκβάλλοντες τὸ ν. συναλείφουσι δὲ εἰς ἃ ἔχει τὰ φωνήεντα συνήθειαν συναλείφεσθαι. οἷον τὸν κρείττονα τὸν κρείττω. τὸ γὰρ ο καὶ α εἰς ω μέγα κιρνᾶται ἐπὶ τῶν ἄλλων πτώσεων τῆς αἰτιατικῆς τῶν πληθυντικῶν τῶν ἀρσενικῶν καὶ θηλυκῶν τὴν κρείττονα τὴν κρείττω. τοὺς πλείονας τοὺς πλείους. τὸ γὰρ ο καὶ ε ἐπὶ τῆς αἰτιατικῆς τῶν πληθυντικῶν τῶν ἀρσενικῶν καὶ θηλυκῶν εἰς τὴν ου δίφθογγον κιρνᾶται. αἱ πλείονες αἱ πλείους. τοὺς πλείονας τοὺς πλείους. καὶ

ἐπὶ δὲ τῶν ἑτέρων τὰ πλείονα τὰ πλείω ἢ τοὶ λέγουσι καὶ τὸν ἥρωα ἥρω κατὰ ἀποκοπήν. καὶ τὸν ποσειδῶνα ποσειδῶ. καὶ τὸν ἀπόλλωνα ἀπόλλω. καὶ ἄλλας πολλὰς αἰτιατικὰς ὁμοίως.

Κ λείω. καὶ ἔκλεισα μακρόν. κλεισῶ δὲ καὶ κέκλεικα καὶ κέκλειμαι. καὶ ὅσοι ἀπὸ τούτων χρόνοι, βραχὺ ἔχουσι τὸ ι. καὶ τὰ ἀπ᾽ αὐτῶν ὀνόματα. οἷον κλεῖσις, κλεῖμα, καὶ ἐπὶ πάντων τῶν διὰ τοῦ ειω ἡ αὐτὴ ἀκολουθία, ὥς τε κεῖναι μὲν καὶ κλῖναι καὶ πάντα τὰ τῆς συζυγίας ταύτης μακρά, εἰ γὰρ περιεσπᾶτο ὁ μέλλων, τὴν παραλήγουσαν αὐτοῦ ἐκτείνει ὁ ἀόριστος.

Κ ήρω. ὁ κύρσω ἔκυρσα κύρσαι, οὐ πάντως, ὅτι μὴ παρέσπαρται. ἐπὶ ποιητικῶν λέξεων συντέθειται τινά, ἤγουν παράγονται. καὶ εὑρίσκονται ἐν τῇ κοινῇ χρήσει. οἷον ἀπὸ τοῦ κάρα καὶ τοῦ δεσμὸς τὰ κρήδεμνα, ὥσπερ γὰρ καὶ τὸ κρᾶτα, καὶ ἡ κρὰς ποιητικόν. κεφαλὴ δὲ κοινόν.

Κ ρέας καὶ κρῶς, καὶ πάλιν ἡ περικεφαλαία κράφεται. Κρυφάλαια δὲ ποιητικῶς, τὸ αὐτό.

Κ ρίνειν τὸ ἐξετάζειν, καὶ δοκιμάζειν, καὶ βασανίζειν. ὃ καὶ ἀνακρίνειν ἀττικῶς γράφεται. ὡς τὸ ἀνερωτᾶν, καὶ ἀναπυνθάνεσθαι, τὸ ἐρωτᾶν καὶ πυνθάνεσθαι προσκειμένης τῆς ἀπό, ἢ τῆς ἐξ, ἢ τῆς διὰ προθέσεως, σημαίνει τὸ χωρίζειν καὶ ἐκλέγειν. μετὰ δὲ τῆς ἐν, δηλοῖ τὸ ἐγκαλεῖν, καὶ ἐν ταύτῃ, καὶ ἐγκαταλέγειν. μετὰ δὲ τῆς σύν, τὸ παραβάλλειν καὶ παρεξετάζειν, καὶ παραθεωρεῖν. μετὰ δὲ τῆς πρό, τὸ προτιθέναι, καὶ προτιμᾶν.

Κ ρείττων ἡδονῆς, ὁ τὴν ἡδονὴν νικῶν. ἥττων δὲ ἡδονῆς ὁ ὑπ᾽ αὐτῆς ἡττώμενος. οὕτω καὶ κρείττων τοῦ χρυσοῦ ὁ ἄνθρωπος, καὶ δῶρα τοῖς. καὶ ἥττων χρυσοῦ καὶ δώρων.

Κ ρατὴρ σκεῦός τι ἐν ᾧ τὸν οἶνον οἱ παλαιοὶ κεραννῦντες ὕδατι, ἐξ αὐτοῦ ἔπινον λαμβάνοντες. ψυκτὴρ δὲ ἐν ᾧ τὸν οἶνον ἔψυχον.

Λ υκοκτόνος ἀνθρωποκτόνος παιδοκτόνος. ξιφοκτόνος, καὶ ὅσα βαρύτονα, ἐνέργειαν δηλοῖ. ξιφόκτονος δὲ καὶ τὰ ὅμοια προπαροξύτονα, πάθος σημαίνουσιν. οἷον λυκόκτονος, ὁ ἀπὸ λύκου κτανθείς. λυκοκτόνος δὲ ὁ λύκους κτείνας. καὶ ξιφόκτονος ὁ ἀπὸ ξίφου κτανθείς. ξιφοκτόνος δὲ ὁ μετὰ ξίφους κτείνων.

Κ ύπτειν τὸ ἐπικεκύφθαι τῷ σώματι. κυπτάζειν δὲ τὸ στραγγεύεσθαι. ἀριστοφάνης. τί κυπτάζεις ἔχων περὶ τὴν θύραν.

Κ υκλίω. κυκλῶ τὸ στρέφω. Κυκλέω δὲ κυκλῶ τὸ περιλαμβάνω.

Τ ὸ κῦμα παρὰ τοῖς ποιηταῖς, λέγεται ἅλμα, καὶ λαῖτμα. λέγεται δὲ παρ᾽ αὐτοῖς λαῖτμα καὶ ἡ θάλασσα. εἰς δύο γὰρ διῃρημένης τῆς οἰκουμένης, γῆν τε καὶ θάλασσαν, λαιὸν τμῆμα ἡ θάλασσα.

Τ ὸ κύμβαχος ποιητικόν. δηλοῖ δὲ τὸ εἰς ὤμους καὶ κεφαλὴν κεῖσθαι.

Κ υέω κυῶ τὸ ἐγκυμονῶ καὶ συλλαμβάνω, καὶ οὐ τὸ τίκτω, παρὰ τοῖς ῥήτορσιν. ὅθεν καὶ κύησις ἡ ἐγκυμόνησις καὶ ἡ σύλληψις. κυέω δὲ τὸ φιλῶ.

Κ ωμάζειν. λέγεται τὸ ἐν ἑορτῇ νυκτὸς τὸ ἐπὶ ἑρωμένην πορεύεσθαι ἐστεφανωμένον, καὶ αὐλοῦντα ἢ ἕτερόν τι ἁρμόδιον αὐτῷ ποιοῦντα. καὶ κῶμος ἡ ἐργασία τῶν τοιούτων. καὶ κῶμος δαίμων ἔφορος τῶν τοιούτων.

Κ ώμη ἐστίν, ἡ ἀτείχιστος τῶν ἀνθρώπων συνοικία.

Κ ωθωνίζομαι τὸ μεθύω ἐκ κώθωνος.

ΑΡΧΗ ΤΟΥ Λ.

Λ ακεδαιμονία ὠνομάσθη, ἀπὸ τοῦ λάχος ὁ κλῆρος, καὶ τοῦ δαίμων ἐν αὐτῇ γὰρ ὥς φασιν, οἱ θεοὶ τὰς πόλεις ἐκληρώσαντο. γίνεται οὖν λαχεδαιμονία καὶ τροπῇ τοῦ χ εἰς κ, λακεδαιμονία.

Λ αμβάνω. λήψομαι, ἔλαβον, εἴληφα, λαβὲ μὲν τὸ ἐνεργητικὸν αἰτιατικῇ. τὸ δὲ παθητικὸν γενικῇ. τὸ λαβοῦ δὲ καὶ τὸ τυποῦ καὶ πάντες οἱ μέσοι δεύτεροι ἀόριστοι περισπῶνται. σεσημείωται τὸ τράπου καὶ ἐπιλάθου καὶ ἀφίκου.

Λ αγχάνω. τὸ δέ τι. μετὰ δὲ ἐπιρρήματος, γενικῇ. οἷον λαγχάνω καλῶς τοῦ δεινός, καὶ μεταλαγχάνω ὁμοίως γενικῇ.

Τ ὸ λάβε. τὸ λαμβάνω ἀχρήστου θέματος, ὁ δεύτερος μόνος ἀόριστος ἐστὶν ἐν χρήσει, ἐν πάσαις ταῖς ἐγκλίσεσι.

Ὁ λαγωός. καὶ κλίνεται τοῦ λαγωοῦ, καὶ ἔστι κοινόν. ὁ λαγὼς δὲ τοῦ λαγὼ ἀττικῶς. ὡς μενέλεως μενέλεω. ἐκ δὲ ὥσπερ φυλάττει καὶ τὸν τόνον τῆς εὐθείας.

Λ άγνες ἐπὶ ἀνδρῶν ἤγουν λίαν γόνιμος. μαχλὰς ἐπὶ γυναικῶν.

Λ ' ντιλαμβάνω ἑτέρου ἀνθ᾽ ἑτέρου, ἀντιλαμβάνομαι δὲ τοῦ ἱκέτου, ὅ ἐστι βοηθῶ. ἐπέλαβε μὲν ἡλίου δύντος τὴν γῆν σκότος. ἐπελάβετο δέ τις ἑτέρου τὸ μὴ προσῆκον αὐτῷ εἰπόντος, ἢ πράξαντος.

Λ άπτω τὸ ἀναρροφῶ κυρίως ἐπὶ κυνός.

Λ αιμαργία. ὁ λαιμὸς ποιητικὸν ἀπὸ τοῦ λάω τὸ ἀπολαύω.

Λ αῦρον. τὸ μέγα λαμβάνεται δὲ ἐπὶ τῶν φυσικῶν στοιχείων. οἷον λαῦρος ὑετός. λαῦρος ἄνεμος. καὶ λαῦρον πῦρ. ἤτοι μέγα καὶ πολύ, ἀπὸ τούτων δὲ καὶ ἀλλαχοῦ εἰς σημασίαν τοιαύτην.

Λ αοφόρος. ὁ λαὸν φέρων. λαόφορος δὲ προπαροξυτόνως ὁ ἀπὸ λαοῦ φερόμενος.

Λ ειμών. τόπος ὑγρός, ἄνθη ἔχων, τὸ κατὰ τοὺς λεγόμενον λιβάδιον. λειμωνιάς δέ, ἡ ἐν τῷ λειμῶνι χλόη. κῆπος ὁ τῶν λαχάνων καὶ τῶν δένδρων. παράδεισος ὁ δένδρα ἥμερα ἔχων. ἄλσος δὲ καὶ δρυμών, καὶ λόχμη, ἐπὶ ἀγρίων δένδρων ἐπὶ ξηρᾶς ἱσταμένων, ἕλος δὲ τόπος λιμ

μνώδης καὶ καλαμώδης.

Λ ευκὸν τὸ μετέχον λευκότητος, καὶ αὐτὴ ἡ λευκότης. λευκὸν δέ ἐστι χρῶμα διακριτικὸν ὄψεως· ὅτι διασπᾷ τὴν ὄψιν. μέλαν δὲ χρῶμα συγκριτικὸν ὄψεως, ὅτι συστέλλει τὴν ὄψιν.

Τ ὸ λέγειν ἐπὶ τοῦ προφορικοῦ λόγου λέγεται, καὶ ἀπὸ τούτου ἐπὶ τοῦ ὀνομάζειν, καὶ ἐπὶ τοῦ φράζειν.

Λ εῖον τὸ ὁμαλὸν, ἐξ οὗ καὶ λεαίνω, τὸ ὁμαλίζω. λειῶ δὲ λειώσω κατ' ἰατροὺς τὸ τῶν εἰδῶν τι εἰς λεπτὰ τρίψαι.

Λ ελεγμένος ἐκτὸς προθέσεως. μετὰ δὲ τῆς προθέσεως, διειλεγμένος, καὶ κατειλεγμένος, καὶ οὐ διαλελεγμένος.

Υ πολείπεταί μοι τόδε ἀντὶ τοῦ ὑπόλοιπόν μοι ἐστί. Περιλείπεταί μοι ἀντὶ τοῦ ἐκ περισσοῦ λείπεταί μοι, ἤτοι ὑπόλοιπον ἐστί μοι, καὶ ὑπολελειμμένος καὶ περιλελειμμένος.

Λ ήιον τὸ χωράφιον, τὸ λαῖον διόμενον. λαῖον γὰρ τὸ δρέπανον, λαῖον καὶ λαῖον.

Τ ὸ ληρεῖν. τοῦ φλυαρεῖν διαφέρει. ληρεῖν μὲν γὰρ λέγεται ὅταν τις ὑπὸ μέθης ἢ γήρους λέγῃ τινὰ ῥήματα ἀνάρμοστα. ὡς τὸ κοινῶς λεγόμενον παραλαλεῖν. ὅπερ λέγεται παραληρεῖν. φλυαρεῖν δὲ τὸ περισσὰ καὶ μάταια φράζειν. ἤγουν τὸ ἀδολεσχεῖν.

Λ ίθος ἀρσενικῶς ὁ ἁπλῶς λίθος. ἡ λίθος δὲ ἐπὶ τῶν τιμίων καὶ λαξευομένων. οἷον ἡ σμάραγδος, ἡ ἴασπις. τῶν δὲ λαξευομένων, οἷον ἡ παρία, ἡ πυτέλη.

Λ ιβύη καὶ ὁ ἀπ' ἐκείνης λίβυς. μαγνησία καὶ ὁ μάγνης. φρυγία καὶ ὁ φρύξ, θρᾴκη καὶ θρᾷξ. καρία καὶ κάρ. κρήτη καὶ κρής.

Γ ρος λιπαρῶ λέγεται τὸ μετὰ πολλῆς λύπης καὶ δακρύων ἱκετεύω. λιπαρῶς δὲ ἐπίρρημα ἀντὶ τοῦ ἐπιμόνως.

Λ ίνος τὸ δίκτυον ποιητικῶς. καὶ λίνος ὄνομα ποιητοῦ.

Τ ὸ λοιδορῶ καὶ τὸ λοιδοροῦμαι ἄμφω ἐπὶ ὕβρεως λέγονται. καὶ συντάσσεται τὸ μὲν λοιδορῶ ὡς ἐπὶ τὸ πλεῖστον αἰτιατικῇ. ἔστι δὲ καὶ δοτικῇ. τὸ δὲ λοιδοροῦμαι ἀεὶ δοτικῇ.

Λ ογεύς. ὁ λογογράφος.

Λ ογίζομαι τὸ νομίζω καὶ ὑπολαμβάνω. τὸ ἀριθμῶ καὶ λογαριάζω, ἐξ οὗ καὶ λογιστὴς ὁ λογαριαστής. καὶ τὸ προσλογίζομαι καὶ ἀντιτίθημι. οἷον τὰ τῶν παίδων ἁμαρτήματα ὁ θεὸς τοῖς πατράσι λογίζεται. ἀντὶ τοῦ προσλογίζεται καὶ ἀντιτίθησι.

Λ υδία. χώρα, ἡ καὶ μαιονία. λυδία λίθος ἡ καὶ βάσανος λεγομένη. ἡ τὸν χρυσὸν βασανίζουσα. καὶ λύδιον ἅρμα τὸ ταχὺ, ἐξ οὗ καὶ παροιμιακῶς λέγομεν, ὡς πεζὸς ὢν παρὰ λύδιον ἅρμα, καὶ λύδιος τόνος ἐν μουσικῇ. ὁ νῦν λεγόμενος ἦχος. λυδὸς δὲ ἀνὴρ καὶ λυδὴ γυνὴ ἡ ἀπὸ τῆς λυδίας.

Λ ύγος. μὲν λέγεται ὁ ἁπαλὸς κλάδος. λιγὺς δὲ ὁ ὀξύφωνος. ἐξ οὗ καὶ λιγεῖα φωνὴ, καὶ λιγυρὸν μέλος. λοιγὸς δὲ ποιητικῶς ὁ ὄλεθρος, ἐξ οὗ καὶ βροτολοιγὸς ἄρης.

Τ ὸ λυμαίνομαι. μετὰ δοτικῆς καὶ αἰτιατικῆς συντάσσεται ἀττικῶς.

Λ ῷστος. ὁ βέλτιστος, οὐχ ὁ φίλος.

ΑΡΧΗ ΤΟΥ Μ.

μ αλακὸν τὸ χαῦνον, καὶ ὑπεῖκον. ὡς ἐναντίον τὸ σκληρὸν καὶ ἀνένδοτον, λέγεται δὲ μαλακὰ ἔρια καὶ κηρὸς, καὶ τὰ τοιαῦτα. ὁ δὲ ὕπνος οὐ κατὰ ταῦτα λέγεται μαλακὸς, ἀλλ' ὡς μαλακοποιός.

Τ αυτόν ἐστιν ἐκ μακροῦ χρόνου, καὶ διὰ μακροῦ χρόνου. ἡ γὰρ ἐκ. δηλοῖ τὴν ἀπὸ τῆς ἀρχῆς κίνησιν τοῦ μακροῦ χρόνου. ἡ δὲ διά. τὴν ἐν μέσῳ κίνησιν. τοῦ ἐπὶ πολὺ παρατεινομένου χρόνου. ἔστι δὲ ταυτὸν μακρόθεν εἰπεῖν αὔξεσθαι, καὶ ἀρξάμενοι πολὺ διάστημα ἐλθεῖν.

Μ ανθάνω ἔμαθον, μεμάθηκα, μαθήσομαι.

Μ άχομαι μαχοῦμαι, καὶ μαχέσομαι. μεμάχημαι καὶ ἐμαχεσάμην.

Τ ὸ μαρτυρεῖν ἐπὶ καλοῦ λέγεται. τὸ δὲ καταμαρτυρεῖν ἐπὶ κακοῦ, ὀνόματα ἀπὸ τούτου τῆς αὐτῆς δυνάμεως. καὶ ὁ μάρτυς καὶ ὁ κατήγορος. κατήγορος γάρ ἐστι μάρτυς κακῶν. μάρτυς δὲ ἐπὶ καλῶν. μαρτύρομαι δὲ τὸ, μάρτυρα καλῶ.

Μ άτην ἀντὶ τοῦ ἐπὶ ματαίῳ. ἤγουν ἐπὶ κενῷ, καὶ μάτην ἀντὶ τοῦ ψευδῶς. ὡς παρὰ σοφοκλεῖ. ἵνα μὴ σπείρῃ ματαίας βάξεις εἰς πᾶσαν πόλιν, ἤγουν ψευδῆ φήμην. μάτην οὖν ὀρθῶς οὐ ματαίως, ἀριστοφάνης. μάτην ἐμοὶ κεκλαύσεται. μάταιον δὲ τῷ λόγῳ μόνῳ πεπλασμένον. καὶ ἀνυπόστατον. διὸ καὶ τὰ τοῦ κόσμου πράγματα μάταια μάταιοι καὶ τὸ μωρόν.

Μ αχαιρίδες αἱ τῶν κουρέων μάχαιραι. ἀλλ' οὐ τῶν μαγείρων.

Τ ὸ μαίνομαι παθητικῶς γράφεται. ἄχρηστα δ' ἐστὶ τὰ ἐνεργητικὰ, προσλαβόντα δὲ τὴν, ἐκ. πρόθεσιν εὔχρηστα γίνεται, ὡς ἐκμαίνω ἕτερον, ἀντὶ τοῦ μανῆναι ποιῶ. ἤτοι ἐκταράττω καὶ παροξύνω.

Μ εθίημι ὁ μέλλων μεθήσω. ὁ ἀόριστος μεθῆκα. ὁ δεύτερος μεθῶ. ἡ μετοχὴ ὁ μεθεὶς τοῦ μεθέντος μεθεῖναι.

Μ εταλαμβάνω τὸ κοινωνῶ γενικῇ, μεταλαμβάνω δὲ τὸ μεταμείβω αἰτιατικῇ. σημαίνει δὲ τὸ μετὰ τοῦτο λαμβάνω ἄλλο. διὸ τῶν προσόντων μοι πλοῦτον ἀφαιρεθεὶς, τὴν τῆς πενίας κακότητα μετέλαβον. Οὕτω νοήσεις καὶ τὸ μεταμανθάνω καὶ τὸ μετονομάζομαι.

Μ εθέπω. τὸ διώκω. ἕπομαι δὲ τὸ ἀκολουθῶ.

Μελίας ἢ μέλινον ἔγχος τὸ ἀπὸ μελίας δένδρου. οὐχ ὡς τινες λέγουσι τὸ μακρόν. καὶ ἔγχεα ὀξυόεντα παρ' Ὁμήρῳ· τὰ διὰ ὀξείας τοῦ δένδρου. οὐχὶ τὰ ὀξέα.

Μέλει ἀντὶ φροντίδος ἐστὶ δὲ ὁδὸς λ. συντάσσεται δὲ διπλῶς· ἰωνικῶς μὲν ἀπὸ δοτικῆς εἰς εὐθεῖαν. οἷον μέλει μοι ὁ ἄνθρωπος, ἀντὶ τοῦ διὰ φροντίδος ἐστίν. ἀττικῶς δὲ ἀπὸ δοτικῆς εἰς γενικήν. οἷον μέλει μοι τοῦ ἀνθρώπου, ἀντὶ τοῦ φροντίς ἐστιν, καὶ ἐστὶν ἀπρόσωπον. Μεταμέλομαι δὲ παθητικῶς, ἐπὶ τοῖς πεπραγμένοις. οἷον μεταμέλομαι ἐπὶ τῇ ἀπωλείᾳ τῶν χρημάτων. ἔχει δὲ πρόσωπον. καὶ μεταμέλει μοι τοῦ πταίσματος. καὶ μεταμέλει μοι ἐπὶ τῷ πταίσματι. Μέλλει δὲ ἀντὶ τοῦ ἀπόκειται ἢ βραδύνει διὰ δύο λλ. καὶ ἐστὶν ἀμετάβατον. καὶ μέλλει ὡσαύτως ἐπὶ μέλλοντος χρόνου. καὶ συντάσσεται μετὰ ἀπαρεμφάτου ἤτοι ἐνεστῶτος. οἷον μέλλει ποιεῖν· τὸ ἀντὶ τοῦ μέλλοντος πρώτου. οἷον μέλλει ποιήσειν. οὐδέποτε δὲ μετὰ ἀορίστου. οἷον μέλλει ποιῆσαι. Μέλλει δὲ ἀντὶ τοῦ ὀφείλει μετὰ ἀορίστου.

Μεθιστῶ τινὰ τῆς καθέδρας. ἤγουν ἐν ἑτέρῳ τῆς καθέδρας τόπῳ μεταγαγὼν ἱστῶ. καὶ μεθίσταμαι ἀπὸ τοῦ θρόνου οὐχ ὑπό τινος.

Ἰστέον ὅτι τὸ μέλλειν, τὸ οἴεσθαι, τὸ ἐλπίζειν, τὸ προσδοκᾶν, τὸ φοβεῖσθαι, τὸ ὑπισχνεῖσθαι· ὃ λέγεται καὶ ἐπὶ καλοῦ. οἷον ὑπισχνοῦμαι ὠφελήσειν σοι, καὶ τὸ ἀπειλεῖν, ὅπερ ἐστὶν ἐναντίον τούτου, καὶ λέγεται ἐπὶ κακοῦ, οἷον ἀπειλῶ κακῶς ποιήσειν τινά. καὶ ὅσα τῆς σημασίας αὐτῆς εἰσὶ, μέλλοντι πρώτῳ συντάσσονται, ἢ ἐνεστῶτι. οἷον μέλλω ποιήσειν τι, ἢ ποιεῖν. καὶ ἐλπίζω ὁμοίως καὶ προσδοκῶ. καὶ τἄλλα πάντα.

Τὸ μέχρι, καὶ τὸ ἄχρι, καὶ τὸ ἕως συνυπακουόμενον ἔχει τὸ ἄν. καὶ διὰ τοῦτο ὑποτακτικῷ συντάσσονται.

Μερίζομαι τὸ εἰς μοίρας λαμβάνω. καὶ ὡς ἐκεῖνοι δέχομαι ὡς παρὰ τῷ θεολόγῳ γρηγορίῳ· μίσθωμα πόρνης ἁγνὸς οὐ μερίζεται, ἤγουν εἰς μοίρας οὐ λαμβάνει. ἀφ' οὗ καὶ συμμεριστὴς ὁ μετά τινος μετέχων τινός.

Τὸ μέμφομαι ἀεὶ παθητικῶς γράφεται. συντάσσεται δὲ ἐνίοτε μὲν δοτικῇ, ἐνίοτε δὲ αἰτιατικῇ.

Μεθίστασθαι τὸ μεταβάλλειν στάσιν ἐκ στάσεως. καὶ μεταβαίνειν τὸ ἀμείβειν τόπον ἐκ τόπου.

Ἀναμέμικται μὲν τὰ πεφυρμένα, προσμέμικται δέ τινι ἤγουν ἥνωται, καὶ ἐφάπτεται προσκεκολλημένα ἁψάμενα.

Ἐπαινεῖται τις ἐφ' οἷς ποιεῖ καλοῖς, καὶ ψέγεται ἐφ' οἷς ποιεῖ κακοῖς. μακαρίζεται δὲ ἐφ' οἷς ἔχει ἀγαθοῖς, ἢ ἀπολαύει, καὶ μακάριον τέλος, οὗ ὁ τυχὼν μακαρίζεται. καὶ μακάριον ἔργον ἐφ' ᾧ ὁ ἐργασάμενος μακαρίζεται. τὸ δὲ παρέχον τὴν ἀπόλαυσιν ἤγουν ἐκεῖνο οὗ ἀπολαύει τι, οὐκ ἔχει λόγον μακαρίζεσθαι, ὥς τι ὅτε τοιοῦτό τι λέγεται μακάριον, οὐ δι' ἑαυτὸ οὕτω λέγεται, ἀλλὰ διὰ τὸ ἀπολαύειν αὐτοῦ.

Ἀπὸ τοῦ μερίζω γίνεται, τὸ μέρδω ποιητικῶς. τὸ παρὰ τοῖς κοινοῖς μαρμαίρω, ἐκβολῇ τοῦ ι καὶ ε τοῦ αι τῷ ζ· τὸ λευκὸν γὰρ καὶ λαμπρὸν μερίζει καὶ διαιρεῖ τὴν ὄψιν εἰς τὰ ὁρατά. καὶ μετὰ τοῦ στερητικοῦ α, ἀμέρδω τὸ ἀμαυρῶ. ἢ τῆς λαμπρότητος ἀποστερῶ. ἤμερδον παρατατικός. ἀμέρσω μέλλων, ἤμερσα ἀόριστος.

Μέλος. τὸ ἔμμετρον ᾆσμα, καὶ ἀπὸ τούτου τὸ αἶνος. ᾠδὸς καὶ ἡ μῆνις. ἤγουν ἡ μνησικακία. γίνονται δὲ πάντα ἀπὸ τοῦ μέλειν.

Μέτει. καὶ ἔξει. ἴασι. ἴω. ἴεν. ἴεσ. ἴε. καὶ κατὰ μετάθεσιν μετὰ τὴν πρόθεσιν μέτει καὶ ἔξει.

Μετέρχομαι. τὸ τιμωροῦμαι καὶ κολάζω· ἀλλὰ καὶ τὸ ἀσκοῦμαι καὶ παιδεύομαι.

Μέτριον. τὸ σύμμετρον. τὸ ταπεινὸν καὶ ὀλίγον. μέτριον γάρ φαμεν ἦθος, τὸ ἔχον μετριότητα. τοῦ δὲ συμμέτρου, παράδειγμα ἀριστοφάνης· μετρίου γὰρ ἀνδρὸς οὐκ ἐπεπίχεις πώποτε. ἀντὶ τοῦ μετριότητα ἤγουν ἰσότητα ἀγαπῶντος, μήτε φειδωλοῦ ὄντος, μήτε ἀσώτου.

Μέροψ ὄνομα ὀρνέου. καὶ μέροψ ὁ ἄνθρωπος ποιητικῶς. ὃ γίνεται ἀπὸ τοῦ μεμερισμένην ἔχειν τὴν ὅπα.

Μεγαλόφρων ὁ γενναιόφρων, καὶ καρτερικός. καὶ μεγαλοφρονῶ, τὸ γενναίως καρτερῶ, μέγα δὲ φρονῶ, καὶ ὑψηλὰ φρονῶ, καὶ ὑψηλοφρονῶ, ἐπὶ ἀλαζονείας καὶ ἐπάρσεως.

Ἡ μετὰ πρόθεσις ὅτε μὲν μετὰ γενικῆς συντάσσεται δηλοῖ ἕνωσιν, καὶ ὁμοιότητα πράξεως, ἕνωσιν μὲν, ὅταν τὸ αὐτὸ πρᾶγμα, καὶ κατὰ τὸν αὐτὸν καιρὸν μετά τινος πράττω. οἷον μετὰ σοῦ μανθάνω, ὁμοιότητα δὲ, ὅταν κατ' ἄλλον καιρὸν ὅμοιόν τι ποιήσω. ὡς ὁ θεολόγος φησί· μετὰ τῶν μάγων δωροφορήσωμεν. Ὅτε δὲ συντάσσεται αἰτιατικῇ, δηλοῖ ὑστεροχρονίαν, καὶ μετάβασιν ἀπὸ ἑνὸς πρὸς ἄλλο, καὶ τάξιν καὶ ἐλάττονα τάξιν, σημαίνει δὲ ἐν τῇ συνθέσει μετάβασιν ἀπὸ πράγματος εἰς πρᾶγμα. οἷον μεθίσταμαι ἀπὸ τοῦδε εἰς τόδε. Καὶ μετουσίαν τινὸς, οἷον μέτεστί μοι τοῦδε.

Μήτρως λέγεται ὁ πρὸς μητρὸς θεῖος.

Τὸ μὴ ἐστὶν ἐπίρρημα ἀπαγορευτικόν. τὸ δὲ οὐ, ὃ καὶ οὐκ γράφεται, ἀρνητικόν. τὸ μὲν μὴ, πολλάκις λαμβάνεται ἀντὶ τοῦ οὐ. τὸ δὲ οὐ, οὐδέποτε ἀντὶ τοῦ μή. ἐν δὲ τῷ ὕδωρ ἰδοὺ ῥόφησον· ἀλλ' οὐκ εἰς κόρον. οὐ πάνυ εὐλόγως κεῖται τὸ οὐ ἀντὶ τοῦ μή. ἴσθι δὲ, ὅτι τὸ, μὴ, ὅταν κεῖται μετὰ τοῦ ὅρα ὑποτακτικῷ συντάσσεται. λείπεται γὰρ ἔξωθεν τὸ ἵνα, καὶ μετὰ τοῦ, τί, ἐρωτηματικοῦ κειμένου, ὁμοίως μετὰ ὑποτακτικοῦ συντάσσεται, μὴ τί γένηται, μὴ τί πάθω.

Μ ἀπὸ τοῦ μῆλον ποιητικῶς, τὸ πρόβατον, μηλωτὴ ἡ τοῦ προβάτου δορά. καὶ ἔστιν ἐν χρήσει.

Μ ιὼγξ μύνιγος, ὁ καὶ κρόταφος. ἀπὸ τῶν κερατοφόρων ζώων, ἀπὸ τοῦ μανὸν εἶναι ἤτοι ἀραιόν.

Μ ήνη ἡ σελήνη ἀπὸ τοῦ μὴ ἐν ἑνὶ σχήματι μένειν. καὶ ἀπὸ τούτου αἱ ἡμέραι, δι' ὧν αὕτη τὰ ιβ' διέρχεται ζώδια.

Μ ὴν καὶ κλίνεται μηνὸς. ὡς χὴν χηνός. τὰ γὰρ εἰς ην ὀνόματα διὰ τοῦ ος κλίνονται καὶ φυλάττουσι τὸ η. ἐπὶ τῆς γενικῆς. πλὴν τοῦ φρὴν φρενὸς ἐπὶ τῶν μονοσυλλάβων, καὶ αὐχὴν αὐχένος ἐπὶ τῶν δισυλλάβων.

Μ εθύει ὁ προπεπωκώς. μεθύσκεται δὲ ὁ ἤδη πίνων. μεθύσκει δὲ ἄλλος ἄλλον.

Σ ὁ μὴ ἐπὶ παρατάσεως νοούμενον, μετὰ προστακτικοῦ τάττεται. οἷον μὴ ἐνόχλει με. μὴ πεποίθατε ἐπ' ἄνθρωπον. εἰ δὲ μετὰ ἀορίστου ὅτε μετὰ ὑποτακτικῶν συντάσσεται. οἷον μὴ κλέψῃς, μὴ πορνεύσῃς.

Μ ίσηθρον τὸ μῖσος ἐμποιοῦν. φίλτρον δὲ τὸ φιλίαν ἐμποιοῦν. κατὰ ταῦτα λέγεται καὶ θέλγηθρον τὸ ἐμποιοῦν τέρψιν. καὶ φόβηθρον τὸ ἐμποιοῦν φόβον.

Μ ῖσος ὃ γίνεται ἀπὸ τοῦ μισῶ διὰ τοῦ ι. ἐκτείνεται, καὶ προπερισπᾶται. μύσος δὲ τὸ μίασμα, ὀξύνεται καὶ βραχὺ ἔχει τὸ υ. ἐπιμίγνυμαι τὸ ὁμιλῶ, ἐξ οὗ καὶ ἐπιμιξία, ἡ ὁμιλία. καὶ συμμιγνύναι ἀντὶ τοῦ ὁμιλεῖν. Μιγνύω δὲ καὶ ἐπιμιγνύω καὶ συμμιγνύω, τὸ σμίγω. καὶ μιγνύω τὰ ἄμικτα. καὶ ἐπὶ μετοχῆς ὁ μιγνύς.

Μ ίτος τὸ κεκλωσμένον νῆμα.

Σ ὁ μνημονεύω, γενικῇ αἰεὶ, εὕρηται δὲ παρ' Ὁμήρῳ καὶ αἰτιατικῇ. οἷον τυδέα δ' οὐ μέμνημαι.

Μ νηστὴρ μνηστῆρος καλεῖται πρὸ τοῦ γάμου ὁ νυμφίος. καὶ μνήστωρ ὁ αὐτός. ποιητικὰ δέ εἰσι. μνηστεία δὲ γράφεται. καὶ μνᾶται ὁ ἀνὴρ γυναῖκα. μνηστεύεται δὲ ἡ γυνή.

Μ ουσικὴ ἡ ἐπιστήμη. καὶ ἡ μετέχουσα τῆς μουσικῆς. ὥσπερ καὶ γραμματικὴ ἡ τέχνη, καὶ ἡ μετέχουσα αὐτῆς. καὶ ῥητορική. καὶ ἐπὶ τῶν ἄλλων, ὁμοίως.

Μ οῦσαι. μὲν καὶ τὰ τοιαῦτα, ὅτι κἂν φθάσῃ ἐπὶ τέλους, ἀλλ' ἐὰν μὴ φωνῆεν ἐπιφέρηται, τηνικαῦτα γὰρ κοινὴ γίνεται, καὶ ἀντὶ μακρῶν ποιηταὶ παραλαμβάνουσι. καίτοι καὶ αὐτοὶ προπερισπῶνται. μοῦσαι μὲν μουσῶν, καὶ πάντα. ξέναι δὲ ξένων καὶ φίλαι φίλων, καὶ ὅσα τῆς γενικῆς, πλὴν τοῦ πόρναι πορνῶν διὰ τὸ προγεγονέναι τοῦ ἀρσενικοῦ, καὶ κυρίως ἐπὶ γυναικῶν λέγεσθαι, καταχρηστικῶς δὲ καὶ ἐπὶ ἀνδρῶν.

Μ οιχεύει καὶ μοιχᾶται ὁ ἀνήρ. μοιχεύεται δὲ γυνὴ ὅτι ἄνδρα ἔχουσα ἑτέρῳ ἀνδρὶ μίγνυται.

Σ ὁ μόνον ὄνομά ἐστιν ἐπιρρηματικὸν κατὰ τὸ ἰδιάζον τὴν ὑπόθεσιν ἔχειν, οὗ λεγομένου καὶ ἄλλα ἀνάγκη συνυπακούεσθαι. πρὸς ὃ αὐτὸ τὴν ἑαυτοῦ ὑπόθεσιν ἔχει. ἀφ' οὗ λεγόμενον μόνον ἔχει πάντως τὴν ἀπὸ πρόθεσιν ἢ παροῦσαν ἢ συνυπακουομένην, οἷον μόνος πάντων ἀντὶ τοῦ ἀπὸ πάντων. καὶ οἷος ἀπ' ἄλλων παρὰ τῷ θεολόγῳ γρηγορίῳ ἐν τοῖς ἔπεσι. τὸ μὲν οὖν δὴ μόνον ὂν, ἐν αὐτῷ πάντως τῶν ἄλλων κεχωρισμένον. τὸ δὲ μὴ μόνον ὂν, ἐν πάντως ἐστὶν ἢ μεθ' ἑνὸς ἢ μεθ' ἑτέρων πολλῶν.

Μ όγις καὶ μόλις τὸ αὐτό. ἀλλὰ τὸ μόλις μᾶλλον τοῖς ῥήτορσι χρήσιμον. Ἀττικώτερον δὲ ἀπὸ τοῦ μογῶ τὸ κακοπαθῶ τὸ μόγις.

Μ όρος καὶ πότμος καὶ οἶτος μέσαι λέξεις εἰσί. καὶ γὰρ ἐπὶ εὐτυχίας καὶ δυστυχίας λαμβάνονται.

Ε ἰσὶ πολλὰ ὀνόματα, ἃ ἐν τοῖς ἐνεργητικοῖς μὲν ἀρσενικῶς προφέρονται. ἐν δὲ τοῖς παθητικοῖς, καὶ οὐδετέρως. οἷον ὁ μοχλὸς τὰ μοχλά. ὁ κύκλος τὰ κύκλα. ὁ νῶτος τὰ νῶτα. ὁ χαλινὸς τὰ χαλινά. ὁ δεσμὸς τὰ δεσμά. ὁ ζυγὸς τὰ ζυγά. ὁ σταθμὸς τὰ σταθμά. ἔστι δὲ σταθμὸς ἡ θύρα. καὶ αἱ παραστάδες. καὶ κοινῶς ὁ σταῦλος.

Μ υκτὴρ ἐξ οὗ, καὶ μύξα καὶ ἀπομύττεσθαι. καὶ μυκτηρίζειν τὸ χλευάζειν.

Μ ύειν ἐπὶ ὕπνου ἢ τοιούτου τινός. Καταμύειν κυρίως ἐπὶ θανάτου. ἔστι δὲ τὸ βλέφαρα συγκλείειν.

Μ υττωτὸς τὸ τῶν σκορόδων τρίμμα μετὰ τοῦ τυροῦ.

Μ ῶν ποιητικὸν λαμβανόμενον ἐπὶ ἐρωτήσεως, γίνεται δὲ ἀπὸ τοῦ μὴ οὖν κατὰ κρᾶσιν μῶν.

ΑΡΧΗ ΤΟΥ Ν.

ν αυαγός. ὁ κατεαγὼς τὴν ναῦν, καὶ ναυαγία ἡ θραῦσις τῆς νεὼς, ναυάγια δὲ τὰ τμήματα αὐτῆς, τὰ ἀπὸ τῆς ναυαγίας. Ναυτιλία ἡ μετὰ νεῶν ἐργασία.

Ν αὶ μὴν ἀντὶ τοῦ ἀληθῶς, καὶ ἔστι βεβαιωτικὸν ἐπίρρημα. λαμβάνεται δὲ καὶ ἀντὶ τοῦ ἀλλά.

Ν αός. καὶ ἱερὸν, ἔνθα τιμῶνται τὰ θεῖα. Οἰκία καὶ οἴκημα ἔνθα κατοικοῦσιν οἱ ἄνθρωποι, ὅθεν καὶ οἰκουρεῖν τὸ ἐν οἴκῳ διατρίβειν. Χειὰ ἐπὶ δράκοντος. Φωλεὰ ἐπὶ θηρίων. Ὀπὴ ἐπὶ μυρμήκων καὶ μυῶν. Νεοττιὰ ἐπὶ τῶν μικρῶν ὀρνίθων. Ἰλεοὺς ἐπὶ ὄφεως. Σταῦλος ἐν ᾧ ἵστανται ἵπποι, καὶ ὄνοι, καὶ ἕτερα κτήνη. καὶ ἔστι καθολικὸν ὄνομα. ἰδικῶς δὲ λέγονται ἱππῶνες, καὶ ἱπποστάσεις ἐπὶ τῶν ἵππων. Ὀνοστάσεις ἐπὶ τῶν ὄνων. Καὶ σταθμὰ ἐπὶ πάντων καὶ κτηνοστασία. Σηκὸς ἔνθα ἐγκλείουσι τὰ νεογνὰ, ὅταν τὰς μητέρας ἀμέλγωσιν, ἢ εἰς νομὴν ἐκπέμπωσιν. Αἱ δὲ τῶν ἀνθρώπων οἰκίαι ὀνομάζονται οὕτως, ἐν ᾧ κοιμῶνται, ὅπερ κελλίον λέγεται κοινῶς. καὶ ἀττικῶς δωμάτιον. παρ' Ὁμήρῳ θάλαμος. καὶ καταχρηστικῶς κοιτών. ὁ δὲ κοιτὼν πολλῶν κοιτῶν ὀφείλει εἶναι περιεκτικός. Τὸ μετὰ τοῦτον πρόδομος. λέγεται καὶ παστὰς τὰ μετὰ

τὸν

εἰ προέδωμεν δῆμος. εἶτα κλίνουσι τὰ καινὰ ὡς ἐξαίτα. εἶτα αὐλὴ καὶ ὄρκιον αὐλῆς.

Ο ἱ ἀττικοὶ ἐν τοῖς λόγοις, τοῖς δεομένοις ἀποκρίσεως ἀντὶ τοῦ ναὶ λέγουσι τὸ, ἔστω γε. ἢ μάλιστα, ἢ τοιοῦτό τι. καὶ ἀρκοῦνται τούτοις. ἐν οἷς δὲ τὸ οὐ, ἁρμόζει ἐν τῇ ἀποκρίσει, λέγουσι τὸ μὰ ἀπωμοτικὸν, καὶ ἀρκοῦνται.

Ν έμω τὸ βόσκω. καὶ τὸ δίδωμι. καὶ τὸ διανέμω ποιητικῶς. νέμομαι δὲ τὸ βόσκομαι. καὶ νέμεται τὴν ὕλην τὸ πῦρ. ἀπὸ τούτου καὶ νέμομαι, τὸ πορθοῦμαι ποιητικῶς, ἀπονενέμηται ἀντὶ τοῦ ἀποκεκλήρωται. διανένεμηται δὲ ἀντὶ τοῦ διαμεμέρισται, τὰ ῥήματα ἀπονέμω καὶ διανέμω. καὶ ἔστιν ἀπονέμω ἀντὶ τὸ τάσσω. καὶ ὁρίζω, μερίζω ἅμα τὰ θετόν. ὡς φαμὲν, ἀπένειμεν ὁ θεὸς τῇ ἡμέρᾳ τὸν ἥλιον. καὶ τῇ νυκτὶ τὴν σελήνην. καὶ οὕτω τῇ καθ' ἡμᾶς φύσει τὸ αἰσθάνεσθαι ἀγαθὸν ἀπονενέμηται. διανέμω δὲ ὅπερ ἐστὶ ὃν ὑφ' ἓν ταττόμενον, διῃρημένως πρὸς διάφορα πρόσωπα δίδωμι. ὡς τὸ διανέμει τὸν χρυσὸν ἀντὶ τοῦ πρὸς πολλοὺς ἐδίδου διέχει. καὶ διανέμει τὸν πλοῦτον, καὶ τὸν κλῆρον τοῖς πτωχοῖς, ἀντὶ τοῦ διασκορπίσας ἔδωκε.

Ν ήπιος ὁ ἐν βρεφικῇ ὢν ἡλικίᾳ, καὶ ὁ ἔχων γνῶσιν βρέφους, καὶ ὁ γέρων.

Ν ῆις κυρίως ὁ ἐστερημένος δυνάμεως. καὶ ἀπὸ τούτου ἁπλῶς ὁ ἐστερημένος.

Ν ήφει τις, ὅταν ἐκτὸς μέθης ᾖ. σωφρονεῖ ὅταν ἐκτὸς μανίας ᾖ, γρηγορεῖ ὅταν ἐκτὸς ὕπνου.

Τ ὸ νεωθεν τῷ αἰτιατικῇ, τὸ δὲ παρ᾽ αὐτοῦ, δοτικῇ.

Ν ομὴ ἀπὸ τοῦ νέμεσθαι τὸ βόσκεσθαι, ἀφ' οὗ αὐτονομία λέγεται μελισσῶν, ἤγουν καλὴ βοσκή. ἀπὸ δὲ τοῦ νέμω, τὸ δίδωμι, γίνεται νόμος. καὶ διανομὴ ἡ πρὸς πολλοὺς δόσις καθ' ἕνα. καὶ ἡ ταμιεία ὅταν ὦσι καλοὶ νόμοι. ἢ ὅταν ἐν θεσμοῖς καλῶς οἱ κείμενοι νόμοι.

Ν οῦς. καὶ τὸ νοοῦν, καὶ τὸ νοούμενον. ὥσπερ αἴσθησις καὶ ἡ αἰσθητικὴ δύναμις, καὶ τὸ ὑπὸ τὴν αἴσθησιν. ὡς ἐν τῷ νοῦς μὲν ἤδη καὶ αἴσθησις. ἤγουν τὰ νοητὰ καὶ τὰ αἰσθητά, οὐ μόνον δὲ τὸ καθολικὸν ἡ αἴσθησις οὕτω διττῶς λέγεται, ἀλλὰ καὶ ἑκάστη τῶν πέντε αἰσθήσεων. οἷον ὅρασις, καὶ ἡ ὁρατικὴ δύναμις, καὶ τὸ ὁρατόν. ὡς ἐν τῷ ὅρασις ἣν εἶδεν ἡσαΐας. καὶ ὄσφρησις, ἡ ὀσφραντικὴ δύναμις, καὶ ἀντὶ τοῦ ὀσφραινομένου, δι' ἡ ὄσφρησις τοῦ ῥόδου εὐώδης. καὶ γεῦσις ἡ γευστικὴ δύναμις, καὶ ἀντὶ τοῦ γευστοῦ οἷον ἡ γεῦσις τοῦ μέλιτος γλυκεῖα. καὶ ἀκοὴ ἡ ἀκουστικὴ δύναμις καὶ τὸ ἀκουόμενον. ὡς ἐν τῷ, τὰς σὰς ἀγγελίας θείαις μὲν φωναῖς οὐκ ἴσας ἡγοῦμαι, πάσης δ' ἄλλης ἀκοῆς ἀνθρωπίνης νομίζω κρείττους. καὶ ἡ ἁφὴ τῶν πτερῶν μαλακή. ἡ δὲ τῆς πέτρας, σκληρά. καὶ ἁφὴ τὸ ἁπτόμενον.

Ν ομίζω τὸ ὑπολαμβάνω. καὶ νομίζομαι παθητικῶς. ἔστι δὲ τὸ νομίζεται καὶ ἀντὶ τοῦ νόμιμος πράττεται. καὶ νενομισμένα τὰ νόμιμα, ἅπερ τὰ τῷ νόμῳ δοκοῦντα.

Ν υμφίος ὁ ἄρτι εἰς γάμον ἐρχόμενος. καὶ νύμφη ἡ ἄρτι εἰς γάμον ἐρχομένη, ἥτις ποιητικῶς νυὸς λέγεται. νύμφαι καὶ τὰ τῶν πηγῶν ὕδατα. καὶ αἱ ἔφοροι τούτων δαίμονες παρ᾽ Ἕλλησι. νυμφίος μὲν, νυμφίον δὲ ὁ παστός.

Τ ὸ νῦν συντάσσεται μετὰ μέλλοντος. οἷον νῦν ποιήσω. τότε δὲ τάττεται, ὅτε σὺν τῷ λέγειν ἄρχεταί τις τοῦ ποιεῖν. ὡσαύτως καὶ ἀντὶ τοῦ παρεληλυθότος, τότε δὲ ὅτι παυσάμενός τις τοῦ ποιεῖν εἴπη. ἔτυπτον νῦν.

Ν ύσσα ὁ καμπτὴρ ἀπὸ τοῦ νύσσω, τὸ τιτρώσκω. ἐκεῖ γὰρ ἐξελαύνει τοὺς ἵππους πλέον.

Τ ὸ νῦν ἀντὶ τῶν τριῶν χρόνων νῦν γὰρ δὴ γένος ἐστί. νῦν ὤλετο πᾶσα κατάκρας. νῦν δ᾽ αἰωνίας βίου φαίνοιτο αὐχέσι [illegible].

ΑΡΧΗ ΤΟΥ Ξ.

ξ ένον τὸ ἀπὸ ἀλλοτρίου τόπου ἀποδιαστελλόμενον πρὸς τὸ ἐγχώριον. καὶ τὸ ἔκτοπον. καὶ ξένος ὁ ἐξ ἀλλοδαπῆς ἥκων. ὅθεν καὶ ξενίζω τὸ ξένον δέχομαι. καὶ ἐπιξενοῦμαι τὸ αὐτό. ξένον καὶ τὸ ἐκτετοπισμένον τῆς φύσεως, τουτέστι τὸ παρὰ φύσιν γεγονός. ὅθεν καὶ ξενίζει ἀντὶ τοῦ ξένα τινὰ φθέγγεται. οἷον, ὁ δεῖνα ἐλθὼν ξενίζει τοῖς λόγοις ἡμᾶς. ἀντὶ τοῦ ξένους τινὰς λόγους πρὸς ἡμᾶς φθέγγεται. ξένος καὶ ὁ ἀλλόκοτος καὶ παράδοξος. καὶ ξένος ὁ ἐξ ἀλλοδαπῆς φίλος. ὅν καὶ ξεῖνον οἱ ποιηταὶ φασί. τῷ ξένῳ δὲ ἀντίκειται, ὁ ἀστός. τὸ δὲ ἐνδήμῳ, ὁ ἀπόδημος.

Ξ εναγωγοῦ. τὸ θῆμα. ξεναγῶ, τὸ τὸν ξένον ἄγω. ξεναγῶ δὲ ἀντὶ τοῦ ὁδηγεῖ ἐμὲ τὸν ξένον. ἔστι γὰρ τὸ ἄγω μετὰ τῶν ἄλλων σημαινομένων, καὶ ταύτην παρ᾽ ἑαυτῷ κειμένην ἔχειν τὴν σημασίαν ἀντὶ ὁδηγίας.

ΑΡΧΗ ΤΟΥ Ο.

ο δεύω τὸ τὴν ὁδὸν διέρχομαι. διοδεύω τὸ διὰ τῆς ὁδοῦ ἔρχομαι. παροδεύω τὸ παρέρχομαι. οἷον παροδεύει τὴν πόλιν, ἀντὶ τοῦ ἐάσας τὴν πόλιν παρέρχεται.

Ο δύρομαι ὀδυρῶ μαι ὠδυράμην.

Ο λοῦ ἐπέβην καὶ ὅλῳ ἐπεθήμην. καὶ ὅλου ἡψάμην, ταυτόν.

Σ ύνοδος ἡ συνέλευσις ἀπὸ διαφόρων πόλεων λαῶν.

Γ ρόσοδος ἡ προσφορὰ καὶ ἡ προσόνεξις.

Γ ρόοδος ἡ προχώρησις, καὶ προέλευσις καὶ ἡ ἐπίδοσις. ἔξοδος ἡ δαπάνη. οὗ τὸ ἐναντίον εἴσοδος, ἡ εἰσφορὰ, καὶ τὸ κέρδος. καὶ εἴσοδος, ἡ εἰσέλευσις. οὗ τὸ ἐναντίον ἔξοδος ἡ διέ-

λυσις καὶ εἴσοδος ἐστὶν ὅπου ἐπὶ συγκριμάτων, καὶ διαφορᾶς. καὶ ἄνοδος. ἰδίως ἡ ἐπάνοδος τῶν φυγάδων. Περίοδος ἡ ἀπὸ αὐτοῦ εἰς τὸ αὐτὸ κίνησις.

Ὄζος ὁ κλάδος, καὶ ἡ ῥίζα, ὅθεν φύεται. οὐ λέγεται δὲ ὄζος ὁ ἐστερημένος καὶ ἔχων τὴν ῥίζαν ἐπὶ τῆς γῆς, ἀλλ᾽ ἐν τῷ δένδρῳ.

Τὰ διὰ τοῦ θεν ἐπιρρήματα εἰ μὲν ἀπὸ ὀνομάτων γίνονται, μικρογραφοῦνται. καὶ τὴν ἐκ τόπου κίνησιν σημαίνει. οἷον οὐρανόθεν, πόντοθεν. κυκλόθεν. τὸ δὲ κύκλωθεν. ὡς ἀπὸ τοῦ κύκλω παρηγμένον, μεγαλογραφεῖται, πλὴν τοῦ ἑτέρωθεν ἀμφοτέρωθεν, ἑκατέρωθεν. εἰ δὲ ἀπὸ ἐπιρρημάτων, ἄμφω καὶ κίνησιν καὶ στάσιν, οἷον ἔξωθεν λαμβάνει. ἤγουν ἐκ τῶν ἐκτός. ταῦτα τοίνυν τὰ εἰς θεν ἐπιρρήματα, ἔχουσι τὴν, ἀπὸ, πρόθεσιν ἐν ἑαυτοῖς, καὶ οὐ δύναται αὖθις ληφθῆναι. οἷον ἀπ᾽ οὐρανόθεν. Ὅμηρος δὲ ποιητικῇ ἀδείᾳ τοῦτο λέγει.

Οἰκῶ τόνδε τὸν τόπον. ἤγουν κατοικῶ ἐν αὐτῷ. καὶ ἐνοικῶ τῷ τόπῳ. οἰκῶ ἐν τῷ οἴκῳ. καὶ οἰκῶ τὸν οἶκον. Οἰκίζω δὲ τὸ οἰκητὰς ποιῶ. καὶ οἰκίζω ἕτερον. καὶ οἰκεῖται τόπος ἤγουν κατοικεῖται. Οἰκίζεται δὲ ἤγουν εἰς κατοίκησιν ἐνεργεῖται, καὶ κατασκευάζεται.

Οἷον τὸ ἐποίουν. καὶ οἷον, καὶ οἱονεί, ἀντὶ τοῦ ὡσανεί. Καὶ οἷον θαυμαστικόν. Καὶ οἷον σχετλιαστικόν. ὡς τὸ οἷον ἔπαθον. Καὶ οἷον ἀντὶ τοῦ πῶς.

Οἰκιστής. ὁ οἰκίζων τὴν πόλιν. Οἰκήτωρ δὲ ὁ τὴν πόλιν οἰκῶν.

Οἰκοδομῶ. οἰκοδομήσω. ᾠκοδόμηκα, ἐλειμμένην δὲ καὶ ἀλειμμένος μόνον.

Οἰμώζω. τὸν τεθνηκότα, καὶ οἰμώζω ἀμεταβάτως.

Οἰνοχοεῖν τὸ κιρνᾶν οἶνον. καὶ ἀπὸ τούτου οἰνοχοεῖται νέκταρ, καὶ πᾶν ὅτι πίνεται.

Οἴω ποιητικῶς καὶ οἴω. καὶ οἶμαι τὸ αὐτὸ κοινῶς, καὶ οἴομαι, ᾤμην παρατατικὸς ᾠόμην καὶ ὠιόμην ποιητικῶς. ᾠήθην ἀόριστος. οἴσομαι μέλλων. οἰόμενος μετοχή.

Οἶς τὸ πρόβατον κατὰ συναίρεσιν, ὄϊς γὰρ ἦν ποιητικῶς, ἡ γενικὴ ὄϊος οἶς οἶν τὸ θῆλυ. κριὸς δὲ τὸ ἄρρεν. ὡσαύτως καὶ ὗς ἐπὶ θηλυκοῦ ἡ χοῖρος, διὰ τοῦ υ ψιλοῦ. ἡ γενικὴ ὑός.

Οἶμος. ἡ ὁδός, ποιητικόν. ἀπὸ τοῦ οἰμῶ. τὸ ὁρμῶ. γράφεται δὲ καὶ ὁ οἶμος καὶ ἡ οἶμος.

Οἶτος ἀντὶ τοῦ κακά. καὶ οἶά τινα ὁμοίως ἀττικῶς, καὶ ἀντὶ τοῦ τίς.

Οἴχεται. παθητικῶς γράφεται, τὸ γὰρ ἐνεργητικὸν ἄχρηστον. ἔχει δὲ ἐν ἑαυτῷ τὴν σημασίαν τριπλῆν. ἡ γὰρ ἐπὶ τοῦ ἀφανίζεται τέθνηκε. ἡ ἐπὶ τοῦ πορεύεται. ἡ ἐπὶ τοῦ ἔφθαρται, ἐπὶ τούτου δὲ μόνον τοῦ ἔφθαρται λέγω, εἰ καὶ ἐνεστὼς ἐστίν, ἀλλὰ παρεληλυθότος σημασίαν δηλοῖ. οἴχεται γὰρ ὁ ἄνθρωπος φαμέν, ἀντὶ τοῦ ἐφθάρη καὶ τέθνηκεν. ἐπὶ δὲ τῶν ἄλλων εἰς ἐνεστῶτα λαμβάνεται τῇ προφορᾷ, καὶ τῇ σημασίᾳ. ὧν καὶ παρακειμένῳ συζεύγνυνται.

Τὸ οἴμοι καὶ τὸ ἐλπίζω συντάσσεται, καὶ μετὰ παρακειμένου. ὅταν ἐλπίζῃς ἢ ἀποβαίνῃς τὸ πρᾶγμα, ὅτι ἐγένετο. Οἴμοι πεποίηκεν σε τόδε.

Οἶδα ᾔδειν. εἴσομαι καὶ ἔγνων, ἐπίστασο προστακτικὸν γνῶθι καὶ ἴσθι. εἰδείην, εὐκτικόν. καὶ εἰσομένην. ἐὰν εἰδῶ, ὑποτακτικὸν καὶ ἐὰν γνῶ, εἰδὼς μετοχή.

Οἶδεν ἔχων, ἀττικὸν γάρ, τὰ γνωστικὰ ῥήματα μετὰ μετοχῆς συντάσσειν. τὰ βραχυκατάληκτα ῥήματα τὰ ἐγκλινόμενα ἐν τῇ συνθέσει. οὐκ ἀναβιβάζουσι τοὺς τόνους, οἷον εἶπε, κατεῖπεν. εἶχεν κατεῖχεν. πλὴν τοῦ οἶδα σύνοιδα καὶ σύνοιδα, τὰ δὲ ἐνόμενα βραχυκατάληκτα καὶ ἐγκλινόμενα, τὸ ἐναντίον πάσχουσιν ἐν τῇ συνθέσει. οἷον δοῦλος ἄδουλος. ὁμοίως καὶ τὰ παροξύτονα οἷον πλησίος. παραπλήσιος.

Ὀκνῶ τὸ ῥαθυμῶ. καὶ ὀκνῶ τὸ φοβοῦμαι. Τὸ ὀκνεῖν ποτὲ μὲν τὸ μετ᾽ αἰτίας τινὸς ἐστὶν ἀναβάλλεσθαι. οἷον τό, τὸ ἀρχόμενοι δυσηλεγέος πολέμοιο, ὤκνεον ἀμφότεροι. ὅτε δὲ τὸ ἀλόγιστον καὶ ἀναιτίως, ῥαθυμίᾳ κατέχεσθαι, ὅθεν καὶ ὄκνος.

Ὀλκὴ σταθμός, ἀπὸ τοῦ σταθμοῦ δέ, βαρύσταθμον τὸ βαρεῖαν ὁλκὴν ἔχον. Ὁλκὸς δὲ τὸ σῦρμα τοῦ ὄφεως, ἀπὸ τούτου ἕλκω τὸ σύρω τὸ συρόμενον.

Ὄλλυμι ἐνεστὼς καὶ ὀλλύω, ὤλλυον παρατατικός, ὀλέσω μέλλων. καὶ ἀπολλῶ. ὤλεσα ἀόριστος ὀλώλεκα παρακείμενος. ὄλλυμαι ἐνεστὼς ὠλλύμην παρατατικός, ὀλοῦμαι μέλλων. ἀπωλόμην ἀόριστος. ὄλωλα παρακείμενος.

Ὄλυνθοι λέγονται τὰ ἄωρα σῦκα. Ὄμφακες δὲ αἱ ἄωροι σταφυλαί, καὶ ἄλλοι καρποί. ὅθεν καὶ ὀμφάκιον ἔλαιον τὸ ἐκ μήπω πεπείρων τῶν ἐλαιῶν γενόμενον.

Ὀλκὰς τὸ μέγα πλοῖον. Ἐφόλκιον δὲ ὅπερ ἐπισύρεται ἡ ὁλκάς, τουτέστι τὸ μικρὸν πλοιάριον.

Ὁμιλῶ τὸ ἐντυγχάνω. οἷον ὁμιλῶ συμφοραῖς ὁμιλίαι καὶ οἱ κείμενοι λόγοι εἰς τὸ ἐντυγχάνειν αὐτοῖς τινάς.

Τὸ ὁμοῦ ἐπὶ συνάψει δύο κώλων λεγόμενον, καὶ ἐπὶ τοῦ πρώτου κώλου δύναται λέγεσθαι. καὶ ἐπὶ τοῦ δευτέρου, ὥσπερ καὶ τὸ ἅμα, καὶ ὁ καί σύνδεσμος καὶ τἄλλα.

Ὀμνῶ, μὲν ὀμνύω, καὶ ὀμοτός, καὶ ὀμοτῶ. Ἐπώμοτος δὲ καὶ ἀπώμοτος καὶ ὁρκωμοτῶ, ὅ ἐστι συστέλλεται.

Ὁμιλία, ἐπὶ τῶν ἑνουμένων. κοινωνία, ἐπὶ τῶν συμμετεχόντων τινός, ἐπεὶ δὲ ἡ ἕνωσις, καὶ διὰ λόγων γίνεται, καὶ διὰ μίξεως ἀφροδισίων, καὶ δι᾽ ἑτέρων, λέγεται ὁμιλία καὶ ἐπὶ

ἀντὶ συνουσίας καὶ διαλέξεως. ὁμιλεῖ γάρ τις τινὶ ἀντὶ τοῦ διαλέγεται. καὶ ὁμιλεῖ βιβλίῳ ἀντὶ τοῦ εἰς λόγους ἔρχεται. λόγους γὰρ τὸ βιβλίον ἐμπεριέχει. ὁμιλεῖ θανάτῳ, ἀντὶ τοῦ οἴχεται, καὶ ὁμιλεῖ συμφοραῖς ἀντὶ τοῦ συνοῦται, καὶ συγκιρνᾶται. Κοινωνοῦσι δὲ τινὲς οἱ μεταδιδόντες ἀλλήλοις καὶ μεταλαμβάνοντες, παρ' ἀλλήλων φιλίας ἢ γνώσεως. ἢ τινὸς τοιούτου, τῆς παρ' ἑαυτοῖς. ἢ ἑτέρου τινὸς ἔξω ἑαυτῶν συμμετέχοντες, οἷον θυσίας ἢ χωρίων. ἢ τοιούτων τινῶν.

Ο' νίνημι ἐνεστὼς, ὠφέλουν παρατατικὸς, ὀνήσομαι μέλλων, ὠνάμην ἀόριστος. ἀφ' οὗ καὶ ὀναίμην.

Ο" μοιον τὸ κατά τι παραλλάττον. ταυτὸν δὲ τὸ δι' ὅλου ὅμοιον.

Τ ὁ ὁπότε μετὰ εὐκτικοῦ συντάσσεται.

Ο' πωστιδήποτε ἀντὶ τοῦ, καθ' οἱονδήτινα τρόπον. τὸ ὁπωσδήποτε, ἀντὶ τοῦ πῶς δή.

Ο" πλα κυρίως τὰ φυλακτήρια. οἷον θώραξ, κράνος. κνημῖδες. Ἀμυντήρια δὲ, δι' ὧν μαχόμενός τις ἀμύνεται τοὺς ἐχθροὺς αὐτοῦ. οἷον σπάθα μάχαιρα ἔγχος.

Τ ὁ ὅπως ἀντὶ παραινέσεως, καὶ παρακελεύσεως τιθέμενον παρ' Ἀττικοῖς οὐχ ὑποτάσσει, ἀντὶ τοῦ πῶς γὰρ τίθεται. τὸ ὅπως ἀντὶ τοῦ πῶς, καὶ ἀντὶ τοῦ ἵνα, καὶ ἀντὶ τοῦ καθά.

Ο' πωρίζομαι τῆς ὀπώρας συλλέγω ἢ ὠνοῦμαι.

Ε' φοπλίζω μεταβατικόν. οἷον ἐφοπλίζει μοι τὸν ἐχθρόν, ἀντὶ τοῦ κατ' ἐμοῦ ὁπλίζει καὶ διεγείρει. ὁπλίζομαι δὲ παθητικῶς ἀμετάβατον. οἷον ὁπλίζομαι τῷδε, ἀντὶ τοῦ κατὰ τοῦδε ὁπλίζομαι.

Ο' πτὸν λίθος. τὸ τοῦ βαλανείου. γράφεται δὲ καὶ χοῦς ὀστράκων τὸ αὐτό. ὀπτὴ δὲ πλίνθος ἑτέρωθι πι.

Ο" πος ἐστὶν ἡ πιτύα. ὀρρὸς δὲ τὸ λεγόμενον τυρόγαλα.

Ο' ρθὸν τὸ ἱστάμενον, καὶ ἄνω βλέπον, καὶ μὴ (λα. συγκεκυφὸς, καὶ σκολιόν. ἀφ' οὗ καὶ ὄρθιον τὸ ὀρθίαν ἔχον θέσιν. καὶ ὀρθῶς ἐπίρρημα ὡς ἐναντίον τῷ σκολιῶς. Καὶ ὀρθόω ὀρθῶ τινὰ ἀντὶ τοῦ ὀρθὸν ἵστημι. Καὶ ἀνορθῶ τὸ τὰ πεσόντα ἀνιστῶ, καὶ εἰς στάσιν καὶ ὀρθότητα ἀποκαθιστῶ. Εὐθὺς δὲ ἁπλῶς τὸ μὴ ἑλικοειδές. μὴ δὲ ἔχον τινὰ σκολιότητα, ἄν τε ἱστάμενον ᾖ, ἄν τε κείμενον. Ὀρθόω ὀρθῶ ἑτέρους. Ὀρθοῦμαι δὲ ἐπὶ ὑφ' ἑτέρου. καὶ ἐπανορθῶ καὶ ἐπανορθοῦμαι. καὶ διορθῶ καὶ διορθοῦμαι, τάττονται δὲ ἀντὶ τῆς ἐξημαρτημένων λόγων. ἢ τινῶν λόγων. εἰ δ' ἕτεροι τῇ συνεχεῖ περὶ τούτους ἐκπονήσει, ὀρθῶν γεγενημένων. τὰ δὲ ὀνόματα ἐπανόρθωσις, καὶ διόρθωσις.

Ο' ρμέω ὁρμῶ τὸ προθυμοῦμαι ἐγώ. Ἐξορμῶ δὲ ἄλλον. Ὁρμέω ὁρμῶ τὸ ἐν τῷ λιμένι ἵσταμαι. Ὁρμίζω δὲ τὸ εἰς τὸν λιμένα εἰσάγομαι καὶ ὁρμίζω ἑτέρους.

Ο" ρνιθες ἁπλῶς μὲν πάντα τὰ πετόμενα. ἰδίως δὲ οἱ εἰς μαντείαν συντείνοντες, καὶ ἀπὸ τούτου, καὶ ἡ μαντεία. ὡς τὸ, δέχου τὸν ὄρνιν καὶ τὸν ὄρνιν τοῦ θεοῦ. Ἀφ' οὗ καὶ πᾶν τὸ εἰς μαντείαν συντεῖνον ὄρνιν ἐκάλουν. οἷον, πταρμὸν, ἢ παλμὸν ἢ τοιοῦτό τι.

Ο' ρύσσω ἐνεστώς. ὤρυσσον παρατατικός. ὀρύξω μέλλων. ὤρυξα ἀόριστος. ὀρυγήσομαι μέλλων, ὠρύγην ἀόριστος. ὀρώρυγμαι παρακείμενος. Ἀνορύττω τὸ κρυπτόμενον. Κατορύττω τὸ φανερόν. ὀρύσσω μὲν καὶ ὄρυγμα. Κατώρυξ δέ. ὥσπερ ἦν ὀμοτὸν μὲν, ἀνώμοτον δὲ, καὶ ὄφελος μὲν ἀνωφελὲς δέ.

Τ ὁ ὄρνις ἀντὶ Ἀττικοῖς βραχύ. τὸ ῑ κεκλήρωται. ἀντὶ δὲ τῆς γενικῆς μακρόν. καὶ μάρτυρες οἱ ποιηταὶ, οἷς ἔμελλεν τὰ κατὰ τὸ μέτρον. ὡσαύτως καὶ πᾶσαι αἱ εἰς ις θεὸς γενικαὶ μακρὰ παραλήγονται πλὴν τοῦ κόρυς κόρυθος. τοῦτο γὰρ τὸν χρόνον τῆς εὐθείας ἐφύλαξε, καὶ ἐν τῇ γενικῇ.

Ο' ρφανισταὶ, οἱ ἐπίτροποι τῶν ὀρφανῶν. Χηρωσταὶ δὲ οἱ τῶν χηρῶν.

Ο' ρρωδῶ τὸ φοβοῦμαι. Ἀρρωδῶ δὲ κατὰ στέρησιν. τουτέστιν οὐκ εὐλαβοῦμαι. ἀλλὰ καταφρονῶ, καὶ τεθάρρηκα.

Ο' ρέγω ἐνεργητικῶς τὸ δίδωμι καὶ τὸ ἐκφαίνω καὶ τὸ ἐκτείνω. ἐξ οὗ καὶ ὀργυιά. καὶ ὀρεκτοῖς μελίαις φησὶν Ὅμηρος. ἤτοι μακραῖς. Ὀρέγομαι δὲ παθητικῶς, τὸ ἐπιθυμῶ, καὶ τὸ λαμβάνω. ὡς τὸ σῖτον ὀρέξαι.

Ο' ρῶ τὸ βλέπω. ὃ μετὰ τῆς ὑπὸ προθέσεως, γράφεται παθητικῶς ὑφορῶμαι. καὶ δηλοῖ τὸ ὑποπτεύω. τοιοῦτον ἐστὶ καὶ τὸ ὑπείδετο. εἶδον γὰρ καὶ μετὰ τῆς ὑπὸ προθέσεως παθητικῶς ὑπειδόμην ἀντὶ τοῦ ὑπώπτευσα καὶ τὸ ὑποπτεύω ἀπὸ τοῦ ὄπτω τὸ βλέπω ὅπερ ἐστὶν ἄχρηστον, εὑρίσκεται δὲ ἐν χρήσει ἐν τῷ μέσῳ μέλλοντι. οἷον ὄψομαι, καὶ ἐν τῷ παθητικῷ παρακειμένῳ. ὦπται.

Ο' ροφή. κρεῖττον γράφειν, ἢ ὄροφος.

Ο' ρύττω τὸ ἁπλῶς σκάπτω τὴν γῆν. διορύττω δὲ τὸ, τοῖχον διακόπτω. ὑπορύττω δὲ, τὸ λαθραίως ὑπὸ τοὺς θεμελίους ὑποσκάπτω.

Ο" ρθιον τὸ ὀρθὸν, καὶ ὄρθιον μέλος, τὸ ὑψηλόν. ὡς τὸ, ὅτ' ἦν θ' ἀνδρὸς ὀρθίων κηρυγμάτων.

Ο' σημέραι. ἐπίρρημα καὶ σημαίνει τὸ πάντοτε, δοκεῖ δὲ συντεθεῖσθαι ἀπὸ τοῦ ὅσαι ἡμέραι. πολλὴ γράφεται ἀεὶ συντεθειμένως. τὸ δὲ ὅσαι ὧραι ταυτὸν ὂν τῇ σημασίᾳ, διαλελυμένως γράφεται.

Τ ὁ ὅστις τίθεται ἀντὶ ἀορίστου προσώπου. τὸ δὲ ὅς τις ποτὲ, ἀμφιβαλλουμένης φύσεως ἐν πράγματι. οἷον ὅς τίς ποτε ἦν ὁ παράδεισος. ἀμφιβάλλεται γὰρ πότερον αἰσθητός ἐστιν ὁ παράδεισος, ἢ νοητός.

Ο' σφὺς τὰ μετὰ τὴν ζώνην ἑκατέρωθεν, ἰσχία, αἱ μετὰ τὰς ὀσφῦς σαρκώδεις προβολαί. Γλουτοὶ καὶ κοχῶναι τὰ μετὰ τὰ ἰσχία, ἤγουν τὰ περὶ τὴν πυγὴν ὑπάρχοντα.

Τ ὁ ὅσα καὶ μὴ εἰδέναι, ἀττικῶς λέγεται ἀντὶ τοῦ ὅσον. φιλοῦσι γὰρ οἱ ἀττικοὶ πληθυντικοῖς ἀντὶ ἑνικῶν χρῆσθαι.

Ο˚ σφραινόμενοι. τὸ δεχόμενοι τὴν ὀσμήν. ὀσφραινόμενοι δὲ, τὸ ἐκπνοὴν τὰς ὀσμάς. τὸ μὲν διὰ τοῦ ω μεγάλου εὐδόκιμον παρὰ τοῖς ῥήτορσι. τὸ δὲ διὰ τοῦ ο μικροῦ, καὶ ἔστι τοῦ δεχομένου τὴν ὀσμήν.

Τ ὁ ἀρσενικὸν, ὅστισοῦν. οὗτινοσοῦν, ᾧτινιοῦν, ὅντινοῦν. καὶ ὅντινοῦν. τὸ θηλυκὸν ἥτισοῦν. ἧστινοσοῦν. ᾗτινιοῦν. ἥντιναοῦν. καὶ ἥντινοῦν. τὸ οὐδέτερον ὁτιοῦν. οὗτινοσοῦν. ᾧτινιοῦν. ὁτιοῦν. Ἔστι δὲ τοίνυν λαμβάνεται τὸ ὅτου ἀντὶ τοῦ οὗτινος, καὶ ὅτῳ ἀντὶ τοῦ ᾧτινι, λέγεις καὶ ὁτουοῦν. καὶ ὁτῳοῦν. ἀντὶ τοῦ οὗτινοσοῦν, καὶ ᾧτινιοῦν.

Τ ὁ ὅταν οἱ μὲν παλαιοὶ διαιροῦσιν. ὅθεν καὶ τὴν δῶμα καὶ τόνον τιθέασιν. οἱ δὲ νεώτεροι συνημμένως ἐκφέρουσιν. ὥσπερ καὶ τὸ διὸ, καὶ ἐφώ, καὶ τἄλλα.

Ο˚ σα εἰς ος ἀρσενικὰ ἀντὶ θηλυκῶν λέγεται εἰς α λη γόντων, ἀττικά ἐστιν. οἷον θυραῖος, ἀντὶ τοῦ θυραία. καὶ ἐργάδαιος, ἀντὶ τοῦ ἐργάδαια. καὶ βίαιος ἀντὶ τοῦ βιαία. ὅσα δὲ εἰς ος ἀρσενικὰ ἀντὶ θηλυκῶν λέγεται εἰς η ληγόντων, ποιητικά. οἷον χρύσεος, ἀντὶ τοῦ χρυσῆ. καὶ κλυτὸς ἀντὶ τοῦ κλυτή.

Τ ὁ ἔτι καὶ τὸ ὡς, καὶ τὸ ὅσον, ἔστιν ὅτε, ἀντὶ τοῦ λίαν παραλαμβάνονται. πλὴν τὸ μὲν ἔτι, καὶ τὸ ὡς ὑπερθετικοῖς μόνοις συντάσσονται. τὸ δὲ ὅσον καὶ ἁπλοῖς ὀνόμασι ὑπεροχὴν δηλοῦσι. ὅτε καὶ μετὰ τὸ ὄνομα κεῖται. οἷον λαμπρὰ ὅσον, καὶ ὅσον τάχος.

Τ ὁ ὅταν ἔστιν ὅτε μετὰ ὁριστικοῦ καὶ εὐκτικοῦ, συντάσσεται. ὅταν δεῖται. ξανθοφαὴς, ὅταν καθίστανται. λιβάνιος, ὅταν εἰδείη. τὸ δὲ ἐὰν, οὐδέποτε.

Γ˚ αρὰ τοῖς κοινοῖς, οὐδεὶς οὐδεμία οὐδέν. καὶ μηδεὶς μηδεμία μηδέν, παρὰ τοῖς ποιηταῖς δὲ, οὔτις, καὶ ἐπὶ θηλυκοῦ οὔτις, καὶ οὔτι ἐπὶ οὐδετέρου.

Ο ἱ ἀττικοὶ ἀντὶ τοῦ ὑποτακτικοῦ ἄρθρου τῆς γενικῆς τῶν ἑνικῶν τοῦ οὗ, καὶ ἀντὶ τοῦ ὑποτακτικοῦ τῆς δοτικῆς τοῦ ᾧ, τὸ ὅτου λέγουσι καὶ τὸ ὅτῳ. συντιθέντες τὰ προτακτικὰ ἄρθρα. τὸ τοῦ καὶ τὸ τῷ μετὰ τοῦ ο. τούτοις ἀκολουθήσαντες οἱ ποιηταὶ, καὶ ἐπὶ τῶν πληθυντικῶν ἔστι ποιοῦσι. λέγουσι γὰρ ὅτων, ἀντὶ τοῦ ὧντινων. ὃ μόνον καὶ παρὰ ῥήτορσιν. καὶ ὅτοις, ἀντὶ τοῦ οἷστισιν. ἐπὶ δὲ τῆς αἰτιατικῆς οὐδέποτε τὸ τοιοῦτον γίνεται. οὔτε παρὰ τοῖς ἀττικοῖς, οὔτε παρὰ τοῖς ποιηταῖς.

Τ ὁ οὔπω ἀναιρεῖ τὸ παρεληλυθὸς. εἰσάγει δὲ τὸ μέλλον. οἷον οὔπω ἐστὶ καιρὸς, ἀντὶ τοῦ παρὰ τοῖς κοινοῖς, ἀκμὴν οὐκ ἔστι καιρός. ἀλλὰ ἔσται δηλονότι. τὸ δὲ οὐκέτι, τὸ μέλλον ἀναιρεῖ. οἷον, οὐκέτι ἐστὶ καιρὸς, ἀντὶ τοῦ ἀπὸ τοῦ νῦν οὐκ ἔστι καιρός. ἀλλὰ παρῆλθε δηλονότι. συντάσσεται δὲ τὸ οὔπω μετὰ τοῦ παρῳχημένου. τὸ δὲ οὐκέτι μετὰ μέλλοντος.

Η˚ οὐδεμία κλίνεται τῆς οὐδεμιᾶς. ὥσπερ, καὶ τὸ μία, μιᾶς.

Τ ὁ οὗτος καὶ αὕτη καὶ τὸ τοῦτο, δεικτικαὶ ἀντωνυμίαι εἰσί. καὶ διὰ τοῦτο δέχονται τὸν προσχηματισμὸν τοῦ ι, διὰ πλείονα δεῖξιν. οἷον οὑτοσί. αὑτηί. καὶ τουτί. ὁμοίως καὶ ἐν τῇ κλίσει αὐτῶν πάσῃ. τὸ δὲ αὐτὸς ἀναφορικόν ἐστι. καὶ οὐ δέχεται τὸ ι. οὐ δύναται γὰρ εἰπεῖν αὐτοσί.

Ο ὐδεὶς ἐστὶν ἀττικόν. ποιητικῶς δὲ γράφεται οὔτις, ἀντὶ τοῦ οὐδείς. καὶ οὔτις ἐπὶ θηλυκοῦ, ἀντὶ τοῦ οὐδεμία. τὸ οὐδεὶς δὲ γράφεται καὶ ἐν τοῖς πληθυντικοῖς. οἷον οὐδένες οὐδένων. οὐδέσι καὶ τὰ τοιαῦτα.

Τ ὁ οὐ μάλα ἐγγὺς, δηλοῖ τὸ πολλὰ μακράν. Καὶ τὸ οὐ πολλὰ χαιρήσεις ἀντὶ τοῦ πολλὰ λυπηθήσῃ. Καὶ τὸ οὐ φαυλότατα ἁμαρτάνεις τὰ μέγιστα ἁμαρτάνεις δηλοῖ. καὶ ὅσα τοιαῦτα ἔχουσιν ἀπόφασιν ὑποθετικοῦ, κατάφασιν δηλοῦσι κατὰ τὴν ἐναντίαν ὑπόθεσιν.

Ο ὐκ ἔσθ᾽ ὅτε ἀντὶ τοῦ οὐδέποτε, οὐκ ἔσθ᾽ ὅπου, ἀντὶ τοῦ οὐδαμοῦ. καὶ οὐκ ἔστιν ὅπως ἀντὶ τοῦ οὐκ ἔστι τρόπος. ὅπως, τὸ οὐχ ὅπως ἀντὶ τοῦ οὐ μόνον οὐχὶ λαμβάνεται. οἷον πενταέτης χρόνος. οὐχ ὅπως φιλοσοφοῦσιν ἀπαρκεῖν ἔμοιγε φαίνεται. ἀντὶ τοῦ οὐ μόνον οὐχὶ τοῖς φιλοσοφοῦσι.

Ο ὐρὰ τὸ ὄπισθεν τῶν ζώων. καὶ ἀπὸ τούτου οὐρὰ καὶ ἡ πρύμνα τῆς νεώς. Ὅθεν οὖρος ποιητικῶς ὁ ἀπὸ τῆς οὐρᾶς φορὸς καὶ ἐπιτήδειος ἄνεμος, ὃς κοινῶς λέγεται οὔριος. ὅθεν καὶ τὸ ἐξ οὐρίας πλεῖν.

Ο˚ φελος μὲν ἐπωφελὴς δὲ, καὶ ἀνωφελής. ὥσπερ ὄλεθρος μὲν, πανώλεθρος δὲ, καὶ ψυχώλεθρος. ὡσαύτως ὄφελος μὲν εἰπεῖν ὄφελος δὲ, καὶ ὡς μὴ ὤφελες. καὶ ἁπλῶς ἔστι δεῖ παρατηρεῖν ἐν συντίθενται.

Τ ὁ ὄφελον λαμβάνεται καὶ ἀντὶ τοῦ εἴθε, καὶ ἀντὶ τοῦ ἐχρεώστουν. καὶ εἰ μὲν λαμβάνεται ἀντὶ τοῦ εἴθε, συντάσσεται μετὰ εὐκτικοῦ. ὡς ἐν τῷ ὄφελον κατευθυνθείησαν αἱ ὁδοί μου. καὶ μετὰ παρεληλυθότος χρόνου. οἷον ὄφελον ἐγένετο τόδε, ἀντὶ τοῦ εἴθε ἐγένετο. εἰ δὲ ἀντὶ τοῦ ἐχρεώστουν διὰ τοῦ ω μεγάλου γράφεται. κανονίζεται γὰρ ἀπὸ τοῦ ὀφείλω εἰς παρατατικόν. καὶ κλίνεται οἷον ὤφελον ὤφελες ὤφελε. καὶ συντάσσεται μετὰ ἀπαρεμφάτου. οἷον ὤφελον γίνεσθαι τόδε. μετὰ δὲ τοῦ ὡς γράφεται. ἀντὶ τοῦ εἴθε. ὡς ἐν τῷ ὡς ὤφελον γε μὴ δεῖν προεδρίᾳ. μετὰ δὲ τοῦ ὡς καὶ τοῦ μὴ, ἢ τοῦ οὐκ, καὶ ἔστι τοῦτο ποτὲ τὸ ἀντὶ τοῦ ἐχρεώστουν. οἷον, ἐπεὶ παραγενόμενος ἐνταῦθα ὡς μὴ ὤφελον. καὶ ἐπεὶ τόδε ἐποίησα, ὡς οὐκ ὤφελον.

ὤφελεν. σημείωσαι δὲ ὅτι ταῦτα, συνυπακουόμενον ἔχει τὸ ἀπαρέμφατον. ἅπαξ ῥηθὲν, δὲ πεποίηκα. ἢ παραγενόμην, ἢ τοιοῦτό τι. οἷον ἐπεὶ τόδε πεποίηκα ὡς μήποτ' ὤφελον ποιῆσαι δηλονότι.

Ἐποφθαλμιάσωσιν ἀντὶ τοῦ ἐφ' ἑτέροις βλέψωσιν ἐρωτικῶς τοὺς ὀφθαλμοὺς τουτέστιν ἐρασθῶσιν ἑτέρων.

Ὄχθη ὁ ἀκτηκὼς τόπος, καὶ κρημνώδης ἐν ποταμῷ. ὁ τοιοῦτος ἐν θαλάσσῃ λέγεται ἀκτὴ, ὡς παρ' Ὁμήρῳ. ἀκτὴ ἐπὶ προὐχούσῃ. ἀκτὴ δὲ ἀκ τοῦ τὸ δῶρον. ἀπὸ τούτου λέγεται καὶ Δημήτερος ἱερὸν ἀκτῆς. ἤγουν τὸ ἐξαίρετον τοῦ σίτου καὶ περιέχον. Ὁ ἐπίπεδος δὲ τόπος ἐπὶ μὲν τοῦ ποταμοῦ λέγεται πλαταμών. ἐπὶ δὲ θαλάσσης αἰγιαλός. καὶ ἠιὼν, καὶ θὶν ποιητικῶς.

Ὀχετεύειν ἐστὶ κυρίως τὸ ὕδωρ δι' αὔλακος ἄγειν. ἀφ' οὗ μετοχετεύειν τὸ μετάγειν ὕδωρ ἐφ' ἑτέραν αὔλακα.

Ὄχλος παρὰ τοῖς ἀττικοῖς ἡ ὄχλησις. παρὰ δὲ τῇ θείᾳ γραφῇ, καὶ τοῖς ἄλλοις Ἕλλησι, τὸ πλῆθος τοῦ λαοῦ.

Ὄχος ἀρσενικῶς τὸ ἅρμα, ὄχεα δὲ πληθυντικῶς παρ' Ὁμήρῳ οὐδετέρως. ὄχημα δὲ παρὰ τοῖς κοινοῖς τὸ αὐτό. ὡς παρὰ Λουκιανῷ, καὶ ἐξὸν ὄχημα ζεύγνυσθαι αὐτῷ.

Ὀχῶ μεταβατικὸν, οἷον ὀχῶ τὸν ἄνθρωπον ἀντὶ τοῦ ἐπ' ὀχήματος ἀναβιβάζω. ὀχοῦμαι δὲ ἀμεταβάτως ἀντὶ τοῦ ἐπ' ὀχήματος φέρομαι. ὀχεύειν δὲ καὶ ὀχεία ἡ τῶν ἀλόγων ζώων συνουσία. ὥσπερ ἐπὶ τῶν ἀνθρώπων ἀφροδίτη, καὶ ἀφροδισιάζειν.

Ὄψομαι καὶ ὦπται μόνα ἐν χρήσει. τὰ δ' ἄλλα τούτων ἄχρηστα.

Ὄχθη ἐπὶ ποταμοῦ λέγεται. ἀκτὴ δὲ ἐπὶ θαλάσσης. ἀπὸ τούτου γίνεται ὀχθῶ ὀχθήσω. ποιητικῶς τὸ βαρυθυμοῦμαι, καὶ ὀχθίζω τὸ αὐτὸ παρὰ τοῖς κοινοῖς. καὶ προσοχθίζω καὶ προσοχθίσματα.

Ὄψις καὶ ἡ πρόσοψις. ἤτοι τὸ πρόσωπον καὶ ἡ ὁρατικὴ δύναμις. ὄψις καὶ τὸ ὅραμα.

ΑΡΧΗ ΤΟΥ Π.

Παρίστησι τὶς, τί, ὃ ἀπολείπουσι. Παρίσταται δέ τινι τόδε, ἀντὶ τοῦ δοκεῖ. Παρίσταται, ἀντὶ τοῦ πλησίον ἵσταται. καὶ ἀντὶ τοῦ συμμαχεῖ. ἀφ' οὗ παράστασις. καὶ παρίσταται ἀντὶ τοῦ ὡς δοῦλος ἵσταται. καὶ ἐπὶ ἀεὶ ἑστῶτος. Παρίστη ἀντὶ τοῦ ἐβοήθει καὶ ἀντὶ τοῦ πλησίον ἔστη. παρεστήσατο δὲ φρένας, ἀντὶ τοῦ ἐνίκησεν, ἐδουλώσατο.

Παλαμναῖος ὁ οἰκείαις χερσὶ φόνον ἐργασάμενος.

Παρέχομαι ἐμαυτὸν τῷ δεῖνι πράγματι. καὶ παρέχεται τὰ ὄρη δένδρα τοιάδε. παρέχει τὶς τινὶ νόμισμα. ἢ τι ἕτερον. ὅπερ οὐκ ἀπὸ τῆς ἑαυτοῦ φύσεως ἐστί.

Παραβάλλω τὸ πλησιάζω καὶ τὸ παρεικάζω. ἐξ οὗ καὶ παραβολὴ ἡ εἰκών.

Παραβάλλω τὸ συγκρίνω καὶ παρατίθημι. καὶ παράθεσις ἡ σύγκρισις. Παραβάλλω ἐπὶ τῶν ἵππων ὡς παρ' Ὁμήρῳ. παραβλήματα αἱ τῶν ἵππων τροφαί. Παραβάλλομαι δὲ παθητικῶς ἀντὶ τοῦ ῥιψοκινδυνεύω. ἢ πρὸς κῦμα παραβεβλημένους. καὶ Ὅμηρος παραβαλλόμενος τὴν ἐμὴν ψυχὴν, ἀντὶ τοῦ τοῖς κινδύνοις παραρρίπτων.

Τὸ παλαιὸν ἐνίοτε μὲν πρὸς ἕτερον λέγεται νέον. ὡς παλαιὰ ῥώμη πρὸς τὴν νέαν. ἐνίοτε δὲ οὐ τῶν πρός τι ἐστὶν, ἀλλὰ δηλοῖ μόνον τὸ πάλαι γεγονός. ἔστι παλαιὰ πρᾶξις ἡ πάλαι γεγονυῖα, καὶ ἁπλῶς τὸ παρῳχηκὸς, ἢ τὸ πάλαι μὲν τὴν ἀρχὴν εἰληφὸς, νῦν δὲ παυσάμενον.

Παρακαλῶ τὸ προτρέπομαι. καὶ παράκλησις ἡ προτροπὴ, καὶ ἡ παρακίνησις. σπανίως δὲ καὶ τὸ δέομαι. Παρακαλοῦμαί σε εἰς μάχην ἀντὶ τοῦ παρακινῶ σε. καὶ ἐδεξάμεθα τὴν παράκλησιν τῆς διαφορᾶς. ἤγουν τὴν παρακίνησιν τῆς μάχης.

Παρειὰ ἡ γνάθος διὰ διφθόγγου. ἀφ' οὗ καὶ παρεῖαι, ὄφεις οὕτως ὀνομασμένοι, διὰ τὸ παρειὰς μείζους ἔχειν. καὶ καλλιπάρῃος ποιητικῶς διὰ τοῦ η.

Παστὰς καὶ θάλαμος κυρίως ἐπὶ νυμφικῶν οἴκων, καταχρηστικῶς δὲ καὶ ἐπὶ οἴκων ἁπλῶς εἰς ὑποδοχὴν εὐτρεπισμένων. τὸ δὲ κοινῶς κελλίον, δωμάτιον ἀττικῶς λέγεται.

Πάγος τὸ πεπηγμένον ὕδωρ ἀπὸ ψύχους. καὶ τὸ σκληρὸν ὄρος καὶ πετρῶδες.

Παραιτοῦμαι τὸ ἀποστρέφομαι, καὶ ἀθετῶ. ὅθεν καὶ ἀπαραίτητον τὸ ἀμετάθετον. Παραιτοῦμαι τὸ ἐκβάλλω ὡς παρὰ Συνεσίῳ. ἀπὸ δὲ τούτου γε παραιτουμένην. Παραιτοῦμαι καὶ τὸ συγγνώμην αἰτῶ. ὡς Ἀριστείδης, παραιτεῖσθαι μὲν οὐκ οἶδα ὅτι δεῖ περὶ τῶν αὐτῶν πολλάκις.

Παράδειγμα. οὐχ ὑπόδειγμα.

Πάταγος ἐπὶ ἀνέμου διὰ τοῦ τ. Ὄτοβος δὲ τὸ αὐτὸ διὰ δύο τ. Ἦχος δὲ ἐπὶ μέλους καὶ βροντῆς.

Τὸ πάλαι μακρόν ἐστι. καθὸ οὐδὲ πρόπαλαι γράφεται. ἀλλ' ἐκ παλαιοῦ.

Πάσχω ἐνεστὼς, ἔπασχον παρατατικὸς, πείσομαι μέλλων. ἔπαθον ἀόριστος. πέπονθα παρακείμενος.

Παῖς ὁ τὴν τοῦ παιδίου παρερχόμενος ἡλικίαν. οὔπω δὲ ἐληλυθὼς ἐπὶ τὴν τῶν μειρακίων. εἰσὶ δὲ ἡλικίαι ἑπτά. ὡς φησὶν Ἱπποκράτης, ἑπτά εἰσιν ὧραι ἃς ἡλικίας καλέομεν. παιδίον. παῖς. μειράκιον. νεανίσκος. ἀνήρ. πρεσβύτης. γέρων. καὶ παιδίον μὲν ἄχρι ἑπτὰ ἐτῶν, ὀδόντων ἐκβολῆς. παῖς δ' ἄχρι γονῆς ἐκφύσιος, ἐς τὰ δὶς ἑπτά. μειράκιον δ' ἄχρι γενείου λαχνώσιος ἐς τὰ τρὶς ἑπτά. νεανίσκος δ' ἐς τὰ τῆς αὐξήσεως ὅλου τοῦ

σώματος εἰς τὰ τετράκις ἑπτά. ἀνὴρ δὲ ἄχρι ἑνὸς δέοντος ἐς τὰ ἑπτάκις ἑπτά. πρεσβύτης δ' ἄχρι τῶν πεντήκοντα ἕξ. ἐς τὰ ἑπτάκις ὀκτώ. τὸ δὲ ἐντεῦθεν γέρων λέγεται.

Πάλλειν ἀντὶ τοῦ κινεῖν, καὶ ἔστι ποιητικόν. Πάλην τὴν παλαίστραν ἡ πάλη τῆς πάλης. καὶ ἔστιν ὄνομα εὔχρηστον.

Παῤῥησία λέγεται κυρίως, ἡ εἰς τὸ μέσον τῆς ἐκκλησίας εἰσιοῦσα ἤγουν δημηγορικὴ πάροδος. ἀπὸ τῆς παρὰ προθέσεως τῆς δηλούσης τὴν εἰς τὸ μέσον ἄφιξιν καὶ τοῦ ῥῶ ῥήσω εὐχρήστου τὸ λέγω. καὶ μάρτυς. Εὐριπίδης, ταύτῃ τῇ παρὰ χρώμενος λέγων. κατὰ παρεστὼς εἶπον ἐν μέσοις τιθείς. ἀντὶ τοῦ εἰς τὸ μέσον ἐλθών, ἔστι γοῦν παρέρησία, καὶ κατὰ συγκοπὴν παῤῥησία. ὅθεν διὰ δύο ρρ γράφεται. ἐκ τούτου δὲ καταχρηστικῶς ἐπετέθη παῤῥησία, καὶ τὸ θάῤῥος.

Παριστῶ τὸ εἰς φανερὸν ἄγων ἱστῶ. καθὸ λέγεται καὶ παράγειν τὸ εἰς φῶς ἄγειν. Παραλογίζομαι δέ τινα, ἀντὶ τοῦ λαθὼν παρασύρω αὐτὸν εἰς ψευδῆ λογισμόν. Καθὸ λέγεται, καὶ παράγειν τὸ ἀπατᾶν.

Παρακινῶ τὸ μεθιστῶ καὶ διεγείρω, τὸ μὲν ἤγουν ἀψύχων. τὸ δὲ, ἤγουν ἐμψύχων.

Παρακολουθῶ. τὸ παρ' ἑνὸς ἕλκω. ἢ παρά τι ἕτερον. Παρατηρῶ δὲ ἤγουν παρακολουθῶν σκοπῶ.

Παραφαίνω τὸ ἀμυδρῶς δεικνύω, καθὸ λέγεται καὶ παραψαύειν τὸ μὴ τελείως ψαύειν. Παραφαίνω καὶ τὸ πλησίον ἄλλων φαίνω, καθὸ λέγεται καὶ παρατιθέναι. καὶ παραβάλλειν τὸ συγκρίνειν καὶ παρεικάζειν, ἀφ' ὧν παραβολὴ καὶ παράθεσις.

Παίει μὲν ὁ τύπτων. Παραπαίει δὲ ὁ παραφρονῶν. τῆς παρὰ προθέσεως ἔξω δηλούσης. ὡς ἔξω τοῦ δέοντος βάλλει τοῖς διαλογισμοῖς ὁ παραπαίων.

Παραπλήσιον τὸ ὅμοιον ἀττικῶς. πλησιάζει γὰρ παράκειται τῷ, ᾧ ὅμοιον.

Τὸ παύω ἐνεργητικῶς λαμβάνεται ἀπὸ αἰτιατικῆς εἰς γενικήν. οἷον παύσω σε τοῦ ἔργου. καὶ παύω ἀμεταβάτως. ὥσπερ ζῶ, καὶ πλουτῶ καὶ συντάσσεται γενικῇ μόνῃ. οἷον παύω τοῦ λόγου.

Παρέλκει τι, ἀντὶ τοῦ ἔξω τείνει τοῦ κειμένου. καὶ παραπόλλυσί τις τι, ἀντὶ τοῦ ἔξω τοῦ πρέποντος ἀναλίσκει.

Τὸ πάρος ἀντὶ τοῦ ἔμπροσθεν, ποιητικὸν καὶ χρονικόν ἐστι.

Παραχρῆμα ἤτοι αὐτίκα ὃ καὶ παραυτὰ γράφεται. αὐτόχρημα δὲ ἀντὶ τοῦ αὐτίκρυς.

Παρίσα καὶ ὁμοιοκατάληκτα τὸ αὐτό ἐστιν. οἷον λαῦστε πῶλε. ἔγραψεν ἔτυψεν.

Πάρδαλις τὸ ζῶον. ἐκφέρεται δὲ καὶ ὁ πάρδαλις. καὶ ἡ πόρδαλις. παρδαλῆ δὲ τὸ δέρμα αὐτοῦ, ὡς ἀπὸ συναιρέσεως σχηματίζεται. οὕτω καὶ λεοντῆ τὸ τοῦ λέοντος καὶ κυνῆ τὸ τοῦ κυνός. καὶ ἕτερα ὅμοια.

Παρείκῃ κατὰ τὸ ἵημι. ὁ μέλλων ἥσω. ὁ παρακείμενος εἷκα. καὶ τὸ ὑποτακτικὸν ἐὰν εἵκω. ἐὰν εἵκῃς. ἐὰν εἵκῃ. καὶ παρείκῃ. τάττεται δὲ ἀντὶ τοῦ συγχωροίη, καὶ ἐνδιδοίη. καὶ ἔστιν ὑποτακτικὸν καὶ εὐκτικόν, καὶ τὸ μὲν ὑποτακτικὸν εἴρηται. τὸ δὲ εὐκτικὸν οὕτω, παρείημι τὸ ἐνδίδωμι. ἀπὸ τούτου ἤγουν παρακειμένου. τὸ παρεικὸς διὰ διφθόγγου. ὅθεν τό, ὅπῃ παρείκοι ἤγουν εὐκτικοῦ.

Παράγω σε εἰς τὸ διηνεκές. Παράγω σε ἀντὶ τοῦ ἀπατῶ. ἔστι δὲ τῷ φόβῳ παραγομένῳ. Παράγει μὲν ὁ παλαιός. Παράγονται δὲ κατὰ γραμματικοὺς λέξεις ἐκ λέξεως. Καὶ παράγεται τὸ ἀπατᾶται.

Λέγεις τινὰ παραμένειν ὅταν τὸν βουλόμενον ἀποδέχεσθαι κρατῇς εἶναι παρὰ σαυτῷ. Περιμένειν δὲ ὅταν καὶ σὺ βούλει ἔνθα ἐστὶν ἐκεῖνος.

Πατριώτης πατριώτου ἀττικόν ἐστιν. ὡς γὰρ φαμὲν πολίτην τὸν συμπολίτην καὶ ἡλικιώτην τὸν συνηλικιώτην, οὕτω καὶ πατριώτην τὸν συμπατριώτην, καὶ ἤγουν θηλυκοῦ ἡ πατριῶτις.

Στολὴ κατὰ πάτρια ἔθη νενομισμένη. ἐκ τούτου γὰρ καὶ παράγεται. Πάτρια δὲ ἀπὸ τοῦ πατήρ. καὶ παράγονται ἐκ τούτου διάφορα. οἷον πάτρια ἤγουν τῶν ἐθνῶν.

Πατρικὸς φίλος, καὶ πατρῷος κλῆρος. καὶ πάτρως πάτρω, ποιητικῶς, ὡς μήτρως μήτρω, ὁ τοῦ πατρὸς καὶ τῆς μητρὸς ἀδελφός, καὶ πάτρων πάτρωνος παρὰ τοῖς νομικοῖς, ὁ πατρὸς τάξιν ἐπέχων.

Ἡ παρὰ πρόθεσις συντάσσεται γενικῇ, καὶ δοτικῇ, καὶ αἰτιατικῇ, καὶ μετὰ γενικῆς μὲν συντασσομένη, σημαίνει τὸ λαμβάνω τι ἀπό τινος. ὡς τό, παρ' ὧν ἐξίωσεν ὃν κέκλοφεν ἵππον ἀνύσασθαι. μετὰ δὲ δοτικῆς δηλοῖ πλησιότητα. οἷον παρὰ τῷ βασιλεῖ κάθηται, καὶ ὕπαρξιν τινὸς ἔν τινι. ἔχει δὲ ἐν τῇ τοιαύτῃ σημασίᾳ τὸ ὑπαρκτικὸν ῥῆμα ἀεί, ἢ προσκείμενον, ἢ νοούμενον. οἷον παρὰ τῷ κυρίῳ τὸ ἔλεος, ἤγουν ἐν τῷ κυρίῳ. μετὰ δὲ αἰτιατικῆς δηλοῖ κίνησιν. οἷον παρά σε ἦλθον. καὶ αἰτίαν, οἷον, οὐ παρὰ τοῦτ' ἐστὶ κακός, ὅτι σε ἔτυψα ἀμελῆ ὄντα. ἀντὶ τοῦ, οὐ διὰ τοῦτο. καὶ τὸ ἔξω. οἷον παρὰ τὴν ἀλήθειαν λέγεις. καὶ παρὰ τὸ δίκαιον ἔπραξας ἀντὶ τοῦ ἔξω τῆς ἀληθείας, καὶ τοῦ δικαίου. κατὰ τοῦτο τὸ σημαινόμενον λέγεται, καὶ τὸ παρ' ὅ. οἷον σπείρει μὲν ὁ λαγωὸς κατὰ φύσιν, ἀποκυΐσκει δὲ ὁ αὐτὸς παρ' ὃ πέφυκεν. ἤγουν ἔξω οὗ πέφυκε, καὶ παραγωγὴν τινὸς ἀπό τινος, καὶ ἐξέλασιν. οἷον παρὰ τὸ πορίζεσθαι ὁ ἔμπορος. Καὶ παρὰ τὸ δῆμος καὶ τὸ δεινὸς δημοσθένης. τοιοῦτον δὲ καὶ τὸ παρὰ τῷ φιλοστράτῳ. εἰ δὲ ἐντύχοις φυτῷ ἡμέρῳ καὶ παρὰ τὴν αὔθην αὐξάνῃ, καὶ τὰ ἑξῆς. ἤγουν ἀπὸ τῆς αὐθείας ἐμπνέει τι τὴν εὐωδίαν. σημαίνει δὲ ἐν τῇ

συνθέσει

συνθέσει καὶ τὸ παραδραμεῖν τι. ἢ καταφρονήσαντα. οἷον παρέδραμέ τινα, καὶ παρεώρακε, ὃ παρ' ἡμῖν χρησιμεύει. οἷον φεύγων μετά τινος παρέδραμον. καὶ διὰ ρχόμενος τόπον ἢ ἄλλό τι παρῆλθον αὐτό. καὶ τὸ παραγενέσθαι εἰς τόπον. οἷον παρῆλθον εἰς τὸν ναόν. Καὶ τὸ ἔξω. οἷον παρεπόλλυσι τὸ παῦλαν ἀντὶ τοῦ, ἔξω τοῦ πρέποντος ἀναλίσκει. καὶ πλησιότητα, ἢ τόπον, ἢ ἀξιώματος. οἷον παρεδρεύει. ἤτοι πλησίον κάθηται. καὶ παραδυναστεύει ἀντὶ τοῦ συνάρχει.

π έλανος κυρίως τὸ λεπτὸν πέμμα, ᾧ χρῶνται πρὸς τὰς θυσίας. ἔνιοι δέ φασι καὶ πᾶν τὸ ὑγρὸν πεπηγμένον, παρὰ τὸ πολῦναι ὅ ἐστι λευκαίνειν.

π ετάω πετῶ, τὸ, ὑψῶ μεταβατικῶς. οἷον διεπέτασα τὰς χεῖρας. καὶ ἐπετάσθη ἐπὶ τῶν πτερύγων ἀνέμοι. πέτονται δὲ ὅσα ἔχουσι πτερά. ὅπερ οὐκ ἔχει ἐνεργητικὸν ἐν χρήσει. πέτομαι οὖν πτήσομαι καὶ ἔπτην.

π εριβάλλω τινὰ, ἤγουν περιπτύσσομαι, καὶ περιπλέκομαι. Καὶ περιβάλλω τί τινι ἤγουν περιτίθημι, καὶ περιβάλλει ὁ θεὸς τὸν οὐρανὸν ἐν νεφέλαις. καὶ παρὰ Φιλοστράτῳ περιβάλλων τοῖς τείχεσιν ἀθρόους ὡπλισμένους. ἀντὶ τοῦ, κύκλῳ τιθείς.

π εριωπὴ ὁ ὑψηλὸς τόπος. ἀφ' οὗ καὶ δυνατόν ἐστι τὰ κύκλῳ σκοπῆσαι.

π έρδω πέρδω ἐπέρδασα. πεπόρδα πέρδομαι πορδήσομαι. καὶ ἐπορδάσθην ὑφ' ἑτέρου. ἰστέον δὲ ὅτι τὸ πέρδεσθαι καὶ τὸ ἔσθειν. καὶ ὅσα δευτέρας συζυγίας τῶν περισπωμένων ὄντα πρὸ τοῦ α. φωνῆεν ἢ τὸ ρ. ἔχουσι, μακρὸν ἔχουσιν αὐτὸ ἐξ ἀνάγκης. οἷον ἐάω ἐάσω. περάω περάσω. ἔστι δὲ ἕτερα σύμφωνα ἔχουσι, βραχὺ τὸ α, ἔχουσιν οἷον γελάσαι.

π είθω μεταβατικὸν, πείθομαι δὲ ἐγώ. καὶ πείθομαι τοῖς σοῖς λόγοις. ὁ μέλλων πείσω. ὁ δὲ μέσος μέλλων τὸ πείσομαι, ἀντὶ τοῦ πάθω λαμβάνεται. ἔστι καὶ ἀντὶ τοῦ πεισθήσομαι. πείθω οὖν πείσω ἔπεισα καὶ πέπεικα. πείθομαι, πεισθήσομαι, ἐπείσθην, καὶ πέπεισμαι. τὸ δὲ πείσομαι. ἀντὶ τοῦ πάθω ὡς εἴρηται.

π ερικλῆς περικλέους. περικλεῖ, περικλέα καὶ περίκλεις. καὶ πάντα τὰ εἰς κλῆς οὕτω κλίνονται.

π ειρᾷ ἐνεργητικῶς ἀντὶ τοῦ συνουσιαστικῆ. πειρᾶται δὲ, ἀντὶ τοῦ ἀπόπειραν ποιεῖ, γνωστικῆ. πειρῶμαι σοῦ καλοῦ, ἀντὶ τοῦ διὰ πείρας σε καταλαμβάνω καλόν. καὶ πειρῶμαι τῆς γνώμης σου, εἰ μὴ μεταβέβληκεν, ἀντὶ τοῦ θέλω διὰ πείρας καταλαβεῖν αὐτόν. Καὶ πειρῶμαι βλάπτειν σε ἀντὶ τοῦ ἐπιχειρῶ. ἀφ' ὧν πεῖραν ἣν δίδωσι τις τινὶ, ἢ λαμβάνει, καὶ ἡ προσβολὴ, καὶ ἡ ἐπιχείρησις. πειρῶμαι οὖν πειράσομαι πεπείραμαι καὶ ἐπειράθην.

π ένης κυρίως τὸ ξαίνειν. ὅθεν καὶ τὸ πεξάμενοι χερσίν. ἐνίοτε δὲ ἀντὶ τοῦ κείρειν. ὡς τὸ, ἡ μὲν οἷς πείκειν.

τ ὸ πεσεῖν ἐπὶ τῆς ἁπλῶς πτώσεως λαμβάνεται. καὶ ἀπὸ τούτου, ἰδίως ἐπὶ τῶν ἐν πολέμῳ φονευομένων, καὶ παρ' Ὁμήρῳ ἐπὶ τοῦ γενέσθαι. ἐν ᾧ οὐ λέγει διιπετέας ποταμούς. ἤγουν ἀπὸ τοῦ διὸς γεγενημένους. ἀφ' οὗ τὸ ἐμπεσεῖν, ἀντὶ τοῦ ἐπιθέσθαι ἐν πολέμῳ. καὶ ἀντὶ τοῦ εἴς τινος πεσεῖν. καὶ ἀπολειφθῆναι ὥσπερ οἱ ἀρχύσι καθὸ λέγεται συμφοραῖς ἐμπεσεῖν τινά. καὶ τὸ ἐμπεσεῖν εἰς χεῖρας θεοῦ ζῶντος. Καὶ εἰσπεσεῖν, ἀντὶ τοῦ εἰσελθεῖν. ὃ λέγεται ἐπὶ οἰκίας, ἢ τοιούτου τινός. Τὸ δὲ ἐμπεσεῖν ἐπὶ πεδίου, καὶ τὸ ἐκπεσεῖν τοῦ πλούτου, ἢ τῆς πατρίδος. ἀντὶ τοῦ στερηθῆναι, καὶ ἁπλῶς τὸ ἐκφυγεῖν καὶ παρελθεῖν. ἢ ἔξω τοῦ πρέποντος πεσεῖν. Καὶ συμπεσεῖν ἀντὶ τοῦ συμβῆναι. ἢ συγκροτῆσαι μάχην. Καὶ περιπεσεῖν τὸ ἐξαίφνης ἀποκτῆναι τινὰ μὴ εἰδότα, καὶ ἀντὶ τοῦ περιελθεῖν καὶ ἀπαντῆσαι. Καὶ προσπεσεῖν τὸ ἐνώπιον τινὸς πεσεῖν. οἷον προσπεσοῦνται Αἰθίοπες. Καὶ ἀνατπεσεῖν ἀντὶ τοῦ ἀνακλιθῆναι. Καὶ κατεπεσεῖν ἀντὶ τοῦ κατακλιθῆναι. Καὶ μεταπεσεῖν ἀντὶ τοῦ μετατεθῆναι. Καὶ παρεκπεσεῖν τὸ ἔξω τοῦ πρέποντος πεσεῖν. Καὶ ἀντιπεσεῖν τὸ ἐναντιωθῆναι. Καὶ ἐπιπεσεῖν τὸ ἐπιθέσθαι. Καὶ τὸ περιπεσεῖν θλίψεσιν ἢ τοιούταις τισί. Καὶ ἀποπεσεῖν ἀντὶ τοῦ ἀποκάτω πεσεῖν τινὸς ἢ ἀποτυχεῖν.

π εραίνει τὸ τελειοῦν καὶ τὸ συνουσιάζειν.

τ ὸ πεζεύειν ἐπὶ ξηρᾶς λέγεται. καὶ ἐπὶ θαλάττης ὅταν ἐπάνω τῶν κυμάτων περιπατῇ τις. οἰκείως ἔχουσιν οἱ παρακείμενοι ἀντὶ ἐνεστῶτος λαμβάνεσθαι. οὐ μὴν πάντες οἱ παρακείμενοι. οὕτω λαμβάνονται. ἀλλ' εἰσὶ μὲν, οἱ ἐπὶ συνηθείας ἐνεστῶτος λαμβάνονται ἀεὶ, ὡς δέδορκα. δέδοικα. πέφρικα. καὶ ἕτεροι. Εἰσὶ δὲ, οἱ οὐδέποτε ἐπὶ ἐνεστῶτος λαμβάνονται, ἀλλ' ἀεὶ ἐπὶ παρεληλυθότος. ὡς πέποιθα. καὶ πεποίηκα. καὶ ἕτεροι. εἰσὶ δὲ οἱ ἐνίοτε μὲν ἐπὶ ἐνεστῶτος. ἐνίοτε δὲ ἐπὶ παρεληλυθότος λαμβάνονται. ὡς τὸ πεποίημαι. οἷον πεποίημαι τινὰ φίλον, ἀντὶ τοῦ ποιοῦμαι, ἢ ἀντὶ τοῦ ἐποιησάμην.

π ερὶ παντὸς ποιοῦμαι τὰ σά. ἀντὶ τοῦ κρείττονα πάντων ἔχω. ἡ γὰρ περὶ δηλοῖ τὸ πλέον. καὶ τὸ περιεγένετο δὲ τοιοῦτόν ἐστιν, ἀντὶ τοῦ κρείττων ἐγένετο.

κ αὶ ἐκπεπτάκασι καὶ ἐκπεπτακυῖα γέγραπται. κρεῖττον δέ ἐστι τὸ δεύτερον.

ε κπεπτασμένα τὰ ἡπλωμένα. ἀπὸ τοῦ ἐκπετάζω ἀχρήστου.

π ένθος. τὸ μελανειμονεῖν. θρῆνος τὸ κλαίειν.

π ερὶ πολλοῦ ποιοῦμαι τόδε, περὶ πλείστου τόδε τοῦδε. καὶ περὶ πλείστου ποιοῦμαι ἀντὶ τοῦ πολλὴν φροντίδα ἔχω. οἷον περὶ πλείστου ποιοῦμαι τὸ μανθάνειν χρημάτων. ὧν τὸ ἐναντίον

περὶ ἐλάττονος ποιούμεθα τόδε τοῦδε. ἀντὶ τοῦ ἐλάττονα φροντίδα ἔχω.

Περιουσία περίλυποι καὶ περιωδυνῶς τὸ πικρόν. ἀπὸ τῆς περὶ προθέσεως τῆς δηλούσης τὸ ἐκ περισσοῦ.

Περιοστῶ τὸ πολλάκις περὶ τὸν αὐτὸν τόπον ἐπαναστρέφω. ἀριστοφάνης, ὅστις σε περιπλέοντα περιοστεῖν ἐᾷ. Παλινοστῶ δὲ, καὶ νοστῶ, ποιητικά.

Εἰώθασιν οἱ ποιηταὶ μετὰ τὰ ὀνόματα τιθέναι πάσας τὰς προθέσεις. πλὴν τῆς διά. λογοποιοὶ δὲ μόνην τὴν περί. οἷον οὗ νῦν ἐστι λόγων αὐτῶν. τῆς δὲ σῆς ψυχῆς πέρι καὶ τὴν πρὸς ὁμοίως καὶ μικρόν τι πρός.

Ἐκπέμπειν τὸ ἀποστέλλειν τινὰ πρός τινα. καὶ τὸ ἐκβάλλειν. Προπέμπειν τὸ συνακολουθῆσαι τινὶ ἐξιόντι ἐπὶ τῷ συντάξασθαι. Καὶ προπέμπουσιν οἱ ἔμπροσθεν ἐρχόμενοι. ἐπὶ τιμῇ τῶν ὄπισθεν. καὶ οἷον δορυφορεία. Παραπέμπειν δὲ τὸ παρακολουθεῖν διόλου τινὶ καὶ δορυφορεῖν. ἔτι παραπέμπει τίς τινα, ὅταν μεθ' ἑαυτοῦ ἔρχηται. θεραπεύειν, καὶ οἷον δορυφορεῖν. Καὶ παραπέμπει ἡ ὕελος τὴν ἀκτῖνα, ἤγουν παραχωρεῖ καὶ δίδωσιν ἵνα δι' ἑαυτῆς ἔλθῃ.

Πηνίκα καὶ ἡνίκα ὥρας δηλωτικά. ὡσαύτως καὶ πηνίκα δέ. ὡς τὸ, τί πηνίκα δὲ ἀφῖξαι ὦ κράτιστε, ὁ οὐ πρωὶ ἐστί.

Πένταθλον λέγεται ὁ ἔχων ἐν δρόμῳ τὰ πέντε ἆθλα ταῦτα. πυγμήν. πάλην. ἅλμα. δίσκον. καὶ δρόμον.

Πηγαὶ λέγονται πληθυντικῶς ἐπὶ τῆς ἀρχῆς τῶν ποταμῶν. οἷον αἱ πηγαὶ τοῦ ἀχελῴου. αἱ πηγαὶ τοῦ νείλου. Καὶ ἐκβολαὶ αἱ εἰσελεύσεις αὐτῶν εἰς τὴν θάλασσαν.

Πηδάλιον τὸ τῆς μεγάλης νεώς. πληθεῖον δὲ τὸ τῆς ἁλιάδος.

Πίνακες τὰ ἀγγεῖα ἐν οἷς ἐσθίομεν. καὶ αἱ διὰ σανίδων εἰκόνες. πινάκια καὶ δὶς ἐν οἷς ἐγράφετο τὰ κατὰ τῶν εἰσαγγελλομένων ἐγκλήματα. καὶ ἐν οἷς τὰ δικαστήρια ἐγράφοντο. καὶ αἱ ἀρχαὶ, ἃς ἐλάμβανον οἱ λαχόντες δικάζειν, ἤγουν ἀρχεῖα.

Πιπίσω πισοῦμαι, ἔπισον, καὶ πέπικα.

Πίνει τις ὅταν ἔτι πίνῃ. Ἐκπίνει δὲ ὅταν ἐκπληροῖ τὸ ἔκπωμα. ὡς τὸ, ἐξέπιε τὴν κύλικα. πίνω, πίομαι, καὶ ἔπιον.

Πιστεύω τῷδε, καὶ ἀπιστῶ ὁμοίως τῷδε, πρὸς δοτικὴν ἀμφότερα. πιστεύω τῷ θεῷ, καὶ εἰς τὸν θεόν, καὶ πιστεύω τινὶ ὅταν ὡς ἀληθῆ λέγοντα αὐτὸν δέχωμαι. καὶ πιστεύω σοι τόδε, ἀντὶ τοῦ θαρρῶ σοι. ἀφ' ὧν πίστις ἡ πρὸς θεόν. καὶ πίστις λόγων. καὶ πίστις τὸ θάρρος. ὡς παρὰ σοφοκλεῖ. ἔλασσε δ' ἔξαρτος ὁρίστης. τῷ τέλει πίστιν ἔχων ἤγουν θάρρος.

Πιπράσκω ἐνεστώς, ἐπίπρασκον παρατατικός, πράσω μέλλων, πέπρακα παρακείμενος, πιπράσκομαι ἐνεστώς, ἐπιπρασκόμην παρατατικός, πεπράσομαι μέλλων καὶ πραθήσομαι, ἐπράθην ἀόριστος. πέπραμαι παρακείμενος, πέπρασαι. πέπραται. πεπρᾶσθαι.

Πιαρχία τὸ πῦ. ι. ὡς ἴκελον μὲν ἀπὸ τοῦ εἴκω ἰκέλη δὲ χρυσῇ ἀφροδίτῃ. ὅτι τὰ ὀνόματα τῶν ῥημάτων βραχύτερα.

Πλεῖν τὸ μετὰ νεὼς πλεῖν. καὶ ἐπιπλεῖ τὰ ἐπιφερόμενα τῷ ὕδατι, καὶ ὅσα κοῦφα, καὶ φύσιν ἔχοντα μὴ καταδύεσθαι ἐν τῷ ὕδατι, πλεῖν λέγεται. ὅθεν καὶ τὸ ἐπιπολάζειν. Νεῖν δὲ τὸ κολυμβᾶν μετὰ τέχνης. ὥστε τὸ πλεῖν ἐστὶ φύσει. τὸ δὲ νεῖν τέχνῃ. Ἀπὸ τοῦ κολυμβᾶν δὲ γίνεται ὄνομα, ὁ κολυμβητής. Καὶ τὸ στέλλεσθαι ἐπὶ θαλάττης λέγεται. οἷον ἐστείλατό τις τήνδε τὸν πλοῦν. τὸ δὲ ὁδεύειν ἐπὶ ξηρᾶς. ἀφ' ὧν ὀνόματα, ὁδὸς ἐπὶ ξηρᾶς, πλοῦς καὶ στόλος ἐπὶ θαλάττης. τὸ μὲν πλοῦς. κοινὸν τὸ δὲ στόλος ποιητικόν. πορεία δὲ ἐπ' ἀμφοτέρων.

Πλημμυρεῖν, ὃ καὶ βαρυτόνως λέγεται πλημμύρειν. ἀφ' οὗ τὸ ἐπλήμμυρεν ἐπὶ ὕδατος, λέγεται καὶ ἐπὶ τῶν καθ' ὕδωρ χειμαζόντων. ἀπὸ τούτου πλημμυρὶς καὶ πλημμυρία, ἡ ἀνάχυσις τοῦ ὕδατος ἐν τῇ γῇ. ἃ πάντα καὶ μακρὸν ἔχουσι τὸ ῡ. Ἄμπωτις δὲ τὸ ἐναντίον τῇ πλημμύρᾳ. ἤγουν ἡ συστολὴ καὶ ἡ ἀνάπωσις.

Πλῆμαι αἱ πλημμυρίδες τῶν ποταμῶν. Πλῆμναι δὲ αἱ τῶν τροχῶν σύριγγες.

Πλὴξ ἀπὸ τοῦ πλήττω εἰ μὲν εἰς ὃς λήγει, παθητικὰ εἰσὶν ἀεί. οἷον ἔμπληκτος ἀπόπληκτος. ἃ λέγεται ἐπὶ τῶν πληγέντων τὴν γνώμην, καὶ ἐκβεβλημένων. εἰ δὲ εἰς ηξ, ἐνίοτε μὲν ἐνεργητικά. οἷον βουπλὴξ τὸ κέντρον τὸ τὸν βοῦν πλῆττον. ἐνίοτε δὲ παθητικά, οἷον παραπλὴξ ὁ φθαρεὶς τὰς φρένας, καὶ τὸ σχῆμα παραπληξία. Καταπλὴξ ὁ συνεχῶς τι πεπληγμένος καὶ τῷ φόβῳ συνεχόμενος, τουτέστιν ὁ ψοφοδεής. καὶ καταπλὴξ εἰλείθυια ἡ πληγαῖς συνεχεῖς ἔχουσα. Καὶ οἰστροπλὴξ ὁ οἴστρῳ καὶ μανίᾳ πληγείς. Ἰστέον δὲ ὅτι καταπλὴξ μὲν καὶ παραπλὴξ γράφεται. καὶ παραπληξία. ποιητικῶς δὲ καὶ παράπληκτος. ὡς παρὰ σοφοκλεῖ. παραπλήκτῳ χερί. Ἔμπληκτος δὲ καὶ ἀπόπληκτος ὁ ἐμβρόντητος, καὶ οὐκ ἐμπλήξ. καὶ ἀποπλήξ. ἄχρηστα γὰρ ταῦτα. τὸ δ' ὄνομα ἐμπληξία.

Πλὴν τρία σημαίνει. πλὴν ἀντὶ τοῦ χωρὶς γενικῇ. πλὴν ἀντὶ τοῦ εἰ μὴ, εὐθείᾳ καὶ αἰτιατικῇ. πλὴν ἀντὶ τοῦ ὅμως, ἀσύντακτον.

Πνεῖν δίχα κοινὸν, πνεῖ δὲ δίχα ἀττικόν. ἀναπνεῖ δέ τις ἀθρόα. οὐχὶ πνεῖ. ἔξωθεν γὰρ ἀντιλαμβανόμεθα τοῦ ἀέρος. Ἴσθι δὲ ὅτι τὸ πνεῖ, καὶ ῥεῖ, καὶ ζεῖ, καὶ ὅσα τοιαῦτα ἀττικῶς μὲν, γράφεται, συνῃρημένως, ποιητικῶς δὲ, διαλελυμένως. οἷον πνέει καὶ ῥέει.

Πολιορκεῖν τὸ περικυκλοῦν πόλιν μετὰ στρατεύματος. Ἐκπολιορκεῖν δὲ τὸ ἐκπορθεῖν. ἐκπορθεῖν καὶ πίνειν ὅταν ἔτι πίνῃ. Ἐκπίνειν δὲ τὸ ἐκπληροῦν τὸ πιόμενον. ὡς τὸ ἐξέπιε τὴν κύλικα.

Γ ὀλεμος ἡ μάχη ἀφ' οὗ πολεμέω πολεμῶ, τὸ μάχομαι. ὁ ποιηταὶ πολεμίζω λέγουσιν. ἀφ' οὗ πολεμιστὴς, καὶ πολεμιστήριος ἵππος παρὰ τοῖς κοινοῖς. πολεμόω δὲ πολεμῶ ὅπερ μετὰ τῆς ἐξ προθέσεως εὕρηται, κυρίως τὸ εἰς πόλεμον τινὰ παρορμῶ.

Γ ολέμιος ὁ ἀπὸ ἀλλοτρίας χώρας ἐχθρὸς. ἐχθρὸς δὲ ὁ ἀπὸ τῆς αὐτῆς, πᾶς οὖν πολέμιος καὶ ἐχθρός. οὐ μὴν πᾶς ἐχθρὸς πολέμιος.

Γ όθος. ἐστὶν ἐπιθυμία πραγμάτων ἀπόντων. ἐπιθυμία δὲ καὶ ἵμερος τὸ αὐτό. καὶ λέγεται ἐπὶ τῶν παρόντων.

Γ ότον οὐδετέρως τὸ ἁπλῶς πινόμενον. πότος δὲ ἀρσενικῶς ἡ τῶν πολλῶν ἐν συνκαθεδρίᾳ σὺν ἔριδι πόσις, ὅθεν καὶ συμπόσιον, καὶ συμπότης.

Γ ολίτης ἐμός ἐστιν ὁ δεῖνα, οὐδέποτε δὲ μετὰ τῆς σύν. ἤγουν ἀπὸ τῆς αὐτῆς. ἐστὶν ἐμοὶ πόλεως. συμπολιτεύεται δέ μοι τις μετὰ τῆς σύν ἤγουν τὴν αὐτὴν ἐμοὶ πόλιν οἰκεῖ.

Τ ὸ πόθεν ἐνίοτε μέν ἐστιν ἐρωτηματικὸν, καὶ λαμβάνεται ἀντὶ τοῦ ἀπὸ ποίου τόπου, ἤγουν ἀπὸ ποίας αἰτίας. ἐνίοτε δὲ καὶ ἀπορηματικόν. ὅτε καὶ ἀντὶ τοῦ οὐδαμῶς λαμβάνεται, ὡς παρ' [illegible]. ὡς μὲν ἀξίαν πόθεν, ἀντὶ τοῦ, οὐδαμῶς.

Γ ορθμεύομαι ἐπί, καὶ πορθμεύω ἕτερον ἀντὶ τοῦ ἀπάγω. ὡς παρὰ Πλάτωνι. ᾧ δὴ προστέτακται τοὺς ἐνθένδε, ἐκεῖσε πορθμεῦσαι ἀντὶ τοῦ ἀπαγαγεῖν.

Γ ολεμῶ τῷ δεῖνι. καταπολεμῶ τὸν δεῖνα. ἐκπολεμῶ δὲ ἕτερον ἑτέρῳ ἤγουν ἐχθρὸν ποιῶ.

Τ ὸ πολλάκις οὐδέποτε ἀντὶ τοῦ σπανίως λαμβάνεται. εἰμὴ παρὰ τοῖς καινοῖς.

Γ ολύτιμος ὁ πολλῆς τιμῆς ἠγορασμένος. πολυτίμητος δὲ ὁ πολλῆς τιμῆς ἄξιος.

Γ ονηρὸς ὀξυτόνως λέγεται ὁ κακότροπος. ἀπὸ τοῦ πόνους αἴρειν καὶ τελεῖν.

Γ όνηρος δὲ προπαροξυτόνως, ὁ γεωργός. ἀπὸ τοῦ πονεῖν περὶ τὴν ἄρουραν.

Γ ονήρως δὲ ἐπίρρημα σημαίνει τὸ ἐπιπόνως, ὡς ἔχει καὶ τὸ πονήρως ἔχω τοῦ σώματος.

Γ ομπὴ καὶ προπομπὴ ἐπὶ τιμῆς. καὶ πομπεύω ἐπὶ ἀμεταβάτου καὶ πομπεύω ἕτερον.

Γ όῤῥω ἀντὶ τοῦ μακρὰν καὶ ἀντὶ τοῦ εἰς βάθος. οἷον πόῤῥω σοφίας ἐγένετο.

Γ ομπὴ ἡ συνάθροισις τοῦ λαοῦ ἐπί τινι. καὶ πομπεῖα πληθυντικῶς τὰ ἱερὰ σκεύη τὰ προπεμπόμενα τῆς πομπῆς. ὡς ὁ δημοσθένης. ἀλλ' ἀφροστίων πομπείων ἐπισκευαστής. καὶ πομπεύω τὸ πομπὴν ποιῶ.

Γ ορθμεύομαι ἐπὶ τὴν θάλατταν. καὶ πορθμεύομαι ἐπὶ τῆς θαλάττης.

Τ ὸ πόσος. ἔχει τὴν ἐρώτησιν ἐπὶ πλήθους, εἰ πολύ ἐστιν ἢ ὀλίγον. ὁ δὲ πόστος ἐπὶ ἀριθμοῦ τεταγμένου ὀκτὼ ἢ δέκα.

Γ ολυνίκης. μὲν πολυνίκους ἀπὸ γὰρ τοῦ νίκος. ὅσα γὰρ παράγεται οὐδετέρῳ ὀνόματι, τὴν αὐτὴν ἔχει κλίσιν τῷ οὐδετέρῳ. ὁμοίως καὶ τὰ ῥήματι συγκείμενα, οἷον ἀριστοφάνης ἀριστοφάνους. ὀλυμπιονίκης δὲ ὀλυμπιονίκου ὅτι ἀπὸ τῆς νίκης.

Γ ροβέβληταί τις ἤγουν πρόβολος ἵσταται. καὶ προβέβληταί τις, ἤγουν ἔμπροσθεν τίθεται.

Γ ροΐσταταί τις ἤγουν ἔμπροσθεν ἵσταται. καὶ βοηθεῖ τοῖς ὄπισθεν, ἀφ' οὗ καὶ προστάτης.

Γ ροσέσχεν ἡ ναῦς τῷ λιμένι, ἀντὶ τοῦ προσωρμίσθη. οἷον προσχὼν ἀπέβη τῆς νηός.

Δ ιαπρέπει, ἀντὶ τοῦ, διαλάμπει. ἐμπρέπει δέ τις τινὶ ἀντὶ τοῦ ἐμφανής ἐστιν ἐκείνῳ.

Γ ροκαλοῦμαι τινὰ εἰς πόλεμον. καὶ πρόκλησις ἐπὶ πολέμου. ἐκκαλοῦμαι δὲ τὸ διά τινος καλῶ τινὰ ἀπὸ τῆς οἰκίας.

Γ ροάστεια τὰ πρὸ τῶν τειχῶν τοῦ ἄστεος. ἃ καὶ προπόλεια λέγονται. καὶ προπόλειος κόσμος. ὁ πρὸ τοῦ τείχους τῆς πόλεως.

Γ ράττω τὸ ἀργυρολογῶ, ἀφ' οὗ ἄπρακτος, ὁ ἀνάργυρος. πράττω δὲ τὸ διάκειμαι. οἷον εὖ πράττω. ἀντὶ τοῦ καλῶς διάκειμαι. καὶ κακῶς πράττω ἤγουν κακῶς διάκειμαι. ἀφ' οὗ εὐπραγία καὶ δυσπραγία.

Ε ἰσπράττομαι τὸ ἀπαιτῶ, εἰσπράττομαι τὸ ἀπαιτοῦμαι.

Γ ράσσω ὁ παρ' Ἴωσι, πρήσσω γράφεται, καὶ φασὶ τὸ ἀττικὸν τοῦ α μακροῦ γέγονε πράσσω. ὡς τὸ καὶ θώρηξ θώραξ. καὶ πρῆσις πρᾶσις. καὶ θρήξ θράξ. ὁ μέλλων πράξω ἀττικῶς, πρήξω ἰωνικῶς. ὁ παρακείμενος πέπραχα. ἄχρηστος, ὁ ποιητικός. ὁ μέσος πέπραγα. ὃς ἀντὶ τοῦ ἔπαθον λαμβάνεται. καὶ οὐχὶ ἀντὶ τοῦ ἐποίησα. ὁ παθητικὸς πέπραγμαι πέπραξαι πέπρακται. καὶ ἔστι τὸ πρα φύσει μακρόν. καὶ δῆλον ἐκ τοῦ καὶ πρᾶγμα προπερισπᾶται, καὶ πρᾶξις, καὶ πρᾶσσε προστακτικόν. ἐπειδὴ πρῆγμα καὶ πρῆξις καὶ πρῆσσε τὰ ἰωνικά, καὶ οὐ δῆλον τὸ θέσει μακρὰ εἶναι. εἰ γὰρ αὖ καὶ τὸ τάγμα, καὶ τὸ γράμμα καὶ ἄλλα. ἀλλ' οὐκ ἔστιν, ἐπεὶ τὰ γὰρ θέσει μακρὰς περισπώμενα οὐ τίθεται. πράττω οὖν πράξω, πέπραχα. ἐνεργητικόν. πέπραγα δὲ παθητικόν.

Γ ρόγονοι πατὴρ, πάππος. πρόπαππος. καὶ οἱ ἀνωτέρω. ἀπόγονοι δὲ υἱός, ἔγγονος, καὶ οἱ κατωτέρω. πρόγονοι καὶ οἱ ἀπὸ προτέρων γάμων γεγεννημένοι. ἐὰν ὁ πατὴρ ἢ μήτηρ, εἰς δευτέρους ἔλθῃ γάμους. λέγονται δὲ πρόγονοι πρὸς τοὺς ἀπὸ τοῦ δευτέρου γάμου γεγεννημένους. ἐπίγονοι δὲ λέγονται οἱ ἀπὸ τοῦ δευτέρου γάμου.

Τ ὸ πρότερον λέγεται ἐπὶ δύο. τὸ δὲ πρῶτον ἐπὶ πολλῶν. καὶ τὸ μὲν πρῶτον λαμβάνεται ἐνίοτε μὲν ἐπὶ τάξεως. ἐνίοτε δὲ ἐπὶ ἀριθμήσεως. τὸ δὲ πρότερον ἀεὶ ἐπὶ τάξεως.

Γ ροσίεμαι ὁ μέλλων προσήσομαι. ὁ ἀόριστος προσηκάμην. ὁ δεύτερος ἄχρηστος. τὸ προστακτικὸν

πρόσσου. τὸ δὲ ἐνεργητικὸν προσείμην. τὸ δὲ ἀπὸ τοῦ ἐνεργητικοῦ προσίω. ἡ μετοχὴ προσιέμενος. ὡσαύτως καὶ τὸ προΐεμαι τὸ ἀμελῶ.

Προθυμοῦμαι. προθυμήσομαι, προεθυμήθην.

Πρῶτος πολλοστός. πόστος. κορυφαῖος. ὕστατος, καὶ ἔσχατος, ὑπερθετικά.

Πρόσπολος ὁ δοῦλος. πρόπολος δὲ χωρὶς τοῦ σ, ὁ νεωκόρος. ἀρσενικὰ δὲ ἀμφότερα. ἀμφίπολος δὲ ἡ δούλη θηλυκόν, καὶ αὕτη τάχα δέον ἡ διαφορά. ἀλλ' εὑρίσκεται καὶ ἀνάπαλιν. ὥστε καὶ τὰ δύο ἐκφέρεσθαι καὶ ἀρσενικῶς καὶ θηλυκῶς.

Προδίδωμι ἐπὶ προδοσίας, ἀφ' οὗ καὶ προδότης. Προδίδωμι καὶ τὸ καταλιμπάνω.

Πρεσβεῖον. τὸ διὰ γῆρας προτίμησις, καὶ τὸ δι' αὐτὸ διδόμενον γέρας κατὰ προτίμησιν.

Πρεσβεῖα τὸ εἰκὸς ἀριστείας γέρας. Καλλιστεῖον τὸ ἐκλεκτόν τινι γέρας. Πρωτεῖα τὰ τῆς πρώτης τάξεως γέρα. Δευτερεῖα τὰ τῆς δευτέρας. Πρεσβεία ἡ τῶν πρέσβεων ἐνέργεια, καὶ τὸ πλῆθος αὐτῶν. Καὶ πρεσβεύω τὸ πρεσβείαν πέμπω. Ἰστέον δὲ ὅτι οἱ πρέσβεις, τῶν πρέσβεων, τοῖς πρέσβεσι, καὶ τοὺς πρέσβεις εὑρίσκεται. ἑνικὸν δὲ οὐκ ἔτι. ἀντ' αὐτοῦ δὲ εὑρίσκεται ὁ πρεσβευτής.

Πρεσβεύονται οἱ τοὺς πρέσβεις χειροτονοῦντες, καὶ πέμποντες. Πρεσβεύουσι δὲ οἱ χειροτονούμενοι. καὶ οἱ πεμπόμενοι πρὸς τὴν πρεσβείαν. τοῦτο δὲ τὸ παθητικὸν γράφεται καὶ μετὰ τῆς διὰ προθέσεως. οἷον διαπρεσβεύομαι. Πρεσβεύω ἐνεργητικῶς, καὶ τὸ τιμῶ. ὡς τὸ φιλοσοφίαν ὁπόσον ὁ τότε χρόνος ἐπρέσβευεν. ἀντὶ τοῦ ἐτίμα. Καὶ τὸ ἄρχω ποιητικῶς. οἷον, ὁ πρεσβεύων τοῦ ὀλύμπου, ἤγουν ὁ τὰ πρεσβεῖα ἔχων.

Πρεσβύτερος ὁ τιμιώτερος καὶ γεραιότερος. Καὶ πρεσβύτερος μὲν ἐπὶ ἐμψύχων παλαιότερος δὲ ἐπὶ ἀψύχων. γράφεται δὲ καὶ οὕτως ἀντὶ τοῦ εἰπεῖν πρεσβύτερος, προβεβηκὼς τῷ χρόνῳ.

Πρόξενος λέγεται ὁ αἴτιος τινὶ τινὸς πράγματος. Ὅθεν καὶ τὸ, προξενῶ. Πρόξενος λέγεται καὶ ὁ κοινῇ τῆς πόλεως ὅλης φίλος. ἀφ' οὗ οὐκ ἔστι ῥῆμα ᾧ ἀντίκειται, ὁ ἰδιόξενος. λέγεται γὰρ ἰδιόξενος ὁ μόνου καὶ ἑνὸς φίλος. Δορύξενος δὲ ὁ κατὰ πόλεμον φίλος.

Προξενῶ τὸ αἴτιος γίνομαι τινὶ τινὸς πράγματος. Προξενῶ καὶ ξενοδοχῶ, κοινῇ. ὡς δημοσθένης, παρὰ σοὶ κατέλυεν αἰσχίνης καὶ σὺ προυξένεις αὐτῶν. ὡσαύτως καὶ πρόξενος ὁ ξενοδόχος. σοφοκλῆς. φίλως γὰρ προξενοῦν κατήνυσεν. Προξενία δὲ ἡ κοινὴ πρὸς πόλιν φιλία. ἀριστείδης, ἔσωζον αὐτὸν τὸ σχῆμα τῆς προξενίας.

Πρό σχῆμα διὰ δύο σ ὤφειλε γράφεσθαι. ἐπεὶ δὲ κακόφωνον ἐγίνετο οὕτως, ἀποβάλλει τὸ ἓν σ, καὶ τὸ πρόσχημα διὰ τοῦτο ἀποβάλλει τὸ σ, ἀπὸ τῆς πρὸς προθέσεως καὶ τοῦ σχῆμα συντιθέμενον. καὶ ὅσα τοιαῦτα.

Πρὶν ἀντὶ τοῦ πρότερον μετὰ παρεληλυθότος. Καὶ πρὶν ἀντὶ τοῦ πρὸ τοῦ μετὰ ἀπαρεμφάτου. οἷον πρὶν τόδε γενέσθαι ἐγένετο τόδε. καὶ πρὶν ποιήσω τόδε, ἐποίησα τόδε. δοκεῖ δὲ μετὰ ἀπαρεμφάτου μὲν λέγεσθαι, ἐπὶ τοῦ ποιουμένου πράγματος. μετὰ ὁριστικοῦ δὲ ἐπὶ τοῦ ποιοῦντος αὐτό. ἔστι δ' ὅτε δύο κεῖται πρὶν ἐν τῷ λόγῳ. ἔνθα τὸ μὲν ἓν δεῖ εἰς ἀνάγκης, ἀντὶ τοῦ πρότερον. τὸ δὲ δεύτερον, ἀντὶ τοῦ πρὸ τοῦ.

Πρόφασις κυρίως ὁ προτεινόμενος τῷ προσώπῳ λόγος ἐπὶ κατηγορίᾳ τινός. καὶ ἀπὸ τούτου ἁπλῶς καὶ ἡ αἰτία.

Πρὸ σκυνῶ αἰτιατικῇ μόνῃ συντάσσεται παρὰ τοῖς ἑλληνίζειν εἰδόσι, καὶ μάρτυς ὁ κωμικὸς λέγων, καὶ προσκυνῶ γε πρῶτα μὲν τὸν ἥλιον. παρὰ δὲ τῇ θείᾳ γραφῇ καὶ δοτικῇ.

Πρέσβυς ὁ γηραιὸς καὶ πρεσβύτης. ἀμφότερα διὰ τοῦ υ ψιλοῦ. ἔστι δὲ τὸ μὲν πρέσβυς ἄκλιτον. τὸ δὲ πρεσβύτης κλίνεται πρεσβύτου.

Προπετὴς ὁ ἔμπροσθεν κείμενος. προπετὴς δὲ παροξυτόνως ὁ προαρπάζων τι. καὶ παρὰ τὸν καιρὸν παρρησιαζόμενος. ἀπὸ τῶν στρουθίων τῶν πρὸ καιροῦ ζητούντων πέτεσθαι.

Προσπίπτειν λέγεται τὸ ἀπὸ τοῦ πίπτεσθαι. λέγεται δὲ καὶ τὸ προσβάλλειν.

Προφέρω τὸ ὀνειδίζω. Καὶ προφέρω τὸ ἐκφέρω.

Προβάλλει τίς τι, ἀντὶ τοῦ προτίθησι. Προβάλλεται δὲ μάρτυρα ἢ αἰτίαν.

Προτίθημι τὸ προτιμῶ. Καὶ προτίθημι τὸ νεκρὸν εἰς μέσον ἐπ' ὀλοφυρμοῖς. Προτίθημι καὶ περὶ τοῦ οἵτινος πράγματος, ὡς τὸ περὶ αὐτοῦ σκέψασθαι.

Προστρίβει τίς τινὶ δῶρα. Προστρίβεται δὲ τινὶ ὕβρεως, ἢ τοὐναντίον. ὃ δὴ καὶ σημαίνει διάθεσιν.

Προσέχει μοί τις τὸν νοῦν τοῖς λεγομένοις. Προσέχεται δὲ τὸ προσπέφυκε, καὶ προσκολλᾶται.

Προτρέπει τίς τινα ἐπιπεδὸν εἰς ἔργον αὐτὸν διεγείρει. Προτρέπεται δέ τις θεὸν, ἀντὶ τοῦ ἱκετεύει.

Προάγει τίς τινα, τουτέστι προφθάνει. Προάγεται δὲ τὸ εἰς ἀνάγκην καθίσταται, τὸ δέ τι ποιεῖν.

Προνοῶ μὲν τὸ ἁπλῶς πρότερον νοῶ τι. Προνοεῖται δέ τινος ὁ προμηθούμενος.

Πρὸς ἔστι ὅτε τὴν πρὸς μετ' ὀνόματος κειμένην καὶ αἰτιατικῇ συντασσομένην, ἀντὶ ἐπιρρήματος λαμβάνουσι. ὡς τὸ μηδὲν πρὸς ὀργὴν, ἀντὶ τοῦ ὀργίλως. καὶ πρὸς ἀξίαν πράττει, ἀντὶ τοῦ ἀξίως. καὶ πρὸς εὐσέβειαν, ἀντὶ τοῦ εὐσεβῶς. πρὸς λύραν ᾄδει, ἀντὶ τοῦ μετὰ λύρας. καὶ πρὸς βίαν, ἀντὶ τοῦ μετὰ βίας. καὶ πρὸς ἀργύριον διαλέγεται, ἀντὶ τοῦ διὰ τὸ λαβεῖν ἀργύριον. οὐ πρὸς ἡδονὴν λέγω, ἀντὶ τοῦ οὐ πρὸς τέρψιν.

Ἀπὸ τῆς πρὸ προθέσεως γίνεται συγκριτικὸν μὲν πρότερον, ὑπερθετικὸν δὲ πρῶτον. λέγεται γὰρ τὸ μὲν πρότερον, ὅταν ἐν μόνοιν ἐπὶ δυοῖν

γνται. ἢ πολλὰ ἐν μιᾷ τάξει, ἢ ἐν ἑνὶ χρόνῳ ὧν πρότερος ὅδε τοῦδε. καὶ πρότερος ὁ δεῖνα ἡμῶν. ἢ τῷ χρόνῳ ἢ τῇ τάξει, ἡμῶν δηλονότι ἐν μιᾷ τάξει. ἢ ἐν ἑνὶ χρόνῳ ὄντων. τὸ δὲ πρῶτον, ὅταν πολλὰ ᾖ ἐπαγόμενα, ἄλλο ἄλλου πρότερον ἐφεξῆς ἢ κρεῖττον. ἀκολουθεῖ δὲ πρὸς μὲν τὸ πρότερον τὸ δεύτερον μόνον. ἢ πληθυντικῶς τὰ δεύτερα, κατὰ τὸν εἰρημένον λόγον, πρὸς δὲ τὸ πρῶτον, δεύτερον, τρίτον καὶ ἑξῆς.

Α' πὸ δὲ τῆς ὑπὸ προθέσεως γίνεται συγκριτικὸν μὲν ὕστερον. ὑπερθετικὸν δὲ ὕστατον. ὧν τὸ μὲν ἀπαντᾷ πρὸς τὸ πρότερον. τὸ δὲ ὕστατον, πρὸς τὸ πρῶτον ὅταν ἐπὶ χρόνου ταῦτα λαμβάνηται. ἐπὶ γὰρ τάξεως, τὸ ἔσχατον ἀπαντᾷ, καὶ τὸ δεύτερον. ὃ καὶ ἐπὶ χρόνου λαμβάνεται, καὶ ἐπὶ τάξεως. εἰσὶ δὲ δύο ἐξ ἀνάγκης ὑπερθετικὰ χρονικά, τὸ πρῶτον, καὶ ὕστατον. τὸ μὲν, ἐπὶ τῆς ἀρχῆς. τὸ δὲ, ἐπὶ τοῦ τέλους καὶ δύο ὁμοίως τάξεως τὸ πρῶτον, καὶ τὸ ἔσχατον. τῶν δὲ μέσων τούτων, μόνον τὸ δεύτερον συγκριτικῶς ἐξ ἀνάγκης προφέρεται. ἐπὶ δὲ τῶν ἄλλων ἁπάντων οὐδεμίαν ἔχει χώραν, οὔτε τὸ συγκριτικόν, οὔτε τὸ ὑπερθετικόν, ὁ δὲ τέσσαρες καὶ ὑπερθετικὸν ἀπὸ τοῦ δευτέρου σχηματίζει, τὸ δεύτατον. θέλει δὲ τοῦτο σημαίνειν ταυτὸν τὸ ὕστατον. τὸ δὲ τρίτατος παρὰ ποιηταῖς, οὐχ ὑπερθετικῶς οὕτω σχηματίζεται. ἀλλ' ὡς τὸ ὀγδόατος παρ' αὐτοῖς καὶ ἑβδόματος. ἃ κατὰ ἀκολουθίαν λέγεται, τοῦ τέταρτος, καὶ δέκατος, καὶ πεντεκαιδέκατος, καὶ τῶν ὁμοίων.

Π' ρὸς πρόθεσις δηλοῖ κίνησιν πρὸς ἔμψυχον κυρίως. ὅτε δὴ καὶ συντάσσεται αἰτιατικῇ. οἷον πρὸς τὸν δεῖνα ἀπέρχομαι. δηλοῖ δὲ καὶ ὕπαρξίν τινος, ἢ ἐνέργειαν. προσεπιφέρει δὲ τούτῳ καὶ ἄλλο, καὶ συντάσσεται δοτικῇ. ὡς τὸ πρὸς τῷ ποιῆσαι τόδε, ἐποίησας τόδε. τοῦτο δὲ καὶ ἐν τῇ συνθέσει ἔχει. οἷον προσέτι μοι τόδε. ἐμφαίνει δὲ καὶ ἄλλο, ὅπερ ἔχω καὶ πρὸς ἐκείνῳ καὶ τοῦτο. λαμβάνεται δὲ καὶ ἐπὶ ὅρκου. καὶ ἀντὶ τοῦ ἐνώπιον. καὶ ἀντὶ τῆς παρὰ προθέσεως καὶ συντάσσεται γενικῇ. σημαίνει δὲ ἐν ταῖς συνθέσεσι, καὶ τὸ ἔρχομαι πρός τι, μετὰ σχήσεως δουλικῶς. οἷον προσῆλθόν σοι. προσεδράμομεν τῇ ἐκκλησίᾳ.

Π' ρὸ πρόθεσις ἀεὶ μετὰ γενικῆς συντάσσεται δηλοῖ δὲ καὶ ἐν τῇ συνθέσει τὸ ἔμπροσθεν. οἷον προπεσοῦνται αἱ θέσεις. ἀντὶ τοῦ ἔμπροσθεν πεσοῦνται. Καὶ τὴν πρότερον τινὸς ὕπαρξιν οἷον προγενέστερος ὁ δεῖνα τοῦ δεῖνος. Καὶ τὸ ὑπέρ τινος ἵστασθαι οἷον, προΐσταμαί σου, καὶ προαγωνίζομαί σου.

Π' υρρὸς ὁ πυρώδεις ἔχων τὰς θρίχας καὶ τὴν πρόσοψιν. Πυρὸς δὲ ἡ εἰς ὕψος αἰρομένη φλόξ. ἐπὶ δὲ τοῦ θηλυκοῦ καὶ τοῦ οὐδετέρου, οὐδὲν παραλλάττεται.

Π' υνθάνομαι. ὁ παρὰ ποιηταῖς πεύθομαι λέγεται, ἐν μὲν τῷ μανθάνω, καὶ τὸ ἀκούω δηλοῖ, αἰτιατικῇ συντάσσεται. ἐν δὲ τῷ ἐρωτῶ, γενικῇ.

Π' υνθάνομαι ἐνεστώς. ἐπυνθανόμην παρατατικός, πεύσομαι μέλλων. ἐπυθόμην δεύτερος ἀόριστος. πέπυσμαι παρακείμενος.

Π' ύλη λέγεται ἡ ἐν διεξόδῳ πόλεως οὖσα καὶ ναῶν. καὶ μεγαλοπρεπῶν οἴκων ὑπάνοιξις. Θύρα δὲ ἐπὶ τῶν τυχόντων οἰκημάτων. θύρεον δὲ καὶ θυρὶς θυρίδος, τὸ ἰδιωτικῶς λεγόμενον παραθύριον.

Π' υρὰ θηλυκῶς τὸ πῦρ τὸ ἐπὶ νεκρῷ ἁπτόμενον. Καὶ ὁ τόπος ἐφ' οὗ τὸ πῦρ ἅπτεται.

Π' ωλοδαμνεῖν ἐπὶ ἀλόγων λέγεται κυρίως. ἐπὶ δὲ ἀνθρώπων τὸ παιδαγωγεῖν. καὶ παιδοτριβεῖν. ἀφ' ὧν παιδαγωγὸς καὶ παιδοτρίβης ὁ λεγόμενος βαίουλος.

ΑΡΧΗ ΤΟΥ Ρ.

ῥ ᾶον τὸ εὔκολον. ῥᾷον τὸ εὐκολώτερον. ῥᾷστον τὸ εὐκολώτατον. καὶ τὸ μετὰ ἀνέσεως γινόμενον. ἐκ τούτου καὶ ῥαστώνη, ἡ ἄνεσις. ἔχει δὲ καὶ τὸ ι. προσγεγραμμένον. καὶ δῆλον ἐκεῖθεν, οὕτω ῥαΐστα ὁ παρ' ὑμῖν διῆγε κύκλωψ, ἐνίοτε δὲ τὸ ῥᾷστα μετὰ ἀπαρεμφάτου συντακτέον. οἷον ῥᾷστον περάσαι. ῥᾷστον ἀνύσαι.

Ρ' αστώνη ἡ εὐκολία, καὶ ἡ ἄνεσις.

Ρ' αδιουργία κυρίως ἐπὶ τῶν ῥᾳδίως πάντα ἐργαζομένων. κατεχρήσαντο δὲ τῇ λέξει ἐπὶ τῆς πονηρίας. ταυτὸν ἐχούσῃ καὶ ἐπὶ τῆς πανουργίας, καὶ τοῦ πανούργου. ἔστι γὰρ πανοῦργος κυρίως μὲν ὁ πᾶσιν ἔργοις ἐπιβάλλων, ἤγουν ὁ δραστήριος καὶ ἐνεργής, κατεχρήσαντο τῇ λέξει οἱ παλαιοὶ ἐπὶ τοῦ ἐν κακοῖς τολμήμασιν ἐπηβόλου.

Ρ' αγδαῖον. ἐπὶ ὑετοῦ λέγεται, ὅταν σφοδρῶς καταφέρηται καὶ μετ' ἤχου.

Ρ' αφανὸν μὲν οἱ ἀττικοὶ λέγουσι τὴν παρ' ἡμῖν κράμβην. ῥαφανίδα δὲ τὴν παρ' ἡμῖν ῥάπαλον.

Ρ' α τὰ εἰς ρα θηλυκὰ ἐν φωνήεντι παραληγόμενα μακρά εἰσιν. οἷον ἡμέρα. ἐλευθερία. χώρα. πήρα. τὰ δὲ διφθόγγῳ παραληγόμενα οὐδέποτε. οἷον μοῖρα. πεῖρα. σεσημείωται τὸ φαιδρὰ κύριον λαύρα. σαύρα. καὶ αὔρα.

Ρ' ὶς ἐπὶ ἀνθρώπων. ῥύγχος ἐπὶ κυνῶν. ῥάμφος ἐπὶ ὀρνέων. ἐν συνθέσει δὲ ῥῖνες κύων. καὶ ῥινηλατεῖν ἐπὶ τῆς ἀνιχνεύσεως τῶν κυνῶν.

Ρ' ίπτω τὸ ἁπλῶς ῥίπτω. ῥιπτῶ δὲ τὸ μετὰ σφοδρότητος.

Ρ' ιγῶ ῥιγῶ ἐπὶ κρύους. ῥιγέω δὲ ῥιγῶ τὸ φοβοῦμαι. ἔστι δὲ τὸ ρι ἐν ἀμφοτέροις μακρόν, ἀφ' οὗ καὶ ῥῖγος. ῥοιαὶ μὲν σὺν τῷ ι. τὰ δένδρα, ῥοαὶ δὲ ὁ καρπός.

Ρόδον τὸ ἄνθος. ῥοδωνιὰ ὁ τόπος. ῥοδῆ δὲ τὸ φυτόν. ἀρχίλοχος. ἔχουσα θαλλὸν μυρσίνης ἀφείπτο ῥοδῆς τε καλὸν ἄνθος.

Τὸ διπλοῦν ρρ. τὸ ρ πολλαχῶς εὑρίσκεται, διπλασιαζόμενον φυσικῶς. οἷον θάρρος. πυρρός. ἀπὸ αὐξήσεως χρόνου. ὡς ἔρριψα, καὶ ἀπὸ συνθήκης. οἷον ἐπίρρημα. πλὴν οὐ διὰ παντὸς ἐν ταῖς συνθήκαις εὑρίσκεται διπλοῦν. εὑρῶ γὰρ εὔροια. εὐρωστία. ὅτι εἰς σύμφωνον δοκεῖ λήγειν τὸ δεύτερον. τὰ γὰρ εἰς σύμφωνον λήγοντα, ἅτινα μετὰ τῶν ἀπὸ τοῦ ρ ἀρχομένων συντιθέμενα. οὐ διπλασιάζονται. οἷον ῥοῦς εὔρους. διπλασιάζεται δὲ τὸ ρ, ἐφ' ὧν μόνον, λήγει μὲν εἰς φωνῆεν ἡ λέξις, συντίθεται δὲ μετὰ τῆς ἀπὸ τοῦ ρ ἀρχομένης ῥοῦς κατάρρους ῥῆμα ἐπίρρημα. αἴτιον δὲ, ὅτι τὸ μὲν ρ ἡμίφωνόν ἐστι, τὰ δὲ φωνήεντα χασμωδίαν ποιοῦσι. τὸ δὲ τῆς χασμωδίας ἡ φύσις ἐκφεύγουσα, διπλασιάζει τὸ ρ. Πρόσρημα δὲ, καὶ ἔκρους, καὶ μυρία ὅσα οὐ διπλασιάζεται. χασμωδίαν γὰρ οὐδὲ μίαν ἔχει.

Ρυσαὶ αἱ μὴ λεῖον ἔχουσαι τὸ δέρμα, καὶ ἀραφεῖς. καὶ διὰ τοῦτο τεταμένον ἀλλὰ ἀπολελυμένον, ὡς συνιζάνον κοιλότητας ἐμποιεῖν.

Ρυπόω ῥυπῶ, τὸ ῥύπου πληροῦμαι. καὶ ῥυπῶν ἱμάτιον, τὸ ῥύπου μετέχον. Ρυπόω δὲ ῥυπῶ μεταβατικὸν. καὶ ῥυπαίνω, τὸ μολύνω.

Τὸ ῥύομαι παθητικὸν ὂν τῇ προφορᾷ ἐνεργητικὴν ἔχει τὴν σημασίαν. ῥύομαί σε γὰρ φαμὲν, καὶ οὐχὶ ῥύομαι ὑπὸ σοῦ.

Ρώννυμαι ῥώσομαι ἐρρώσθην. καὶ τοῦ ὑπερσυντελίκου τὸ δεύτερον ἔρρωσο. τὸ τρίτον ἔρρωτο. ἀχρήστου ὄντος τοῦ πρώτου καὶ τῶν λοιπῶν. ἔρρωται δέ.

ΑΡΧΗ ΤΟΥ Σ

αλεύειν. κυρίως ἐπὶ νεὼς λέγεται. ὅταν ἐπ' ἀγκύρας κινῆται, καὶ σαλεύῃ, ὑπὸ τῶν κυμάτων ταραττομένη. σάλος γὰρ ἡ ταραχὴ τῆς θαλάττης.

Σαυτὸν ἀντωνυμία σύνθετος δευτέρου προσώπου. καὶ ἐμαυτὸν ἀντωνυμία σύνθετος πρώτου προσώπου, καὶ ἑαυτὸν ἀντωνυμία, σύνθετος τρίτου προσώπου. εἰσὶ δὲ καὶ τριγενεῖς. καὶ εὐθεῖαν οὐκ ἔχουσι, καὶ τίθενται ὅταν αὐτοπάθεια γίνηται. οἷον ἐμαυτὸν τύπτω. καὶ σαυτὸν τύπτεις. καὶ ἑαυτὸν τύπτει. ἐπὶ δὲ τῶν πληθυντικῶν οὐκ ἐν συνθέσει. ἀλλ' ἐν διαστάσει τίθενται. οἷον ἡμᾶς αὐτοὺς τύπτομεν. καὶ ὑμᾶς αὐτοὺς τύπτετε. καὶ σφᾶς αὐτοὺς τύπτουσιν. εὕρηται δὲ καὶ ἑαυτοὺς τύπτουσιν. ὅπερ ἀλόγως γέγονε.

Σίγα. ῥῆμα, ἀντὶ τοῦ σιώπα. συζυγίας δευτέρας τῶν περισπωμένων ἀμφότερα μακρά. σίγα δὲ ἐπίρρημα ἀντὶ τοῦ σιωπηλῶς, ὅπερ ἔχει βραχεῖαν τὴν λήγουσαν καὶ προπαροξύνεται.

Σιτοῦμαι. τὸ βρώσω. Ἐπισιτίζομαι δὲ τὸ ἐφόδια λαμβάνω. ἤγουν μετὰ τὸ φαγεῖν λαμβάνω καὶ ἀπέρχομαι.

Σικελὸς ὁ ἐξ αὐτῆς τῆς σικελίας. σικελιώτης δὲ ὁ ἐξ ἀλλοδαπῆς ὤν, ἔπειτ' ἐν σικελίᾳ διατρίβει, ἢ κατοικεῖ.

Σιτίον καὶ σῖτον.

Σκαιὸν τὸ ἀριστερόν. ἢ τὸ κακὸν, καὶ ἀπαίδευτον.

Σκηνὴ ἡ πρόσκαιρος κατοικία, ἣν ὅμηρος κλισίαν λέγεται, καὶ ἡ τῶν δραματουργῶν σκευή, ἤγουν τὰ προσωπεῖα, καὶ οἱ ἐμβάται, καὶ αἱ τραγικαὶ στολαί, καὶ τἄλλα. ἀπὸ τούτου σκηνὴ πᾶσα, ἡ ὑπόκρισις, καὶ ἡ ὑπουλότης.

Σκότιος ὁ μὴ φυσικὸς υἱός, ἤγουν ὁ κοινῶς κόπελος. ᾧ ἐναντίον ὁ γνήσιος. ἤγουν ὁ ἐκ γαμετῆς. τῷ δὲ γνησίῳ ἐναντίον ὁ νόθος, ἤγουν ὁ υἱοθετός.

Σκοτίζω μὲν, τὸ σκότος ποιῶ. Σκοτῶ δὲ σκοτώσω τὸ τυφλώσω ἐπίσης. Ἐπισκοτῶ δὲ ἐπισκοτήσω, τὸ ἐπιπροσθῶ, ὡς ὅταν ἡ σελήνη ἐν ταῖς ἡλιακαῖς ἐκλείψεσιν ἐπισκοτεῖ τὸν ἥλιον.

Σκευοφόροι. λέγονται οἱ τὴν ἀποσκευὴν φέροντες. Ἀποσκευὴ δέ ἐστιν ἡ κοινῶς λεγομένη [illegible]. ἤτοι τὰ πρὸς ὁδὸν χρησιμεύοντα σκεύη. Σκευὴ δὲ τὸ ἔνδυμα.

Σκήπτω. τὸ ἐπιστηρίζω. Καὶ ἀποσκήπτειν μετὰ τῆς ἀπὸ προθέσεως. τὸ ἀπὸ ὅλου εἰς ἓν μέρος συνάγεσθαι τὸ λυπηρόν. ἀφ' οὗ καὶ ἀπόσκημμα, τὸ κοινῶς ἀπόστημα. Καὶ μετὰ τῆς ἐν προθέσεως, ἐνσκήπτω, τὸ βαρέως ἐπέρχομαι. ἀφ' οὗ καὶ νόσος ἐνέσκηψεν.

Σκηπτός. ὁ κεραυνός. καὶ ἐγκατέσκηψεν ὑετὸς, ἀντὶ τοῦ λάβρος καὶ πολὺς κατηνέχθη. Σκῆψις δὲ ἡ πρόφασις. Καὶ σκήπτομαι τὸ ἐντέλλομαι. Καὶ ἐπισκήπτω τὸ προστάσσω. οἷον θεία ὄψις ἐπιφανεῖσα τῷ ἁγίῳ, ἐπέσκηψε τὸ δέ τι ποιεῖν. σκυτίνη, περίζωμά τι ἀπὸ λώρων παρὰ σκύτους, ὅ ἐστι δέρμα.

Σκυταλωτὸς ῥαβδωτός. σκυτάλη γὰρ παρ' ἀττικοῖς ἡ κατηγορία. ὁμοίως καὶ παρὰ λακεδαιμονίοις. ἔστι δὲ καὶ εἶδος ὄφεως. Σκυταλὶς κομπῶν τι εἶδος, ὅ ἐστι ζῶον τι. Σκυταλούμενον, ξύλῳ τυπτόμενον.

Τὸ σκότος λέγεται κοινῶς. ὁ σκότος δὲ ἀττικῶς. καὶ τῷ μὲν οὐδετέρῳ χρῶνται οἱ κοινοί. τῷ δὲ ἀρσενικῷ, οἱ ἀττικοί. ὁμοίως καὶ περὶ τάριχος. κοινῶς μὲν τὸ τάριχος. ἀττικῶς δὲ ὁ τάριχος.

Σοφία μέν ἐστι δύναμις τοῦ θεωρητικοῦ τῆς φιλοσοφίας. φρόνησις δὲ τοῦ πρακτικοῦ. Ἰστέον δὲ ὅτι ἡ μὲν σοφία ἐνεργεῖ ὁπωσδήποτε τῶν πραγμάτων ἐχόντων. ἡ φρόνησις δὲ ἀνενέργητος μένει, τῆς προνοίας ἄλλως οἰκονομούσης τὰ πράγματα. ἢ τῶν διδασκομένων οὐχ ὑπακουόντων ἢ οὐκ ἐπαιόντων.

Σοφίζομαι. τὸ σοφιστικῶς λέγω. ἤγουν τὸ δι' ἀπα-

χειρωμάτων ἀπολείχουσι. ὅπερ οὐ κυρίως τοῦ αὐτοῦ ἐστιν. Σοφίζομαι καὶ τὸ παραλογίζομαι ἕτερον, καὶ τὸ ἐφευρίσκω, ἐξ οὗ καὶ σοφιστὴς ὁ ἐφευρετής. Καὶ τὸ μηχανῶμαι καὶ σοφίζομαι ὑφ' ἑτέρου, ὅπερ ἔχει ἐνεργητικὸν τὸ σοφίζω. ἤγουν σοφίζω ἕτερον. Ἐκ τούτων γίνεται καὶ τὸ σοφιστὴς ὃ σημαίνει τέσσαρα. τὸν φιλόσοφον. τὸν διδάσκαλον. τὸν ῥήτορα, καὶ τὸν ἀπατεῶνα.

Σ πλάγχνον. ἡ καρδία. ἀφ' οὗ καὶ εὔσπλαγχνος, ὁ εὐκάρδιος καὶ ἀνδρεῖος. Ἄσπλαγχνος δὲ ὁ ἀκάρδιος καὶ δειλός.

Σ πεύδω ἀντὶ τοῦ σπουδάζω ἰσχῶ. Ἐπισπεύδω δὲ ἕτερον, ἤγουν ἐπείγω.

Σ πεῖσαι. μὲν τὸ δι' ὑγρῶν θῦσαι. οὗ τὸ θέμα σπένδω. Σπείσασθαι δὲ τὸ τοῖς πολεμίοις φιλιωθῆναι. ὁμοίως καὶ τὸ σπένδω καὶ τὸ σπένδομαι. σπένδομαι δὲ ὁ μέλλων σπείσομαι. ὁ πόλεμος ἐσπεισάμην.

Σ πῶ. τὸ μεταλαμβάνω, καὶ συντάσσεται γενικῇ. οἷον ἔσπασα τοῦ ὕδατος. Ἐπισπῶμαι δὲ ἄλλο αἰτιατικῇ τὸ λαμβάνω. Κατασπῶμαι δὲ καὶ διασπῶμαι καὶ ἀνασπῶμαι ὑφ' ἑτέρου. ὁ μέλλων κατασπασθήσομαι, ἐπισπάσομαι δὲ ἄλλον, ἐπισπάσθην δὲ ὑφ' ἑτέρου.

Σ παρτιᾶτις γυνὴ ἐκτείνει τὸ ᾱ. ὅθεν καὶ τὸ σπαρτιᾶται προπαροξύνεται.

Λ' ικαπῶ τὸ τὰς ῥίζας τῶν βοτανῶν τέμνω.

Λ' ποσπῶ τὸ ἀποτέμνω καὶ ἀπομερίζω. Κατασπῶ δὲ καταχαλῶ. Ἐπισπῶμαι παθητικῶς τὸ λαμβάνω. Γριασπῶ δὲ παρ' ἀττικοῖς τὸ διαμερῶ. ὡς παρὰ τῷ φιλοστράτῳ. διασπάσας τὴν ἀσπίδα.

Σ πουδάζω τὸ φιλοσοφῶ. ἐξ οὗ καὶ σπουδαῖος ὁ φιλόσοφος. οὗ τὸ ἐναντίον παίζω. Δηλοῖ δὲ καὶ τὸ σπεύδω. οἷον σπουδάζω ποιῆσαι τὸ δεῖ. Σπουδάζω πρὸς σέ, ὅταν. σε ἀξιῶ ἐπιμελείας τοῦ σώματος. Σπουδάζω περὶ σέ, ὅταν ἐπιμελῶμαι τῶν περὶ σὲ πραγμάτων.

Σ πεῖρα λέγεται καὶ ἐπὶ τοῦ ὄφεως ὅτι ποιεῖ κύκλους, καὶ συστρέφεται. Καὶ σπειρηδὸν ἀντὶ τοῦ κυκλοτερῶς, καὶ δίκην ὄφεως. ἐπὶ ταύτῃ δὲ σημασίᾳ καὶ συσπειραθεὶς ἀντὶ τοῦ συλλεγείς.

Σ τρατεία. ἡ στράτευσις. Στρατιὰ δὲ τὸ στράτευμα. Στρατόπεδον δὲ κυρίως ὁ τόπος ἐν ᾧ τὸ στράτευμα ἵσταται, καταχρηστικῶς δὲ, καὶ αὐτὸ τὸ στράτευμα.

Σ τέλλω. τὸ κοσμῶ. Στέλλομαι δὲ ἐπὶ θαλάττης τὸ πορεύομαι. οἷον ἐστειλάμην τὸν πλοῦν.

Σ ταθμὰ ἐπὶ ζυγοῦ, σταθμοὶ καὶ οἱ οἶκοι, ἔνθα ἑστήκασιν οἱ ἵπποι, ἢ βόες. ἤγουν οἱ κοινῶς σταῦλοι. καὶ ἀνδρῶν λέγονται τὰ σταθμά. Σταθμοὶ καὶ αἱ παραστάδες.

Σ τύραξ θηλυκῶς μὲν θυμίαμα. Ἀρσενικῶς δὲ τὸ ξύλον τοῦ ἀκοντίου.

Σ τάδιον λέγεται τὸ κατ' εὐθείαν εἰς μῆκος τεταμμένον. λέγεται δὲ καὶ ὁ τόπος ἐν ᾧ ἔτρεχον. ἣν δὲ φασι πήχεων τετρακοσίων διάστημα.

Σ τέργω τὸ ἀγαπῶ αἰτιατικῇ. Στέργω δὲ τὸ ἐμμένω καὶ πρόσκειμαι, δοτικῇ.

Σ ταυρὸς τὸ ὀρθὸν ξύλον, καὶ σκόλοψ τὸ αὐτό. ἀπὸ τοῦ σκόλοψ τὸ ἀνεσκολοπίσθη, ταυτὸν τῷ ἀνεσταυρώθη.

Σ ταθῆναι μόνον ἐστὶ τὸ ὑφ' ἑτέρου. Στῆναι δὲ τὸ κατ' ἰδίαν ὁρμὴν, καὶ προαίρεσιν, οἷον ἐστάθη ὁ ἀνδριὰς ὑφ' ἑτέρου. ἔστη δὲ ὁ ἄνθρωπος ὑγιὴς δι' αὐτοῦ. ἐστάθη δὲ ὁ νοσῶν δι' ἑτέρου.

Σ ταφυλή. ὁ βότρυς. Σταφύλη δὲ ἡ ἐπικρεμαμένη παρὰ τῶν τεκτόνων μόλιβδος.

Σ τρουθία. μὲν λέγονται πάντα τὰ μικρότατα τῶν ὀρνίθων. Στρουθὸς δὲ κυρίως ὁ λεγόμενος στρογγίτης.

Σ τόμια τὰ χαλινὰ ποιητικῶς. στόμιον δὲ ἐπὶ φρέατος καὶ ἐπὶ ἄλλων τινῶν.

Σ τωμύλος ὁ μετὰ χάριτος πιθανολογῶν. Καὶ στωμύλον φθέγμα τὸ ἀστεῖον, καὶ χαρίεν. Ἔστι δὲ ὅτι καὶ ἐπὶ πολυλογίας ἁπλῶς λαμβανόμενον κακίζεται. ἀλλ' ἔστιν ὅτε ἐπὶ φλυαρίας.

Σ ύλλογος. ἡ ἐκ τῆς αὐτῆς πόλεως συναγωγὴ τῶν ἀνθρώπων ἐπὶ τῷ βουλεύσασθαι. Σύνοδος δὲ, ἡ ἐκ πολλῶν πόλεων συναγωγὴ ἐπί τινι. ὡς θουκυδίδης. ἀεὶ δὲ ξυνόδοι ἐπὶ τὸ ἱερὸν ἐγένοντο.

Σ ύμμετρον τὸ μεμετρημένον, μήτε ὑπερβολὴν ἔχον, μήτε ἔλλειψιν. καὶ τὸ ἀναλογίαν ἔχον πρός τι. ὅθεν καὶ ἀσύμμετρος ἡ τοῦ τετραγώνου διάμετρος τῇ πλευρᾷ. ἤγουν οὐδεμίαν ἀναλογίαν ἀριθμοῦ πρὸς τὴν πλευρὰν ἔχουσα. Καὶ σύμμετρον τὸ ἴσον μέτρον ἔχον τινί. οἷον περὶ τὸν νεῖλον οἱ πήχεις αὔξουσι ταῦτα σύμμετρα τῷ ὀνόματι ἤγουν πηχυαῖα.

Σ υγχωρεῖν ἑκόντι. Τὸ δὲ παραχωρεῖν ἄκοντι.

Σ υνθήκη. λέγεται ἡ συμφωνία, καὶ ἡ συναρμογή.

Σ υμπεσεῖν τὸ ὁμοῦ πεσεῖν, καὶ ἐπί τινων ἐρχομένων εἰς πόλεμον ἀλλήλοις καὶ συῤῥηγνυμένων, ὅταν τινὰ ἀντίκειται ἀλλήλοις.

Σ ύμβολον. σημεῖον. τεκμήριον. εἰκὼν, καὶ ὁμοίωμα διαφέρουσι δὲ ὅτι τὸ μὲν σύμβολον καὶ σημεῖον, ἐπὶ τῇ θέσει λέγεται. καὶ ἐκ τῆς ἱστορίας ἐστὶ διανοίας. οἷον ἐν πολέμῳ σάλπιγξ ἦχος, ἢ πυρὸς αὐγή. τὰ δὲ λοιπὰ τρία ἐπὶ τῇ φύσει. διαφέρει δὲ ὅτι ἡ μὲν εἰκὼν, καὶ τὸ ὁμοίωμα τὴν φύσιν τοῦ πράγματος εἰκονίζουσιν. οὐ μέντοι ἀπαραλλάκτως ὡς ἡ τοῦ σωκράτους εἰκών. τὸ δὲ τεκμήριον, ἀναγκαίως μόνον τοῖς πράγμασιν ἕπεται, μηδὲν τῶν συμβεβηκότων ἔχον ἐν ἑαυτῷ. οἷον τοῦ τετοκέναι τὴν γυναῖκα, τὸ γάλα. καὶ τοῦ πυρὸς, ὁ καπνός.

Σ ύνεργος. ὁ συντεχνος. συνεργὸς δὲ ὁ περί τι

λυσις καὶ εἴσοδος ἐστὶν ὅπου ἀντὶ συνέρχεται; καὶ διαφορῆς καὶ ἔξοδος. ἰδίως ἡ ἐπάνοδος τῶν φυγάδων. Γορίοδος ἡ ἀπ' αὐτῆς εἰς τὸ κάτω κίνησις.

Ὄζος ὁ κλάδος, καὶ ἡ ῥίζα, ὅθεν φύεται. οὐ λέγεται δὲ ὄζος ὁ ἐστηριγμένος καὶ ἔχων τὴν ῥίζαν ἀντὶ τῆς γῆς, ἀλλ' ἐν τῷ δένδρῳ.

Τὰ διὰ τοῦ θεν ἐπιῤῥήματα εἰ μὲν ἀπὸ ὀνομάτων γίνονται, μικρογραφοῦνται. καὶ τὴν ἐκ τόπου κίνησιν σημαίνει. οἷον οὐρανόθεν, πόντοθεν. κυκλόθεν. τὸ δὲ κύκλωθεν. ὡς ἀπὸ τοῦ κύκλω παρῳχημένου, μεγαλογραφεῖται, πλὴν τοῦ ἑτέρωθεν ἀμφοτέρωθεν, ἑκατέρωθεν. εἰ δὲ ἀπὸ ἐπιῤῥημάτων, ἄμφω καὶ κίνησιν καὶ στάσιν, οἷον ἔξωθεν λαμβάνει. ἤγουν ἐκ τῶν ἐκτός. ταῦτα τοίνυν τὰ εἰς θεν ἐπιῤῥήματα, ἔχουσι τὴν, ἀπὸ, πρόθεσιν ἐν ἑαυτοῖς, καὶ οὐ δύναται αὖθις ληφθῆναι οἷον ἀπ' οὐρανόθεν. Ὅμηρος δὲ ποιητικῇ ἀδείᾳ τοῦτο λέγει.

Οἰκῶ τὸ δὲ τὸν τόπον. ἤγουν κατοικῶ ἐν αὐτῷ. καὶ ἐνοικῶ τῷ τόπῳ. οἰκῶ ἐν τῷ οἴκῳ. καὶ οἰκῶ τὸ οἰκεῖν. Οἰκίζω δὲ τὸ οἰκεῖν ποιῶ. καὶ οἰκίζω ἕτερον. καὶ οἰκεῖται τόπος ἤγουν κατοικεῖται. Οἰκίζεται δὲ ἤγουν εἰς κατοίκησιν ἐνεργεῖται, καὶ κατασκευάζεται.

Οἷον τὸ ἐποίει. καὶ οἷον, καὶ οἱονεὶ ἀντὶ τοῦ ὡσανεί. Καὶ οἷον θαυμαστικόν. Καὶ οἷον σχετλιαστικόν. ὡς τὸ οἷον ἔπαθον. Καὶ οἷον ἀντὶ τοῦ πῶς.

Οἰκιστής. ὁ οἰκίζων τὴν πόλιν. Οἰκήτωρ δὲ ὁ τὴν πόλιν οἰκῶν.

Οἰκοδομῶ. οἰκοδομήσω. ᾠκοδόμηκα, ἐδειμάμην δὲ καὶ δειμάμενος μόνον.

Οἰμώζω. τὸν τεθνηκότα, καὶ οἰμώζω ἀμεταβάτως.

Οἰνοχοεῖν τὸ κεραννύειν οἶνον. καὶ ἀπὸ τούτου οἰνοχοεῖται νέκταρ, καὶ πᾶν ὅ τι πίνεται.

Οἴω ποιητικῶς καὶ οἴομαι καὶ οἶμαι τὸ αὐτὸ κατὰ συναίρεσιν, καὶ οἴομαι, ᾤμην παρατατικὸς ᾠόμην καὶ ὠιόμην ποιητικῶς. ᾠήθην ἀόριστος. οἰήσομαι μέλλων. οἰόμενος μετοχή.

Οἶς τὸ πρόβατον κατὰ συναίρεσιν, ὄϊς γὰρ ἦν ποιητικῶς, ἡ γενικὴ ὄϊος οἰὸς οἶον τὸ θῆλυ. κριὸς δὲ τὸ ἄρσεν. ὡσαύτως καὶ ὗς ἀντὶ θηλυκοῦ ἡ χοῖρος, διὰ τοῦ υ ψιλοῦ. ἡ γενικὴ ὑός.

Οἶμος. ἡ ὁδὸς, ποιητικόν. ἀπὸ τοῦ οἰμῶ. τὸ ὁρμῶ. γράφεται δὲ καὶ ὁ οἶμος καὶ ἡ οἶμος.

Οἷστις ἀντὶ τοῦ καθά. καὶ οἷά τινα ὁμοίως ἀττικῶς, καὶ αἶθ' ἀντὶ τοῦ τις.

Τὸ οἴχεται. παθητικῶς γράφεται, τὸ γὰρ ἐνεργητικὸν ἄχρηστον. ἔχει δὲ ἐν ἑαυτῷ τὴν σημασίαν τελειωτικήν. ἡ γὰρ ἀντὶ τοῦ ἀφανίζεται ἐστί. ἡ ἀντὶ τοῦ πορεύεται. ἡ ἀντὶ τοῦ ἔφθαρται, ἀντὶ τούτου δὲ μόνον τοῦ ἔφθαρται λέγω, εἰ καὶ ἐνεστὼς ἐστὶν, ἀλλὰ παρεληλυθότος σημασίαν δηλοῖ. οἴχεται γὰρ ὁ ἄνθρωπος φαμὲν, ἀντὶ τοῦ ἐφθάρη καὶ τέθνηκεν. ἀντὶ δὲ τῶν ἄλλων εἰς ἐνεστῶτα λαμβάνεται τῇ προφορᾷ, καὶ τῇ σημασίᾳ. ὧν καὶ παρῳχημένα θεωροῦνται.

Τὸ οἴομαι καὶ τὸ ἐλπίζω συντάσσεται, καὶ μετὰ παρῳχημένου. ὅταν ἐλπίζῃς ἢ ὑπολαμβάνῃς τὸ πρᾶγμα, ὅτι ἐγένετο. οἷον οἴομαι πεποιηκέναι σε τόδε.

Οἶδα ἤδειν. εἴσομαι καὶ ἔγνων, ἴσθι προστακτικὸν γνῶθι καὶ ἴσθι. εἰδείην, εὐκτικόν. καὶ εἰσοίμην. ἐὰν εἰδῶ, ὑποτακτικὸν καὶ ἐὰν γνῶ, εἰδὼς μετοχή.

Οἶδεν ἔχων, ἀττικὸν γάρ, τὰ γνωστικὰ ῥήματα μετὰ μετοχῆς συντάσσειν. τὰ βραχυκατάληκτα ῥήματα τὰ ἐπιπτάμενα ἐν τῇ συνθέσει. οὐκ ἀναβιβάζουσι τὸν τόνον, οἷον εἶπε, κατεῖπεν. ἔσχεν κατέσχεν. πλὴν τοῦ οἶδα σύνοιδα καὶ σύνοιδα, τὰ δὲ ὀνόματα βραχυκατάληκτα καὶ παρασυνθέματα, τὸ ἐναντίον πάσχουσιν ἐν τῇ συνθέσει. οἷον δοῦλος ἄδουλος. ὁμοίως καὶ τὰ παροξύτονα οἷον πλούσιος. παραπλήσιος.

Ὀκνῶ τὸ βραδύνω. καὶ ὀκνῶ τὸ φοβοῦμαι. τὸ ὀκνεῖν ποτὲ μὲν τὸ μετ' αἰτίας τινὸς ἐστὶν ἀναβάλλεσθαι. οἷον τό, τὸ ἀρχόμενοι δυσηλεγέος πολέμοιο, ὤκνεον ἀμφότεροι. ὅτε δὲ τὸ ἀλογῶ καὶ ἀμελῶ, ῥᾳθυμίᾳ κατέχεσθαι, ὅθεν καὶ ὄκνος.

Ὁλκὴ σταθμός, ἀπὸ τοῦ σταθμοῦ δὲ, βαρύσταθμον τὸ βαρεῖαν ὁλκὴν ἔχον. Ὁλκὸς δὲ τὸ σῶμα τοῦ ὄφεως, ἀπὸ τούτου ἕλκω τὸ σύρω τὸ συρόμενον.

Ὄλλυμι ἐνεστὼς καὶ ὀλλύω, ὤλλυον παρατατικός, ὀλέσω μέλλων. καὶ ἀπολλῶ. ὤλεσα ἀόριστος. ὀλώλεκα παρακείμενος. ὄλλυμαι ἐνεστὼς. ὠλλύμην παρατατικός, ὀλοῦμαι μέλλων. ἀπωλόμην ἀόριστος. ὄλωλα παρακείμενος.

Ὄλυνθοι λέγονται τὰ ἄωρα σῦκα. Ὄμφακες δὲ αἱ ἄωροι σταφυλαί, καὶ ἄλλοι καρποί. ὅθεν καὶ ὀμφάκιον ἔλαιον τὸ ἐκ μήπω πεπείρων τῶν ἐλαιῶν γενόμενον.

Ὁλκὰς τὸ μέγα πλοῖον. ἐφόλκιον δὲ ὅπερ ἐπισύρεται ἡ ὁλκάς, τουτέστι τὸ μικρὸν πλοιάριον.

Ὁμιλῶ τὸ ἐντυγχάνω. οἷον ὁμιλῶ συμφοραῖς. ὁμιλίαι καὶ οἱ κείμενοι λόγοι εἰς τὸ ἐντυγχάνειν αὐτοῖς τινάς.

Τὸ ὁμοῦ ἀντὶ συνάψει δύο κώλων λεγόμενον, καὶ ἀντὶ τοῦ πρώτου κώλου δύναται λέγεσθαι. καὶ ἀντὶ τοῦ δευτέρου, ὥσπερ καὶ τὸ ἅμα, καὶ ὁ καὶ σύνδεσμος καὶ τἄλλα.

Ὀμῶ, μὲν ὀμόσω, καὶ ὀμοτὸς, καὶ ὀμοτοῦ. ἐπώμοτος δὲ καὶ ἀπώμοτος καὶ ὁρκωμοτῶ, ὅ, τι συντίθενται.

Ὁμιλία, ἀντὶ τῆς ἐν ὁμίλῳ κοινωνία, ἀντὶ τῆς συμμετεχόντων τινός, ἐπεὶ δὲ ἡ ἕνωσις, καὶ διὰ λόγων γίνεται, καὶ διὰ μίξεως ἀφροδισίων, καὶ διὰ τῶν ἑτέρων, λέγεται ὁμιλία καὶ

ἀντὶ

εὐθὺ συνουσίας καὶ διαλέξεως. ὁμιλεῖ γάρ τις τινὶ ἀντὶ τοῦ διαλέγεται. καὶ ὁμιλεῖ βιβλίῳ ἀντὶ τοῦ εἰς λόγους ἔρχεται. λόγους γὰρ τὸ βιβλίον ἐμπεριέχει. ὁμιλεῖ ἑκάστῳ, ἀντὶ τοῦ σύνεστι, καὶ ὁμιλεῖ συμφοραῖς ἀντὶ τοῦ σύνεστι, καὶ συγκυρεῖ. Κοινωνοῦσι δέ τινες οἱ μεταδιδόντες ἀλλήλοις καὶ μεταλαμβάνοντες, παρ' ἀλλήλων φιλίας ἢ γνώσεως ἢ τινὸς τοιούτου, τῶν παρ' ἑαυτοῖς ἢ ἑτέρου τινὸς ἔξω ἑαυτῶν συμμετέχοντες, οἷον φατῶς ἢ χωρίων ἢ τοιούτων τινῶν.

Ὀνίνημι ἐνεστώς, ὤφελον παρατατικός, ὀνήσομαι μέλλων, ὠνάμην ἀόριστος. ἀφ' οὗ καὶ ὄνειαρ.

Ὅμοιον τὸ κατά τι παραλλάττον. ταυτὸν δὲ τὸ δι' ὅλου ὅμοιον.

Τ ὁπότε μετὰ εὐκτικοῦ συντάσσεται.

Ὁπωσδήποτε ἀντὶ τοῦ, καθ' οἱονδήτινα τρόπον. τὸ ὁπωσδήποτε, ἀντὶ τοῦ πῶς δή.

Ὅπλα κυρίως τὰ φυλακτήρια. οἷον θώραξ, κράνος, κνημῖδες. Ἀμυντήρια δὲ, δι' ὧν μαχόμενός τις ἀμύνεται τοὺς ἐχθροὺς αὐτοῦ. οἷον ἀσπὶς, μάχαιρα, ἔγχος.

Τ ὅπως εὐθὺ παραινέσεως, καὶ παραγγελίας τιθέμενον παρ' Ἀττικοῖς οὐχ ὑποτάσσει, ἀντὶ τοῦ πῶς γὰρ τίθεται. τὸ ὅπως ἀντὶ τοῦ πῶς, καὶ ἀντὶ τοῦ ἵνα, καὶ ἀντὶ τοῦ καθά.

Ὀπυίζομαι τὸ ὀπυίω συμπλέκω ἢ ἄγομαι.

Ἐφοπλίζω μεταβατικόν. οἷον ἐφοπλίζει μοι τὸν ἐχθρὸν, ἀντὶ τοῦ κατ' ἐμοῦ ὁπλίζει καὶ διεγείρει. ὁπλίζομαι δὲ παθητικῶς ἀμετάβατον. οἷον ὁπλίζομαι τόνδε, ἀντὶ τοῦ κατὰ τοῦδε ὁπλίζομαι.

Ὀπτὴ λίθος. ἡ τοῦ βώλου. γράφεται δὲ καὶ χοῦς ὀστράκων τὸ αὐτό. ὀπτὴ δὲ πλίνθος ἑτέρα ἐν τι.

Ὀπός ἐστιν ἡ πιτύα. ὀρρὸς δὲ τὸ λεγόμενον τυρόγαλα.

Ὀρθὸν τὸ ἱστάμενον, καὶ ἄνω βλέπον, καὶ μὴ (λας. συγκεκυφὸς, καὶ σκολιόν. ἀφ' οὗ καὶ ὄρθιον τὸ ὀρθίαν ἔχον θέσιν. καὶ ὀρθῶς ἐπίρρημα τῷ ἐναντίον τὸ σκολιῶς. Καὶ ὀρθόω ὀρθῶ τινὰ ἀντὶ τοῦ ὀρθὸν ἵστημι. Καὶ ἀνορθῶ τὸ τὸν πεσόντα ἀνιστῶ, καὶ εἰς στάσιν καὶ ὀρθότητα ἀποκαθιστῶ. εὐθὺς δὲ ἁπλῶς τὸ μὴ ἑλικοειδές. μὴ δὲ ἔχον τινὰ σκολιότητα, ἄν τε ἱστάμενον ᾖ, ἄν τε κείμενον. Ὀρθόω ὀρθῶ ἕτερον. Ὀρθοῦμαι δὲ ἐγὼ ὑφ' ἑτέρου. καὶ ἐπανορθῶ καὶ ἐπανορθοῦμαι. καὶ διορθῶ καὶ διορθοῦμαι, τάττεται δὲ εὐθὺ τῶν ἐξημαρτημένων λόγων ἢ τινῶν λόγων. εἶθ' ἕτερον τῇ συνεχεῖ περὶ τούτους ἐκπονήσει, ὀρθῶν γεγενημένων. τὰ δὲ ὀνόματα ἐπανόρθωσις, καὶ διόρθωσις.

Ὁρμέω ὁρμῶ τὸ πορεύομαι ἐγώ. Ἐξορμῶ δὲ ἄλλον. Ὁρμέω ὁρμῶ τὸ ἐν τῷ λιμένι ἵσταμαι. Ὁρμίζω δὲ τὸ εἰς τὸν λιμένα εἰσάγομαι καὶ ὁρμίζω ἕτερον.

Ὄρνιθες ἁπλῶς μὲν πάντα τὰ πετόμενα. ἰδίως δὲ οἱ εἰς μαντείαν συντείνοντες, καὶ ἀπὸ τούτου, καὶ ἡ μαντεία. ὡς τὸ, δέχου τὸν ὄρνιν καὶ τὸν ὄρνιν τοῦ θεοῦ. Ἀφ' οὗ καὶ πᾶν τὸ εἰς μαντείαν συντεῖνον ὄρνιν ἐκάλουν. οἷον, πταρμὸν, ἢ παλμὸν ἢ τοιοῦτό τι.

Ὀρύσσω ἐνεστώς. ὤρυσσον παρατατικός. ὀρύξω μέλλων. ὤρυξα ἀόριστος. ὀρυγήσομαι μέλλων, ὠρύγην ἀόριστος. ὀρώρυγμαι παρακείμενος.

Ἀνορύττω τὸ κρυπτόμενον. Κατορύττω τὸ φανερόν. ὀρύσσω μὲν καὶ ὄρυγμα. Κατῶρυξ δέ. ὥσπερ ἐστὶν ὀμοτὸν μὲν, ἀπώμοτον δὲ, καὶ ὄφελος μὲν ἀνωφελὴς δέ.

Τ ὄρνις εὐθὺ εὐθείας βραχὺ τὸ ι. κεκλήρωται. εὐθὺ δὲ τῆς γενικῆς μακρόν. καὶ μάρτυρες οἱ ποιηταὶ, οἷς ἐμέλησε τὰ κατὰ τὸ μέτρον. ὡσαύτως καὶ πᾶσαι αἱ εἰς θος γενικαὶ μακρὰ παραλήγονται πλὴν τοῦ κόρυς κόρυθος. τοῦτο γὰρ τὸν χρόνον τῆς εὐθείας ἐφύλαξε, καὶ ἐν τῇ γενικῇ.

Ὀρφανισταί, οἱ ἐπίτροποι τῶν ὀρφανῶν. Χηρωσταὶ δὲ οἱ τῶν χηρῶν.

Ὀρρωδῶ τὸ φοβοῦμαι. Ἀρρωδῶ δὲ κατὰ στέρησιν. τουτέστιν οὐκ εὐλαβοῦμαι, ἀλλὰ καταφρονῶ, καὶ τεθάρρηκα.

Ὀρέγω ἐνεργητικῶς τὸ δίδωμι καὶ τὸ εὐφραίνω καὶ τὸ ἐκτείνω. ἐξ οὗ καὶ ὄργυια. καὶ ὀρεκτοῖς μελίαις φησὶν Ὅμηρος. ἤτοι μακραῖς. Ὀρέγομαι δὲ παθητικῶς, τὸ ἐπιθυμῶ, καὶ τὸ λαμβάνω. ὡς τὸ σίτου ὀρέξαι.

Ὁρῶ τὸ βλέπω. ὁ μετὰ τῆς ὑπὸ προθέσεως, γράφεται παθητικῶς ὑφορῶμαι. καὶ δηλοῖ τὸ ὑποπτεύω. τοιοῦτόν ἐστι καὶ τὸ ὑπείδετο. εἶδον γὰρ καὶ μετὰ τῆς ὑπὸ προθέσεως παθητικῶς ὑπειδόμην ἀντὶ τοῦ ὑπώπτευσα καὶ τὸ ὑποπτεύω ἀπὸ τοῦ ὄπτω τὸ βλέπω ὅπερ ἐστὶν ἄχρηστον, εὑρίσκεται δὲ ἐν χρήσει ἐν τῷ μέσῳ μέλλοντι. οἷον ὄψομαι, καὶ ἐν τῷ παθητικῷ παρακειμένῳ ὦπται.

Ὀροφή. κρεῖσσον γράφειν, ἢ ὄροφος.

Ὀρύττω τὸ ἁπλῶς σκάπτω τὴν γῆν. διορύττω δὲ τὸ, τοῖχον διακόπτω. ὑπορύττω δὲ, τὸ λαθραίως ὑπὸ τοὺς θεμελίους ὑποσκάπτω.

Ὄρθιον τὸ ὀρθὸν, καὶ ὄρθιον μέλος, τὸ ὑψηλόν. ὡς τὸ, ὅτ' ἦθ' ἀνδρὸς ὀρθίων κηρυγμάτων.

Ὁσημέραι. ἐπίρρημα καὶ σημαίνει τὸ πάντοτε, δοκεῖ δὲ συντεθεῖσθαι ἀπὸ τοῦ ὅσαι ἡμέραι. πλὴν γράφεται ἀεὶ συντεθειμένως. τὸ δὲ ὅσαι ὧραι ταυτὸν ἐν τῇ σημασίᾳ, διαλελυμένως γράφεται.

Τ ὅστις τίθεται εὐθὺ ἀορίστου προσώπου. τὸ δὲ ὅς τις ποτὲ, ἀμφιβαλλομένης φύσεως ἐν πράγματι. οἷον ὅς τίς ποτε ἐστὶν ὁ παράδεισος. ἀμφιβάλλεται γὰρ πότερον αἰσθητός ἐστιν ὁ παράδεισος, ἢ νοητός.

Ὀσφὺς τὰ μετὰ τὴν ζώνην ἑκατέρωθεν, ἰσχία, αἱ μετὰ τὰς ὀσφῦς σαρκώδεις προβολαί. Γλουτοὶ καὶ κογχῶναι τὰ μετὰ τὰ ἰσχία, ἤγουν τὰ περὶ τὴν πυγὴν ὑποβρίζοντα.

Τὸ ὅσα καὶ μὴ εἰδέναι, ἀττικῶς λέγεται ἀντὶ τοῦ ὅσον. φιλοῦσι γὰρ οἱ ἀττικοὶ πληθυντικοῖς ἀντὶ ἑνικῶν χρῆσθαι.

Ὀσφραινόμενον. τὸ δεχόμενον τὴν ὀσμήν. ὀσφρώμενον δὲ, τὸ ἐκπέμπον τὰς ὀσμάς. τὸ μὲν διὰ τοῦ ω μεγάλου δόκιμον παρὰ τοῖς ῥήτορσι. τὸ δὲ διὰ τοῦ ο μικροῦ, καὶ ἀντὶ τοῦ δεχομένου τὴν ὀσμήν.

Τὸ ἀρσενικὸν, ὁστισοῦν. οὑτινοσοῦν, ᾡτινιοῦν, ὅντινοῦν. καὶ ὁντινοῦν. τὸ θηλυκὸν ἡτισοῦν. ἧστινοσοῦν. ᾗτινιοῦν. ἥντιναοῦν. καὶ ἥντινοῦν. τὸ οὐδέτερον ὁτιοῦν. οὑτινοσοῦν. ᾡτινιοῦν. ὁτιοῦν. Ἐπειδὴ τοῖς ἴσω λαμβάνεται τὸ ὅτου ἀντὶ τοῦ οὑτινος, καὶ ὅτῳ ἀντὶ τοῦ ᾧτινι, λέγεις καὶ ὁτουοῦν. καὶ ὁτῳοῦν. ἀντὶ τοῦ οὑτινοσοῦν, καὶ ᾡτινιοῦν.

Τὸ ὅταν οἱ μὲν παλαιοὶ διαιροῦσιν. ὅθεν καὶ πνεῦμα καὶ τόνον τιθέασιν. οἱ δὲ νεώτεροι συνημμένως ἐκφέρουσιν. ὥσπερ καὶ τὸ διὸ, καὶ ἐφ᾽ ᾧ, καὶ τἄλλα.

Ὅσα εἰς ος ἀρσενικὰ ἀντὶ θηλυκῶν λέγεται εἰς α ληγόντων, ἀττικά ἐστιν. οἷον θυραῖος, ἀντὶ τοῦ θυραία. καὶ ῥαγδαῖος, ἀντὶ τοῦ ῥαγδαία. καὶ βίαιος ἀντὶ τοῦ βιαία. ὅσα δὲ εἰς ος ἀρσενικὰ ἀντὶ θηλυκῶν λέγεται εἰς η ληγόντων, ποιητικά. οἷον χρύσεος, ἀντὶ τοῦ χρυσῆ. καὶ κλυτὸς ἀντὶ τοῦ κλυτή.

Τὸ ὅτι καὶ τὸ ὡς, καὶ τὸ ὅσον, ἔστιν ὅτε, ἀντὶ τοῦ λίαν παραλαμβάνεται. πλὴν τὸ μὲν ὅτι, καὶ τὸ ὡς ὑπερθετικοῖς μόνοις συντάσσονται. τὸ δὲ ὅσον καὶ ἁπλοῖς ὀνόμασι ὑπεροχὴν δηλοῦσιν. ὅτε καὶ μετὰ τὸ ὄνομα κεῖται. οἷον λαμπρὰ ὅσην, καὶ ὅσον τάχος.

Τὸ ὅταν ἔστιν ὅτε μετὰ ὁριστικοῦ καὶ εὐκτικοῦ, Συνέσιος. ὅταν δεῖται. Ξενοφῶν, ὅταν καθίσταιντο. Λιβάνιος, ὅταν εἰδείη. τὸ δὲ ἐὰν, οὐδέποτε.

Παρὰ τοῖς κοινοῖς, οὐδεὶς οὐδεμία οὐδέν. καὶ μηδεὶς μηδεμία μηδὲν, παρὰ τοῖς ποιηταῖς δὲ, οὔτις, καὶ ἐπὶ θηλυκοῦ οὔτις, καὶ οὔτι ἐπὶ οὐδετέρου.

Οἱ ἀττικοὶ ἀντὶ τοῦ ὑποτακτικοῦ ἄρθρου τῆς γενικῆς τῶν ἑνικῶν τοῦ οὗ, καὶ ἀντὶ τοῦ ὑποτακτικοῦ τῆς δοτικῆς τοῦ ᾧ, τὸ ὅτου λέγουσι καὶ τὸ ὅτῳ. συντιθέντες τὰ προτακτικὰ ἄρθρα. τὸ τοῦ καὶ τὸ τῷ μετὰ τοῦ ο. τούτοις ἀκολουθήσαντες οἱ ποιηταὶ, καὶ ἐπὶ τῶν πληθυντικῶν τοῦτο ποιοῦσι. λέγουσι γὰρ ὅτων, ἀντὶ τοῦ ὧντινων. ὃ μόνον καὶ παρὰ ῥήτορσιν. καὶ ὅτοις, ἀντὶ τοῦ οἷστισιν. ἐπὶ δὲ τῆς αἰτιατικῆς οὐδέποτε τὸ τοιοῦτον γίνεται. οὔτε παρὰ τοῖς ἀττικοῖς, οὔτε παρὰ τοῖς ποιηταῖς.

Τὸ οὔπω ἀναιρεῖ τὸ παρεληλυθός. εἰσάγει δὲ τὸ μέλλον. οἷον οὔπω ἐστὶ καιρὸς, ἀντὶ τοῦ παρὰ τοῖς κοινοῖς, ἀκμὴν οὐκ ἔστι καιρός. ἀλλὰ ἔσται δηλονότι. τὸ δὲ οὐκέτι, τὸ μέλλον ἀναιρεῖ. οἷον, οὐκέτι ἐστὶ καιρὸς, ἀντὶ τοῦ ἀπὸ τοῦ νῦν οὐκ ἔστι καιρός. ἀλλὰ παρῆλθε δηλονότι. συντάσσεται οὖν τὸ οὔπω μετὰ τοῦ παρῳχημένου. τὸ δὲ οὐκέτι μετὰ μέλλοντος.

Ἡ οὐδεμία κλίνεται τῆς οὐδεμιᾶς. ὥσπερ, καὶ τὸ μία, μιᾶς.

Τὸ οὗτος καὶ αὕτη καὶ τοῦτο, δεικτικαὶ ἀντωνυμίαι εἰσί. καὶ διὰ τοῦτο δέχονται τὸν προσχηματισμὸν τοῦ ι, διὰ πλείονα δεῖξιν. οἷον οὑτοσί. αὑτηΐ. καὶ τουτί. ὁμοίως καὶ ἐν τῇ κλίσει αὐτῶν πάσῃ. τὸ δὲ αὐτὸς ἀναφορικόν ἐστι. καὶ οὐ δέχεται τὸ ι. οὐ δύναται γὰρ εἰπεῖν αὐτοσί.

Οὐδεὶς ἐστὶν ἀττικόν. ποιητικῶς δὲ γράφεται οὔτις, ἀντὶ τοῦ οὐδείς. καὶ οὔτις ἐπὶ θηλυκοῦ, ἀντὶ τοῦ οὐδεμία. τὸ οὐδεὶς δὲ γράφεται καὶ ἐν τοῖς πληθυντικοῖς. οἷον οὐδένες οὐδένων. οὐδέσι καὶ τὰ τοιαῦτα.

Τὸ οὐ μάλα ἐγγὺς, δηλοῖ τὸ πολλὰ μακράν. καὶ τὸ οὐ πολλὰ χαιρήσεις ἀντὶ τοῦ πολλὰ λυπηθήσῃ. καὶ τὸ οὐ φαυλότατα ἁμαρτάνεις τὸ τὰ μέγιστα ἁμαρτάνεις δηλοῖ. καὶ ὅσα τοιαῦτα ἔχουσιν ἀπόφασιν ὑπερθετικοῦ, κατάφασιν δηλοῦσι κατὰ τὴν ἐναντίαν ὑπόθεσιν.

Οὐκ ἔσθ᾽ ὅτε ἀντὶ τοῦ οὐδέποτε, οὐκ ἔσθ᾽ ὅπου, ἀντὶ τοῦ οὐδαμοῦ. καὶ οὐκ ἔστιν ὅπως ἀντὶ τοῦ οὐκ ἔστι τρόπος. ὅπως, τὸ οὐχ ὅπως ἀντὶ τοῦ οὐ μόνον οὐχὶ λαμβάνεται. οἷον πενταετὴς χρόνος. οὐχ ὅπως φιλοσοφοῦσιν ἀπαρκεῖν ἔμοιγε φαίνεται. ἀντὶ τοῦ οὐ μόνον οὐχὶ τοῖς φιλοσοφοῦσιν.

Οὐρὰ τὸ ὄπισθεν τῶν ζώων. καὶ ἀπὸ τούτου οὐρὰ καὶ ἡ πρύμνα τῆς νεώς. ὅθεν οὖρος ποιητικῶς ὁ ἀπὸ τῆς οὐρᾶς φορὸς καὶ ἐπιτήδειος ἄνεμος, ὃς κοινῶς λέγεται οὔριος. ὅθεν καὶ τὸ ἐξ οὐρίας πλεῖν.

Ὄφελος μὲν ἐπωφελὴς δὲ, καὶ ἀνωφελής. ὥσπερ ὄλεθρος μὲν, πανώλεθρος δὲ, καὶ ψυχώλεθρος. ὡσαύτως ὄφελον μὲν εὖ ὄφελες δὲ, καὶ ὡς μὴ ὤφελες. καὶ ἁπλῶς τοῦτο δεῖ παρατηρεῖν ἐν συντιθεμένοις.

Τὸ ὄφελον λαμβάνεται καὶ ἀντὶ τοῦ εἴθε, καὶ ἀντὶ τοῦ ἐχρεώστουν. καὶ ἡνίκα μὲν λαμβάνεται ἀντὶ τοῦ εἴθε, συντάσσεται μετὰ εὐκτικοῦ. ὡς ἐν τῷ ὄφελον κατευθυνθείησαν αἱ ὁδοί μου. καὶ μετὰ παρεληλυθότος χρόνου. οἷον ὄφελον ἐγένετο τόδε, ἀντὶ τοῦ εἴθε ἐγένετο. εἰ δὲ ἀντὶ τοῦ ἐχρεώστουν διὰ τοῦ ω μεγάλου γράφεται. κανονίζεται γὰρ ἀπὸ τοῦ ὀφείλω εἰς παρατατικόν. καὶ κλίνεται οἷον ὤφελον ὤφελες ὤφελε. καὶ συντάσσεται μετὰ ἀπαρεμφάτου. οἷον ὤφελον γίνεσθαι τόδε. μετὰ δὲ τοῦ ὡς γράφεται. ἀντὶ τοῦ εἴθε. ὡς ἐν τῷ ὡς ὤφελόν γε μὴ δὶς προσεδρία. μετὰ δὲ τοῦ ὡς καὶ τοῦ μὴ, ἢ τοῦ οὐκ, καὶ ἔστι τοῦτο ποτὲ τὸ ἀντὶ τοῦ ἐχρεώστουν. οἷον, ἐπεὶ παραγενόμενος ἐνταῦθα ὡς μὴ ὤφελον. καὶ ἐπεὶ τόδε ἐποίησα, ὡς οὐκ ὤφελον.

ὤφελεν. Σημείωσαι δὲ ὅτι ταῦτα, συνυπακουόμενον ἔχει τὸ ἀπαρέμφατον. ἅπαξ ῥηθὲν, ὃ πεποίηκα. ἢ παραγενόμην, ἢ τοιοῦτό τι. οἷον ἐπεὶ τόδε πεποίηκα ὡς μήποτ' ὤφελον ποιῆσαι δηλονότι.

Ὀφθαλμιάσωσι ἀντὶ τοῦ ἐφ' ἑτέροις ἐρείσωσι ἐρωτικῶς τοὺς ὀφθαλμοὺς τουτέστιν ἐρασθῶσι ἑτέρων.

Ὄχθη ὁ αἰγιαλώδης τόπος, καὶ κρημνώδης ἐν ποταμῷ. ὁ τοιοῦτος ἐν θαλάσσῃ λέγεται ἀκτὴ, ὡς παρ' Ὁμήρῳ. ἀκτῇ ἐπὶ προὐχούσῃ. ἀκτῆς δὲ ἀκ τοῦ τὸ δῶρον. ἀπὸ τούτου λέγεται καὶ Δημήτερος ἱερὸν ἀκτή. ἤγουν τὸ ἐξαίρετον τοῦ σίτου καὶ προέχον. Ὁ ἐπίπεδος δὲ τόπος ἐπὶ μὲν τοῦ ποταμοῦ λέγεται πλαταμών. Ἐπὶ δὲ θαλάσσης αἰγιαλός. καὶ ἠιὼν, καὶ θὶν ποιητικῶς.

Ὀχετεύειν ἐστὶ κυρίως τὸ ὕδωρ δι' αὔλακος ἄγειν. ἀφ' οὗ μετοχετεύειν τὸ μετάγειν ὕδωρ ἐφ' ἑτέραν αὔλακα.

Ὄχλος παρὰ τοῖς ἀττικοῖς ἡ ὄχλησις. παρὰ δὲ τῇ θείᾳ γραφῇ, καὶ τοῖς ἄλλοις Ἕλλησι, τὸ πλῆθος τοῦ λαοῦ.

Ὄχος ἀρσενικῶς τὸ ἅρμα, ὄχεα δὲ πληθυντικῶς παρ' Ὁμήρῳ οὐδετέρως. ὄχημα δὲ παρὰ τοῖς κοινοῖς τὸ αὐτό. ὡς παρὰ Λουκιανῷ, καὶ ἠξίου ὄχημα ζεύγνυσθαι αὐτῷ.

Ὀχῶ μεταβατικὸν, οἷον ὀχῶ τὸν ἄνθρωπον ἀντὶ τοῦ ἐπ' ὀχήματος ἀναβιβάζω. ὀχοῦμαι δὲ ὑπὸ ἀμεταβάτως ἀντὶ τοῦ ἐπ' ὀχήματος φέρομαι. ὀχεύει δὲ καὶ ὀχεία ἡ τῶν ἀλόγων ζώων συνουσία. ὥσπερ ἐπὶ τῶν ἀνθρώπων ἀφροδίτη, καὶ ἀφροδισιάζει.

Ὄψομαι καὶ ὦπται μόνα ἐν χρήσει. τὰ δ' ἄλλα τούτων ἄχρηστα.

Ὄχθη ἐπὶ ποταμοῦ λέγεται. ἀκτὴ δὲ ἐπὶ θαλάσσης. ἀπὸ τούτου γίνεται ὀχθῶ ὀχθήσω. ποιητικῶς τὸ βαρύνομαι, καὶ ὀχθίζω τὸ αὐτὸ παρὰ τοῖς κοινοῖς. καὶ προσοχθίζω καὶ προσοχθίσματα.

Ὄψις καὶ ἡ πρόσοψις. ἤγουν τὸ πρόσωπον καὶ ἡ ὁρατικὴ δύναμις. ὄψις καὶ τὸ ὁραθέν.

ΑΡΧΗ ΤΟΥ Π.

Παρίστησι τὶς, τί, ὃ ἀποδείκνυσι. Παρίσταται δέ τινι τόδε, ἀντὶ τοῦ δοκεῖ. Παρίσταται, ἀντὶ τοῦ πλησίον ἵσταται. καὶ ἀντὶ τοῦ συμμαχεῖ. ἀφ' οὗ παραστάσης. Καὶ παρίσταται ἀντὶ τοῦ ὡς δοῦλος ἵσταται. καὶ ἐπὶ ἀρείσου ὡσαύτως. Παρέστη ἀντὶ τοῦ ἐβοήθησε καὶ ἀντὶ τοῦ πλησίον ἔστη. παρεστήσατο δὲ Φρέαρ, ἀντὶ τοῦ οἴκησιν, ἐδοπώσατο.

Παλαμναῖος ὁ οἰκείαις χερσὶ φόνον ἐργασάμενος.

Παρέχομαι ἐμαυτὸν τῷ δεῖνι πράγματι. καὶ παρέχεται τὰ ὄρη δένδρα τοιάδε. παρέχει τὶς τινὶ νόμισμα. ἢ τι ἕτερον. ἕτερον οὐκ ἀπὸ τῆς ἑαυτοῦ φύσεως ἐστί.

Παραβάλλω τὸ πλησιάζω καὶ τὸ παρεικάζω. ἐξ οὗ καὶ παραβολὴ ἡ εἰκών.

Παραβάλλω τὸ συγκρίνω καὶ παρατίθημι. καὶ παράθεσις ἡ σύγκρισις. Παραβάλλω ἐπὶ τῶν ἵππων ὡς παρ' Ὁμήρῳ. παραβλήματα αἱ τῶν ἵππων τροφαί. Παραβάλλομαι δὲ παθητικῶς ἀντὶ τοῦ ῥιψοκινδυνεύω. οἱ πρὸς κῦμα παραβεβλημένοι. καὶ Ὅμηρος παραβαλλόμενος τὴν ἐμὴν ψυχὴν, ἀντὶ τοῦ τοῖς κινδύνοις παραρρίπτων.

Παλαιὸν ἐνίοτε μὲν πρὸς ἕτερον λέγεται νέον. ὡς παλαιὰ ῥώμη πρὸς τὴν νέαν. ἐνίοτε δὲ οὐ τῶν πρός τι ἐστὶν, ἀλλὰ δηλοῖ μόνον τὸ πάλαι γεγονός. οἷον παλαιὰ πρᾶξις ἡ πάλαι γεγονυῖα, καὶ ἁπλῶς τὸ παρῳχηκὸς, ἢ τὸ πάλαι μὲν τὴν ἀρχὴν εἰληφὸς, οὐ μὴν δὲ παυσάμενον.

Παρακαλῶ τὸ προτρέπομαι. καὶ παράκλησις ἡ προτροπὴ, καὶ ἡ παρακίνησις. σπανίως δὲ καὶ τὸ δέομαι. Παρακαλοῦμαί σε εἰς μάχην ἀντὶ τοῦ παρακινῶ σε. καὶ ἐδεξάμεθα τὴν παράκλησιν τῆς διαφορᾶς. ἤγουν τὴν παρακίνησιν τῆς μάχης.

Παρειὰ ἡ γνάθος διὰ διφθόγγου. ἀφ' οὗ καὶ παρεῖαι, ὄφεις οὕτως ὀνομαζόμενοι, διὰ τὸ παρειὰς μείζους ἔχειν. Καὶ καλλιπάρῃος ποιητικῶς διὰ τοῦ η.

Παστὰς καὶ θάλαμος κυρίως ἐπὶ νυμφικῶν οἴκων, καταχρηστικῶς δὲ καὶ ἐπὶ οἴκων ἁπλῶς εἰς ὑποδοχὴν ηὐτρεπισμένων. τὸ δὲ κοινῶς κελλίον, δωμάτιον ἀττικῶς λέγεται.

Πάγος τὸ πεπηγμένον ὕδωρ ἀπὸ ψύχους. καὶ τὸ σκληρὸν ὄρος καὶ πετρῶδες.

Παραιτοῦμαι τὸ ἀποστρέφομαι, καὶ ἀθετῶ. ὅθεν καὶ ἀπαραίτητον τὸ ἀμετάθετον. Παραιτοῦμαι τὸ ἐκβάλλω ὡς παρὰ Συνεσίῳ. ἐπὶ δὲ τούτου γε παραιτούμην. Παραιτοῦμαι καὶ τὸ συγγνώμην αἰτῶ. ὡς Ἀριστείδης, παραιτεῖσθαι μὲν οὐκ οἶδα ὅτι δεῖ περὶ τῶν αὐτῶν πολλάκις.

Παράδειγμα. οὐχ ὑπόδειγμα.

Πάταγος ἐπὶ ἀνέμου διὰ τοῦ τ. Ὄτοβος δὲ τὸ αὐτὸ διὰ δύο τ. Ἦχος δὲ ἐπὶ μέλους καὶ βροντῆς.

Πάλαι μακρόν ἐστι. καθὸ οὐδὲ πρόπαλαι γράφεται. ἀλλ' ἐκ παλαιοῦ.

Πάσχω ἐνεστὼς, ἔπασχον παρατατικὸς, πείσομαι μέλλων. ἔπαθον ἀόριστος. πέπονθα παρακείμενος.

Παῖς ὁ τὴν τοῦ παιδίου παραδραμὼν ἡλικίαν. οὔπω δὲ ἀμειγμένος ἐπὶ τὴν τῶν μειρακίων. εἰσὶ δὲ ἡλικίαι ἑπτά. ὡς φησὶν Ἱπποκράτης, ἑπτὰ οὖν ὧραι αἱ ἡλικίαι καλούμεναι. παιδίον. παῖς. μειράκιον. νεανίσκος. ἀνήρ. πρεσβύτης. γέρων. καὶ παιδίον μὲν ἄχρι ἑπτὰ ἐτῶν, ὀδόντων ἐκβολῆς. παῖς δ' ἄχρι γονῆς ἐκφύσιος, εἰς τὰ δὶς ἑπτά. μειράκιον δ' ἄχρι γενείου λαχνώσεως εἰς τὰ τρὶς ἑπτά. νεανίσκος δ' εἰς τὰ τῆς αὐξήσεως ὅλου τοῦ

σώματος εἰς τὰ τετράκις ἑπτά. ἀνὴρ δὲ ἄχρι τοῦ ὀκτώ ... ἑπτάκις ἑπτά. πρεσβύτης δὲ ἄχρι τῶν πεντηκοντα ἕξ. ἐς τὰ ἑπτάκις ὀκτώ. τὸ δὲ ἐντεῦθεν γέρων λέγεται.

Π άλλειν ἀντὶ τοῦ κινεῖν, καὶ ἔστι ποιητικόν. Πάλην τὴν παλαίστραν ἢ πάλη τῆς πάλης. καὶ ἔστιν ὄνομα ῥηματικόν.

Π αῤῥησία λέγεται κυρίως, ἡ εἰς τὸ μέσον τῆς ἐκκλησίας ἐπισυνισταμένη δημηγορία πάροδος. ἀπὸ τῆς παρὰ προθέσεως τῆς δηλούσης τὴν εἰς τὸ μέσον ἄφιξιν καὶ τοῦ ῥῶ ῥήσω ἀχρήστου τὸ λέγω. καὶ μάρτυς. Εὐριπίδης, ταύτῃ τῇ παραχρώμενος λέγων. κρίνω παραστὰς εἴπου ἐν μέσοις πέδοις. ἀντὶ τοῦ εἰς τὸ μέσον ἐλθών, ἔστι γοῦν παραῤῥησία, καὶ κατὰ συγκοπὴν παῤῥησία. ὅθεν διὰ δύο ῥῥ. γράφεται. ἐκ τούτου δὲ καταχρηστικῶς εὕρηται παῤῥησία, καὶ τὸ θάῤῥος.

Π αριστῶ τὸ εἰς φανερὸν ἄγων ἱστῶ. καθὸ λέγεται καὶ παράγειν τὸ εἰς φῶς ἄγειν. Παραλογίζομαι δὲ τινά, ἀντὶ τοῦ λαβὼν παρεισφέρω αὐτὸν εἰς ψευδῆ λογισμόν. καθὸ λέγεται, καὶ παράγειν τὸ ἀπατᾶν.

Π αρακινῶ τὸ μεθιστῶ καὶ διεγείρω, τὸ μὲν ἐπὶ ἀψύχων. τὸ δέ, ἐπὶ ἐμψύχων.

Π αρακελῶ. τὸ παρ' ἐμὲ ἕλκω. ἢ παρά τι ἕτερον. Παρατηρῶ δὲ ἤγουν παρακολουθῶν σκοπῶ.

Π αραφαίνω τὸ ἀμυδρῶς δεικνύω, καθὸ λέγεται καὶ παραψαύειν τὸ μετρίως ψαύειν. Παραφαίνω καὶ τὸ πλησίον ἄλλου φαίνω, καθὸ λέγεται καὶ παρατιθέναι. καὶ παραβάλλειν τὸ συγκρίνειν καὶ παρεικάζειν, ἀφ' ὧν παραβολὴ καὶ παράθεσις.

Π αίει μὲν ὁ τύπτων. Παραπαίει δὲ ὁ παραφρονῶν. τῆς παρὰ προθέσεως ἔξω δηλούσης. ὡς ἔξω τοῦ δέοντος βάλλει τοῖς διαλογισμοῖς ὁ παραπαίων.

Π αραπλήσιον τὸ ὅμοιον ἀττικῶς. πλησίον γὰρ παράκειται τῷ ᾧ ὅμοιον.

Τ ὸ παύω ἐνεργητικῶς λαμβάνεται ἀπὸ αἰτιατικῆς εἰς γενικήν. οἷον παύσω σε τοῦ ἔργου. καὶ παύω ἀμεταβάτως. ὡς τὸ ζῶ, καὶ πλουτῶ καὶ συντάσσεται γενικῇ μόνῃ. οἷον παύω τοῦ λόγου.

Π αρέλκει τι, ἀντὶ τοῦ ἔξω τείνει τοῦ κειμένου. καὶ παραπόλλυσί τις τι, ἀντὶ τοῦ ἔξω τοῦ πρέποντος ἀναλίσκει.

Τ ὸ πάρος ἀντὶ τοῦ ἔμπροσθεν, ποιητικὸν καὶ χρονικόν ἐστι.

Π αραχρῆμα ἤτοι αὐτίκα ὃ καὶ παραυτὰ γράφεται. αὐτόχρημα δὲ ἀντὶ τοῦ αὐτίκα.

Π αρίσα καὶ ὁμοιοκατάληκτα τὸ αὐτό ἐστιν. οἷον λαθεῖς τε πόλει. ἔγραψεν ἔτυψεν.

Π άρδαλις τὸ ζῶον. ἐκφέρεται δὲ καὶ ὁ πάρδαλις. καὶ ἡ πόρδαλις. παρδαλῆ δὲ τὸ δέρμα αὐτοῦ, ὡς ἀπὸ συναιρέσεως περισπᾶται. οὕτω καὶ λεοντῆ τὸ τοῦ λέοντος καὶ κυνῆ τὸ τοῦ κυ-

νός. καὶ ἑτέρα ὅμοια.

Π αρείη κοινότερον ἥμαρ ὃ μέλλων ἔσται. ὁ παρακείμενος εἴηκα. καὶ τὸ ὑποτακτικὸν ἐὰν εἴηκω. ἐὰν εἴηκῃς. ἐὰν εἴηκῃ. καὶ παρείηκῃ. τάττεται δὲ ἀντὶ τοῦ συγχωροίη, καὶ ἐνδιδοίη. καὶ ἔστιν ὑποτακτικὸν καὶ εὐκτικόν, καὶ τὸ μὲν ὑποτακτικὸν ἄρεται. τὸ δὲ εὐκτικὸν οὕτω, παρείημι τὸ ἐνδίδωμι. ἀπὸ τούτου ἐπὶ παρακειμένου. τὸ παρεικὸς διὰ διφθόγγου. ὅθεν τό, ὅπῃ παρείκοι ἐπὶ εὐκτικοῦ.

Π αρέωσε εἰς τὸ διηγεῖσθαι. Παρέωσε ἀντὶ τοῦ ἀπατῶ. ἐπὶ δὲ τῷ φοβῷ παραγομένῳ. Παράγει μὲν ὁ παριών. Παράγεται δὲ κατὰ γραμματικοὺς λέξις ἐκ λέξεως. καὶ παράγεται τὸ ἀπατᾶται.

Λ έγεις τινὰ παραινεῖν ὅταν τὸν βουλόμενον ἀποδέχεσθαι κρατεῖς εἶναι παρὰ σαυτῷ. Παραινοῦσι δὲ ὅταν καὶ σὺ βούλει ἐνθα ἐστὶν ἐκεῖνος.

Π ατριώτης πατριώτου ἀττικόν ἐστιν. ὡς γὰρ φαμὲν πολίτην τὸν συμπολίτην καὶ ἡλικιώτην τὸν συνηλικιώτην, οὕτω καὶ πατριώτην τὸν συμπατριώτην, καὶ ἐπὶ θηλυκοῦ ἡ πατριῶτις.

Σ τολὴ ἢ κατὰ πάτρια ἔθη νενομισμένη. ἐκ τούτου γὰρ καὶ παράγεται. Πάτρια δὲ ἀπὸ τοῦ πατήρ. καὶ παράγεται ἐκ τούτου διάφορα. οἷον πάτρια ἐπὶ τῶν ἐθνῶν.

Π ατρικὸς φίλος, καὶ πατρῷος κλῆρος. καὶ πάτρως πάτρω, ποιητικῶς, ὡς μήτρως μήτρω, ὁ τοῦ πατρὸς καὶ τῆς μητρὸς ἀδελφός, καὶ πάτρων πάτρωνος παρὰ τοῖς ῥωμαϊκοῖς, ὁ πατρὸς τάξιν ἐπέχων.

Η παρὰ πρόθεσις συντάσσεται γενικῇ, καὶ δοτικῇ, καὶ αἰτιατικῇ, καὶ μετὰ γενικῆς μὲν συντασσομένη, σημαίνει τὸ λαμβάνω τι ἀπό τινος. ὡς τό, παρ' ὧν ἠξίωσεν ὃν κέκλοφεν ἵππον ἀνήσασθαι. μετὰ δὲ δοτικῆς δηλοῖ πλησιότητα. οἷον παρὰ τῷ βασιλεῖ κάθηται, καὶ ὕπαρξιν τινὸς ἔν τινι. ἔχει δὲ ἐν τῇ τοιαύτῃ σημασίᾳ τὸ ὑπαρκτικὸν ῥῆμα ἀεὶ, ἢ προσκείμενον, ἢ νοούμενον. οἷον παρὰ τῷ κυρίῳ τὸ ἔλεος, ἤγουν ἐν τῷ κυρίῳ. μετὰ δὲ αἰτιατικῆς δηλοῖ κίνησιν. οἷον παρά σε ἦλθον. καὶ αἰτίαν, οἷον, οὐ παρὰ τοῦτ' ἐγὼ κακός, ὅτι σε ἔτυψα ἀμελῆ ὄντα. ἀντὶ τοῦ, οὐ διὰ τοῦτο. καὶ τὸ ἔξω. οἷον παρὰ τὴν ἀλήθειαν λέγεις. καὶ παρὰ τὸ δίκαιον πράττεις ἀντὶ τοῦ ἔξω τῆς ἀληθείας, καὶ τοῦ δικαίου. κατὰ τοῦτο τὸ σημαινόμενον λέγεται, καὶ τὸ παρ' ὅ. οἷον σπείρει μὲν ὁ λαχανὸς κατὰ φύσιν, ἀποκυΐσκει δὲ ὁ αὐτὸς παρ' ὃ πέφυκεν. ἤγουν ἔξω οὗ πέφυκε, καὶ παρὰ τοῦ γῆν τινὸς ἀπό τινος, καὶ ὑφέλκειν. οἷον παρὰ τὸ πορίζεσθαι ὁ ἔμπορος. καὶ παρὰ τὸ δῆμος καὶ τὸ ἔθνος δημοσθένης. τοιοῦτον δὲ καὶ τὸ παρὰ τῷ φιλοστράτῳ. εἰ δὲ ἐντύχοις φυτῷ ἡμέρῳ καὶ παρὰ τὴν αὐθὴν βιώσῃ, καὶ τὰ ἑξῆς. ἤγουν ἀπὸ τῆς αἰτίας πάμπολύ τι τὴν εὐωδίαν. σημαίνει δὲ ἐν τῇ

συνθέσει

συνθέσει καὶ τὸ παραδραμεῖν τι. ἢ καταφρονήσαντα. οἷον παρῆλθόν τινα, καὶ παρεώρακα, ὃ τῶν νῦν χρῶνται. οἷον βρέχων μετά τινος παρέδραμον. καὶ διερχόμενος τόπον ἢ ἄλλο τι παρῆλθον αὐτό. καὶ τὸ παραγενέσθαι εἰς τόπον. οἷον παρῆλθον εἰς τὸν ναόν. Καὶ τὸ ἔξω. οἷον παρεκπολλύσι τὸ ναῦλον ἀντὶ τοῦ, ἔξω τοῦ πρέποντος ἀναλίσκει. καὶ πλησιότητα, ἢ τόπον, ἢ ἀξιώματος. οἷον παρεσθίει. ἤτοι πλησίον κάθηται. καὶ παραδυναστεύει ἀντὶ τοῦ συνάρχει.

Πέλανος κυρίως τὸ λεπτὸν πέμμα, ᾧ χρῶνται πρὸς τὰς θυσίας. ἔνιοι δέ φασι καὶ πᾶν τὸ ὑγρὸν πεπηγμένον, παρὰ τὸ πολῦναι ὅ ἐστι λευκαίνειν.

Πετάω πετῶ, τὸ ὑψῶ μεταβατικῶς. ὅθεν διαπέτασαι τὰς χεῖρας. καὶ ἐπετάσθη ἀντὶ πτερύγων αἰώρησι. πέταται δὲ ὅσα ἔχουσι πτερά. ὃ πτερὸν οὐκ ἔχει ἐνεργητικὸν ἐν χρήσει. πέτομαι οὖν πτήσομαι καὶ ἔπτην.

Περιβάλλω τινά, ἤγουν περιπτύσσομαι, καὶ περιπλέκομαι. Καὶ περιβάλλω τί τινι ἤγουν περιτίθημι, καὶ περιβάλλει ὁ θεὸς τὸν οὐρανὸν ἐν νεφέλαις. καὶ παρὰ φιλοστράτῳ περιβάλλων τοῖς τείχεσιν ἄνδρας ὡπλισμένους. ἀντὶ τοῦ, κύκλῳ τιθείς.

Περιωπὴ ὁ ὑψηλὸς τόπος. ἀφ' οὗ καὶ δύναταί τις τὰ κύκλῳ σκοπῆσαι.

Περαιῶ περαιώσω ἐπεραίωσα. πεπεραίωκα. περαιοῦμαι περαιώσομαι. καὶ ἐπεραιώθην ὑφ' ἑτέρου. ἰστέον δὲ ὅτι τὸ περάσαι καὶ τὸ ἰάσαι. καὶ ὅσα δευτέρας συζυγίας τῶν περισπωμένων ὄντα πρὸ τοῦ α. φωνῆεν ἢ τὸ ρ. ἔχοντα, μακρὸν ἔχουσιν αὐτὸ ἐν τῷ μέλλοντι. οἷον ἰάω ἰῶ ἰάσω. περάω περῶ περάσω. ὅσα δὲ ἕτερον σύμφωνον ἔχουσι, βραχὺ τὸ α, ἔχουσιν οἷον γελάσω.

Πείθω μεταβατικόν, πείθομαι δὲ ἐγώ. καὶ πείθομαι τοῖς σοῖς λόγοις. ὁ μέλλων πείσω. ὁ δὲ μέσος μέλλων τὸ πείσομαι, ἀντὶ τοῦ πάθω λαμβάνεται. ἔστι καὶ ἀντὶ τοῦ πεισθήσομαι. πείθω οὖν πείσω ἔπεισα καὶ πέπεικα. πείθομαι, πεισθήσομαι, ἐπείσθην, καὶ πέπεισμαι. τὸ δὲ πείσομαι. ἀντὶ τοῦ πάθω εὕρηται.

Περικλῆς περικλέους. περικλεῖ, περικλέα καὶ περίκλεις. καὶ πάντα τὰ εἰς κλῆς οὕτω κλίνονται.

Πειρῶ ἐνεργητικῶς ἀντὶ τοῦ συνουσιῶ αἰτιατικῇ. πειρᾶται δέ, ἀντὶ τοῦ ἀπόπειραν ποιεῖ, γενικῇ. πειρῶμαι σοῦ καλοῦ, ἀντὶ τοῦ διὰ πείρας σὲ καταλαμβάνω καλόν. καὶ πειρῶμαι τῆς γνώμης σου, εἰ μὴ μεταβέβληκας, ἀντὶ τοῦ θέλω διὰ πείρας καταλαβεῖν αὐτήν. Καὶ πειρῶμαι βλάπτειν σε ἀντὶ τοῦ ἐπιχειρῶ. ἀφ' ὧν πεῖρα ἣν δίδωσι τις τινί, ἢ λαμβάνει, καὶ ἡ προσβολή, καὶ ἡ ἐπιχείρησις. πειρῶμαι οὖν πειράσομαι πεπείραμαι καὶ ἐπειράθην.

Πέκειν κυρίως τὸ ξαίνειν. ὅθεν καὶ τὸ πεξάμενα χερσίν. ἐνίοτε δὲ ἀντὶ τοῦ κείρειν. ὡς τό, ἢ μὲν ὄϊς πέκειν.

Τὸ πεσεῖν ἐπὶ τῆς ἁπλῶς πτώσεως λαμβάνεται. καὶ ἀπὸ τούτου ἰδίως ἐπὶ τῶν ἐν πολέμῳ φονευομένων, καὶ παρ' Ὁμήρῳ ἐπὶ τοῦ γενέσθαι. ἀφ' οὗ λέγει διιπετεῖς ποταμούς. ἤγουν ἀπὸ τοῦ διὸς γεγενημένους. ἀφ' οὗ τὸ ἐμπεσεῖν, ἀντὶ τοῦ ἐπιθέσθαι ἐν πολέμῳ. καὶ ἀντὶ τοῦ εἴς τινος πεσεῖν. καὶ ἀπολειφθῆναι ὥσπερ ἐν ἄρκυσι. καθὸ λέγεται συμφοραῖς ἐμπεσεῖν τινά. καὶ τὸ ἐμπεσεῖν εἰς χεῖρας θεοῦ ζῶντος. Καὶ εἰσπεσεῖν, ἀντὶ τοῦ εἰσελθεῖν. ὃ λέγεται ἐπὶ οἰκίας, ἢ τοιούτου τινός. Τὸ δὲ ἐμπεσεῖν ἐπὶ πεδίου, καὶ τὸ ἐκπεσεῖν τοῦ πλούτου, ἢ τῆς πατρίδος. ἀντὶ τοῦ στερηθῆναι, καὶ ἁπλῶς τὸ ἐκφυγεῖν καὶ παρελθεῖν. ἢ ἔξω τοῦ πρέποντος πεσεῖν. Καὶ συμπεσεῖν ἀντὶ τοῦ συμβῆναι. ἢ συγκροτῆσαι μάχην. Καὶ περιπεσεῖν τὸ ἐξαίφνης ἀποκτεῖναι τινὰ μὴ εἰδότα, καὶ ἀντὶ τοῦ προσελθεῖν καὶ ἀπαντῆσαι. Καὶ προπεσεῖν τὸ ἐνώπιόν τινος πεσεῖν. οἷον προπεσοῦντα αἰθίοπες. Καὶ ἀναπεσεῖν ἀντὶ τοῦ ἀνακλιθῆναι. Καὶ καταπεσεῖν ἀντὶ τοῦ κατακλιθῆναι. Καὶ μεταπεσεῖν ἀντὶ τοῦ μετατεθῆναι. Καὶ παρεκπεσεῖν τὸ ἔξω τοῦ πρέποντος πεσεῖν. Καὶ ἀντιπεσεῖν τὸ ἐναντιωθῆναι. Καὶ ἐπιπεσεῖν τὸ ἐπιθέσθαι. Καὶ τὸ περιπεσεῖν θλίψεσιν ἢ τοιαύταις τισί. Καὶ ὑποπεσεῖν ἀντὶ τοῦ ὑποκάτω πεσεῖν τινος ἢ ὑποταγῆναι.

Περαίνειν τὸ τελειοῦν καὶ τὸ συνουσιάζειν.

Τὸ πεζεύειν ἐπὶ ξηρᾶς λέγεται. καὶ ἐπὶ θαλάττης ὅταν ἐπάνω τῶν κυμάτων περιπατῇ τις. οἰκείως ἔχουσιν οἱ παρακείμενοι ἀντὶ ἐνεστῶτος λαμβάνεσθαι. οὐ μὴν πάντες οἱ παρακείμενοι οὕτω λαμβάνονται. ἀλλ' εἰσὶ μέν, οἳ ἐπὶ συνηθείας ἐνεστῶτος λαμβάνονται ἀεί, ὡς δέδορκα. δέδοικα. πέφρικα. καὶ ἕτεροι. Εἰσὶ δέ, οἳ οὐδέποτε ἐπὶ ἐνεστῶτος λαμβάνονται, ἀλλ' ἀεὶ ἐπὶ παρεληλυθότος. ὡς πέπονθα. καὶ πεποίηκα. καὶ ἕτεροι. εἰσὶ δὲ οἳ ἐνίοτε μὲν ἐπὶ ἐνεστῶτος. ἐνίοτε δὲ ἐπὶ παρεληλυθότος λαμβάνονται. ὡς τὸ πεποίημαι. ὅθεν πεποίημαι τινὰ φίλον, ἀντὶ τοῦ ποιοῦμαι, ἢ ἀντὶ τοῦ ἐποιησάμην.

Περὶ παντὸς ποιοῦμαι τὰ σά. ἀντὶ τοῦ κρείττονα ἐκ πάντων ἔχω. ἡ γὰρ περὶ δηλοῖ τὸ πλέον. καὶ τὸ περιεγένετο δὲ τοιοῦτόν ἐστιν, ἀντὶ τοῦ κρείττων ἐγένετο.

Καὶ ἐκπετάσασα καὶ ἐκπετανῦσα γράφεται. κρεῖττον δέ ἐστι τὸ δεύτερον.

Ἐκπεπετασμένα τὰ ἡπλωμένα. ἀπὸ τοῦ ἐκπετάζω ἀχρήστου.

Πένθος. τὸ μελανειμονεῖν. θρῆνος τὸ κλαίειν:

Περὶ πολλοῦ ποιοῦμαι τόδε, περὶ πλείστου τόδε τόδε. καὶ περὶ πλείστου ποιοῦμαι ἀντὶ τοῦ πολλὴν φροντίδα ἔχω. οἷον περὶ πλείστου ποιοῦμαι τὸ μανθάνειν γράμματα. ὧν τὸ ἐναντίον

πολὺ ἐλάττονος ποιοῦμαι τόδε τοῦδε. ἀντὶ τοῦ ἐλάττονα φροντίδα ἔχω.

Π ριουσία περίλυποι καὶ περιπαθεῖς τὸ πικρῶς· ἀπὸ τῆς περὶ προθέσεως τῆς δηλούσης τὸ ἐκ περιττοῦ.

Π εριεστῶ τὸ πολλάκις περὶ τὸν αὐτὸν τόπον ἐπαναστρέφω. ἀριστοφάνης, ὅστις σε προσπταίοντα περινοστεῖν ἐᾷ. Παλινοστῶ δὲ, καὶ νοστῶ, ποιητικά.

Ε ἰώθασιν οἱ ποιηταὶ μετὰ τὰ ὀνόματα τιθέναι πάσας τὰς προθέσεις· πλὴν τῆς διά. λογοποιοὶ δὲ μόνην τὴν περί. διὸ οὐ ναῦ ἔστι λέγειν ἀπό. τῆς δὲ σῆς ψυχῆς πέρι καὶ τὴν πρὸς ὁμοίως καὶ μικρόν τι πρός.

Ε κπέμπειν τὸ ἀποστέλλειν τινὰ πρός τινα· καὶ τὸ ἐκβάλλειν. Προπέμπειν τὸ συνακολουθῆσαι τινὶ ἐξιόντι ἀντὶ τοῦ συντάξασθαι. Καὶ προπέμπουσιν οἱ ἔμπροσθεν ἐρχόμενοι ἐπί τινι τὴν ὄπισθεν· καὶ οἷον δορυφορεῖα. Παραπέμπει δὲ τὸ παρακολουθεῖν διόλου τινὶ καὶ δορυφορεῖν. διὸ παραπέμπει τις τινὰ, ὅταν μεθ' ἑαυτοῦ ἔρχηται. θεραπεύων, καὶ οἷον δορυφορῶν. Καὶ παραπέμπει ὁ ἥλιος τὴν ἀκτῖνα, ἤγουν παραχωρεῖ καὶ δίδωσιν ἵνα δι' ἑαυτῆς ἔλθῃ.

Π ηνίκα καὶ ὁπηνίκα ὥρας δηλωτικά· ὡσαύτως καὶ τηνικάδε. ὡς τό, τί τηνικάδε ἀφῖξαι ὦ κρίτων, ἢ οὐ πρῲ ἔτι.

Π ένταθλον λέγεται ὁ ἀγὼν ἐν δρόμῳ τὰ πέντε ἆθλα ταῦτα· πυγμή. πάλη. ἅλμα. δίσκος. καὶ δρόμος.

Π ηγαὶ λέγονται πληθυντικῶς ἀντὶ τῆς ἀρχῆς τῶν ποταμῶν· οἷον αἱ πηγαὶ τοῦ ἀχελῴου. αἱ πηγαὶ τοῦ νείλου. Καὶ ἐκβολαὶ αἱ ἀπολύσεις αὐτῶν εἰς τὴν θάλασσαν.

Π ηδάλιον τὸ τῆς μεγάλης νεώς. πλαθεῖον δὲ τὸ τῆς ἁλιάδος.

Π ίνακες τὰ ἀγγεῖα ἐν οἷς ἐσθίομεν· καὶ αἱ διὰ σανίδων εἰκόνες. πινάκια καὶ οἷς ἐνεγράφετο τὰ κατὰ τῶν ἀπαγγελλομένων ἐγκλήματα. καὶ ἐν οἷς τὰ δικαστήρια ἐγράφοντο. καὶ αἱ ἀρχαί, ἃς καὶ ἐλάμβανον οἱ λαχόντες δικάζειν, ἤγουν ἀρχεῖν.

Π ίπτω πισσοῦμαι, ἔπισσον, καὶ πέπισσα.

Π ίνει τις ὅταν ἔτι πίνῃ. Ἐκπίνει δὲ ὅταν ἐκπληροῖ τὸ ἔκπωμα· ὡς τό, ἐξέπιε τὴν κύλικα. πίνω, πίομαι, καὶ ἔπιον.

Π ιστεύω τῷδε, καὶ ἀπιστῶ ὁμοίως τῷδε, πρὸς δοτικὴν ἀμφότερα. πιστεύω τῷ θεῷ, καὶ εἰς τὸν θεὸν, καὶ πιστεύω τινὶ ὅταν ὡς ἀληθῆ λέγοντα αὐτὸν δέχωμαι. καὶ πιστεύω σοι τόδε, ἀντὶ τοῦ θαρρῶ σοι. ἀφ' ὧν πίστις ἡ πρὸς θεόν. καὶ πίστις λόγων. καὶ πίστις τὸ θάρρος· ὡς παρὰ σοφοκλεῖ. ἔλαυνε δ' ἐξ ἄστεος ὀρέστης· τῷ τέλει πίστιν ἔχων ἤγουν θάρρος.

Π ιπράσκω ἀττικῶς, ἐπίπρασκον παρατατικὸς, πεπράσω μέλλων, πέπρακα παρακείμενος, πιπράσκομαι ἀττικῶς, ἐπιπρασκόμην παρατατικὸς, πεπράσομαι μέλλων καὶ πραθήσομαι, ἐπράθην ἀόριστος. πέπραμαι παρακείμενος, πέπρασαι. πέπραται. πεπρᾶσθαι.

Π ιαρχία τὸ πῖ. ἰ. ὡς ἵκελον μὲν ἀπὸ τοῦ εἴκω. ἰκέλη δὲ χρυσῇ ἀφροδίτῃ. ὅτι τὰ ὀνόματα τῶν ῥημάτων βραχύτονα.

Π λεῖν τὸ μετὰ νεὼς πλεῖν. καὶ ἐπιπλεῖν τὰ περὶ τῷ ὕδατι, καὶ ὅσα κοῦφα, καὶ φύσιν ἔχοντα μὴ καταδύεσθαι ἐν τῷ ὕδατι, πλεῖν λέγεται. ὅθεν καὶ τὸ ἐπιπολάζειν. Νεῖν δὲ τὸ κολυμβᾶν μετὰ τέχνης· ὥστε τὸ πλεῖν ἐστι φύσει· τὸ δὲ νεῖν τέχνῃ. Ἀπὸ τοῦ κολυμβᾶν δὲ γίνεται ὄνομα, ὁ κολυμβητής. Καὶ τὸ στέλλεσθαι ἀντὶ θαλάττης λέγεται. οἷον ἐστείλατό τις τήνδε τὸν πλοῦν. Τὸ δὲ ὁδεύειν ἀντὶ ξηρᾶς. ἀφ' ὧν ὀνόματα, ὁδὸς ἀντὶ ξηρᾶς, πλοῦς καὶ στόλος ἀντὶ θαλάττης. τὸ μὲν πλοῦς. κοινὸν τὸ δὲ στόλος ποιητικόν. πορεία δὲ ἐπ' ἀμφοτέρων.

Τ ὸ πλημμυρεῖν, ὃ καὶ βαρυτόνως λέγεται πλημμύρειν· ἀφ' οὗ τὸ ἐπλημμύρει ἀντὶ ὕδατος, λέγεται καὶ ἀντὶ τῶν καθ' ὕδωρ χεομένων. ἀπὸ τούτου πλημμυρὶς καὶ πλημμυρία, ἡ ἀνάχυσις τοῦ ὕδατος ἐν τῇ γῇ. ἃ πάντα καὶ μακρὸν ἔχουσι τὸ ῡ. Ἄμπωτις δὲ τὸ ἐναντίον τῇ πλημμύρᾳ. ἤγουν ἡ συστολὴ καὶ ἡ ἀνάπωσις.

Π λῦμαι αἱ πλημμυρίδες τῶν ποταμῶν. Πλῦμαι δὲ αἱ τῶν ῥοχθῶν σύρσεις.

Τ ὰ ἀπὸ τοῦ πλήττω εἰ μὲν εἰς ος λήγει, παθητικά εἰσιν ἀεί. οἷον ἔμπληκτος ἀπόπληκτος. ἃ λέγεται ἀντὶ τῶν πληγέντων τῇ γνώμῃ, καὶ ἐκβεβλημένων. εἰ δὲ εἰς ηξ, ἐνίοτε μὲν ἐνεργητικά. οἷον βουπλὴξ τὸ κέντρον τὸ τὸν βοῦν πλῆττον. ἐνίοτε δὲ παθητικά, οἷον παραπλὴξ ὁ φθαρεὶς τὰς φρένας, καὶ τὸ πλῆγμα παραπληξία. Καταπλὴξ ὁ συνεχῶς τι πληγμονέος καὶ τῷ φόβῳ συνεχόμενος, τουτέστιν ὁ ψοφοδεής. καὶ καταπλὴξ εἰλείθυια ἡ πληγὰς συνεχεῖς ἔχουσα. Καὶ οἰστροπλὴξ ὁ οἴστρῳ καὶ μανίᾳ πληγείς. Ἰστέον δὲ ὅτι, καταπλὴξ μὲν καὶ παραπλὴξ γράφεται. καὶ παραπληξία. ποιητικῶς δὲ καὶ παράπληκτος· ὡς παρὰ σοφοκλεῖ. παραπλήκτῳ χερί. Ἔμπληκτος δὲ καὶ ἀπόπληκτος ὁ ἐμβρόντητος, καὶ οὐκ ἔμπληξ. καὶ ἀπόπληξ. ἄχρηστα γὰρ ταῦτα. τὸ δ' ὄνομα ἐμπληξία.

Τ ὸ πλὴν τρία σημαίνει. πλὴν ἀντὶ τοῦ χωρὶς γενικῇ. πλὴν ἀντὶ τοῦ εἰ μὴ, εὐθείᾳ καὶ αἰτιατικῇ. πλὴν ἀντὶ τοῦ ὅμως, ἀσύντακτον.

Π νεῖ δίχα κοινὸν, πνεῖ δὲ δίχας ἀττικόν. ἀναπνεῖ δέ τις ἀθρόα. οὐχὶ πνεῖ. ἔξωθεν γὰρ ἀντιλαμβανόμεθα τοῦ ἀέρος. Ἴσθι δὲ ὅτι τὸ πνεῖ, καὶ ῥεῖ, καὶ ζεῖ, καὶ ὅσα τοιαῦτα ἀττικῶς μὲν, γράφεται, συνῃρημένως, ποιητικῶς δὲ, διαλελυμένως· οἷον πνέει καὶ ῥέει.

Π ολιορκεῖν τὸ περικυκλοῦν πόλιν μετὰ στρατεύματος. Ἐκπολιορκεῖν δὲ τὸ ἐκπορθεῖν. ὥσπερ καὶ πίνειν ὅταν ἔτι πίνῃ. Ἐκπίνειν δὲ τὸ ἐκπληροῦν τὸ πινόμενον. ὡς τό, ἐξέπιε τὴν κύλικα.

Γ όλεμος ἡ μάχη ἀφ' οὗ πολεμίζω πολεμῶ, τὸ μάχομαι. ὃ ποιητικὰ πολεμίζω λέγουσιν. ἀφ' οὗ πολεμιστὴς, καὶ πολεμιστήριος ἵππος παρὰ τοῖς κοινοῖς. πολεμόω δὲ πολεμῶ ὅπερ μετὰ τῆς ἐξ προθέσεως εὕρηται, κυρίως τὸ εἰς πόλεμον τινὰ παρορμῶ.

Γ ολέμιος ὁ ἀπὸ ἀλλοτρίας χώρας ἐχθρὸς. ἐχθρὸς δὲ ὁ ἀπὸ τῆς αὐτῆς, πᾶς οὖν πολέμιος καὶ ἐχθρός. οὐ μὴν πᾶς ἐχθρὸς πολέμιος.

Γ όθος. ἐστὶν ἐπιθυμία πραγμάτων ἀπόντων. ἐπιθυμία δὲ καὶ ἵμερος τὸ αὐτό. καὶ λέγεται ἐπὶ τῶν παρόντων.

Γ οτὸν οὐδετέρως τὸ ἁπλῶς πινόμενον. πότος δὲ ἀρσενικῶς ἡ τῶν πολλῶν ἐν συνεδρίᾳ ἣν ἔφιδι πόσις, ὅθεν καὶ συμπόσιον, καὶ συμπότης.

Γ ολίτης ἐμὸς ἐστὶν ὁ δεῖνα, οὐδέποτε δὲ μετὰ τῆς συν. ἤγουν ἀπὸ τῆς αὐτῆς. ἐστὶν ἐμοὶ πόλεως συμπολιτεύεται δέ μοι τις μετὰ τῆς συν ἤγουν τὴν αὐτὴν ἐμοὶ πόλιν οἰκεῖ.

Σ όθεν ἐνίοτε μὲν ἐστὶν ἐρωτηματικὸν, καὶ λαμβάνεται ἀντὶ τοῦ ἀπὸ ποίου τόπου, ἤγουν ἀπὸ ποίας αἰτίας. ἐνίοτε δὲ καὶ ἀπορηματικόν. ὅτε καὶ ἀντὶ τοῦ οὐδαμῶς λαμβάνεται, ὡς παρ' εὐριπίδῃ. ὡς μὲν ἀξίαν πόθεν, ἀντὶ τοῦ, οὐδαμῶς.

Γ ορεύομαι ἐγὼ, καὶ πορεύω ἕτερον ἀντὶ τοῦ ἄγω. ὡς παρὰ πλάτωνι. ᾧ δὴ προστέτακται τοὺς ἐκεῖσε, ἐκεῖσε πορεῦσαι ἀντὶ τοῦ ἀπαγαγεῖν.

Γ ολεμῶ τῷ δεῖνι. καταπολεμῶ τὸν δεῖνα. ἐκπολεμῶ δὲ ἕτερον ἑτέρῳ ἤγουν ἐχθρὸν ποιῶ.

Σ ὁ πολλάκις οὐδέποτε ἀντὶ τοῦ σπανίως λαμβάνεται. εἰμὶ παρὰ τοῖς κοινοῖς.

Γ ολύτιμος ὁ πολλῆς τιμῆς ἠξιωμένος. πολυτίμητος δὲ ὁ πολλῆς τιμῆς ἄξιος.

Γ ονηρὸς ὀξυτόνως λέγεται ὁ κακότροπος. ἀπὸ τοῦ πόνους εὑρεῖν καὶ πλέκειν.

Γ όνηρος δὲ προπαροξυτόνως ὁ γεωργός. ἀπὸ τοῦ ποιεῖν περὶ τὴν ἄρουραν.

Γ ονήρως δὲ ἐπίρρημα σημαίνει τὸ κακηρῶς, ὡς ἔχει καὶ τὸ πονήρως ἔχω τοῦ σώματος.

Γ ομπὴ καὶ προπομπὴ ἐπὶ τιμῆς. καὶ πομπεύω ἐστὶν ἀμετάβατον καὶ πομπεύω ἕτερον.

Γ όῤῥω ἀντὶ τοῦ μακρὰν καὶ ἀντὶ τοῦ εἰς βάθος. οἷ πόῤῥω σοφίας ἐχώρει τό.

Γ ομπὴ ἡ συνάθροισις τοῦ λαοῦ ἐπί τινι. καὶ πομπεῖα πληθυντικῶς τὰ ἱερὰ σκεύη τὰ προπεμπόμενα τῆς πομπῆς. ὡς ὁ δημοσθένης. ἀλλ' ἀφροδισίων πομπεῖα ἐπισκευαστής. καὶ πομπεύω τὸ πομπὴν ποιῶ.

Γ ορεύομαι ἐπὶ τὴν θάλασσαν. καὶ πορεύομαι ἐπὶ τῆς θαλάσσης.

Σ ὁ πόσος. ἔχει τὴν ἐρώτησιν ἐπὶ πλήθους, εἰ πολύ ἐστιν ἢ ὀλίγον. ὁ δὲ ποστὸς ἐπὶ ἀριθμοῦ, τεταγμένου ὀκτὼ ἢ δέκα.

Γ ολυνίκης. μὴ πολυνείκους. ἀπὸ γὰρ τοῦ νεῖκος ὅσοι γὰρ παράγονται οὐδετέρῳ ὀνόματι, τὴν αὐτὴν ἔχει κλίσιν τῷ οὐδετέρῳ. ὁμοίως καὶ τὰ ῥήματι συγκείμενα, οἷ ἀριστοφάνης ἀριστοφάνους. ὀλυμπιονίκης δὲ ὀλυμπιονίκου ὅτι ἀπὸ τοῦ νίκη.

Γ ροβέβληταί τις ἤγουν πρόβολος ἵσταται. καὶ προβέβληταί τις, ἤγουν ἔμπροσθεν τίθεται.

Γ ροΐσταταί τις ἤγουν ἔμπροσθεν ἵσταται. καὶ βοηθεῖ τοῖς ὄπισθεν, ἀφ' οὗ καὶ προστάτης.

Γ ροσέσχεν ἡ ναῦς τῷ λιμένι, ἀντὶ τοῦ προσωρμίσθη. οἷον προσχὼν ἀπέβη τῆς νηός.

Δ ιαπρέπει, ἀντὶ τοῦ, διαλάμπει. ἐμπρέπει δέ τις τινι ἀντὶ τοῦ περιφανὴς ἐστὶν ἐκείνῳ.

Γ ροκαλοῦμαι τινὰ εἰς πόλεμον. καὶ πρόκλησις ἐπὶ πολέμου. ἐγκαλοῦμαι δὲ τὸ διά τινος καλῶ τινὰ ἀπὸ τῆς οἰκίας.

Γ ροάστεια τὰ πρὸ τῶν τειχῶν τοῦ ἄστεος. ἃ καὶ προπόλεια λέγονται. καὶ προπόλειος κόσμος. ὁ πρὸ τοῦ τείχους τῆς πόλεως.

Γ ράττω τὸ ἐνεργῶ, ἀφ' οὗ ἄπρακτος, ὁ ἀνενέργητος. πράττω δὲ τὸ διάκειμαι. οἷον εὖ πράττω. ἀντὶ τοῦ καλῶς διάκειμαι. καὶ κακῶς πράττω ἤγουν κακῶς διάκειμαι. ἀφ' οὗ εὐπραγία καὶ δυσπραγία.

Β ιαπράττομαι τὸ ἀπαιτῶ, διαπράττομαι τὸ ἀπαιτοῦμαι.

Γ ράσσω ὁ παρ' ἴωσι, πρήσσω γράφεται, καὶ τροπῇ ἀττικῇ τοῦ ᾱ μακροῦ γέγονε πράσσω. ὡς περ καὶ θώρηξ θώραξ. καὶ πρῆσις πρᾶσις. καὶ θρῆξ θρᾷξ. ὁ μέλλων πράξω ἀττικῶς, πρήξω ἰωνικῶς. ὁ παρακείμενος. πέπραχα. ἄχρηστος, ὁ ποιητικός. ὁ μέσος πέπραγα. ὃς ἀντὶ τοῦ ἔπαθον λαμβάνεται. καὶ οὐχὶ ἀντὶ τοῦ ἐποίησα. ὁ παθητικὸς πέπραγμαι πέπραξαι πέπρακται. καὶ ἔστι τό. πρᾱ. φύσει μακρόν. καὶ δῆλον ἐκ τοῦ καὶ πρᾶγμα προπερισπᾶσθαι, καὶ πρᾶξις, καὶ πρᾶσσε προστακτικόν. ἐπειδὴ πρῆγμα καὶ πρῆξις καὶ πρῆσσε τὰ ἰωνικά, καὶ οὐ δῆλον τὸ θέσει μακρὰ εἶναι. ἦ γὰρ ἂν καὶ τὸ τάγμα, καὶ τὸ γράμμα καὶ ἄλλα. ἀλλ' οὐκ ἔστιν, ἐπεὶ τὰ γὰρ θέσει μακρὰς περισπώμενον οὐ τίθεται. πράττω οὖν πράξω, πέπραχα. ἐνεργητικόν. πέπραγα δὲ παθητικόν.

Γ ρόγονοι πατὴρ, πάππος. πρόπαππος. καὶ οἱ ἀνωτέρω. ἀπόγονοι δὲ υἱὸς, ἔγγονος, καὶ οἱ κατωτέρω. πρόγονοι καὶ οἱ ἀπὸ προτέρου γάμου γεγεννημένοι. ὧν ὁ πατὴρ ἢ μήτηρ, εἰς δεύτερον ἦλθε γάμον. λέγονται δὲ πρόγονοι πρὸς τοὺς ἀπὸ τοῦ δευτέρου γάμου γεγεννημένους. ἐπίγονοι δὲ λέγονται οἱ ἀπὸ τοῦ δευτέρου γάμου.

Σ ὁ πρότερον λέγεται ἐπὶ δυοῖν. τὸ δὲ πρῶτον ἐπὶ πολλῶν. καὶ τὸ μὲν πρῶτον λαμβάνεται ἐνίοτε μὲν ἐπὶ τάξεως. ἐνίοτε δὲ ἐπὶ ἀριθμοῦ ὡς. τὸ δὲ πρότερον ἀεὶ ἐπὶ τάξεως.

Γ ροσίεμαι ὁ μέλλων προσήσομαι. ὁ ἀόριστος προσηκάμην. ὁ δεύτερος ἄχρηστος. τὸ προστακτικὸν

γεται. ἢ πολλὰ ἐν μιᾷ τάξει, ἢ ἐν ἑνὶ χρόνῳ, οἷον πρότερος ὅδε τοῦδε. καὶ πρότερος ὁ δεῖνα ἡμῶν. ἢ τῷ χρόνῳ ἢ τῇ τάξει, ἡμῶν δηλονότι ἐν μιᾷ τάξει ἢ ἐν ἑνὶ χρόνῳ ὄντων. τὸ δὲ πρῶτον, ὅταν πολλὰ ᾖ ἐπαγόμενα, ἄλλο ἄλλου πρότερον ἐφεξῆς ἢ κρεῖττον. ἀκολουθεῖ δὴ πρὸς μὲν τὸ πρότερον τὸ δεύτερον μόνον. ἢ πληθυντικῶς τὰ δεύτερα, κατὰ τὸν εἰρημένον λόγον, πρὸς δὲ τὸ πρῶτον, δεύτερον, τρίτον καὶ ἑξῆς.

Ἀπὸ δὲ τῆς ὑπὸ προθέσεως γίνεται συγκριτικὸν μὲν ὕστερον. ὑπερθετικὸν δὲ ὕστατον. ὧν τὸ μὲν ἀπαντᾷ πρὸς τὸ πρότερον. τὸ δὲ ὕστατον, πρὸς τὸ πρῶτον ὅταν ἐπὶ χρόνου ταῦτα λαμβάνηται. ἐπὶ γὰρ τάξεως, τὸ ἔσχατον ἀπαντᾷ, καὶ τὸ δεύτερον. ὃ καὶ ἐπὶ χρόνου λαμβάνεται, καὶ ἐπὶ τάξεως. ἔστι δὲ δύο ἐξ ἀνάγκης ὑπερθετικὰ χρονικά, τὸ πρῶτον, καὶ ὕστατον. τὸ μέν, ἐπὶ τῆς ἀρχῆς. τὸ δέ, ἐπὶ τοῦ τέλους. καὶ δύο ὁμοίως τάξεως τὸ πρῶτον, καὶ τὸ ἔσχατον. τῶν δὲ μέσων τούτων, μόνον τὸ δεύτερον συγκριτικῶς ἐξ ἀνάγκης προφέρεται. ἐπὶ δὲ τῶν ἄλλων ἁπάντων οὐδεμίαν ἔχει χώραν, οὔτε τὸ συγκριτικόν, οὔτε τὸ ὑπερθετικόν. ὁ δὲ τρίτερος καὶ ὑπερθετικὸν ἀπὸ τοῦ δευτέρου σχηματίζει, τὸ δεύτατον. θέλει δὴ τοῦτο σημαίνειν ταυτὸν τὸ ὕστατον. τὸ δὲ τρίτατος παρὰ ποιηταῖς, οὐχ ὑπερθετικῶς οὕτω σχηματίζεται. ἀλλ' ὡς τὸ ὀγδόατος παρ' αὐτοῖς καὶ ἑβδόματος. ἃ κατὰ ἀκολουθίαν λέγεται, τοῦ τέταρτος, καὶ δέκατος, καὶ πεντεκαιδέκατος, καὶ τῶν ὁμοίων.

Πρὸς πρόθεσις δηλοῖ κίνησιν πρὸς ἔμψυχον κυρίως. ὅτε δὴ καὶ συντάσσεται αἰτιατικῇ· οἷον πρὸς τὸν δεῖνα ἀπέρχομαι. δηλοῖ δὲ καὶ ὕπαρξίν τινος, ἢ ἐνέργειαν. προσετίθετο δὲ τούτῳ καὶ ἄλλο, καὶ συντάσσεται δοτικῇ. ὡς τὸ πρὸς τῷ ποιῆσαι τόδε ἐποίησας τόδε. τοῦτο δὲ καὶ ἐν τῇ συνθέσει ἔχει. οἷον πρόσεστί μοι τόδε. ἐμφαίνει δὲ καὶ ἄλλο, ὅπερ ἔχω καὶ πρὸς ἐκείνῳ καὶ τοῦτο. λαμβάνεται δὲ καὶ ἐπὶ ὅρκου. καὶ ἀντὶ τοῦ ἐνώπιον. καὶ ἀντὶ τῆς παρὰ προθέσεως καὶ συντάσσεται γενικῇ. σημαίνει δὲ ἐν ταῖς συνθέσεσι, καὶ τὸ ἔρχομαι πρός τι, μετὰ σχέσεως δουλικῶς. οἷον προσῆλθόν σοι. προσίσταμαι τῇ ἐκκλησίᾳ.

Πρὸ πρόθεσις ἀεὶ μετὰ γενικῆς συντάσσεται. δηλοῖ δὲ καὶ ἐν τῇ συνθέσει τὸ ἔμπροσθεν. οἷον προπεσοῦνται αἰθίοπες. ἀντὶ τοῦ ἔμπροσθεν πεσοῦνται. Καὶ τὴν πρότερον τινὸς ὕπαρξιν οἷον προγενέστερος ὁ δεῖνα τοῦ δεῖνος. Καὶ τὸ ὑπέρ τινος ἵστασθαι οἷον, προΐσταμαί σου, καὶ προασπίζω σου.

Πυρρὸς ὁ πυρώδεις ἔχων τὰς θρίχας καὶ τὴν πρόσοψιν. Πυρὸς δὲ ἡ εἰς ὕψος αἰρομένη φλόξ. ἐπὶ δὲ τοῦ θηλυκοῦ καὶ τοῦ οὐδετέρου, οὐδὲν παραλλάττεται.

Τὸ πυνθάνομαι, ὁ παρὰ ποιηταῖς πεύθομαι λέγεται, εἰ μὲν τὸ μανθάνω, καὶ τὸ ἀκούω δηλοῖ, αἰτιατικῇ συντάσσεται. εἰ δὲ τὸ ἐρωτῶ, γενικῇ.

Πυνθάνομαι ἐνεστώς. ἐπυνθανόμην παρατατικός, πεύσομαι μέλλων. ἐπυθόμην δεύτερος ἀόριστος. πέπυσμαι παρακείμενος.

Πύλη λέγεται ἡ ἐν διεξόδῳ πόλεως οὖσα καὶ ναῶν. καὶ μεγαλοπρεπῶν οἴκων ὑπάνοιξις. Θύρα δὲ ἐπὶ τῶν τυχόντων οἰκημάτων. θύριον δὲ καὶ θυρὶς θυρίδος, τὸ ἰδιωτικῶς λεγόμενον παραθύριον.

Πυρὰ θηλυκῶς τὸ πῦρ τὸ ἐπὶ νεκρῷ ἁπτόμενον. Καὶ ὁ τόπος ἐφ' οὗ τὸ πῦρ ἅπτεται.

Τὸ πωλοδαμνεῖν ἐπὶ ἀλόγων λέγεται κυρίως. ἐπὶ δὲ ἀνθρώπων τὸ παιδαγωγεῖν. καὶ παιδοτριβεῖν. ἀφ' ὧν παιδαγωγὸς καὶ παιδοτρίβης ὁ λεγόμενος βαίουλος.

ΑΡΧΗ ΤΟΥ Ρ.

Ρᾴδιον τὸ εὔκολον. ῥᾷον τὸ εὐκολώτερον. ῥᾷστον τὸ εὐκολώτατον. καὶ τὸ μετὰ ἀνέσεως γινόμενον. ἐκ τούτου καὶ ῥᾳστώνη, ἡ ἄνεσις. ἔχει δὲ καὶ τὸ ι. προσγεγραμμένον. καὶ δῆλον ἐκεῖθεν, οὕτω ῥᾷστα ὁ παρ' ἡμῖν διῆγε κύκλωψ, ἐνίοτε δὲ τὸ ῥᾷστα μετὰ ἀπαρεμφάτου συντακτέον. οἷον ῥᾷστον ὑπερβῆναι. ῥᾷστον αὐξῆσαι.

Ρᾳστώνη ἡ εὐκολία, καὶ ἡ ἀμέλεια.

Ρᾳδιουργία κυρίως ἐπὶ τῶν ῥᾳδίως πάντα ἐργαζομένων. κατεχρήσαντο δὲ τῇ λέξει ἐπὶ τῆς πονηρίας. ταυτὸν ἐγένετο καὶ ἐπὶ τῆς πανουργίας, καὶ τοῦ πανούργου. ἔστι γὰρ πανοῦργος κυρίως μὲν ὁ πᾶσιν ἔργοις ἐπιβάλλων, ἤγουν ὁ δραστήριος καὶ ἐνεργής, κατεχρήσαντο τῇ λέξει οἱ παλαιοὶ ἐπὶ τοῦ ἐν κακοῖς τετριμμένου καὶ ἐπιβόλου.

Τὸ ῥαγδαῖον. ἐπὶ ὑετοῦ λέγεται, ὅταν σφοδρῶς κατέρχηται καὶ μετ' ἤχου.

Ραφανὸν μὲν οἱ ἀττικοὶ λέγουσι τὴν παρ' ἡμῶν κράμβην. ῥαφανίδα δὲ τὴν παρ' ἡμῖν ῥέπανον.

Πάντα τὰ εἰς ρα θηλυκὰ ἐν φωνήεντι παραληγόμενα μακρά εἰσιν. οἷον ἡμέρα. ἐλευθέρα. χώρα. πήρα. τὰ δὲ διφθόγγῳ παραληγόμενα οὐδέποτε. οἷον μοῖρα. πεῖρα. σεσημείωται δὲ φαίδρα κύριον λαύρα. σαύρα. καὶ αὖρα.

Ρὶς ἐπὶ ἀνθρώπων. ῥύγχος ἐπὶ κυνῶν. ῥάμφος ἐπὶ ὀρνέων. ἐν συνθέσει δὲ μόνον κυνῶν. καὶ ῥινηλατεῖν ἐπὶ τῆς ἰχνεύσεως τῶν κυνῶν.

Ρίπτω τὸ ἁπλῶς ῥίπτω. ῥιπτῶ δὲ τὸ μετὰ σφοδρότητος.

Ριγῶ ῥιγῶ ἐπὶ κρύους. ῥιγέω δὲ ῥιγῶ τὸ φοβοῦμαι. ἔστι δὲ τὸ ρι ἐν ἀμφοτέροις μακρόν, ἀφ' οὗ καὶ ῥῖγος. ῥοιὰ μὲν σὺν τῷ ι. τὰ δένδρα, ῥοιὰ δὲ ὁ καρπός.

Ρ ὅδον τὸ ἄνθος. ῥοδὼν ὁ τόπος. ῥοδῆ δὲ τὸ φυτόν. ἀρχίλοχος. ἔχουσα θαλλὸν μυρσίνης ἐτέρπετο ῥοδῆς τε καλὸν ἄνθος.

Ρ ὁ διπλοῦν ρρ πολλαχῶς εὑρίσκεται, διπλασιαζόμενον φυσικῶς. οἷον θάρρος. πυρρός. ἀπὸ αὐξήσεως χρόνου. οἷον ἔρριψα, καὶ ἀπὸ συνθέσεως. οἷον ἐπίρρημα πλὴν οὐ διὰ παντὸς ἐν ταῖς συνθήκαις εὑρίσκεται διπλοῦν. εὔρεω γὰρ εὔροια. εὐρωστία. ὅτι εἰς σύμφωνον δοκεῖ λήγειν τὸ δεύτερον. τὰ γὰρ εἰς σύμφωνον λήγοντα, ἔστι μετὰ τῶν ἀπὸ τοῦ ρ. ἀρχομένων συντιθέμενα. οὐ διπλασιάζονται. οἷον εὔρους. διπλασιάζεται δὲ τὸ ρ, ἐφ᾽ ὧν μόνον, λήγει μὲν εἰς φωνῆεν ἡ λέξις, συντίθεται δὲ μετὰ τῆς ἀπὸ τοῦ ρ ἀρχομένης ῥοῦς κατάρρους ῥῆμα ἐπίρρημα. αἴτιον δέ, ὅτι τὸ μὲν ρ ἡμίφωνόν ἐστι, τὰ δὲ φωνήεντα χασμωδίαν ποιοῦσι. τὸ δὲ τῆς χασμωδίας ἡ φύσις ἐκφεύγουσα, διπλασιάζει τὸ ρ. Γράφημα δέ, καὶ ἔκρους, καὶ μυρία ὅσα οὐ διπλασιάζονται. χασμωδίαν γὰρ οὐδεμίαν ἔχει.

Ρ υσαὶ αἱ μὴ λεῖον ἔχουσαι τὸ δέρμα, καὶ ἀφραφές. καὶ διὰ τοῦτο τεταννυσμέναι ἀλλὰ ἀπολελυμέναι, ὡς συνιζάνειν κοιλότητας ἐμποιεῖν.

Ρ υπῶ ῥυπῶ, τὸ ῥύπου πληροῦμαι. καὶ ῥυπῶν ἱμάτιον, τὸ ῥύπου μετέχον. Ῥυπόω δὲ ῥυπῶ μεταβατικὸν καὶ ῥυπαίνω, τὸ μολύνω.

Ρ ὁ ῥύομαι παθητικὸν ὂν τῇ προφορᾷ ἐνεργητικὴν ἔχει τὴν σημασίαν. ῥύομαί σε γάρ φαμέν, καὶ οὐχὶ ῥύομαι ὑπὸ σοῦ.

Ρ ώννυμαι ῥώσομαι ἐρρώσθην. καὶ τοῦ ὑπερσυντελίκου τὸ δεύτερον ἔρρωσο. τὸ τρίτον ἔρρωτο. ἀχρήστου ὄντος τοῦ πρώτου καὶ τῶν λοιπῶν. ἔρρωται δέ.

ΑΡΧΗ ΤΟΥ Σ.

αλεύειν. κυρίως ἐπὶ νεὼς λέγεται. ὅταν ἐπ᾽ ἀγκύρας κινῆται, καὶ ἀστατῇ, ὑπὸ τῶν κυμάτων ταραττομένη. σάλος γὰρ ἡ ταραχὴ τῆς θαλάττης.

Σ αυτὸν ἀντωνυμία σύνθετος δευτέρου προσώπου. καὶ ἐμαυτὸν ἀντωνυμία σύνθετος πρώτου προσώπου, καὶ ἑαυτὸν ἀντωνυμία, σύνθετος τρίτου προσώπου. εἰσὶ δὲ καὶ τριγενεῖς· καὶ εὐθεῖαν οὐκ ἔχουσι, καὶ τίθενται ὅταν αὐτοπάθεια γίνηται. οἷον ἐμαυτὸν τύπτω. καὶ σαυτὸν τύπτεις. καὶ ἑαυτὸν τύπτει. ἐπὶ δὲ τῶν πληθυντικῶν οὐκ ἐν συνθέσει. ἀλλ᾽ ἐν διαστάσει τίθενται. οἷον ἡμᾶς αὐτοὺς τύπτομεν. καὶ ὑμᾶς αὐτοὺς τύπτετε. καὶ σφᾶς αὐτοὺς τύπτουσιν. εὕρηται δὲ καὶ ἑαυτοὺς τύπτουσιν. ὅπερ ἀλόγως γέγονε.

Σ ῖγα. ῥῆμα, ἀντὶ τοῦ σιώπα. συζυγίας δευτέρας τῶν περισπωμένων. ἀμφότερα μακρά. σῖγα δὲ ἐπίρρημα ἀντὶ τοῦ σιωπηλῶς, ὅπερ ἔχει βραχεῖαν τὴν λήγουσαν καὶ προπερισπᾶται.

Σ ιτοῦμαι. τὸ τρώγω. Ἐπισιτίζομαι δὲ τὸ ἐφόδια λαμβάνω. ἤγουν μετὰ τὸ φαγεῖν λαμβάνω καὶ ἀπέρχομαι.

Σ ικελὸς ὁ ἐξ αὐτῆς τῆς σικελίας. σικελιώτης δὲ ὁ ἐξ ἀλλοδαπῆς ὤν, ἔπειτ᾽ ἐν σικελίᾳ διατρίβει, ἢ κατοικεῖ.

Σ ιτίον καὶ σῖτον.

Σ καιὸν τὸ ἀριστερόν. ἢ τὸ κακόν, καὶ ἀπαίδευτον.

Σ κηνὴ ἡ πρόσκαιρος κατοικία, ἣν ὅμηρος κλισίαν λέγει, καὶ ἡ τῶν δραματουργῶν σκευή, ἤγουν τὰ προσωπεῖα, καὶ οἱ ἐμβάται, καὶ αἱ τοιαῦται στολαί, καὶ τἄλλα· ἀπὸ τούτου σκευὴ πᾶσα, ἡ ὑπόκρισις, καὶ ὑπουλότης.

Σ κότιος ὁ μὴ φυσικὸς υἱός, ἤγουν ὁ κοινῶς κόπελος. ᾧ ἐναντίον ὁ γνήσιος. ἤγουν ὁ ἐκ γαμετῆς. τῷ δὲ γνησίῳ ἐναντίον ὁ νόθος, ἤγουν ὁ υἱοθετός.

Σ κοτίζω μέν, τὸ σκότος ποιῶ. Σκοτῶ δὲ σκοτώσω τὸ τύφλωσιν ἐπάγω. ἐπισκοτῶ δὲ ἐπισκοτήσω, τὸ ἐπιπροσθῶ, ὡς ὅταν ἡ σελήνη ἐν ταῖς ἡλιακαῖς ἐκλείψεσιν ἐπισκοτῇ τὸν ἥλιον.

Σ κευοφόροι. λέγονται οἱ τὴν ἀποσκευὴν φέροντες. Ἀποσκευὴ δέ ἐστιν ἡ κοινῶς λεγομένη κασύια. ἤτοι τὰ πρὸς ὁδὸν χρησιμεύοντα σκεύη. Σκευὴ δὲ τὸ ἔνδυμα.

Σ κήπτω. τὸ ἐπιστηρίζω. Καὶ ἀποσκήπτειν μετὰ τῆς ἀπὸ προθέσεως. τὸ ἀπὸ ὅλου εἰς ἓν μέρος συνάγεσθαι τὸ λυποῦν. ἀφ᾽ οὗ καὶ ἀπόσκημμα, τὸ κοινῶς ἀπόστημα. Καὶ μετὰ τῆς ἐν προθέσεως, ἐνσκήπτω, τὸ βαρέως ἐπέρχομαι. ἀφ᾽ οὗ καὶ νόσος ἐνέσκηψεν.

Σ κηπτός. ὁ κεραυνός. καὶ ἐγκατέσκηψαν ὑετός, ἀντὶ τοῦ λάβρος καὶ πολὺς κατηνέχθη. Σκῆψις δὲ ἡ πρόφασις. Καὶ σκήπτομαι τὸ ἐντέλλομαι. Καὶ ἐπισκήπτω τὸ προστάσσω. οἷον θεία ὄψις ἐπιφανεῖσα τῷ ἁγίῳ, ἐπέσκηψε τόδε τι ποιεῖν. σκυτίνη, περίζωμά τι ἀπὸ λώρων παρὰ σκύτους, ὅ ἐστι δέρμα.

Σ κυταλωτὸς ῥαβδωτός. σκυτάλη γὰρ παρ᾽ ἀττικοῖς ἡ κατηγορία. ὁμοίως καὶ παρὰ λακεδαιμονίοις. ἔστι δὲ καὶ εἶδος ὄφεως. Σκυταλὶς καμπῶν τι εἶδος, ὅ ἐστι ζῷόν τι. Σκυταλουμένη, ξύλῳ τυπτομένη.

Σ ὁ σκότος λέγεται κοινῶς. τὸ σκότος δὲ ἀττικῶς. καὶ τῷ μὲν οὐδετέρῳ χρῶνται οἱ κοινοί. τῷ δὲ ἀρσενικῷ, οἱ ἀττικοί. ὁμοίως καὶ τάφρα τάφρος. κοινῶς μὲν τὸ πρῶτον. ἀττικῶς δὲ ὁ τάφρος.

Σ οφία μέν ἐστι δύναμις τοῦ θεωρητικοῦ τῆς φιλοσοφίας. φρόνησις δὲ τοῦ πρακτικοῦ. Ἰστέον δὲ ὅτι ἡ μὲν σοφία ἐνεργεῖ ὁπωσδήποτε τῶν πραγμάτων ἐχόντων. ἡ φρόνησις δὲ ἀνενέργητος μένει, τῆς προνοίας ἄλλως οἰκονομούσης τὰ πράγματα. ἢ τῶν διδασκομένων οὐχ ὑπακουόντων ἢ οὐχ ἐπαϊόντων.

Σ οφίζομαι. τὸ σοφιστικῶς λέγω. ἤγουν τὸ δι᾽ ἐπι-

χειρουργημάτων ἀπολείπουσι. ὅπερ οὐ κυρίως τοῦ αὐτοῦ ἐστιν. Σοφίζομαι καὶ τὸ παραλογίζομαι ἕτερον, καὶ τὸ ἐφευρίσκω, ἐξ οὗ καὶ σοφιστὴς ὁ ἐφευρετής. Καὶ τὸ μηχανῶμαι. καὶ σοφίζομαι ὑφ' ἑτέρου, ὅπερ ἔχει ἐνεργητικὸν τὸ σοφίζω. ἤγουν σοφίζω ἕτερον. Ἐκ τούτων γίνεται καὶ τὸ σοφιστὴς ὃ σημαίνει τέσσαρα. τὸν φιλόσοφον. τὸν διδάσκαλον. τὸν ῥήτορα, καὶ τὸν ἀπατεῶνα.

Σ πλάγχνον. ἡ καρδία. ἀφ' οὗ καὶ εὔσπλαγχνος, ὁ εὐκάρδιος καὶ ἀνδρεῖος. Ἄσπλαγχνος δὲ ὁ ἀκάρδιος καὶ δειλός.

Σ πεύδω ἀντὶ τοῦ σπουδάζω ἰωνικῶς. Ἐπισπεύδω δὲ ἕτερον, ἤγουν ἐπείγω.

Σ πένδω. μὲν τὸ δι' ὑγρῶν θῦσαι. οὗ τὸ θέμα σπένδω. Σπένδεσθαι δὲ τὸ τοῖς πολεμίοις φιλιωθῆναι. ὁμοίως καὶ τὸ σπένδω καὶ τὸ σπένδομαι. σπένδομαι οὖν ὁ μέλλων σπείσομαι. ὁ ἀόριστος ἐσπεισάμην.

Σ πῶ. τὸ μεταλαμβάνω, καὶ συντάσσεται γενικῇ. οἷον ἔσπασε τοῦ ὕδατος. Ἐπισπῶμαι δὲ ἄλλο αἰτιατικῇ τὸ λαμβάνω. Κατασπῶμαι δὲ καὶ διασπῶμαι καὶ ἀνασπῶμαι ὑφ' ἑτέρου. ὁ μέλλων κατασπασθήσομαι, ἐπισπάσομαι δὲ ἄλλο, ἐπισπάσθην δὲ ὑφ' ἑτέρου.

Σ παρτιάτις γυνὴ ἐκτείνει τὸ α. ὅθεν καὶ τὸ σπαρτιάται προπαροξύνεται.

Α' ποσπῶ τὸ τὰς ῥίζας τῶν βοτανῶν τέμνω.

Α' ποσπῶ τὸ ἀποτέμνω καὶ ἀπομορίζω. Κατασπῶ δὲ καταχαλῶ. Ἐπισπῶμαι παθητικῶς τὸ λαμβάνω. Γρυπῶ δὲ παρ' ἀττικοῖς τὸ ὑδρεύομαι. ὡς παρὰ τῷ φιλοστράτῳ. ὑδρευσάσας τὴν ἀσπίδα.

Σ πουδάζω τὸ φιλοσοφῶ. ἐξ οὗ καὶ σπουδαῖος ὁ φιλόσοφος. οὗ τὸ ἐναντίον παίζω. Δηλοῖ δὲ καὶ τὸ σπεύδω. οἷον σπουδάζω ποιῆσαι τόδε. Σπουδάζω πρὸς σέ, ὅταν σε ἀξιῶ ἐπιμελείας τοῦ σώματος. Σπουδάζω περὶ σέ, ὅταν ἐπιμελῶμαι τῶν περὶ σὲ πραγμάτων.

Σ πεῖρα λέγεται καὶ ἐπὶ τοῦ ὄφεως ὅτε ποιεῖ κύκλους, καὶ συστρέφεται. Καὶ σπειρωθὲν αὐτὸ τοῦ κυκλοτερῶς, καὶ δίκην ὄφεως. ἐπὶ τοιαύτης δὲ σημασίας καὶ συσπειραθεὶς ἀντὶ τοῦ τυλιχθείς.

Σ φατεία. ἡ στράτευσις. Σφατιὰ δὲ τὸ στράτευμα. Σφατόπεδον δὲ κυρίως ὁ τόπος ἐν ᾧ τὸ στράτευμα ἵσταται, καταχρηστικῶς δέ, καὶ αὐτὸ τὸ στράτευμα.

Σ τέλλω. τὸ κοσμῶ. Στέλλομαι δὲ ἐπὶ θαλάττης τὸ πορεύομαι. οἷον ἐσταλάμην τὸν δεῖνα πλοῦν.

Σ ταθμὰ ἐπὶ ζυγοῦ, σταθμοὶ καὶ οἱ οἶκοι, ἔνθα ἵστανται οἱ ἵπποι, ἢ βόες. ἤγουν οἱ κοινῶς σταῦλοι. καὶ οὐδετέρως λέγονται τὰ σταθμά. Σταθμοὶ καὶ αἱ παραστάδες.

Σ τύραξ θηλυκῶς μὲν θυμίαμα. Ἀρσενικῶς δὲ

τὸ ξύλον τοῦ ἀκοντίου.

Σ τάδιον λέγεται τὸ κατ' εὐθεῖαν εἰς μῆκος τεταμμένον. λέγεται δὲ καὶ ὁ τόπος ἐν ᾧ ἐτρέχον. ἢν δὲ φασι πήχεων τετρακοσίων διάστημα.

Σ τέργω τὸ ἀγαπῶ αἰτιατικῇ. Στέργω δὲ τὸ ἐμμένω καὶ πρόσκειμαι, δοτικῇ.

Σ ταυρὸς τὸ ὀρθὸν ξύλον, καὶ σκόλοψ τὸ αὐτό. ἀπὸ τοῦ σκόλοψ τὸ ἀνεσκολοπίσθη, ταυτὸν τῷ ἀνεσταυρώθη.

Σ ταθῆναι μόνον ἐστὶ τὸ ὑφ' ἑτέρου. Στῆναι δὲ τὸ κατ' ἰδίαν ὁρμὴν, καὶ προαίρεσιν, οἷον ἐστάθη ὁ ἀνδριὰς ὑφ' ἑτέρου. ἔστη δὲ ὁ ἄνθρωπος ὑγιὴς δι' αὐτοῦ. ἐστάθη δὲ ὁ νοσῶν δι' ἑτέρου.

Σ ταφυλή. ὁ βότρυς. Σταφύλη δὲ ἡ ἐπικρεμαμένη παρὰ τῶν τεκτόνων μόλιβδος.

Σ φουθία. μὲν λέγονται πάντα τὰ μικρότατα τῶν ὀρνίθων. Σφουθὸς δὲ κυρίως ὁ λεγόμενος φωγλίτης.

Σ τόμια τὰ χαλινὰ ποιητικῶς. στόμιον δὲ ἐπὶ φρέατος καὶ ἐπὶ ἄλλων τινῶν.

Σ τωμύλος ὁ μετὰ χάριτος πιθανολογῶν. Καὶ στωμύλον φθέγμα τὸ ἀστεῖον, καὶ χαρίεν. Ἔστι δὲ ὅτε καὶ ἐπὶ πολυλογίας ἁπλῶς λαμβανόμενον καὶ κεῖται. ἀλλ' ἔτι καὶ ἐπὶ φλυαρίας.

Σ ύλλογος. ἡ ἐκ τῆς αὐτῆς πόλεως συναγωγὴ τῶν ἀνθρώπων ἐπὶ τῷ βουλεύσασθαι. Σύνοδος δέ, ἡ ἐκ πολλῶν πόλεων συναγωγή ἐστι ποιῶν. ὡς θουκυδίδης. καὶ δὲ ξύνοδοι ἐπὶ τὸ ἱερὸν ἐγίνοντο.

Σ ύμμετρον τὸ μεμετρημένον, μήτε ὑπερβολὴν ἔχον, μήτε ἔλλειψιν. καὶ τὸ ἀναλογίαν ἔχον πρός τι. ὅθεν καὶ ἀσύμμετρος ἡ τοῦ τετραγώνου διάμετρος τῇ πλευρᾷ. ἤγουν οὐδὲ μίαν ἀναλογίαν ἀριθμοῦ πρὸς τὴν πλευρὰν ἔχουσα. Καὶ σύμμετρον τὸ ἴσον μέτρον ἔχον τινί. οἷον περὶ τὸν πῆχυν οἱ πήχεις ἀνύονται διὰ σύμμετρα τῷ ὀνόματι ἤγουν πηχυαῖα.

Σ ὁ συγχωρεῖν ἑκοντί. τὸ δὲ παραχωρεῖν ἀκοντί.

Σ υνθήκη. λέγεται ἡ συμφωνία, καὶ ἡ συναρμογή.

Σ υμπεσεῖν τὸ ὁμοῦ πεσεῖν, καὶ ἐπὶ τινῶν ὁρμωμένων εἰς πόλεμον ἀλλήλοις. καὶ συρρηγνυμένων, ὅταν τινὰ ἀντίκειται ἀλλήλοις.

Σ ύμβολον. σημεῖον. τεκμήριον. εἰκών, καὶ ὁμοίωμα διαφέρουσι δὲ ὅτι τὸ μὲν σύμβολον καὶ σημεῖον, ἐπὶ τῇ θέσει λέγεται. καὶ ἐκ τῆς ἑκατέρας ἐστὶ διαιρέσεως. οἷον ἐν πολέμῳ σάλπιγξ ἦχος, ἢ πυρὸς αὐγή. τὰ δὲ λοιπὰ τρία ἐπὶ τῇ φύσει. διαφέρει δὲ ὅτι ἡ μὲν εἰκών, καὶ τὸ ὁμοίωμα τὴν φύσιν τοῦ πράγματος εἰκονίζουσιν. οὐ μέν τοι ἀπαραλλάκτως ὡς ἡ τοῦ σωκράτους εἰκών. τὸ δὲ τεκμήριον, ἀναγκαίως μόνον τοῖς πράγμασιν ἕπεται, μηδὲν τῶν συμβεβηκότων ἔχον ἐν ἑαυτῷ. οἷον τοῦ τετοκέναι τὴν γυναῖκα, τὸ γάλα. καὶ τοῦ πυρὸς, ὁ καπνός.

Σ ύνδρομος. ὁ σύντροφος. συνδρομὸς δὲ ὁ περί τι

ὀργῇ συνοφρυῶν τινί.

Συνίσταται καὶ ἀντὶ τοῦ συμπήγει, ᾧ ἐναντίον τὸ χαυνοῦσθαι. Καὶ συνίσταται ἀντὶ τοῦ ἐν ὑπάρξει ἐστίν, ὅθεν καὶ ἀσύστατον τὸ μὴ τοιοῦτον. Συνίσταται. καὶ ἀντὶ τοῦ ἀποπνίγεσθαι. οἷον συνίσταται δὲ εἰς κολυμβήθραν παγχάλκην. Συνίσταται δέ τινι ἀντὶ τοῦ σὺν αὐτῷ ἵσταται. καὶ συνίσταταί τις τινί. ἤγουν φίλος γίνεται. Συνίστησι δέ τις τινά, μαρτυρῶν αὐτόν.

Συνδεῖν τὸ ἀμφοτέρας τὰς χεῖρας δεσμεῖν. Καὶ συνδραίνειν ὁμοίως τὸ, ἀμφοτέρας δραίνειν τὰς χεῖρας. ὥσπερ συμπατεῖν τὸ ἀμφοτέροις τοῖς ποσὶ πατεῖν. ἡ γὰρ σὺν πρόθεσις, συνέλευσιν δηλοῖ τοὐλάχιστον δύο.

Συντίθημι τὸ συναρμόζω. Συντίθεμαι δὲ τὸ συνομολογῶ. Καὶ συντίθεται πρᾶγμα ἀντὶ τοῦ συναρμόζεται.

Συλῶ τὸ κλέπτω, ἀφ' οὗ καὶ ἱερόσυλος. Καὶ συλῶ τὸ σκυλεύω, ὡς παρ' Ὁμήρῳ. κεῖται ἀνὴρ ὃς πρῶτος ἐσύλατο τεῖχος Ἀχαιῶν.

Συλλαμβάνειν. κυρίως μὲν λέγεται ἐπὶ τῶν βασταζόντων βαρύ τι. καὶ ὑπ' ἀλλήλων βοηθουμένων. Καταχρηστικῶς δὲ ἀπὸ τούτου καὶ ἐπὶ τῶν ἄλλων τινὰ βοήθειαν βοηθούντων. ἀφ' οὗ συλλήπτωρ ὁ βοηθός. Καὶ τὸ συνεφάπτεσθαι ἐπὶ τῆς αὐτῆς λέγεται σημασίας. Συλλαμβάνει καὶ ἡ γυνὴ παιδίον. ἤγουν σὺν αὐτῇ ἕτερον λαμβάνει. καθ' ὃ λέγεται καὶ συλλαβή, ὅταν γράμμα ἕτερον γράμμα συλλάβῃ. αἱ γὰρ μονογράμματοι καταχρηστικῶς λέγονται συλλαβαί. ἀπὸ τούτου γίνεται σύλληψις. Συλλαμβάνειν, λέγεται καὶ ὅταν πολλοὶ ἕνα κρατήσωσι.

Συμβάλλουσι κυρίως ἄνθρωποι ἐπὶ μάχην. ἢ συμβάλλουσι μάχην, ἤγουν συγκροτοῦσι.

Συμμίσγουσι δὲ ὕδατα καὶ ποταμοὶ καὶ ὑγρά. ἀφ' οὗ λέγουσι τὸ καταδεχόμενον χωρίον ποταμοὺς, μισγάγκειαν. ἀπὸ τοῦ συμβάλλειν τὸ συνέρχεσθαι, καὶ συγκροτεῖν. Καὶ συμβάλλειν τὸ νοεῖν, κατὰ μεταφοράν. καὶ συμβολὴ ἡ συνέλευσις. οὐκ ἔτι μεταφορικῶς. Καὶ συμβόλαια τὰ ἐπὶ συμφωνίᾳ γάμου γινόμενα γράμματα.

Συρίζειν τὸ διὰ σύριγγος μέλπειν. ὥσπερ σαλπίζειν τὸ διὰ σάλπιγγος φωνεῖν. καὶ αὐλεῖν τὸ δι' αὐλοῦ μέλπειν. Συρίζω καὶ τὸ κατὰ σύρους λέγω ἢ φρονῶ. Συρίττω δὲ ἐπὶ τοῦ συριγμοῦ. τοῦ διὰ τοῦ στόματος ἀμεταβάτως. Συρίττω μεταβατικῶς ἐπὶ χλευασμοῦ. οἷον συρίττω τινὰ ἀντὶ τοῦ χλευάζω, καὶ τῶν συριττομένων ἐστὶν ἤγουν τῶν ἐμπαιζομένων.

Συνουσία ἁπλῶς μὲν ἡ ὁμιλία, καὶ συναναστροφή. ἰδίως δὲ ἡ μετὰ γυναικὸς μίξις.

Συμφωνῶ τῷδε. Σύμφωνος δέ εἰμι τῷδε.

Συνάπτω ἕτερον ἑτέρῳ. καὶ συνάπτω ἐγὼ τινί ἤγουν ἑνοῦμαι.

Συλλαμβάνειν ἀμεταβάτως παρὰ τῇ θείᾳ γραφῇ, τὸ κυοφορεῖν. ὅθεν καὶ σύλληψις ἡ κυοφορία. Καὶ συλλαμβάνειν μεταβατικῶς, τὸ βοηθεῖν, καὶ συντάσσεται δοτικῇ, γράφεται δὲ καὶ παθητικῶς εἰς ἐνεργητικὴν σημασίαν ἀπὸ δοτικῆς εἰς γενικήν. οἷον συλλαμβάνομαί σου τῆς νόσου.

Σύβαρις συβαρίτιδος. πόλις ἰταλική, καθ' ἣν τρυφηλοὶ ἐγένοντο ἄνθρωποι.

Συκῆ καὶ ἀμυγδαλῆ, καὶ πάντα τὰ τῶν δένδρων ὀνόματα τὰ ἀπὸ συναιρέσεως ἐπὶ τέλους ἔχοντα τὸν τόνον, περισπῶνται. συκέα γὰρ συκῆ καὶ ἀμυγδαλέα ἀμυγδαλῆ, καὶ πάντα τὰ διὰ τοῦ εα δένδρων ὀνόματα ψιλογραφοῦνται. πλὴν τοῦ ἐλαία καὶ συκομωραία.

Συνίημι τὸ νοῶ, αἰτιατικῇ. Συνίημι δὲ τὸ αἰσθάνομαι, γενικῇ, ὡς ὁ θεολόγος τοῦ μυστηρίου συνιέντα, ἀντὶ τοῦ αἴσθησιν λαβόντα, ὅτε συντάσσεται μετὰ μετοχῆς. οἷον, συνίημι πάσχων κακῶς. καὶ συνίημι καταγελώμενος.

Συγκείμενα καὶ συντιθέμενα λέγονται, καὶ τὰ ἡνωμένα ἐκ δύο τινῶν, ἢ καὶ πλειόνων. καὶ τὰ συμπεφωνημένα ὡς, παρὰ τὰ συγκείμενα ἐποίησε. Καὶ συνθήκη ἡ ὑπόσχεσις.

Συντίθημι τὸ ἁπλῶς τὸ δέ τι ποιῶ. ὡς τὸ συνέθηκε λόγους, ἀντὶ τοῦ εἰς ἁρμονίαν ἤγαγε. Καὶ σύνθεσις ἡ συμβίβασις τῶν μονάδων.

Συμβάλλειν. τὸ στοχάζεσθαι. καὶ δηλοῖ συνιέναι καὶ συνάγειν. οἷον ἐκ τῆς δὲ τῆς ἀφορμῆς, τὸν δεῖνα συμβάλλω πεπραχέναι εἰς τόδε τι. Συμβάλλειν καὶ τὸ συμπλέκεσθαι, καὶ συρρήγνυσθαι, καὶ συμπίπτειν ἐπὶ πολέμου καὶ μάχης, καὶ ἐπὶ ποταμῶν ὅθεν καὶ σύμβολον. Συμβάλλειν καὶ τὸ μιγνύναι καὶ συναντᾶν, καὶ εἰς ταυτὸν ἔρχεσθαι. οἷον συνέβαλον τῷ δεῖνι ἐπανιόντι ἐξ ἀγορᾶς.

Συναίρομαί σοι τὴν δυστυχίαν ἀντὶ τοῦ μετὰ σοῦ δυστυχῶ. Συναίρομαί σοι τὸν κίνδυνον ἀντὶ τοῦ μετὰ σοῦ κινδυνεύω.

Συγχαίρομαί σοι διὰ τόδε.

Συγγένεια ἡ φύσις, καὶ ἡ σύλληψις τῶν συγγενῶν. Λέγεται καὶ τὸ πλῆθος τῶν συγγενῶν. ὥσπερ οἰκετεία ἡ δουλεία, καὶ τὸ πλῆθος τῶν οἰκετῶν.

Σύννους ἄνθρωπος ὁ κατηφὴς, καὶ ἀεὶ σκυθρωπὸς, καὶ μὴ ἐν νῷ ἔχων διαχεόμενον. Καὶ σύννοια ἡ σκέψις, ὡς φαμὲν ἐπὶ συννοίας ὁ ἄνθρωπος βαδίζει. τουτέστι μετὰ σκέψεως περιπατεῖ.

Συζῶ τότε τίθεται, ὅτε ἀπὸ γνησίας συμπαρατείνεταί τινι τὸ πρᾶγμα ἐκείνῳ ᾧ συζεῖ. οἷον πενίᾳ συνέζησεν, ὡς ἔφαμεν. καὶ παρὰ συνεσίῳ συνεζηκὼς τῇ ἀρετῇ.

Συνίημι τὸ νοῶ. συνίης συνίησι. συνίετον. συνίετον. συνίεμεν. συνίετε. συνιᾶσι. συνιοῦσι. συνίεις. συνίει. συνιέτω συνιέτην. συνίεμεν. συνίετε καὶ συνιέτωσαν, ἀόριστος, σύνηκα, συνῆ-

κας,

κος, συνῆκα. συνήκατον συνηκάτην. συνήκαμεν συνήκατε συνῆκαν. ὁ δεύτερος ἀόριστος ἐπὶ τῶν ὁριστικῶν ἀσύγχυτος, ἄχρηστος. ἐπὶ δὲ τῶν ἄλλων ἐγκλίσεων, ἐν χρήσει. εἰσαὶς καὶ παρατατικός. ἐπὶ ἀπαρεμφάτου εὔχρηστος, συνιέναι. ἀόριστος δεύτερος ἐν χρήσει συνεῖναι. ἐπὶ προστακτικοῦ ἀόριστος δεύτερος, σύνες. ἐπὶ εὐκτικῶν ὁ αὐτὸς εὔχρηστος, συνείην. ἐπὶ ὑποτακτικῶν ὁ αὐτὸς εὔχρηστος, ἐὰν συνῶ. ἔστι γὰρ παρὰ λουκιανῷ, καὶ εἰσαὶς, ἐὰν συνίω. ἐπὶ μετοχῆς εἰσαὶς εὔχρηστος, ὁ συνιείς. καὶ ἀόριστος δεύτερος εὔχρηστος, ὁ συνείς.

Σ φέτερον ὃ πολλοὶ ἔχουσιν. ἐὰν δὲ, ὃ μόνος ἔχει τις.

Σ φὶ ἀντὶ τοῦ αὐτοῖς. ἔστι δὲ μοναδικόν. οὐδεμίαν γὰρ δοτικὴν εὑρίσκεις ζητῶν. ὁ μοῖος καὶ τὸ φίν, καὶ τὸ μὲν ἀντὶ τοῦ αὐτόν, μοναδικὸν γὰρ τοῦτο.

Σ φάλλω μεταβατικόν. οἷον σφάλλω σε ἤγουν ποιῶ σε πεσεῖν, σφάλλομαι δὲ ὑπὸ παθητικῶς ἀμετάβατον.

Σ φηνία λέγεται ἡ συνθήκη τοῦ μέλιτος τῶν σφηκῶν. ὡς τὸ σφηκιὰν ἔθυνον μελίσσ.

Σ χεδὸν σημαίνει τὸ πλησίον, καὶ αὐτίκα. ἐπίρρημα διαστακτικόν, ἤγουν ἀντὶ τοῦ ἴσως.

Κ ετλὰ λέγεται τὸ λευκόν. ἐνίοτε μὲν ἐπὶ τοῦ χρώματος, ἐνίοτε δὲ ἐπὶ τοῦ σώματος τοῦ μετέχοντος αὐτοῦ. οὕτω καὶ τὸ σχέτλιον. ἐνίοτε μὲν λέγεται ἐπὶ τοῦ κακοῦ. ἐνίοτε δὲ ἐπὶ τοῦ μετέχοντος κακοῦ. καὶ διὰ τοῦτο ἀθλίου. καθὸ λέγεται σχέτλιος ἄνθρωπος ὁ ἄθλιος. ὅθεν τὸ σχετλιάζειν καὶ ὁ σχετλιασμός.

Σ χεδία ἡ σύντομος ἀπὸ τοῦ σχεδὸν τὸ πλησίον. καὶ σχεδίασμα ἀπὸ τούτου τὸ ἀνθηρόν.

Σ χηματίζομαι τὸ προσποιοῦμαι. καὶ πλάττομαι ἐξ οὗ καὶ σχηματισμὸς ὁ προσποίησις.

Σ χολὴ ἡ ἀργία, καὶ ἡ ἄνεσις. ἀσχολία δὲ ὁ περισπασμός. Σχολὴ καὶ ἡ διατριβή. ἐξ οὗ καὶ σχολεῖον. Καὶ σχολάζω τὸ ἐνδιατρίβω, καὶ ἐπιμελῶ. Καὶ διατριβὴ δὲ λέγεται ἡ ἐπιμονὴ καὶ ὁ καταγέλως. Καὶ σχολαστὴς ὁ μαθητής. Οὕτως καὶ ἀπὸ τοῦ σχολὴ ἡ ἀργία σχολάζω τὸ ἀργῶ.

Σ ώφρων καὶ σωφροσύνη, καὶ σωφρονεῖν, ἐπὶ τῶν μὴ σεσαλευμένων ἐχόντων κατά τι τὸν νοῦν. σωφρονεῖν καὶ τὸ ἐν παρθενίᾳ διάγειν. καὶ τῷ νομίμῳ τῷ γάμῳ χρῆσθαι. ἀλλὰ καὶ τὸ κατὰ πάντα, ὅσα καὶ ὑγιῆ φρονεῖν. ὡς τὸ σωφρονεῖν ἀπολαμβανόμενος παρὰ φαλάρειδι. σωφρονῶ ἐστί. σωφρονίζω δὲ ἕτερον.

Σ ώζω τινὰ ἀντὶ τοῦ σωτὴρ αὐτοῦ γίνομαι, καὶ ῥύομαι αὐτόν, ὅτε ἀπὸ αἰτιατικῆς εἰς γενικὴν ἔχει τὴν σύνταξιν, ὡς τὸ ῥύομαι. οἷον σώζω σε φόνου, ἀντὶ τοῦ ῥύομαί σε ἀπὸ φόνου. Σώζω καὶ τὸ φυλάσσω, καὶ σώζεταί τις ὑπό τινος σώζοντος αὐτόν. Καὶ σώζεται ἀντὶ τοῦ φυλάσσεται. Καὶ ἔτι σώζεται ἀντὶ τοῦ ζῇ.

Σ ῶμα παρὰ τὸ σῆμα, ὃ σημαίνει τὸν τάφον κατὰ πλάτωνα. τάφος γάρ, φησί, τὸ σῶμα τῆς ψυχῆς. δίκην γὰρ τάφου ἐνθάπτεται ἡ ψυχὴ τῷ σώματι, τροπῇ τοῦ μακροῦ εἰς μακρόν.

Τ ὁ σῶος προσγεγραμμένον ἔχει τὸ ι. καθ' ὁμοιότητα τοῦ πατρῷος. ὃ καὶ οἱ ποιηταὶ πατρώϊος φασί. μητρῷος μητρώϊος ποιητικῶς. λῷος. καὶ λώϊος. ἑῷος πατρῷος. οὕτω καὶ σῷος. ἐκ τούτου καὶ σώζω. ᾧ δὴ καὶ προσγράφεται τὸ ι ἀπὸ τοῦ σῷος προσγεγραμμένου τηρεῖ.

ΑΡΧΗ ΤΟΥ Τ.

άττω τὸν δεῖνα ἐν τῷ δεῖνι τόπῳ, καὶ εἰς τὸν δεῖνα.

Τ Τάχει, καὶ σὺν τάχει, καὶ κατὰ τάχος, καὶ ὅσον τάχος, καὶ διὰ ταχέος, καὶ διὰ τάχους, καὶ διὰ ταχέων ἐπὶ τοῦ αὐτοῦ.

Σ αμείωσαι, τὸ τέτακα καὶ κέρδακα τῆς πέμπτης συζυγίας, τέταγκα καὶ κέρδαγκα κατὰ τὴν ἀκολουθίαν ὀφείλοντα εἶναι.

Τ ὁ αὐτό. εἰ μὲν διαλελυμένον ἐστὶ, δύο σημασίας ἔχει. ἐν δὲ τῇ συναλοιφῇ μίαν ἔχει τὴν ἀπαράλλακτον ὁμοίωσιν, ὅθεν ἐπὶ τῷ ταὐτῷ γράμματι ἀπόστροφος τίθεται. οὐ γὰρ εἰς ἓν μέρος συναλείφεται, ἐνταῦθα. ὥσπερ τὸ ἐπὶ τῆς ἀπαραλλάκτου ὁμοιώσεως. ἐν ᾧ οὐ τίθεται ποτὲ ἀπόστροφος, ἀλλὰ τοιοῦτον ἐστὶν, οἷον ἐπὶ τ' αἰσχρῷ καὶ ἐπὶ τ' ἀγαθῷ, διὰ τοῦτο οὐδὲ ἐς τὸ ἐκ μιᾶς τε καὶ τ' αὐτοῦ γράμματος οὐ τίθεται ἀπόστροφος εἰς τὸ τ. ὅτι ἀπαράλλακτον ἔχει τὴν ὁμοίωσιν, ὁ γ' αὐτὸς ἦν ἀεὶ πατήρ. ταὐτῷ δὲ τῷ γάλακτι, ψιλοῦται. ὥσπερ ἐπὶ τ' ἀγαθῷ καὶ ἐπὶ τ' αἰσχρῷ. εἰ γὰρ καὶ ὅμοιόν ἐστι καθάπαξ, λευκὰ γὰρ ἅπαντα γάλακτα, ἀλλ' οὐχ ὥσπερ οὗτος τυχὸν προλαβὼν πέπωκε. καὶ ὁ μεθ' ὕστερον οὕτω πεπῶσαι βουληθεὶς ἕξει ποτέ.

Τ αρσὸς ἐπὶ ποδὸς, καὶ ἐπὶ χειρὸς λαμβάνεται. λέγεται δὲ καὶ ὁ τυροφύκτης.

Τ ετραγύα. ποιὰ λέξις ἐπὶ ψυχῆς λαμβανομένη ἁρμόζουσα καὶ ἐπὶ συκοφαντῶν.

Τ είχη μὲν εἰσὶ τὰ τῆς πόλεως. Τειχία δὲ τὰ τῶν οἰκιῶν. καὶ ὁ τοῖχος ἀρσενικῶς.

Τ εθνᾶσι, ἑστᾶσι. πᾶς μὲν παρακείμενος συστέλλει τὰ δίχρονα, ἀλλ' ὅτι τὰ εἰς ι λήγοντα ἐκτείνει.

Τ εῦχος τὸ ἀγγεῖον. τεύχη δὲ πληθυντικῶς, τὰ ὅπλα.

Τ ελευτῶ τὸ ἀρχῆς. Καὶ τελευτῶ τὸ ἀποθνήσκω, ὅπερ συντετμημένον ἔχει τὸν βίον. Ὥσπερ καὶ τὸ μεταστρέφω τὸν βίον, ἤγουν τελευτῶ. Καὶ καταστρέφω τὸ αὐτό. ἔστι δὲ τὸ τελευτῶ καὶ καταστρέφω. καὶ ἔτι τὸ μεταλλάττω, τὰ αὐτά. δηλοῖ γὰρ τὸ ἀποθνήσκω

σκεῦ. Ἐτελεύτησε τίς· καὶ ἐτελεύτησε τὸν βίον. Καὶ κατέστρεψε τὸν βίον. Καὶ ἀπέψυξε τὸν βίον. Καὶ μετήλλαξε καὶ τέθνηκεν ἀντὶ τοῦ αὐτοῦ.

Τέμνει ἀμπέλους ὁ κλαδεύων. ἐκτέμνει δὲ ὁ ἀφανίζων.

Τέμενος. ὁ ἀποκεκομμένος τόπος τινὶ ἢ θεῷ, ἢ ἀνθρώπῳ.

Τέχνη. ἡ ἐπιστήμη, καὶ ἡ μέθοδος, καὶ ὁ δόλος. τελεῖν τὸ πείθεσθαι καὶ καταλλάγεσθαι. τελεῖν τὸ εἰς τέλος κατατίθεσθαι, καὶ καταβάλλειν. ὡς καὶ Ἀριστοφάνης. δύο δραχμὰς μισθὸν τελεῖς. τελεῖν καὶ ἀντὶ τοῦ εἰσπράττειν, καὶ ἀπαιτεῖν.

Τέλος τὸ πλήρωμα, καὶ τελέσω ἀντὶ τοῦ πράξω, καὶ τετελεσμένον τὸ πεπραγμένον. Καὶ συντέλεια τὸ τέλος. Καὶ συντελεστὴς ὁ τελῶν. εἰ δύναμαι τελέσαι γε, καὶ εἰ τετελεσμένον ἐστί. Τέλος ἡ ἑορτή, καὶ τελετὴ τὸ αὐτό. Καὶ τετελεσμένος ὁ τὰ θεῖα μεμυημένος. Τέλος καὶ ὁ ἐτήσιος τοῖς βασιλεῦσι διδόμενος φόρος. Ἐκ τούτου καὶ συντελῶ, καὶ συντέλεια ἡ συνεισφορά. Τέλος καὶ ἡ ἀρχή. ὅθεν καὶ τοῖς ἐν τέλει βεβαιοῦσι.

Τείνει τὴν χορδήν, καὶ τὴν νευρὰν ἐναρμόζει. ὅθεν καὶ ἐντείνει τὸ τόξον, καὶ ἐντείνει μουσικήν, ἢ κιθάρας, Ἀριστοφάνης. ἐντειναμένους τὴν ἁρμονίαν ἣν οἱ πατέρες παρέδωκαν. Ἐκτείνει ἤτοι ἐξαπλοῖ. Συντείνει ἤγουν συνέρχεται, καὶ συνοδεύει. Προτείνει ἤτοι προβάλλεται. ὡς τὸ προτείνει πολλὰ κεφάλαια τοῦ δικαίου. Καὶ προτείνει τις πρόβλημα. Καὶ τὸ δίδωσι. Ἀνατείνει ἤτοι αἴρει, καὶ εἰς ὕψος αἴρει ἤγουν ἀνατείνει τὰς χεῖρας πρὸς τὸν θεόν. Κατατείνει ἤτοι κατεργάζεται, καὶ πιέζει, καὶ ἐπιτρίβει. οἷον κατατείνει ἡ νόσος τὸν ἄνθρωπον, καὶ κατατείνει πληγαῖς καὶ μάστιξι τὸν δεῖνα.

Καὶ τὸ εἰς μῆκος ἐκτείνει. ὡς τὸ κατατείνει λόγους. Κατατείνει καὶ τὸ ἀποβάλλει καὶ φέχει. ὡς τὸ κατατείνει δρόμον ἀντὶ λιμένα. Διατείνει τὸ διαπλοῖ. ὡς τὸ διατείνει ὁ ἀράχνης τὸ ἴδιον ὕφασμα. Παρατείνει τὸ παρέλκει, καὶ μέχρι πόρρω προάγει. οἷον παρατείνει τὴν ὁμιλίαν. Ἀντιτείνει ἤτοι ἀντικρούει, καὶ ἀντιβαίνει. καὶ ἀντιστέλλει. Ἐπιτείνει ἤγουν αὔξει, καὶ εἰς ἐπίδοσιν ἄγει. οἷον ἐπιτείνει τοὺς πολλοὺς λόγους ἱδρῶτας. Περιτείνει, ἤτοι ἐπί τινος ἐξαπλοῖ. ἤγουν ἐφαπλοῖ τινός. οἷον περιτείνει τὸ σκῦτος ὁ σκυτοτόμος τῷ ξύλῳ. παρὰ Λουκιανῷ. Ἀποτείνει τὸ εἰς ταυτὸ τείνει, καὶ φθάνει. κατὰ θάτερον τὴν σημαινομένην τοῦ κατατείνειν. Ἀποτείνει, καὶ τὸ ἐπάγει εἰς μῆκος. οἷον ἀπέτεινε λόγον μακρόν. ἔστι καὶ χωρὶς τῆς προθέσεως γράφεται ποιητικῶς. ὡς παρὰ Σοφοκλεῖ, μὴ τεῖνε μακράν ἀντὶ τοῦ μὴ ἀπότεινε. Ὑποτείνει ἤτοι ὑποβάλλει, καὶ ὑποφαίνει. οἷον, ἐλπίδας χρηστὰς ὑποτείνει. Ὑπερτείνει, ἤτοι ὑπερβάλλει. οἷον ὁ δεῖνα σπουδῇ καὶ προθυμίᾳ τὸν ἀδελφὸν ὑπερτείνει.

Τηνικαῦτα ἀντὶ τοῦ τότε. τηνικάδε δὲ ἀντὶ ὥρας.

Τήκεσθαι. κυρίως ἀντὶ χιόνος λέγεται καὶ κηροῦ. καὶ τῶν κατ' ὀλίγον ἀναλισκομένων. καὶ ἀπὸ τούτου καὶ ἀντὶ τῶν καταπιπτόντων, ἀπὸ λύπης, καὶ διαφθειρομένων.

Τήθη. ἡ τοῦ πατρὸς ἢ τῆς μητρὸς μήτηρ. ἣν ἔνιοι μάμμην φασί.

Τηθίς. ἡ τοῦ πατρὸς ἢ τῆς μητρὸς ἀδελφή. τίτθη μὲν ἡ μαστὸν παρέχουσα. τιθηνὸς καὶ τροφός, ἡ μετὰ τὸν ἀπογαλακτισμὸν ἐπιμέλειαν ποιουμένη τοῦ παιδός.

Τίκτω ὁ μέσος μέλλων τέξομαι, ὁ δεύτερος ἀόριστος, ἔτεκον. ἡ μετοχή, ὁ τεκών. Ἰστέον δὲ ὅτι τὸ μὲν τίκτω, καὶ τεκοῦσα, καὶ τοκεύς, ἀντὶ μητρός, τὸ δὲ γεννῶ καὶ γενέτης, καὶ γονεύς. ἀντὶ πατρός. ὅθεν ἀντὶ γυναικὸς τό, τεκοῦσα, καὶ τοκετός. ἀντὶ ἀνδρὸς δὲ τὸ γενέτωρ, καὶ γενέτης, καὶ γονεύς. εὕρηται δὲ καὶ τοκεύς, ὁ γονεύς. ἀντὶ μέντοι τῆς γυναικὸς οὐχ εὕρηται, τὰ τῷ ἀνδρὶ οἰκειωθέντα ὀνόματα.

Τιμωροῦμαι παθητικῶς τὸ κολάζω αἰτιατικῇ. τιμωρῶ δὲ τὸ βοηθῶ καὶ ἐκδικῶ, δοτικῇ.

Τιθέω τιθῶ καὶ ἐτίθεον ἐτίθουν. ἐτίθεες ἐτίθεις ἐτίθεε ἐτίθει. τίθημι δὲ ἐτίθην, οὔ.

Τὸ ὄνομα μονοσύλλαβον, ἢ ὀξύνεται ἢ περισπᾶται. πλὴν τοῦ τὶς ἀορίστου ἐγκλινομένου ἐκλείψαντος διὰ τοῦ … ἐν τῷ τίν' ἵμερον καὶ τοῖς ὁμοίοις, ἐπαναβιβάσει τὸν τόνον, τοὔργον καὶ τἄλλα, ὅτι ἐξ ὀξείας μὲν καὶ βαρείας, περισπώμενον. ἐκ βαρείας δὲ καὶ ὀξείας, οὔ.

Ἰστέον ὅτι τὸ μὲν τί, ζητεῖ οὐσίαν πράγματος. οἷον τί τόδε ἐστίν ἄνθρωπος τυχὸν, ἢ ἵππος, τὸ δὲ τίς, ὑπόστασιν καὶ πρόσωπον. οἷον τίς ὅδε ἐστί Σωκράτης, τυχὸν, ἢ Πλάτων, καὶ τίς πόθεν εἰς ἀνδρῶν, ἐν τούτῳ γὰρ ὁ ἐρωτῶν, οἶδε μὲν ὅτι ἀνὴρ πρὸς ὃν τὴν ἐρώτησιν ποιεῖται, ζητεῖ δὲ τοὔνομα ᾧ αὐτὸς τῶν ἄλλων ἀνδρῶν χωρίζοιτο. ἐπεὶ δὲ πρὸς τὸ τίς οὐκ ὄνομα μόνον ἀπαντᾷ κύριον, ἀλλὰ καὶ σὺν ἐπιθέτῳ ἐνίοτε κύριον. οἷον τίς ὅδε ἐστὶν ὁ ἡδὺς Λουκιανός, διὰ τοῦτο οὐκ ὀνόματι μόνον κυρίῳ τὸ τίς ἀνταποδίδοται, ἀλλ' ἔστιν ὅτε καὶ ἐπιθέτῳ. οἷον Λουκιανὸς τίς ἐποίησε τόδε. καὶ ὁ Λουκιανὸς ἡδύς ἐστι. Κατὰ ταῦτα λέγεται καὶ τὸ ὅς τις, καὶ τὸ ὁποῖός τις. καὶ τὸ μὲν ὅς τις, νοεῖται ἀντὶ κυρίου ὀνόματος. τὸ δὲ ὁποῖός τις ἀντὶ ἐπιθέτου. ὡς παρὰ Λουκιανῷ. τὸ δὲ ὅλον

οἱ δῆμοι οὐχ ὑπάζοντες ὁ ποῖος τίς ἐστιν ὁ τοῖς σχήμασιν ἐφεκτικῶς, καὶ ἔτι καλῶς δηλονότι ἔτι τὸ ἐναντίον ὥσπερ ἐπιθετικῶς λέγεται.

Τ ριπλάσιον. τὸ μετὰ ταῦτα. τριλάστερον. μεταξύ. τὸ τρίτον, καὶ τὰ τοιαῦτα εἰ μὴ ἔχουσιν ἐπαγόμενον ὄνομα πρὸς ὃ ἀποδοθήσεται τό, ἐπιρρήματά εἰσι. τοιοῦτον ἐστὶ καὶ τὸ ἐξάπαντος, καὶ τὸ ἐξαιφνίδιος, καὶ τὰ τοιαῦτα, εἰ γὰρ μὴ ἐπάγεται γενικὴ πρὸς ἣν ἀποδοθήσεται ἡ ἐξ, οἷον ἐξ ἅπαντος φόνου ἢ τοιοῦτό τι, ἐπιρρήματά εἰσι.

Τ λήμων παρὰ Ὁμήρῳ ὁ καρτερικός. τλήμονα θυμὸν ἔχοντες. παρὰ δὲ τοῖς τραγικοῖς τλήμων, ὁ δυστυχής.

Τ ρικυμία λέγεται ὅταν ἐν τῇ θαλάσσῃ τρία κύματα εἰς ἓν συναχθῇ.

Τ ραχηλίζειν λέγεται τὸ διχοτομεῖν. ἤγουν τὸ διὰ τῆς ῥάχεως σχίζειν. καὶ τετραχηλισμένοι ἐσόμεθα, ἤγουν φανεροὶ καὶ ἀνακεκαλυμμένοι.

Τ ρυφᾶν ἀντὶ τοῦ καρποῦν λέγεται. ἀπὸ τούτου δὲ καὶ ἀντὶ τοῦ κάλλους. καὶ ἀντὶ τοῦ παντὸς οὑτινοσοῦν ἀπολαύει τις, καὶ τρυφᾷ.

Τ ρέφομαι δοτικῇ συντάσσεται. καὶ ὅτε πρὸς τὸν τρέφοντα λέγεται, καὶ ὅτε πρὸς τὴν τροφήν. οἷον τρέφομαί σοι, ἤγουν ὑπὸ σοῦ. καὶ τρέφομαι ἄρτῳ. τὸ δὲ σιτοῦμαι ἀττικῇ. δηλοῖ γὰρ τὸ ἐσθίω. ὡς παρ' Ἀριστοφάνει. πῶς οὖν κακῶς βορρᾶ σιτούμενος, μάχῃ σὺ κωκεφάλῳ.

Τ ριώδης. ἐπὶ τοῖς ἀθλίοις τὸ λέγειν ἑτέραν πτῶσιν, ἔστι ἀποδίδοναι οὐδέτερον κατ' εὐθεῖαν προσυπακουομένου, τοῦ, τό δ' ἐστιν. ὡς παρὰ τῷ θεολόγῳ Γρηγορίῳ. τέλος ἰσχυροτέρου δεῖται φαρμάκου ἀντὶ τοῦ δεινοτέροις τοῖς ἀρρωστήμασιν. ἀλληλοφονίαις, μοιχείαις, ἐπιορκίαις εἰδωλολατρείαις. τὸ πάντων ἔσχατον τῶν κακῶν καὶ πρῶτον. ἤγουν τό δ' ἐστι τὸ πάντων ἔσχατον τῶν κακῶν καὶ πρῶτον. ὅσον γὰρ πρὸς τῇ εἰδωλολατρείαις, τῷ πάντων ἐσχάτῳ τῶν κακῶν καὶ πρώτῳ ἁρμόζει ἐπάγεσθαι. ὁ δὲ οὕτως ἐπήγαγε ἤγουν τὸ δ' ἐστι τὸ πάντων ἔσχατον τῶν κακῶν καὶ πρῶτον.

Τ ρόπαιον ἀντὶ τοῦ τῶν διωκόντων. τροπὴ ἀντὶ τοῦ τῶν διωκομένων. ἀλλὰ καὶ τῶν διωκόντων. ὡς ποιησάντων αὐτήν. τουτέστιν ὡς τρεψαμένων, ὥσπερ ἐπ' ἐκείνων. ὡς παθόντων, ἤγουν ὡς τραπέντων.

Τ ρίβων τρίβωνος ἀντὶ τοῦ ἀρσενικοῦ ἱματίου ἐστιν, ὅπερ ἐνεδέδυντο οἱ φιλόσοφοι. ὡς καὶ ὁ θεολόγος. δεινὸν γὰρ οἱ προσειληφότες τὸν τρίβωνα καὶ λαρυγγίζειν γαστριμαργήσαντας. τριβώνιον δὲ ῥάκος τι κα-

ταπετρίβομενον ἕως δυσμῆ, καὶ τῷ κωμικῷ λέγοντι. τὸ τριβώνιον δὲ οὗτος τι βούλεται πρὸς θεῶν. Προστρίβεται μῶμον ἀπὸ μεταφορᾶς τῶν παρατριβομένων τοίχῳ, ἢ τοιούτῳ τινί. καὶ ῥύπον ἐκεῖθεν προσλαμβανόντων. Καὶ προστρίβεταί τις τινὶ πληγάς. ἤγουν ἐπιθέμενος, καὶ τύπτων ῥάβδῳ ἢ τοιούτῳ τινί, ἐργάζεται πληγάς.

Τ ρία καὶ τέσσαρα, καὶ ἑξῆς ὀνόματα ἀριθμοῦ δηλωτικά. τὸ τρίτον δὲ καὶ τέταρτον καὶ ἑξῆς ὀνόματα τάξεως δηλωτικά. ἔστι γὰρ τρίτον μὲν τὸ ἔχον ὄπισθεν, πρῶτον καὶ δεύτερον, εἰσὶ δὲ ταῦτα τριγενῆ, ἀπὸ τῶν θηλυκῶν τούτων, τριταῖος, καὶ τεταρταῖος παρώνυμα. ὡς ἀθηναῖος, μυκηναῖος ἢ τοιοῦτό τι. ἔστιν οὖν ἄλλο τρίτον, καὶ ἄλλο τριταῖον. ὥσπερ ἄλλο ἀθῆναι, καὶ ἄλλο ἀθηναῖος. λαμβάνεται τὸ τρίτον τὸ τέταρτον καὶ τὰ τῆς ἀκολουθίας ταύτης, καὶ ἀντὶ τοῦ μορίων. ἃ ἁρμοδιώτερον λέγεται ἔχοντα ἐν τῇ συνθέσει τὸ μόριον. οἷον τριτημόριον, τεταρτημόριον καὶ ἑξῆς. Ἔχουσι δὲ ἐρωτηματικὰ τὸ πόσα, τὸ πόστον, τὸ ποσταῖον, καὶ τὸ ποστημόριον, καὶ πρὸς τὸ πόσα, ἀπαιτεῖ τὸ τρία τυχὸν ἢ τὸ τέσσαρα, πρὸς δὲ τὸ πόστον τὸ τρίτον ἢ τέταρτον, ἀντὶ τοῦ τάξεως, πρὸς δὲ τὸ ποσταῖον, τὸ τριταῖον, ἢ τεταρταῖον οἷον πρὸς τὸ ποσταῖος ἀπ' οὐρανοῦ πάρει, ἀπαιτήσει τὸ τριταῖος τυχόν, ἢ τεταρταῖος. ἤγουν τρίτην ἡμέραν ἔχω, ἀφ' οὗ πάρειμι. ἢ τετάρτην. πρὸς δὲ τὸ ποστημόριον, τὸ δύοσον. τὸ τρίτον ὃ τέταρτον ἀντὶ τοῦ μορίων ἢ τὸ δύοσον τὸ τριτημόριον τὸ τεταρτημόριον. Ζητεῖ δὲ τὸ μὲν πόσα, διωρισμένον ποσόν. τὸ δὲ πόστον τάξιν. τὸ δὲ ποσταῖον συμβαῖνον τι ἐν τάξει. τὸ δὲ ποστημόριον, μέρος. Ἐπεὶ δὲ τὸ ποσὸν διαιρεῖται, καὶ τὸ μὲν αὐτοῦ ἐστι συνεχές, τὸ δὲ διωρισμένον, ὅρος ἡ φύσις καὶ ἀντὶ τοῦ συνεχοῦς, ἕτερον ἐρωτηματικὸν τὸ πηλίκον. ὥστε πρὸς μὲν τὸ πόσα ἀπαιτεῖ τὸ διωρισμένον ποσόν, πρὸς δὲ τὸ πηλίκον, συνεχές.

Τ ρέπομαι τὸ νικῶ, καὶ τροπὴν ποιοῦμαι. καὶ καταβάλλω. οἷον τρέπομαι τοὺς πολεμίους. Τρέπομαι καὶ τὸ μεταβαίνω. οἷον ἄλλην ὁδὸν τρέπομαι, καὶ ἀπὸ τοῦ λέγειν ἀντὶ τοῦ πράττειν. Τρέπω δὲ τὴν ὀργὴν ἀπὸ τοῦδε εἰς τόδε. Ἐπιτρέπουσι τόδε ἀντὶ τοῦ δίδωμί σοι φροντίζειν αὐτοῦ. Καὶ ἐπίτροπος ὁ φροντιστής. Προτρέπουσι, ἤτοι παρακαλῶ σε μὴ βουλόμενον. μετὰ ἀπαρεμφάτου. λαμ-

βαίνεται δὲ ἀπὸ μείζονος προσώπου πρὸς ἔλαττον, μὴ ἔχον ἐξουσίαν πράττειν ὃ προστάττει, οἷον προέφθασεν ὁ ἡγούμενος τῷ θυρωρῷ ποιῆσαι τόδε.

Τ ριτογένεια ἡ ἀθηνᾶ. τουτέστιν ἡ φρόνησις, ἀφ' ἧς τρία συμβαίνει ἀπογεννᾶσθαι ἀγαθά. τὸ εὖ λογίζεσθαι. τὸ εὖ λέγειν. καὶ τὸ εὖ πράττειν.

Τ ύχη λέγεται κυρίως ὅταν ἄλλο ἐνεργῇ τις, εἶτα ἄλλο συμβῇ.

Τ ύχαι παρ' Ἕλλησι καὶ αἱ ταπειναὶ τάξεις τῶν ἀνθρώπων, καὶ ἀποτετευγμέναι, καὶ ὑψηλαὶ, καὶ ἐπικρατοῦσαι, ἀπὸ τῆς τύχης γὰρ ἐνόμιζον γίνεσθαι ταῦτα τοῖς ἀνθρώποις, καὶ οὐκ ἀπὸ εὐβουλίας, καὶ κακοβουλίας. διαφέρει δὲ ἡ τύχη τοῦ αὐτομάτου. τὸ τὴν μὲν τύχην λέγεσθαι εἶναι, ὅπερ ἔρχεται. τὸ δὲ αὐτόματον ὅταν γίνηταί τι μηδαμῶς ἄλλου μηδενὸς ἐνεργοῦντος.

Ε πιτύχησε. τὸ θέμα αὐτοῦ ἄχρηστον. λέγεται δὲ ἀντ' αὐτοῦ τὸ ἐντυγχάνω. ὅπερ ἐστὶ ταυτὸν τῷ περιτυγχάνω. λέγεται δὲ τὸ περιτυγχάνω, τὸ, ἐντὸς γίνομαι ἱσταμένῳ. μετὰ δὲ τῆς σὺν προθέσεως, συντυγχάνω τὸ, ἐρχόμενος συγκρούω τινὶ ἐρχομένῳ. Ἐπιτυγχάνω δὲ ἀγαθοῦ, καὶ ἀποτυγχάνω, τὸ ἐναντίον τούτου. ὁ μέλλων ἐντεύξομαι. ἀπὸ ἑτέρου καὶ οὗτος θέματος. ὁ μετὰ τῆς σὺν προθέσεως οὐ λέγεται. ἀντ' αὐτοῦ δὲ λέγεται τὸ συγκυρήσω ποιητικόν. μέμνηται δὲ τοῦ ἐπὶ ἐπιτεύξομαι. ἀφ' οὗ καὶ ἀποτεύγματα αἱ ἀποτυχίαι. ὁ δεύτερος ἀόριστος ἔτυχον, καὶ συνέτυχον, καὶ ἐπέτυχον, καὶ ἀπέτυχον. ὁ παρακείμενος τετύχηκα. λέγεται ἐπὶ μέλλοντος τυχήσω ποιητικῶς. ἀντὶ τοῦ ἐπιτεύξομαι καὶ ἐπὶ ἀορίστου τυχήσας, ἀντὶ τοῦ ἐπιτυχών.

Τ ὸ τυχὸν. καὶ τὸ τυγχάνον, μετὰ γενικῆς συντάσσονται. λαμβάνονται δὲ ἀντὶ τοῦ ἐκ τοῦ κατὰ τύχην. Ἴστεον δὲ ὅτι. ἐπὶ τῶν τοιούτων, εἰς τὸ ῥῆμα τῆς μετοχῆς ἀεὶ συνάγεται ὁ λόγος. οἷον ἔλαθε ποιήσας ἀντὶ τοῦ ἐποίησε. καὶ ἔτυχεν ἀναλώσας ἀντὶ τοῦ κατανάλωσε.

Τ ὸ τυπτόντων καὶ ἀφαιρείσθων, κατὰ συγκοπὴν λέγεται, ἀπὸ τοῦ τυπτέτωσαν καὶ ἀφαιρείσθωσαν. καὶ ὅσα τῆς ἀκολουθίας ταύτης.

Τ υφλώττω ἀντὶ τοῦ τυφλὸς εἰμί. τυφλόω δὲ τυφλῶ ἕτερον. ὑπνῶ δὲ καὶ ὑπνώττω ταυτόν.

Τ υκάνη. ἀπὸ τοῦ τύκω, παρώνυμον τυκάνη. ἧ ἀλοῶσι τὸν ἀστάχυν. ἣν κατὰ παραφθορὰν οἱ κοινοὶ δουκάνην φασίν.

Ο ἱ ἀττικοὶ τὰ τοῦ θηλυκοῦ γένους δυϊκὰ, ἀρσενικῶς προφέρειν εἰώθασιν. ὥσπερ. καὶ τὼ χεῖρε, ἐπικράτησε παρὰ λογοποιοῖς, καὶ παρ' Ἰσοκράτει. τὼ πόλεε τοῖν πολέοιν. καὶ ἐν τῇ γενικῇ τῶν ἐνικῶν εὕρηται. καὶ Εὐριπίδης. οὔτ' ἐλπίδος γὰρ οὔτε του δόξης ὁρῶ θάρσος. καὶ συνέσιος. ἡ πάντως ἀπὸ μιᾶς γίνου συμφορᾶς. καὶ σοφοκλῆς οὔτε του κλύων σάλπιγγος.

ΑΡΧΗ ΤΟΥ Υ.

ὕ βρις, ἀπὸ τῆς ὑπὸ καὶ τοῦ βρίθω, κατὰ συγκοπὴν τῆς πο ὥσπερ ὑσμίνη ἀπὸ τῆς ὑπὸ καὶ τοῦ μίμνω. ὑπομίμνη, καὶ κατὰ συγκοπὴν τῆς πο, καὶ πλεονασμῷ τοῦ σ, ὑσμίνη. ὕβρις, καὶ πάντα τὰ πρὸ δύο συμφώνων ὧν τὸ προηγούμενον ἄφωνον.

Υ βρίζω σε καὶ ὑβρίζω εἰς σε. ὅταν τις τὴν σὴν ὑβρίζῃ. ὡς ἀναφέρεσθαι τὴν ὕβριν ἐπὶ σέ. ὑβρίζει σε ἀντὶ τοῦ κατὰ πάντα τρόπον ἀτιμάζει σε. ὅτι δηλονότι διὰ ὕβρεως, καὶ πληγῶν. καὶ ἄλλης τινὸς ἐπηρείας. Ὑβρίζει εἰς σὲ ἀντὶ τοῦ ὑβρίζει τινὰ εἰς φίλον σὸν, ἢ εἰς τὰ περὶ σὲ ἐνδείκνυται.

Γ ίνωσκε ὅτι, τὸν ὑγιᾶ γράφουσιν οἱ ἀττικοὶ, καὶ τὸν ἐνδεᾶ καὶ τὸν εὐκλεᾶ. καὶ ἐπὶ τῶν οὐδετέρων ὁμοίως. τὰ ὑγιᾶ, καὶ τὰ ἐνδεᾶ. καὶ τἄλλα ὅσα τρία ἐν διαστάσει ἑξῆς ἔχουσι φωνήεντα, εἰς α ποιεῖ τὴν κρᾶσιν.

Υ δωρ παρὰ μὲν τοῖς ἄλλοις ποιηταῖς, μακρὸν, παρὰ δὲ τοῖς φρυγικοῖς, βραχύ. ὡς τὸ ἀὴρ, καὶ τὸ ἴσον, καὶ ἕτερα.

Ε στιν ἡ εὐθεῖα ὁ υἱὸς ἄχρηστον. αὐθὺς γράφεται ἄλλη εὐθεῖα ὁ υἱός. ἡ γενικὴ υἱέος. ἄχρηστος διὰ τοῦ ο μικροῦ. ἡ δοτικὴ τῷ υἱεῖ ἄχρηστον. καὶ υἱεῖ εὔχρηστον. ἡ αἰτιατικὴ τὸν υἱέα ποιητικόν. ἡ κλητικὴ ὦ υἱὲ εὔχρηστον. τὼ υἱέε τοῖν υἱέοιν τὰ δυϊκὰ εὔχρηστα. οἱ υἱέες ἄχρηστον. οἱ υἱεῖς εὔχρηστον. τῶν υἱέων τοῖς υἱέσι, καὶ οὐ τοῖς υἱοῖς. τοὺς υἱέας ἄχρηστον. καὶ τοὺς υἱεῖς εὔχρηστον.

Υ λακτεῖ κύων, βαΰζει σκύλαξ.

Υ λη λέγεται παρὰ τοῖς φιλοσόφοις ἡ ἀΐδιος. καὶ ἡ τοῦ ἀνδριάντος ὕλη. οἷον ὁ χαλκός. παρὰ δὲ τοῖς ποιηταῖς, ὕλη τὸ ἄλσος. παρὰ δὲ τοῖς ῥήτορσιν, ὕλη λόγων ἡ ὑπόθεσις αὐτῶν.

Λ ἄλσος μὲν καὶ δρυμὼν καὶ λόγχμη, τὸ ἐπὶ στερεᾶς γῆς. ἕλος δὲ τὸ λιμνῶδες καὶ καλαμῶδες.

Τ ὰ διὰ τοῦ ῦνω ῥήματα μακρὸν ἔχει τὸ υ. οἷον αἰσχύνω πλατύνω.

Ω σπερ πρόσφυξ πρόσφυγος πρόσφυγας, οὕτω καὶ ἄζυξ ἄζυγος, καὶ μονόζυξ, καὶ διά-

δυξ ὁ

δυξ ὁ διπλοῦς. ἄζυγες καὶ οἱ εἰς καιρὸν συζυγίας ὄντες, μήπω δὲ ὑπὸ ταύτῃ γεγονότες. οἵτινες ποιητικῶς καλοῦνται ἠΐθεοι.

Υ' ποσχνοῦμαι ὑποσχήσομαι, καὶ ὑποστήσομαι. ὑπεσχόμην καὶ ὑπέσχημαι.

Κ ατὰ ταυτὸν ὑπόγυιον λέγεται τὸ ἐγγὺς ὕστερον, καὶ πρόσφατον. τὸ ὑπὸ τὸ γυῖον καὶ τὴν χεῖρα ὄν. ὅθεν καὶ ὑπόγυιον παράδειγμα εἴρηται ἐκ τοῦ πλησίον.

Υ' πνῶ καὶ ὑπνώττω ταυτόν.

Υ' πέχω. τὸ ὑποτίθημι, καὶ δίδωμι. οἷον ὑπέχω δίκην.

Τ ὸ ὑπάγειν. τοῦ πορεύεσθαι διαφέρει. ὑπάγειν μὲν γάρ ἐστι τὸ ὑπόζυγον ἄγειν. καὶ δουλοῦν βόας ἢ ἵππους. καὶ ὅμηρος ὕπαγε ζυγὸν ὠκέας ἵππους. πορεύεσθαι δὲ τὸ βαδίζειν. τὸ δ' ὑπ' ἀριστοφάνους λεγόμενον, ὑπάγειν ἀντὶ τοῦ προάγειν ἐστίν. ὑπάγεθ' ὑμεῖς τῆς ὁδοῦ. ὡς περ γὰρ ὑπογράμματα ἀντὶ τοῦ προγράμματα. καὶ ὑφηγητὴν ἀντὶ τοῦ προηγητὴν, οὕτω καὶ ὑπάγειν ἀντὶ τοῦ προηγεῖσθαι. λέγει καὶ εὔπολις. σὺ δ' ὑπάγ' εἰς τοὔμπροσθεν.

Υ' πνῶ ὑπνῶ καὶ ὑπνώττω ἀμεταβάτως τὸ κοιμῶμαι. κοιμίζω δὲ ἕτερον μεταβατικῶς. ὃ καὶ κοιμῶ γράφεται ποιητικῶς. ἀφυπνίζω δὲ καὶ ἐξυπνίζω, τὸ ἐξ ὕπνου ἀνίστημί τινα.

Τ ὸ ὑπεξίσταμαι καὶ ἐξίσταμαι τάττεται ἐπὶ ὁδοῦ. τὸ δὲ ὑπανίσταμαι ἐπὶ καθέδρας. οἷον ὑπεξίσταμαί σοι τῆς ὁδοῦ. ὑπανίσταμαι δέ σοι τῆς καθέδρας.

Υ' πηρετῶ καὶ ὑπηρετοῦμαι τὸ αὐτό. ὧν τὸ μὲν λέγεται κοινῶς. τὸ δὲ ὑπηρετοῦμαι παρὰ τοῖς ἀττικοῖς.

Υ' πέρχομαι τὸ ὑποκάτω τινὸς ἔρχομαι. καὶ ἀπὸ τούτου, τὸ κολακεύω. οἱ γὰρ κολακεύοντες ὑποταγὴν σχηματίζονται.

Υ' πέχει τὰ ὕδατα ἡ θάλασσα. ἤγουν ὑποκειμένα ἔχει. ὑπέχει τις τινὶ δίκην. ἤγουν ὑποκείμενον ἑαυτὸν ἔχει εἰς δίκην. ὅπερ ἐνίοτε μὲν τετελεσμένην ἔχει τὴν σύνταξιν. οἷον ὑπέχω σοι δίκην. ἐνίοτε δὲ καὶ ἀπλοῦν. οἷον ὑπέχω δίκην ὅτε ἐξ ἀνάγκης ἡ δοτικὴ συνυπακούεται.

Υ' πέστη καὶ ἀντὶ τοῦ ὑπεχώρησεν ἐστὶ ποιητικόν. ὑπέστη ἀντὶ τοῦ ὑπέμεινε.

Η' ὑπὸ πρόθεσις ὅτε τὴν ὑποκάτω σχέσιν δηλοῖ, ἀττικῶς μὲν συντάσσεται μετὰ δοτικῆς. κοινῶς δὲ μετὰ αἰτιατικῆς.

Υ' ποκρίνεται τις ἀρετὴν, ἢ ἄλλό τι, ὅπερ οὐκ ἔχει, καὶ βιάζεται δοκεῖν ἔχειν. ὅθεν καὶ ὑποκριτὴς καὶ ὑποκρίνεται τις ἑαυτῷ τι, ἀντὶ τοῦ ὑπολογίζεται, καὶ ἐν ἑαυτῷ κρίνει. ὡς τὸ ἐπὶ αἰσχραῖς ὑποκρινομένῳ ἐμαυτῷ τὸ ὄναρ.

Υ' ποβολεὺς ὁ κατά τινας λεγομένους λόγους λαθραίως. καὶ ὑποβάλλει ὁ λέγει λόγον κατὰ τοῦ λέγοντος. ἀντὶ τοῦ λαθραίως ὑποσπείρει.

Υ' πομιμνήσκω τοῦτο ἀπὸ ἐλάττονος προσώπου λέγεται πρὸς ὑψηλότερος. ἀναμιμνήσκω δὲ τὴν δὲ. ἤγουν ἃ ἐξέβαλον τῆς μνήμης, τούτων αὖθις εἰς μνήμην ἄγω.

Υ' πέρμαχος ὁ ὑπέρ τινος μαχόμενος, ἀπόντος ἐκείνου. ὑπὲρ οὗ τὰ τῆς μάχης ἀνῄλετο. ἐκ τούτου καὶ ῥῆμα ὑπερμαχῶ γενικῇ συντασσόμενον.

Υ' πεξυρημένοι τὸ γένειον. ἀντὶ τοῦ μετρίως περιτετιλμένοι. τοῖς γὰρ παλαιοῖς ἔθος ἦν κοσμιότητος εἵνεκεν τὸν πώγωνα ἀφαιρεῖν τὸ τῶν τριχῶν πλῆθος ξυρῷ. ὅθεν καὶ τὰ κουρεῖα παρ' ἀριστοφάνει. καὶ μὴν λόγος ἦν πολύς ἐν τοῖσι κουρείοισι τῶν καθημένων.

Υ' πολύειν κυρίως τὸ ἐξυπολύειν ἐπὶ ὑποδημάτων. σπανίως δὲ καὶ ἀντὶ τοῦ ἁπλῶς λύειν.

Υ' ποχωροῦσιν ἡσυχῇ, καὶ βάδην. τουτέστιν ἐπὶ πόδα ἔρχονται σχολαίῳ ποδί.

Υ' πολαμβάνω τὸ δοξάζω, ὅθεν καὶ ὑπόληψις. ὑπολαμβάνω καὶ τὸ διαδέχομαι. ὡς καὶ ὁ θεολόγος. ἔπειτα τοῦτον ἐξορίαις ὑπολαμβάνουσι. κατὰ τοῦτο τὸ σημαινόμενον λέγεται τὸ ὑπολαβὼν δὲ ὁ ἄλλος τὸν λόγον, ἤγουν διαδεξάμενος.

Τ ὸ τυμβωρύχης καὶ φρεωρύχης, καὶ τοιχωρύχης σμικρύνονται. διότι ἔχουσι τὸ ῡ ἐκτεταμένον θέσει. ὅσα δὲ οὐκ ἔχει τὸ ῡ ἐκτεταμένον ἀπὸ θέσεως, μεγεθύνονται. οἷον τυμβωρύχος. φρεωρύχος. καὶ τοιχωρύχος.

Τ ὰ εἰς ῡς ψιλὸν ὀνόματα μονοσύλλαβα εἴτε ἀρσενικὰ εἴτε θηλυκὰ, μὴ ἀπὸ συναιρέσεως ὄντα, μακροκαταληκτοῦσι, καὶ περισπῶνται. οἷον μῦς. δρῦς. ὗς. σῦς. ὡσαύτως καὶ μυῶν. καὶ δρυῶν. καὶ ὑῶν καὶ συῶν. πᾶσαι γὰρ αἰτιατικὰ εἰς ν λήγουσαι τῇ ἰδίᾳ εὐθείᾳ ὁμοτονοῦσι. τὰ δὲ ὑπὲρ μίαν συλλαβὴν ἐπὶ τέλους ἔχοντα τὸν τόνον, μὴ ἀπὸ συναιρέσεως ὄντα, ὀξύνονται. οἷον, ἰχθύς. ὀφρύς. παλαμύς. ἀπὸ δὲ συναιρέσεως περισπῶνται, τοὺς ἰχθῦς, τὰς ὀφρῦς. ἐπὶ δὲ τῆς γενικῆς καὶ τῶν ἄλλων πτώσεων βραχύνονται. οἷον. ἰχθύος ὀφρύος.

Υ' στερῶ. τὸ ἐλλείπομαι. ὑστερίζω δὲ τὸ ὕστερος ἔρχομαι. ὑστερῶ ὑστερήσω ὑστέρηκα. ὑστέρησα δέ.

Υ' φάντης ἐργαζόμενος, ὑφαντικὴ δὲ ἡ τέχνη, γίνεται δὲ ἀπὸ τοῦ ὑφαίνω. ταλασία δὲ τὸ αὐτό. ἐκ τοῦ τλῶ τὸ καρτερῶ.

Υ' φαλοι δὲ κρυπτόμενοι ὑπὸ τῆς θαλάττης. ἔφαλοι δὲ τὸ ἐπάνω τῆς θαλάττης.

Τ ὰ εἰς ῡξ διὰ τοῦ ῡ ψιλοῦ, καὶ διὰ τοῦ ι ἐν μὲν τῇ εὐθείᾳ, θέσει μακρὸν ἔχουσι τὸ δίχρονον. οὐδέποτε γὰρ πρὸ τῶν διπλῶν βραχύνεται δίχρονον ἐκτεταμένον πλὴν τοῦ πλέξις. ὅτι

περὶ ἐλάττονος ποιοῦμαι τόδε τοῦδε. ἀντὶ τοῦ ἐλάττονα φροντίδα ἔχω.

Γ εριουσία περίλυπον καὶ περιπαθὴς τὸ πικρόν. ἀπὸ τῆς περὶ προθέσεως τῆς δηλούσης τὸ ἐκ περιουσίου.

Γ εριοστῶ τὸ πολλάκις περὶ τὸν αὐτὸν τόπον ἐπαναστρέφω. ἀριστοφάνης, ὅστις σε περιπλέοντα περινοστεῖ ἰδέ. Παλινοστῶ δὲ, καὶ νοστῶ, ποιητικά.

Σ ιώθασιν οἱ ποιηταὶ μὲν τὰ ὀνόματα τιθέναι πάσας τὰς προθέσεις. πλὴν τῆς διά. λογοποιοὶ δὲ μόνην τὴν περί. οἷον οὐ ναῦ ἔστι λόγων ἄπειρος. τῆς δὲ σῆς ψυχῆς περὶ καὶ τὴν πρὸς ὁμοίως καὶ μικρόν τι πρός.

Σ έμπειν τὸ ἀποστέλλειν τινὰ πρός τινα. καὶ τὸ ἐκβάλλειν. Προπέμπειν τὸ συνακολουθῆσαι τινὶ ἐξιόντι ἐπὶ τῷ συμπαίζεσθαι. Καὶ προπέμπουσιν οἱ ἔμπροσθεν ἐρχόμενοι. ἐπὶ τιμῇ τῶν ὄπισθεν. καὶ οἷον δορυφορεία. Παραπέμπειν δὲ τὸ παρακολουθεῖν διόλου τινὶ καὶ δορυφορεῖν. ἔτι παραπέμπει τὶς τινά, ὅταν μεθ' ἑαυτοῦ ἔρχηται. θεραπεύων, καὶ οἷον δορυφορῶν. Καὶ παραπέμπει ὁ ὕελος τὴν ἀκτῖνα, ἤγουν παραχωρεῖ καὶ δίδωσιν ἵνα δι' ἑαυτῆς ἔλθῃ.

Γ ηνίκα καὶ ὁπηνίκα ὥρας δηλωτικά. ὡσαύτως καὶ πηνίκα δή. ὡς τό, τί πηνίκα δὴ ἀφῖξαι ὦ κρίτων, ἢ οὐ πρωὶ ἔστι.

Γ ένταθλον λέγεται ὁ ἔχων ἐν δρόμῳ τὰ πέντε ἆθλα ταῦτα. πυγμήν. πάλην. ἅλμα. δίσκον. καὶ δρόμον.

Γ ηγαὶ λέγονται πληθυντικῶς ἐπὶ τῆς ἀρχῆς τῶν ποταμῶν. οἷον αἱ πηγαὶ τοῦ ἀχελῴου. αἱ πηγαὶ τοῦ νείλου. Καὶ ἐκβολαὶ αἱ ἀπολύσεις αὐτῶν εἰς τὴν θάλασσαν.

Γ ηδάλιον τὸ τῆς μεγάλης νεώς. πηδαλεῖον δὲ τὸ τῆς ἁλιάδος.

Γ ίνακες τὰ ἀγγεῖα ἐν οἷς ἐσθίομεν. καὶ αἱ διὰ σανίδων εἰκόνες. πινάκια καὶ εἰς ἃ ἐνεγράφετο τὰ κατὰ τῶν ἀποστελλομένων ἐγκλήματα. καὶ ἐν οἷς τὰ δικαστήρια ἐγράφοντο. καὶ αἱ ἀρχαί, ἃς ἐλάμβανον οἱ λαχόντες δικάζειν, ἤγουν ἀρχεῖν.

Γ ίπω πισοῦμαι, ἔπισον, καὶ πέπωκα.

Γ ίνει τις ὅταν ἔτι πίνῃ. Ἐκπίνει δὲ ὅταν ἐκπληροῖ τὸ ἔκπωμα. ὡς τό, ἐξέπιε τὴν κύλικα. πίω, πίομαι, καὶ ἔπιον.

Γ ιστεύω τόδε, καὶ ἀπιστῶ ὁμοίως τῷδε, πρὸς δοτικὴν ἀμφότερα. πιστεύω τῷ θεῷ, καὶ εἰς τὸν θεόν, καὶ πιστεύω τινὶ ὅταν ὡς ἀληθῆ λέγοντα αὐτὸν δέχωμαι. καὶ πιστεύω σοι τόδε, ἀντὶ τοῦ θαρρῶ σοι. ἀφ' ὧν πίστις ἡ πρὸς θεόν. καὶ πίστις λόγων. καὶ πίστις τὸ θάρρος. ὡς παρὰ σοφοκλεῖ. ἔλαυνε δ' ἐσχάτους ὁρίσεις τῷ τέλει πίστιν ἔχων ἤγουν θάρρος.

Γ ιπράσκω ἐνεστώς, ἐπίπρασκον παρατατικός, πράσω μέλλων, πέπρακα παρακείμενος, πιπράσκομαι ἐνεστώς, ἐπιπρασκόμην παρατατικός, πραθήσομαι μέλλων καὶ πεπράσομαι, ἐπράθην ἀόριστος. πέπραμαι παρακείμενος, πέπρασαι. πέπραται. πεπρᾶσθαι.

Γ ειθαρχία τὸ πει. ι. ὡς ἴκελοι μὲν ἀπὸ τοῦ εἴκω. ἰκέλη δὲ χρυσῇ ἀφροδίτῃ. ὅτι τὰ ὀνόματα τῶν ῥημάτων βραχύτερα.

Γ λεῖν τὸ μετὰ νεὼς πλεῖν. καὶ ἐπιπλεῖ τὰ ἐπίπερα τῷ ὕδατι, καὶ ὅσα κοῦφα, καὶ φύσιν ἔχοντα μὴ καταδύεσθαι ἐν τῷ ὕδατι, πλεῖν λέγεται ὅθεν. καὶ τὸ ἐπιπολάζειν. Νεῖν δὲ τὸ κολυμβᾶν μετὰ τέχνης. ὥστε τὸ πλεῖν ἐστι φύσει. τὸ δὲ νεῖν τέχνῃ. Ἀπὸ τοῦ κολυμβᾶν δὲ γίνεται ὄνομα, ὁ κολυμβητής. Καὶ τὸ στέλλεσθαι ἐπὶ θαλάττης λέγεται. οἷον ἐστείλατό τις τήνδε τὸν πλοῦν. Τὸ δὲ ὁδεύειν ἐπὶ ξηρᾶς. ἀφ' ὧν ὀνόματα, ὁδὸς ἐπὶ ξηρᾶς, πλοῦς καὶ στόλος ἐπὶ θαλάττης. τὸ μὲν πλοῦς. κοινόν τὸ δὲ στόλος ποιητικόν. πορεία δὲ ἐπ' ἀμφοτέρων.

Σ ὸ πλημμυρεῖν, ὃ καὶ βαρυτόνως λέγεται πλημμύρειν. ἀφ' οὗ τὸ ἐπλήμμυρον ἐπὶ ὕδατος, λέγεται καὶ ἐπὶ τῶν καθ' ὕδωρ χεομένων. ἀπὸ τούτου πλημμυρὶς καὶ πλημμυρία, ἡ ἀνάχυσις τοῦ ὕδατος ἐν τῇ γῇ. ἃ πάντα καὶ μακρὸν ἔχουσι τὸ υ. Ἄμπωτις δὲ τὸ ἐναντίον τῇ πλημμύρᾳ. ἤγουν ἡ συστολὴ καὶ ἡ ἀνάπωσις.

Γ λύμαι αἱ πλημμυρίδες τῶν ποταμῶν. Πλῆμαι δὲ αἱ τῶν ψεκάδων συνέχειες.

Σ ὰ ἀπὸ τοῦ πλήττω εἰμὶ εἰς ὃς λήγει, παθητικά εἰσιν ἀεί. οἷον ἔμπληκτος ἀπόπληκτος. ἃ λέγεται ἐπὶ τῶν πληγέντων τὴν γνώμην, καὶ ἐκφρενωθέντων. εἰ δὲ εἰς ηξ, ποτὲ μὲν ἐνεργητικά. οἷον βουπλὴξ τὸ κέντρον τὸ τὸν βοῦν πλῆττον. ποτὲ δὲ παθητικά, οἷον παραπλὴξ ὁ φθαρεὶς τὰς φρένας, καὶ τὸ πλῆγμα παραπληξία.
Καταπλὴξ ὁ συνεχῶς πεπληγμένος καὶ τῷ φόβῳ συνεχόμενος, τουτέστιν ὁ ψοφοδεής. καὶ καταπλὴξ ἐλέγετο ἡ πληγὰς συνεχεῖς ἔχουσα. Καὶ οἰστροπλὴξ ὁ οἴστρῳ καὶ μανίᾳ πληγείς. Ἰστέον δὲ ὅτι κατάπληξ μὲν καὶ παράπληξ γράφεται. καὶ παραπληξία. ποιητικῶς δὲ καὶ παράπληκτος. ὡς παρὰ σοφοκλεῖ. παραπλήκτῳ χερί. Ἔμπληκτος δὲ καὶ ἀπόπληκτος ὁ ἐμβρόντητος, καὶ οὐκ ἔμπληξ. καὶ ἀπόπληξ. ἄχρηστα γὰρ ταῦτα. τὸ δ' ὄνομα ἐμπληξία.

Σ ὸ πλὴν τρία σημαίνει. πλὴν ἀντὶ τοῦ χωρὶς γενικῇ. πλὴν ἀντὶ τοῦ εἰ μή, εὐθείᾳ καὶ αἰτιατικῇ. πλὴν ἀντὶ τοῦ ὅμως, ἀσύντακτον.

Γ νεῖ δίχα κοινόν, πνεῖ δὲ δίχα ἀττικόν. ἀναπνεῖ δέ τις ἀθρόα. οὐχὶ πνεῖ. ἔξωθεν γὰρ ἀντιλαμβανόμεθα τοῦ ἀέρος. Ἴσθι δὲ ὅτι τὸ πνεῖ, καὶ ῥεῖ, καὶ ζεῖ, καὶ ὅσα τοιαῦτα ἀττικῶς μέν, γράφεται, συνῃρημένως, ποιητικῶς δέ, διαλελυμένως. οἷον πνέει καὶ ῥέει.

Γ ολιορκεῖν τὸ περικυκλοῦν πόλιν μετὰ στρατεύματος. Ἐκπολιορκεῖν δὲ τὸ ἐκπορθεῖν. ὥσπερ καὶ πίνει ὅταν ἔτι πίνῃ. Ἐκπίνει δὲ τὸ ἐκπληροῦν τὸ πινόμενον. ὡς τὸ ἐξέπιε τὴν κύλικα.

Π όλεμος ἡ μάχη ἀφ' οὗ πολεμίζω πολεμῶ, τὸ μάχομαι. ὁ ποιητὴς πολεμίζω λέγουσιν. ἀφ' οὗ πολεμιστὴς, καὶ πολεμιστήριος ἵππος παρὰ τοῖς κοινοῖς. πολεμόω δὲ πολεμῶ ὅπερ μετὰ τῆς ἐξ προθέσεως εὕρηται, κυρίως τὸ εἰς πόλεμον τινὰ παρορμῶ.

Π ολέμιος ὁ ἀπὸ ἀλλοτρίας χώρας ἐχθρός. ἐχθρὸς δὲ ὁ ἀπὸ τῆς αὐτῆς, πᾶς οὖν πολέμιος καὶ ἐχθρός. οὐ μὴν πᾶς ἐχθρὸς πολέμιος.

Π όθος. ἐστὶν ἐπιθυμία πραγμάτων ἀπόντων. ἐπιθυμία δὲ καὶ ἵμερος τὸ αὐτό. καὶ λέγεται ἐπὶ τῶν παρόντων.

Π ότος οὐδετέρως τὸ ἁπλῶς πινόμενον. πότος δὲ ἀρσενικῶς ἡ τῶν πολλῶν ἐν συνκαθέδρα ἤγουν ὁμιλία πόσις, ὅθεν καὶ συμπόσιον, καὶ συμπότης.

Π ολίτης ἐμός ἐστιν ὁ δεῖνα, οὐδέποτε δὲ μετὰ τῆς σοῦ. ἤγουν ἀπὸ τῆς αὐτῆς. ἐστὶν ἐμοὶ πόλεως συμπολιτεύεται δέ μοι τις μετὰ τῆς σοῦ ἤγουν τὴν αὐτὴν ἐμοὶ πόλιν οἰκεῖ.

Ο πόθεν ἐνίοτε μὲν ἐστιν ἐρωτηματικόν, καὶ λαμβάνεται ἀντὶ τοῦ ἀπὸ ποίου τόπου, ἤγουν ἀπὸ ποίας αἰτίας. ἐνίοτε δὲ καὶ ἀπορηματικόν. ὅτε καὶ ἀντὶ τοῦ οὐδαμῶς λαμβάνεται, ὡς παρ' ἀριστοτέλει. ὡς μὲν ἀξίαν πόθεν, ἀντὶ τοῦ, οὐδαμῶς.

Π ορθοῦμαι ἐγὼ, καὶ πορθῶ ἕτερον ἀντὶ τοῦ ἀπωλέσας παρὰ πλάτωνι. ᾧ δὴ προτέτακται τὸν ἐνθάδε, ἐκεῖσε πορθήσαι ἀντὶ τοῦ ἀγαγεῖν.

Π ολεμῶ τῷ δεῖνι. καταπολεμῶ τὸν δεῖνα. ἐκπολεμῶ δὲ ἕτερον ἑτέρῳ ἤγουν ἐχθρὸν ποιῶ.

Ο πολλάκις οὐδέποτε ἀντὶ τοῦ ὁσάκις λαμβάνεται. εἰμὴ παρὰ τοῖς κοινοῖς.

Π ολύτιμος ὁ πολλῆς τιμῆς ἠξιωμένος. πολυτίμητος δὲ ὁ πολλῆς τιμῆς ἄξιος.

Π ονηρὸς ὀξυτόνως λέγεται ὁ κακότροπος. ἀπὸ τοῦ πόνους αἴρειν καὶ τελεῖν.

Π όνηρος δὲ προπαροξυτόνως, ὁ γεωργός. ἀπὸ τοῦ ποιεῖν περὶ τὴν ἄρουραν.

Π ονήρως δὲ ἐπίρρημα σημαίνει τὸ νοσηρῶς, ὡς ἔχει καὶ τὸ πονήρως ἔχω τοῦ σώματος.

Π ομπὴ καὶ προπομπὴ ἐπὶ τιμῆς. καὶ πομπεύω ἐὰν ἀμεταβάτως καὶ πομπεύω ἕτερον.

Π όρρω ἀντὶ τοῦ μακρὰν καὶ ἀντὶ τοῦ εἰς βάθος. οἷον πόρρω σοφίας ἐγένετο.

Π ομπὴ ἡ συνάθροισις τοῦ λαοῦ ἐπί τινι. καὶ πομπεῖα πληθυντικῶς τὰ ἱερὰ σκεύη τὰ προπεμπόμενα τῆς πομπῆς. ὡς ὁ δημοσθένης. ἀλλ' ἀνδροστίων πομπεία ἐπισκευαστής. καὶ πομπεύω τὸ πομπὴν ποιῶ.

Π ορθοῦμαι ἐπὶ τὴν θάλατταν. καὶ πορθοῦμαι ἐπὶ τῆς θαλάττης.

Ο πόσος. ἔχει τὴν ἐρώτησιν ἐπὶ πλήθους, εἰ πολύ ἐστιν ἢ ὀλίγον. ὁ δὲ πόστος ἐπὶ ἀριθμοῦ τεταγμένου ἑπτὰ ἢ δέκα.

Π ολυνείκης. μετὰ πολυνείκους ἀπὸ γὰρ τοῦ νείκους. ὅσα γὰρ παράκειται οὐδετέρῳ ὀνόματι, τὴν αὐτὴν ἔχει κλίσιν τῷ οὐδετέρῳ. ὁμοίως καὶ τὰ ῥήματι συγκείμενα, οἷον ἀριστοφάνης ἀριστοφάνους. ὀλυμπιονίκης δὲ ὀλυμπιονίκου ὅτι ἀπὸ τῆς νίκης.

Π ροβέβληταί τις ἤγουν πρόβολος ἵσταται. καὶ προβέβληταί τις, ἤγουν ἔμπροσθεν τίθεται.

Π ροΐσταταί τις ἤγουν ἔμπροσθεν ἵσταται. καὶ βοηθεῖ τοῖς ὄπισθεν, ἀφ' οὗ καὶ προστάτης.

Π ροσέχει ἡ ναῦς τῷ λιμένι, ἀντὶ τοῦ προσωρμίσθη. οἷον προσχὼν ἀπέβη τῆς νηός.

Δ ιαπρέπει, ἀντὶ τοῦ, διαλάμπει. ἐμπρέπει δέ τις τινι ἀντὶ τοῦ περιφανής ἐστιν ἐκείνῳ.

Π ροκαλοῦμαι τινὰ εἰς πόλεμον. καὶ πρόκλησις ἐπὶ πολέμου. ἐγκαλοῦμαι δὲ τὸ διά τινος καλῶ τινὰ ἀπὸ τῆς αἰτίας.

Π ροάστεια τὰ πρὸ τῶν τειχῶν τοῦ ἄστεος. ἃ καὶ προπόλεια λέγονται. καὶ προπόλιος κόσμος. ὁ πρὸ τοῦ τείχους τῆς πόλεως.

Π ράττω τὸ ἐνεργῶ, ἀφ' οὗ ἄπρακτος, ὁ ἀνενέργητος. πράττω δὲ τὸ διάκειμαι. οἷον εὖ πράττω. ἀντὶ τοῦ καλῶς διάκειμαι. καὶ κακῶς πράττω ἤγουν κακῶς διάκειμαι. ἀφ' οὗ εὐπραγία καὶ δυσπραγία.

Ε ἰσπράττομαι τὸ ἀπαιτῶ, εἰσπράττομαι τὸ ἀπαιτοῦμαι.

Π ράσσω ὁ παρ' ἴωσι, πρήσσω γράφεται, καὶ φωνῇ ἀττικῇ τοῦ α μακροῦ γίγνεται πράσσω. ὥσπερ καὶ θώρηξ θώραξ. καὶ πρῆσις πρᾶσις. καὶ θρῆξ θρᾷξ. ὁ μέλλων πράξω ἀττικῶς, πρήξω ἰωνικῶς. ὁ παρακείμενος πέπραχα. ἄχρηστος, ὁ ποιητικός. ὁ μέσος πέπραγα. ὃς ἀντὶ τοῦ ἔπαθον λαμβάνεται καὶ οὐχὶ ἀντὶ τοῦ ἐποίησα. ὁ παθητικὸς πέπραγμαι πέπραξαι πέπρακται. καὶ ἔστι τὸ πρα φύσει μακρόν. καὶ διὰ τοῦτο καὶ πρᾶγμα προπερισπᾶται, καὶ πρᾶξις, καὶ πρᾶσσε προστακτικόν. ἐπειδὴ πρᾶγμα καὶ πρᾶξις καὶ πρᾶσσε τὰ ἰωνικὰ, καὶ οὐ διὰ τὸ θέσει μακρὰ εἶναι. ἦ γὰρ ἂν καὶ τὸ τάγμα, καὶ τὸ γράμμα καὶ ἄλλα. ἀλλ' οὐκ ἔστιν, ἐπεὶ τὰ γὰρ θέσει μακρὰς περισπῶμεν οὐ τίθεται. πράττω οὖν πράξω, πέπραχα. ἐνεργητικόν. πέπραγα δὲ παθητικόν.

Π ρόγονοι πατὴρ, πάππος. πρόπαππος. καὶ οἱ ἀνωτέρω. ἀπόγονοι δὲ υἱὸς, ἔγγονος, καὶ οἱ κατωτέρω. πρόγονοι καὶ οἱ ἀπὸ προτέρου γάμου γεγεννημένοι. ὧν ὁ πατὴρ ἢ μήτηρ, εἰς δεύτερον ἦλθε γάμον. λέγονται δὲ πρόγονοι πρὸς τοὺς ἀπὸ τοῦ δευτέρου γάμου γεγεννημένους. ἀπόγονοι δὲ λέγονται οἱ ἀπὸ τοῦ δευτέρου γάμου.

Ο πρότερον λέγεται ἐπὶ δυοῖν. τὸ δὲ πρῶτον ἐπὶ πολλῶν. καὶ τὸ μὲν πρῶτον λαμβάνεται ἐνίοτε μὲν ἐπὶ τάξεως. ἐνίοτε δὲ ἐπὶ ἀριθμητικῶς. τὸ δὲ πρότερον ἀεὶ ἐπὶ τάξεως.

Π ροΐεμαι ὁ μέλλων προήσομαι. ὁ δεύτερος προηκάμην. ὁ δεύτερος ἄχρηστος. τὸ προστακτικὸν

γίνεται. ἢ πολλὰ ἐν μιᾷ τάξει, ἢ ἐν ἑνὶ χρόνῳ δὲ οἷον πρότερος ἦλθε τοῦδε. καὶ πρότερος ὁ δεῖνα ἡμῶν. ἢ τῷ χρόνῳ ἢ τῇ τάξει, ἡμῶν δηλονότι ἐν μιᾷ τάξει ἢ ἐν ἑνὶ χρόνῳ ὄντων. τὸ δὲ πρῶτον, ὅταν πολλὰ ᾖ ἑπόμενα, ἄλλο ἄλλου πρότερον ἐφεξῆς ἢ κρεῖττον. ἀκολουθεῖ δὴ πρὸς μὲν τὸ πρότερον τὸ δεύτερον μόνον. ἢ πληθυντικῶς τὰ δεύτερα, κατὰ τὸν εἰρημένον λόγον, πρὸς δὲ τὸ πρῶτον, δεύτερον, τρίτον καὶ ἑξῆς.

Δ πὸ δὲ τῆς ὑπὸ προθέσεως γίνεται συγκριτικὸν μὲν ὕστερον. ὑπερθετικὸν δὲ ὕστατον. ὧν τὸ μὲν ἀπαντᾷ πρὸς τὸ πρότερον. τὸ δὲ ὕστατον, πρὸς τὸ πρῶτον ὅταν ἐπὶ χρόνου ταῦτα λαμβάνηται. ἐπὶ γὰρ τάξεως, τὸ ἔσχατον ἀπαντᾷ, καὶ τὸ δεύτερον. ὃ καὶ ἐπὶ χρόνου λαμβάνεται, καὶ ἐπὶ τάξεως. ἔστι δὲ δύο ἐξ ἀνάγκης ὑπερθετικὰ χρονικά, τὸ πρῶτον, καὶ ὕστατον. τὸ μέν, ἐπὶ τῆς ἀρχῆς. τὸ δέ, ἐπὶ τοῦ τέλους καὶ δύο ὁμοίως τάξεως τὸ πρῶτον, καὶ τὸ ἔσχατον. τῶν δὲ μέσων τούτων, μόνον τὸ δεύτερον συγκριτικῶς ἐξ ἀνάγκης προφέρεται. ἐπὶ δὲ τῶν ἄλλων ἁπάντων οὐδεμίαν ἔχει χώραν, οὔτε τὸ συγκριτικόν, οὔτε τὸ ὑπερθετικόν, ὁ δὲ τέταρτος καὶ ὑπερθετικὸν ἀπὸ τοῦ δευτέρου σχηματίζει, τὸ δεύτατον. θέλει δὴ τοῦτο σημαίνειν ταυτὸν τὸ ὕστατον. τὸ δὲ τρίτατος παρὰ ποιηταῖς, οὐχ ὑπερθετικῶς οὕτω σχηματίζεται. ἀλλ' ὡς τὸ ὀγδόατος παρ' αὐτοῖς καὶ ἑβδόματος. ἃ κατὰ ἀκολουθίαν λέγεται, τοῦ τέταρτος, καὶ δέκατος· καὶ πεντεκαιδέκατος, καὶ τῶν ὁμοίων.

Π ρὸς πρόθεσις δηλοῖ κίνησιν πρὸς ἔμψυχον κυρίως. ὅτε δὴ καὶ συντάσσεται αἰτιατικῇ· οἷον πρὸς τὸν δεῖνα ἀπέρχομαι. δηλοῖ δὲ καὶ ὕπαρξίν τινος, ἢ ἐνέργειαν. προσεπιφέρει δὲ τούτῳ καὶ ἄλλο, καὶ συντάσσεται δοτικῇ. ὡς τὸ πρὸς τῷ ποιῆσαι τόδε ἐποίησας τόδε. τοῦτο δὲ καὶ ἐν τῇ συνθέσει ἔχει. οἷον πρόσεστί μοι τόδε. ἐμφαίνει δὲ καὶ ἄλλο, ὅπερ ἔχω καὶ πρὸς ἐκείνῳ καὶ τοῦτο. λαμβάνεται δὲ καὶ ἐπὶ ὅρκου. καὶ ἀντὶ τοῦ ἐνώπιον. καὶ ἀντὶ τῆς παρὰ προθέσεως καὶ συντάσσεται γενικῇ. σημαίνει δὲ ἐν ταῖς συνθέσεσι, καὶ τὸ ἔρχομαι πρός τι, μετὰ κλίσεως δουλικῶς. οἷον προσῆλθόν σοι. προσεδράμομεν τῇ ἐκκλησίᾳ.

Π ρὸ πρόθεσις ἀεὶ μετὰ γενικῆς συντάσσεται. δηλοῖ δὲ καὶ ἐν τῇ συνθέσει τὸ ἔμπροσθεν. οἷον προπισσοῦται αἰθίοπες. ἀντὶ τοῦ ἔμπροσθεν πισσοῦται. Καὶ τὴν προτέραν τινὸς ὕπαρξιν οἷον προγενέστερος ὁ δεῖνα τοῦ δεῖνος. Καὶ τὸ ὑπέρ τινος ἵστασθαι οἷον, προΐσταμαί σου, καὶ προασπίζω σου.

Π υῤῥὸς ὁ πυρώδεις ἔχοντας τρίχας καὶ τὴν πρόσοψιν. Πυρσὸς δὲ ἡ εἰς ὕψος αἰρομένη φλόξ. ἐπὶ δὲ τοῦ θηλυκοῦ καὶ τοῦ οὐδετέρου, οὐδὲν παραλλάττεται.

Π υνθάνομαι ὁ παρὰ ποιηταῖς πεύθομαι λέγεται, εἰ μὲν τὸ μανθάνω, καὶ τὸ ἀκούω δηλοῖ, αἰτιατικῇ συντάσσεται. εἰ δὲ τὸ ἐρωτῶ, γενικῇ.

Π υνθάνομαι ἐνεστώς. ἐπυνθανόμην παρατατικός, πεύσομαι μέλλων. ἐπυθόμην δεύτερος ἀόριστος. πέπυσμαι παρακείμενος.

Π ύλη λέγεται ἡ ἐν διεξόδῳ πόλεως οὖσα καὶ ναῶν. καὶ μεγαλοπρεπῶν οἴκων ὑπάρξεις. θύρα δὲ ἐπὶ τῶν τυχόντων οἰκημάτων. θύρεον δὲ καὶ θυρὶς θυρίδος, τὸ ἰδιωτικῶς λεγόμενον παραθύριον.

Π υρὰ θηλυκῶς τὸ πῦρ τὸ ἐπὶ νεκρῷ ἁπτόμενον. Καὶ ὁ τόπος ἐφ' οὗ τὸ πῦρ ἅπτεται.

Π ωλοδαμνεῖν ἐπὶ ἀλόγων λέγεται κυρίως. ἐπὶ δὲ ἀνθρώπων τὸ παιδαγωγεῖν. καὶ παιδοτριβεῖν. ἀφ' ὧν παιδαγωγὸς καὶ παιδοτρίβης ὁ λεγόμενος βαΐουλος.

ΑΡΧΗ ΤΟΥ Ρ.

Ρ ᾄδιον τὸ εὔκολον. ῥᾷον τὸ εὐκολώτερον. ῥᾷστον τὸ εὐκολώτατον. καὶ τὸ μετὰ ἀνέσεως γινόμενον. ἐκ τούτου καὶ ῥᾳστώνη ἡ ἄνεσις. ἔχει δὲ καὶ τὸ ι. προσγεγραμμένον. καὶ δῆλον ἐκεῖθεν, οὕτω ῥαΐσα δ' παρ' ἡμῶν δῆγε κύκλωψ, ἐνίοτε δὲ τὸ ῥᾷστα μετὰ ἀπαρεμφάτου συντακτέον. οἷον ῥᾷστον περᾶσαι. ῥᾷστον ἀνύσαι.

Ρ ᾳστώνη ἡ εὐκολία, καὶ ἡ ἄνεσις.

Ρ ᾳδιουργία κυρίως ἐπὶ τῶν ῥᾳδίως πάντα ἐργαζομένων. κατεχρήσαντο δὲ τῇ λέξει ἐπὶ τῆς πονηρίας. ταυτὸν ἐγένετο καὶ ἐπὶ τῆς πανουργίας, καὶ τοῦ πανούργου. ἔστι γὰρ πανοῦργος κυρίως μὲν ὁ πᾶσιν ἔργοις ἐπιβάλλων, ἤγουν ὁ δραστήριος καὶ ἐνεργής, κατεχρήσαντο τῇ λέξει οἱ παλαιοὶ ἐπὶ τοῦ ἐν κακοῖς νοήμασιν εὐεπιβόλου.

Ρ αγδαῖον. ἐπὶ ὑετοῦ λέγεται, ὅταν σφοδρῶς κατέρχεται καὶ μετ' ἤχου.

Ρ αφανὶς μὲν οἱ ἀττικοὶ λέγουσι τὴν παρ' ἡμῶν κράμβην. ῥαφανίδα δὲ τὴν παρ' ἡμῖν ῥάπαλον.

Ρ ά τα εἰς ρα θηλυκὰ ἐν φωνήεντι παραληγόμενα μακρά εἰσιν. οἷον ἡμέρα. ἐλευθέρα. χώρα. πήρα. τὰ δὲ διφθόγγῳ παραληγόμενα οὐδέποτε. οἷον μοῖρα. πεῖρα. σεσημείωται δὲ φαιδρὰ κύρια λαύρα. σαῦρα. καὶ αὖρα.

Ρ ὶς ἐπὶ ἀνθρώπων. ῥύγχος ἐπὶ κυνῶν. ῥάμφος ἐπὶ ὀρνέων. ἐν συνθέσει δὲ εὔρινοι κύνες. καὶ ῥινηλατεῖν ἐπὶ τῆς ἀνιχνεύσεως τῶν κυνῶν.

Ρ ιπτῶ τὸ ἁπλῶς ῥίπτω. ῥιπτῶ δὲ τὸ μετὰ σφοδρότητος.

Ρ ιγῶ ῥιγῶ ἐπὶ κρύους. ῥιγέω δὲ ῥιγῶ τὸ φοβοῦμαι. ἔστι δὲ τὸ ρι ἐν ἀμφοτέροις μακρόν, ἀφ' οὗ καὶ ῥῖγος. ῥοιαὶ μὲν σὺν τῷ ι. τὰ δένδρα, ῥοαὶ δὲ ὁ καρπός.

Ρ όδον τὸ ἄνθος. ῥοδωνιὰ ὁ τόπος. ῥοδῆ δὲ τὸ φυτόν. ἀρχίλοχος. ἔχουσα θαλλὸν μυρσίνης ἀφνεὸν τερπνὸν ῥοδῆς τε καλὸν ἄνθος.

Ρ ὁ διπλοῦν ρρ περιττῶς εὑρίσκεται, διπλασιαζόμενον φυσικῶς. οἷον θάρρος. πυρρός. ἀπὸ αὐξήσεως χρόνου. οἷον ἔρριψα, καὶ ἀπὸ συνθέσεως. οἷον ἐπίρρημα. πλὴν οὐ διὰ παντὸς ἐν ταῖς συνθήκαις εὑρίσκεται διπλοῦν. εὑρεῶ γὰρ εὔροια. εὐρωστία. ὅτι εἰς σύμφωνον δοκεῖ λήγειν τὸ δεύτερον. τὰ γὰρ εἰς σύμφωνον λήγοντα, ἅτινα μετὰ τὴν ἀπὸ τοῦ ρ ἀρχομένων συντιθέμενα. οὐ διπλασιάζονται. οἷον ῥοῦς εὔρους. διπλασιάζεται δὲ τὸ ρ, ἐφ' ὧν μόνον, λήγει μὲν εἰς φωνῆεν ἡ λέξις, συντίθεται δὲ μετὰ τῆς ἀπὸ τοῦ ρ ἀρχομένης ῥοῦς καταρρους ῥῆμα ἐπίρρημα. αἴτιον δὲ, ὅτι τὸ μὲν ρ ἡμίφωνόν ἐστι, τὰ δὲ φωνήεντα χασμωδίαν ποιοῦσι. τὸ δὲ τῆς χασμωδίας ἡ φύσις ἐκφεύγουσα, διπλασιάζει τὸ ρ. Γέγραμμα δὲ, καὶ ἔκρους, καὶ μυεία ὅσα οὐ διπλασιάζονται. χασμωδίαν γὰρ οὐδεμίαν ἔχει.

Ρ υσαὶ αἱ μὴ λεῖον ἔχουσαι τὸ δέρμα, καὶ ῥυφαφεῖς. καὶ διὰ τὸ μὴ τεταννυσμένον ἀλλὰ ἀπολελυμένον, ὡς συνιζάνον κοιλότητας ἐμποιεῖν.

Ρ υπόω ῥυπῶ, τὸ ῥύπου πληροῦμαι. καὶ ῥυποῦν ἱμάτιον, τὸ ῥύπου μετέχον. Ρυπόω δὲ ῥυπῶ μεταβατικὸν. καὶ ῥυπαίνω, τὸ μολύνω.

Ρ ύομαι παθητικὸν ὂν τῇ προφορᾷ ἐνεργητικὴν ἔχει τὴν σημασίαν. ῥύομαί σε γὰρ φαμὲν, καὶ οὐχὶ ῥύομαι ὑπὸ σοῦ.

Ρ ώννυμαι ῥώσομαι ἐρρώσθην. καὶ τοῦ ὑπερσυντελίκου τὸ δεύτερον ἔρρωσο. τὸ τρίτον ἔρρωτο. ἀχρήστου ὄντος τοῦ πρώτου καὶ τῶν λοιπῶν. ἔρρωται δέ.

ΑΡΧΗ ΤΟΥ Σ.

Σ αλεύειν. κυρίως ἐπὶ νεὼς λέγεται. ὅταν ἐπ' ἀγκύρας κινῆται, καὶ σείηται, ὑπὸ τῶν κυμάτων ταραττομένη. σάλος γὰρ ἡ ταραχὴ τῆς θαλάττης.

Σ αυτὸν ἀντωνυμία σύνθετος δευτέρου προσώπου. καὶ ἐμαυτὸν ἀντωνυμία σύνθετος πρώτου προσώπου, καὶ ἑαυτὸν ἀντωνυμία, σύνθετος τρίτου προσώπου. εἰσὶ δὲ καὶ τριγενεῖς· καὶ εὐθεῖαν οὐκ ἔχουσι, καὶ τίθενται ὅταν αὐτοπάθεια γένηται. οἷον ἐμαυτὸν τύπτω. καὶ σαυτὸν τύπτεις. καὶ ἑαυτὸν τύπτει. ἐπὶ δὲ τῶν πληθυντικῶν οὐκ ἐν συνθέσει. ἀλλ' ἐν διαστάσει τίθενται. οἷον ἡμᾶς αὐτοὺς τύπτομεν. καὶ ὑμᾶς αὐτοὺς τύπτετε. καὶ σφᾶς αὐτοὺς τύπτουσιν. εὕρηται δὲ καὶ ἑαυτοὺς τύπτουσιν. ὅπερ ἀλόγως γέγονε.

Σ ῖγα. ῥῆμα, ἀντὶ τοῦ σιώπα. συζυγίας δευτέρας τῶν περισπωμένων ἀμφότερα μακρά. σῖγα δὲ ἐπίρρημα ἀντὶ τοῦ σιωπηλῶς, ὅπερ ἔχει βραχεῖαν τὴν λήγουσαν καὶ προπαροξύνεται.

Σ ιτοῦμαι. τὸ τρέφω. ἐπισιτίζομαι δὲ τὸ ἐφόδια λαμβάνω. ἤγουν μετὰ τὸ φαγεῖν λαμβάνω καὶ ἀπέρχομαι.

Σ ικελὸς ὁ ἐξ αὐτῆς τῆς σικελίας. σικελιώτης δὲ ὁ ἐξ ἀλλοδαπῆς ὤν, ἔπειτ' ἐν σικελίᾳ διατρίβει, ἢ κατοικῶν.

Σ ιτίον καὶ ἄρτον.

Σ καιὸν τὸ ἀριστερόν. ἢ τὸ κακόν, καὶ ἀπαίδευτον.

Σ κηνὴ ἡ πρόσκαιρος κατοικία, ἣν ὅμηρος κλισίαν λέγεται, καὶ ἡ τῶν δραματουργῶν σκηνή, ἤγουν τὰ προσωπεῖα, καὶ οἱ ἐμβάται, καὶ αἱ τοιαῦται στολαὶ, καὶ τ' ἄλλα. ἀπὸ τούτου σκευὴ πᾶσα, ἡ ὑπόκρισις, καὶ ὑπουλότης.

Σ κότιος ὁ μὴ φυσικὸς υἱός, ἤγουν ὁ κοινῶς κοπέλλος. ᾧ ἐναντίον ὁ γνήσιος. ἤγουν ὁ ἐκ γαμετῆς. τῷ δὲ γνησίῳ ἐναντίον ὁ νόθος, ἤγουν ὁ υἱοθετός.

Σ κοτίζω μὲν, τὸ σκότον ποιῶ. Σκοτῶ δὲ σκοτώσω τὸ τυφλώσω ἐπαίω. Ἐπισκοτῶ δὲ ἐπισκοτήσω, τὸ ἐπιπροσθῶ, ὡς ὅταν ἡ σελήνη ἐν ταῖς ἡλιακαῖς ἐκλείψεσιν ἐπισκοτῇ τὸν ἥλιον.

Σ κευοφόροι. λέγονται οἱ τὴν ἀποσκευὴν φέροντες. Ἀποσκευὴ δ' ἐστὶν ἡ κοινῶς λεγομένη κα[illegible]. ἤτοι τὰ πρὸς ὁδὸν χρησιμεύοντα σκεύη. Σκευὴ δὲ τὸ ἔνδυμα.

Σ κήπτω, τὸ ἐπιστηρίζω. Καὶ ἀποσκήπτειν μετὰ τῆς ἀπὸ προθέσεως. τὸ ἀπὸ ὅλου εἰς ἓν μέρος συνάγεσθαι τὸ λυποῦν. ἀφ' οὗ καὶ ἀπόσκημμα, τὸ κοινῶς ἀπόστημα. Καὶ μετὰ τῆς ἐν προθέσεως, ἐνσκήπτω, τὸ βαρέως ἐπέρχομαι. ἀφ' οὗ καὶ νόσος ἐνέσκηψεν.

Σ κηπτός. ὁ κεραυνός. καὶ ἐγκατέσκηψεν ὑετὸς, ἀντὶ τοῦ λάβρος καὶ πολὺς κατηνέχθη. Σκῆψις δὲ ἡ πρόφασις. Καὶ σκήπτομαι τὸ ἐντέλλομαι. Καὶ ἐπισκήπτω τὸ προστάσσω. οἷον θεία ὄψις ἐπιφανεῖσα τῷ ἁγίῳ, ἐπέσκηψε τὸ δεῖν τι ποιεῖν. σκυτίνη, ἐπιρίζωμά τι ἀπὸ λώρου παρὰ σκύτους, ὅ ἐστι δέρμα.

Σ κυταλωτὸς ῥαβδωτός. σκυτάλη γὰρ παρ' ἀττικοῖς ἡ κατηγορία. ὁμοίως καὶ παρὰ λακεδαιμονίοις. ἔστι δὲ καὶ εἶδος ὄφεως. Σκυταλὶς καμπῶν τι εἶδος, ὅ ἐστι ζῶόν τι. Σκυταλούμενον, ξύλῳ τυπτόμενον.

Σ ὁ σκότος λέγεται κοινῶς. τὸ σκότος δὲ ἀττικῶς. καὶ τῷ μὲν οὐδετέρῳ χρῶνται οἱ κοινοί. τῷ δὲ ἀρσενικῷ, οἱ ἀττικοί. ὁμοίως καὶ τέφρα τέφρος. κοινῶς μὲν τὸ πρῶτον. ἀττικῶς δὲ ὁ τέφρος.

Σ οφία μέν ἐστι δύναμις τοῦ θεωρητικοῦ τῆς φιλοσοφίας. Φρόνησις δὲ τοῦ πρακτικοῦ. Ἴστεον δὲ ὅτι ἡ μὲν σοφία ἐνεργεῖ ὁπωσδήποτε τῶν πραγμάτων ἐχόντων. ἡ φρόνησις δὲ ἀνενέργητος μένει, τῆς προνοίας ἄλλως οἰκονομούσης τὰ πράγματα. ἢ τῶν διδασκομένων οὐχ ὑπακουόντων ἢ οὐκ ἐπαϊόντων.

Σ οφίζομαι. τὸ σοφιστικῶς λέγω. ἤγουν τὸ δι' ἀπο-

χειρημάτων ἀπολείπωμαι. ὅπερ οὐ κυρίως τοῦ αὐτοῦ ἐστιν. Σοφίζομαι καὶ τὸ παραλογίζομαι ἕτερον, καὶ τὸ ἐφευρίσκω, ὅθεν καὶ σοφιστὴς ὁ ἐφευρετής. Καὶ τὸ μηχανῶμαι. Καὶ σοφίζομαι ὑφ' ἑτέρου, ὅπερ ἔχει ἐνεργητικὸν τὸ σοφίζω. ἤγουν σοφίζω ἕτερον. Ἐκ τούτων γίνεται καὶ τὸ σοφιστὴς ὃ σημαίνει τέσσαρα. τὸν φιλόσοφον. τὸν διδάσκαλον. τὸν ῥήτορα, καὶ τὸν ἀπατεῶνα.

Σ πλάγχνον. ἡ καρδία. ἀφ' οὗ καὶ εὔσπλαγχνος, ὁ ἀγαθοκάρδιος καὶ εὐσεβής. Ἄσπλαγχνος δὲ ὁ κακοκάρδιος καὶ δειλός.

Σ πεύδω ἀντὶ τοῦ σπουδάζω ἐστί. Ἐπισπεύδω δὲ ἕτερον, ἤγουν ἐπείγω.

Σ πεῖσαι. μὲν τὸ δι' ὑγρῶν θῦσαι. οὗ τὸ θέμα σπένδω. Σπείσασθαι δὲ τὸ τοῖς πολεμίοις φιλιωθῆναι. ὅμοιως καὶ τὸ σπένδω καὶ τὸ σπένδομαι. σπείσομαι ὁ μέλλων σπείσομαι. ὁ παθητικὸς ἐσπεισάμην.

Σ πῶ. τὸ μεταλαμβάνω, καὶ συντάσσεται γενικῇ. οἷον ἔσπασε τοῦ ὕδατος. Ἐπισπῶμαι δὲ ἄλλοι αἰτιατικῇ τὸ λαμβάνω. Κατασπῶμαι δὲ καὶ διασπῶμαι καὶ ἀνασπῶμαι ὑφ' ἑτέρου. ὁ μέλλων κατασπασθήσομαι, ἐπισπάσομαι δὲ ἄλλων, ἐπισπάσθην δὲ ὑφ' ἑτέρου.

Σ παρτιάτις γυνὴ ἐκτείνει τὸ ᾱ. ὅθεν καὶ τὸ σπαρτιάται προπερισπᾶται.

Α' νασπῶ τὸ τὰς ῥίζας τῶν βοτανῶν τέμνω.

Α' ποσπῶ τὸ ἀποτέμνω καὶ ἀπομερίζω. Κατασπῶ τὸ καταχαλῶ. Ἐπισπῶμαι παθητικῶς τὸ λαμβάνω. Γρηγορῶ δὲ παρ' ἀττικοῖς τὸ περιαιρῶ. ὡς παρὰ τῷ φιλοστράτῳ. περιασπάσας τὴν ἀσπίδα.

Σ πουδάζω τὸ φιλοσοφῶ. ὅθεν καὶ σπουδαῖος ὁ φιλόσοφος. οὗ τὸ ἐναντίον παίζω. Δηλοῖ δὲ καὶ τὸ σπεύδω. οἷον σπουδάζω ποιῆσαι τὸ δεῖνα. Σπουδάζω πρὸς σὲ, ὅταν σε ἀξιῶ ἐπιμελείας τοῦ σώματος. Σπουδάζω περὶ σὲ, ὅταν ἐπιμελῶμαι τῶν περὶ σὲ πραγμάτων.

Σ πεῖρα λέγεται καὶ ἐπὶ τοῦ ὄφεως ὅτε ποιεῖ κύκλους, καὶ συστρέφεται. Καὶ σπειρηδὸν ἀντὶ τοῦ κυκλοτερῶς, καὶ δίκην ὄφεως. ἐπὶ τοιαύτῃ δὲ σημασίᾳ καὶ συσπειραθεὶς ἀντὶ τοῦ συλλεγείς.

Σ τρατεία. ἡ στράτευσις. Στρατιὰ δὲ τὸ στράτευμα. Στρατόπεδον δὲ κυρίως ὁ τόπος ἐν ᾧ τὸ στράτευμα ἵσταται, καταχρηστικῶς δὲ, καὶ αὐτὸ τὸ στράτευμα.

Σ τέλλω. τὸ κοσμῶ. Στέλλομαι δὲ ἐπὶ θαλάττης τὸ πορεύομαι. οἷον ἐστειλάμην τὸν δὲ τὸν πλοῦν.

Σ ταθμὰ ἐπὶ ζυγοῦ, σταθμοὶ καὶ οἱ οἶκοι, ἔνθα ἱστάμεθα οἱ ἵπποι, ἢ βόες. ἤγουν οἱ κοινῶς σταῦλοι. καὶ οὐδετέρως λέγονται τὰ σταθμά. Σταθμοὶ καὶ αἱ παραστάδες.

Σ τύραξ θηλυκῶς μὲν θυμίαμα. ἀρσενικῶς δὲ τὸ ξύλον τοῦ ἀκοντίου.

Σ τάδιον λέγεται τὸ κατ' εὐθεῖαν εἰς μῆκος τεταμμένον. λέγεται δὲ καὶ ὁ τόπος ἐν ᾧ ἔτρεχον. ἦν διάστημα πήχεων τετρακοσίων διάστημα.

Σ τόρνω τὸ ἀγαπῶ αἰτιατικῇ. Στόργω δὲ τὸ ὑπομένω καὶ προσδέχομαι, δοτικῇ.

Σ ταυρὸς τὸ ὀρθὸν ξύλον, καὶ σκόλοψ τὸ αὐτό. ἀπὸ τοῦ σκόλοψ τὸ ἀνεσκολοπίσθη, ταυτὸν τῷ ἀνεσταυρώθη.

Σ ταθῆναι μὲν ἐστὶ τὸ ὑφ' ἑτέρου. Στῆναι δὲ τὸ κατ' ἰδίαν ὁρμὴν, καὶ προαίρεσιν, οἷον ἐστάθη ὁ ἀσθενὴς ὑφ' ἑτέρου. ἔστη δὲ ὁ ἄνθρωπος ὑγιὴς δι' αὐτοῦ. ἐστάθη δὲ ὁ νοσῶν δι' ἑτέρου.

Σ ταφυλή. ὁ βότρυς. Σταφύλη δὲ ἡ ἐπικρεμαμένη παρὰ τῶν τεκτόνων μόλιβδος.

Σ τρουθία. μὲν λέγονται πάντα τὰ μικρότατα τῶν ὀρνίθων. Στρουθὸς δὲ κυρίως ὁ λεγόμενος σπουργίτης.

Σ τόμια τὰ χαλινὰ ποιητικῶς. στόμιον δὲ ἐπὶ φρέατος καὶ ἐπὶ ἄλλων τινῶν.

Σ τωμύλος ὁ μετὰ χάριτος πιθανολογῶν. Καὶ στωμύλον φθέγμα τὸ ἀστεῖον, καὶ χάριεν. Ἔστι δὲ ὅτε καὶ ἐπὶ πολυλογίας ἁπλῶς λαμβανόμενον κακίζεται. ἀλλ' ἤτοι ἐν ἐπὶ φλυαρίας.

Σ ύλλογος. ἡ ἐκ τῆς αὐτῆς πόλεως συναγωγὴ τῶν ἀνθρώπων ἐπὶ τῷ βουλεύσασθαι. Σύνοδος δὲ, ἡ ἐκ πολλῶν πόλεων συναγωγὴ ἐστί τινι. ὡς θουκυδίδης. αἰεὶ δὲ ξυνόδοι ἐπὶ τὸ ἱερὸν ἐγίνοντο.

Σ ύμμετρον τὸ μεμετρημένον, μήτε ὑπερβολὴν ἔχον, μήτε ἔλλειψιν. καὶ τὸ ἀναλογίαν ἔχον πρός τι. ὅθεν καὶ ἀσύμμετρος ἡ τοῦ τετραγώνου διάμετρος τῇ πλευρᾷ. ἤγουν οὐδεμίαν ἀναλογίαν ἀριθμοῦ πρὸς τὴν πλευρὰν ἔχουσα. Καὶ σύμμετρον τὸ ἴσον μέτρον ἔχον τινί. οἷον περὶ τὸ ὕελον οἱ πήχεις αὔξουσι ταῖς δια σύμμετρα τῷ ὀνόματι ἤγουν πηχυαῖα.

Σ ὸ συγχωρεῖν ἐκόντι. τὸ δὲ παραχωρεῖν ἄκοντι.

Σ υνθήκη. λέγεται ἡ συμφωνία, καὶ ἡ συναρμογή.

Σ υμπεσεῖν τὸ ὁμοῦ πεσεῖν, καὶ ἐπὶ τῶν ἐρχομένων εἰς πόλεμον ἀλλήλοις. καὶ συρρηγνυμένων, ὅταν τινὰ ἀντίκειται ἀλλήλοις.

Σ ύμβολον. σημεῖον. τεκμήριον. εἰκὼν, καὶ ὁμοίωμα διαφέρουσι δὲ ὅτι τὸ μὲν σύμβολον καὶ σημεῖον, ἐπὶ τῇ θέσει λέγεται. καὶ ἐκ τῆς ὑμετέρας ἐστὶ διανοίας. οἷον ἐν πολέμῳ σάλπιγγος ἦχος, ἢ πυρὸς αὐγή. τὰ δὲ λοιπὰ φύσει ἐπὶ τῇ φύσει. διαφέρει δὲ ὅτι ἡ μὲν εἰκὼν, καὶ τὸ ὁμοίωμα τὴν φύσιν τοῦ πράγματος εἰκονίζουσιν. οὐ μέντοι ἀπαραλλάκτως ὡς ἡ τοῦ σωκράτους εἰκών. τὸ δὲ τεκμήριον, ἀναγκαίως μόνον τοῖς πράγμασιν ἕπεται, μηδὲν τῶν συμβεβηκότων ἔχον ἐν ἑαυτῷ. οἷον τοῦ τετοκέναι τὴν γυναῖκα, τὸ γάλα. καὶ τοῦ πυρὸς, ὁ καπνός.

Σ ύνεργος. ὁ σύντεκνος. συνεργὸς δὲ ὁ περί τι

ἢ ἔργῳ συνδρῶν τινί.

Συνίσταται καὶ ἀντὶ τοῦ συμπήγνυται, ὃ ἐναντίον τὸ χαυνοῦσθαι. Καὶ συνίσταται ἀντὶ τοῦ ἐνυπάρξαι δεῖν, ὅθεν καὶ ἀσύστατον τὸ μὴ τοιοῦτον. Συνίσταται. καὶ ἀντὶ τοῦ ἀποκαθίσταται. οἷον συνίσταται δὲ εἰς κολυμβήθραν παγχάλκην. Συνίσταται δέ τινι ἀντὶ τοῦ ζῶν αὐτῷ ἵσταται. Καὶ συνίσταταί τις τινί. ἤγουν φίλος γίνεται. Συνίστησι δέ τις τινά, μαρτυρῶν αὐτόν.

Συνδεῖν τὸ ἀμφοτέρας τὰς χεῖρας δεσμεῖν. Καὶ συμβάλλειν ὁμοίως τὸ, ἀμφοτέρας βάλλειν τὰς χεῖρας. ὥσπερ συμπατεῖν τὸ ἀμφοτέρας τοῖς ποσὶ πατεῖν. ἡ γὰρ σὺν πρόθεσις, συνέλευσιν δηλοῖ τοὐλάχιστον δύο.

Συντίθημι τὸ συναρμόζω. Συντίθεμαι δὲ τὸ συνομολογῶ. Καὶ συντίθεται πρᾶγμα ἀντὶ τοῦ συναρμόζεται.

Συλῶ τὸ κλέπτω, ἀφ' οὗ καὶ ἱερόσυλος. Καὶ συλῶ τὸ σκυλεύω, ὡς παρ' Ὁμήρῳ. κεῖται ἀνὴρ ὃς πρῶτος ἐσύλα τὸ τεῖχος ἀχαιῶν.

Τὸ συλλαμβάνειν. κυρίως μὲν λέγεται ἐπὶ τῶν βασταζόντων βάρος τι. καὶ ὑπ' ἀλλήλων βοηθουμένων. Καταχρηστικῶς δὲ ἀπὸ τούτου καὶ ἐπὶ τῶν ἄλλην τινὰ βοήθειαν βοηθούντων. Ἀφ' οὗ συλλήπτωρ ὁ βοηθός. Καὶ τὸ συνάπτεσθαι ἐπὶ τῆς αὐτῆς λέγεται σημασίας. Συλλαμβάνει καὶ ἡ γυνὴ παιδίον. ἤγουν σὺν αὐτῇ ἕτερον λαμβάνει. καθ' ὃ λέγεται καὶ συλλαβή, ὅταν γράμμα ἕτερον γράμμα συλλάβῃ. αἱ γὰρ μονογράμματοι καταχρηστικῶς λέγονται συλλαβαί. ἀπὸ τούτου γίνεται σύλληψις. Συλλαμβάνειν, λέγεται καὶ ὅταν πολλοὶ ἕνα κρατήσωσι.

Συμβάλλουσι κυρίως ἄνθρωποι ἐπὶ μάχην. ἢ συμβάλλουσι μάχην, ἤγουν συγκροτοῦσι.

Συμμίσγουσι δὲ ὕδατα καὶ ποταμοὶ καὶ ὑγρά. ἀφ' οὗ λέγουσι τὸ καταδεχόμενοι χωρίον ποταμούς, μισγάγκειαι. ἀπὸ τοῦ συμβάλλειν τὸ συνέρχεσθαι, καὶ συγκροτεῖν. Καὶ συμβάλλειν τὸ νοεῖν, κατὰ μεταφοράν. καὶ συμβολὴ ἡ συνέλευσις. οὐκ ἔτι μεταφορικῶς. Καὶ συμβόλαια τὰ ἐπὶ συμφωνίᾳ γάμου γινόμενα γράμματα.

Συρίζειν τὸ διὰ σύριγγος μέλπειν. ὥσπερ σαλπίζειν τὸ διὰ σάλπιγγος φωνεῖν. καὶ αὐλεῖν τὸ δι' αὐλοῦ μέλπειν. Συρίζω καὶ τὸ κατὰ σύριγγα λέγω ἢ φωνῶ. Συρίττω δὲ ἐπὶ τοῦ συριγμοῦ. τοῦ διὰ τοῦ στόματος ἀμεταβάτως. Συρίττω μεταβατικῶς ἐπὶ χλευασμοῦ. οἷον συρίττω τινὰ ἀντὶ τοῦ χλευάζω, καὶ τῶν συριττομένων ἐστὶν ἤγουν τῶν ἐμπαιζομένων.

Συνουσία ἁπλῶς μὲν ἡ ὁμιλία, καὶ συναναστροφή. ἰδίως δὲ ἡ μετὰ γυναικὸς μίξις.

Συμφωνῶ τῷδε. Σύμφωνος δὲ εἰμὶ τῷδε.

Συνάπτω ἕτερον ἑτέρῳ. καὶ συνάπτω ὑπό τινι ἤγουν ἑνοῦμαι.

Συλλαμβάνειν ἀμεταβάτως παρὰ τῇ θείᾳ γραφῇ, τὸ κυοφορεῖν. ὅθεν καὶ σύλληψις ἡ κυοφορία. Καὶ συλλαμβάνειν μεταβατικῶς, τὸ βοηθεῖν, καὶ συντάσσεται δοτικῇ, γράφεται δὲ καὶ παθητικῶς εἰς ἐνεργητικὴν σημασίαν ἀπὸ δοτικῆς εἰς γενικήν. οἷον συλλαμβάνομαί σου τῆς νόσου.

Σύβαρις Συβάριδος. πόλις ἰταλική, καθ' ἣν τρυφηλοὶ ἐγένοντο ἄνθρωποι.

Συκῆ καὶ ἀμυγδαλῆ, καὶ πάντα τὰ τῶν δένδρων ὀνόματα τὰ ἀπὸ συναιρέσεως ἐπὶ τέλους ἔχοντα τὸν τόνον, περισπῶνται. συκέα γὰρ συκῆ καὶ ἀμυγδαλέα ἀμυγδαλῆ, καὶ πάντα τὰ διὰ τοῦ εα δένδρων ὀνόματα ψιλογραφοῦνται. πλὴν τοῦ ἐλαία καὶ συκομοραία.

Συνίημι τὸ νοῶ, αἰτιατικῇ. Συνίημι δὲ τὸ αἰσθάνομαι, γενικῇ, ὡς ὁ θεολόγος τοῦ μυστηρίου συνιέντα, ἀντὶ τοῦ αἴσθησιν λαβόντα, ἔστι συντάσσεται μετὰ μετοχῆς. οἷον, συνίημι πάσχων κακῶς. καὶ συνίημι καταγελώμενος.

Συγκείμενα καὶ συντιθέμενα λέγονται, καὶ τὰ ἡνωμένα ἐκ δύο τινῶν, ἢ καὶ πλειόνων. καὶ τὰ συμπεφωνημένα, παρὰ τὰ συγκείμενα ἐπαίνεσε. Καὶ συνθήκη ἡ ὑπόσχεσις.

Συντίθημι τὸ δὲ ἁπλῶν τὸ δέ τι ποιῶ. ὡς τὸ συνέθηκε λόγους, ἀντὶ τοῦ εἰς ἁρμονίαν ἤγαγε. Καὶ σύνθεσις ἡ συμβίβασις τῶν μονάδων.

Συμβάλλειν. τὸ στοχάζεσθαι. καὶ δηλοῖ συνιέναι καὶ συνάγειν. οἷον ἐκ τῆς δὲ τῆς ἀφορμῆς, τὸν δεῖνα συμβάλλω προαχθῆναι εἰς τόδε τι. Συμβάλλειν καὶ τὸ συμπλέκεσθαι, καὶ συρρήγνυσθαι, καὶ συμπίπτειν ἐπὶ πολέμου καὶ μάχης, καὶ ἐπὶ ποταμῶν ὅθεν καὶ συμβολαί. Συμβάλλειν καὶ τὸ μιγνύναι καὶ συναντᾶν, καὶ ὡς ταυτὸν ἔρχεσθαι. οἷον συνέβαλεν τῷ δεῖνι ἐπανιόντι ἐξ ἀγορᾶς.

Συναίρομαί σοι τὴν δυστυχίαν ἀντὶ τοῦ μετὰ σοῦ δυστυχῶ. Συναίρομαί σοι τὸν κίνδυνον ἀντὶ τοῦ μετὰ σοῦ κινδυνεύω.

Συνεφάπτομαί σοι δὲ τοῦδε.

Συγγένεια ἡ φύσις, καὶ ἡ σύναψις τῶν συγγενῶν. Λέγεται καὶ τὸ πλῆθος τῶν συγγενῶν. ὥσπερ οἰκετεία ἡ δουλεία, καὶ τὸ πλῆθος τῶν οἰκετῶν.

Σύννους ἄνθρωπος ὁ συννεφής, καὶ ἀεὶ σκεπτόμενος, καὶ μὴ τὸν νοῦν ἔχων διαχεόμενον. Καὶ σύννοια ἡ σκέψις, ὡς φαμὲν ἐπὶ συννοίας ὁ ἄνθρωπος βαδίζει. τουτέστι μετὰ σκέψεως περιπατεῖ.

Τὸ συζῶ τότε τίθεται, ὅτε ἀπὸ γενέσεως συμπαρατείνεταί τινι τὸ πρᾶγμα ἐκείνῳ ᾧ συζεῖ. οἷον πενίᾳ συνέζησεν, ὡς ἔφαμεν. καὶ παρὰ Συνεσίῳ συνεζηκὼς τῇ ἀρετῇ.

Συνίημι τὸ νοῶ. συνίης συνίησι. συνίετον. συνίετον. συνίεμεν. συνίετε. συνιᾶσι. συνιδὼν. συνίεις. συνίει. συνιέτον συνιέτην. συνίεμεν. συνίετε καὶ συνίεσαν, ὁ χρόνος, συνῆκα, συνῆ-

κας,

κας, συνῆκε. συνήκατον συνηκάτην. συνήκαμεν συνήκατε συνῆκαν. ὁ δεύτερος ἀόριστος ἐπὶ τῶν ὁριστικῶν ἐνεργητικῶν, ἄχρηστος. ἐπὶ δὲ τῶν ἄλλων ἐγκλίσεων, ἐν χρήσει. ἐνεστὼς καὶ παρατατικός. ἐπὶ ἀπαρεμφάτου εὔχρηστος, συνιέναι. ἀόριστος δεύτερος ἐν χρήσει συνεῖναι. ἐπὶ προστακτικοῦ ἀόριστος δεύτερος, σύνες. ἐπὶ εὐκτικῶν ὁ αὐτὸς εὔχρηστος, συνείην. ἐπὶ ὑποτακτικῶν ὁ αὐτὸς εὔχρηστος, ἐὰν συνῶ. ἔστι γὰρ παρὰ λουκιανῷ, καὶ ἐνεστώς, ἐὰν συνιῶ. ἐπὶ μετοχῆς ἐνεστὼς εὔχρηστος, ὁ συνιείς. καὶ ἀόριστος δεύτερος εὔχρηστος, ὁ συνείς.

Σ σφέτερον ὃ πολλοὶ ἔχουσιν. ἑὸν δὲ, ὃ μόνος ἔχει τις.

Σ σφὶ ἀντὶ τοῦ αὐτοῖ. ἔστι δὲ μοναδικόν. οὐδὲ μίαν γὰρ εὐθεῖαν εὑρήσεις ζητῶν. ὁμοίως καὶ τὸ νίν, καὶ τὸ μὲν ἀντὶ τοῦ αὐτὸν, μοναδικὰ γὰρ ταῦτα.

Σ σφάλλω μεταβατικόν. οἷον σφάλλω σε, ἤγουν ποιῶ σε πεσεῖν, σφάλλομαι δὲ ἐστὶ παθητικῶς ἀμετάβατον.

Σ σφηκιὰ λέγεται ἡ συνθήκη τοῦ μέλιτος τῶν σφηκῶν. ὡς τὸ σφηκιὰ ἀθύνου μελῶν.

Σ σχεδὸν σημαίνει τὸ πλησίον, καὶ αὐτίκα. ἐπίρρημα διστακτικόν, ἤγουν ἀντὶ τοῦ ἴσως.

Κ ὡς λέγεται τὸ λευκόν. ἐνίοτε μὲν ἐπὶ τοῦ χρώματος, ἐνίοτε δὲ ἐπὶ τοῦ σώματος τοῦ μετέχοντος αὐτοῦ. οὕτω καὶ τὸ σχέτλιον. ἐνίοτε μὲν λέγεται ἐπὶ τοῦ κακοῦ. ἐνίοτε δὲ ἐπὶ τοῦ μετέχοντος κακοῦ. καὶ διὰ τοῦτο ἀθλίου. καθὸ λέγεται σχέτλιος ἄνθρωπος ὁ ἄθλιος. ὅθεν τὸ σχετλιάζειν καὶ ὁ σχετλιασμός.

Σ σχεδία ἡ σύντομος ἀπὸ τοῦ σχεδὸν τὸ πλησίον. Καὶ σχεδίασμα ἀπὸ τούτου τὸ αὐθωρόν.

Σ σχηματίζομαι τὸ προσποιοῦμαι. καὶ πλάττομαι ἐξ οὗ καὶ σχηματισμὸς ἡ προσποίησις.

Σ σχολή ἡ ἀργία, καὶ ἄνεσις. ἀσχολία δὲ ὁ περισπασμός. Σχολὴ καὶ ἡ διατριβή. ἐξ οὗ καὶ σχολεῖον. Καὶ σχολάζω τὸ ἐνδιατρίβω, καὶ ἐπιμελέω. Καὶ διατριβὴ δὲ λέγεται ἡ ἐπιμονὴ καὶ ὁ κατάγελως. Καὶ σχολαστὴς ὁ μαθητής. Ὡσαύτως καὶ ἀπὸ τοῦ σχολὴ ἡ ἀργία σχολάζω τὸ ἀργῶ.

Σ σώφρων καὶ σωφροσύνη, καὶ σωφρονεῖν, ἐπὶ τῶν μὴ σεσαλευμένον ἐχόντων κατά τι τὸν νοῦν. σωφρονεῖν καὶ τὸ ἐν παρθενίᾳ διάγειν. καὶ τῷ νομίμῳ γάμῳ χρῆσθαι. ἀλλὰ καὶ τὸ κατὰ πάντα, σῶα καὶ ὑγιῆ φρονεῖν. ὡς τὸ σωφρονεῖν ὑπολαμβανόμενος παρὰ φαλάριδι. σωφρονῶ ἐστί. σωφρονίζω δὲ ἕτερον.

Σ σώζω τινὰ ἀντὶ τοῦ σωτὴρ αὐτοῦ γίνομαι, καὶ ῥύομαι αὐτὸν, ὅτε ἀπὸ αἰτιατικῆς εἰς γενικὴν ἔχει τὴν σύνταξιν, ὡς τὸ ῥύομαι. οἷον σώζω σε φόνου, ἀντὶ τοῦ ῥύομαί σε ἀπὸ φόνου. Σώζω καὶ τὸ φυλάσσω, καὶ σώζεταί τις ὑπό τινος σώζοντος αὐτόν. Καὶ σώζεται ἀντὶ τοῦ φυλάσσεται. Καὶ ἔτι σώζεται ἀντὶ τοῦ ζῇ.

Σ σῶμα παρὰ τὸ σῆμα, ὃ σημαίνει τὸν τάφον κατὰ πλάτωνα. τάφος γάρ ἐστι φησὶ τὸ σῶμα τῆς ψυχῆς. δίκην γὰρ τάφου ἐνθάπτεται ἡ ψυχὴ τῷ σώματι, τροπῇ τοῦ μακροῦ εἰς μακρόν.

Σ ὁ σῷος προσγεγραμμένον ἔχει τὸ ι. καθ' ὁμοιότητα τοῦ πατρῷος. ὃ καὶ οἱ ποιηταὶ πατρώϊος φασί. μητρῷος μητρώϊος ποιητικῶς. λῷος καὶ λώϊος. ἑῷος παππῷος. οὕτω καὶ σῷος. ἐκ τούτου καὶ σώζω. ᾧ δὴ καὶ προσγράφεται τὸ ι διὰ τὸ σῷος προσγεγραμμένον τηρεῖν.

ΑΡΧΗ ΤΟΥ Τ.

ἔτλα τὸν δεῖνα ἐν τῷ δεῖνι τόπῳ, καὶ εἰς τὸν δεῖνα.

τ Τάχει, καὶ σὺν τάχει, καὶ κατὰ τάχος, καὶ ὅσον τάχος, καὶ διὰ ταχέος, καὶ διὰ τάχους καὶ διὰ ταχέων ἐπὶ τοῦ αὐτοῦ.

Σ τμέωσαι, τὸ τέτακα καὶ κέρδακα τῆς τρίτης συζυγίας, τέταχα καὶ κέρδαχα κατὰ τὴν ἀκολουθίαν ὀφείλοντα εἶναι.

Τ τὸ αὐτό. εἰ μὲν διαλελυμένον ἐστὶ, δύο σημασίας ἔχει. ἐν δὲ τῇ συναλοιφῇ μίαν ἔχει τὴν ἀπαράλλακτον ὁμοίωσιν, ὅθεν ἐπὶ τῷ ταὐτῷ γράμματι ἀπόστροφος τίθεται. οὐ γάρ ἐστιν μέρος συναλείφεται, ἐνταῦθα. ὥσπερ τὸ ἐπὶ τῆς ἀπαραλλάκτου ὁμοιώσεως. ἐν ᾧ οὐ τίθεται ποτὲ ἀπόστροφος, ἀλλὰ τοιοῦτόν ἐστιν, οἷον ἐπὶ τἀναγκαίῳ. ἐπὶ τἀγαθῷ, διὰ τοῦτο οὐδεὶς τὸ ἐκ μιᾶς τε καὶ τοῦ αὐτοῦ γράμματος οὐ τίθησιν ἀπόστροφος εἰς τοῦτο. ὅτι ἀπαράλλακτον ἔχει τὴν ὁμοίωσιν, ἐν αὐτοῖς ὂν ἀεὶ παντὸς ταὐτῷ δὲ τῷ γάλακτι, ψιλοῦται. ὥσπερ ἐπὶ τἀγαθῷ καὶ ἐπὶ τἀναγκαίῳ. εἰ γὰρ καὶ ὅμοιόν ἐστι καθάπαξ, λευκὰ γὰρ ἅπαντα γάλακτα, ἀλλ' οὐχ ὥσπερ οὗτος τυχὸν προλαβὼν εἴπω κε. καὶ ὁ μεθύστερον οὕτω ποιῆσαι βουληθεὶς ἕξει ποτέ.

Τ ταρσὸς ἐπὶ ποδὸς, καὶ ἐπὶ χειρὸς λαμβάνεται. λέγεται δὲ καὶ ὁ τυροφύκτης.

Τ τετραγύα. ποιὰ λέξις ἐπὶ ψυχῆς λαμβανομένη ἁρμόζουσα καὶ ἐπὶ νυκτορείδων.

Τ τείχη μὲν εἰσὶ τὰ τῆς πόλεως. Τειχία δὲ τὰ τῶν οἴκων. καὶ ὁ τοῖχος ἀρσενικῶς.

Τ τεθνᾶσι, ἑστᾶσι. πᾶς μὲν παρακείμενος συστέλλει τὰ δίχρονα, ἀλλ' ὅτι τὰ εἰς ι λήγοντα ῥήματα. *

Τ τεῦχος τὸ ἀγγεῖον. τεύχη δὲ πληθυντικῶς, τὰ ὅπλα.

Τ τελευτῶ τὸ ὀργῶ. Καὶ τελευτῶ τὸ ἀποθνήσκω, ὅπερ συνυπακουόμενον ἔχει τὸν βίον. Ὥσπερ καὶ τὸ μεταστρέφω τὸν βίον, ἤγουν τελευτῶ. Καὶ καταστρέφω τὸ αὐτό. ἔστι δὲ τὸ τελευτῶ καὶ καταστρέφω. καὶ ἔτι τὸ μεταλλάττω, τὰ αὐτά. δηλοῖ γὰρ τὸ ἀποθνή-

σκαί. Ἐπλεύτησέ τις καὶ ἐπλεύτησε τὸν βίον. Καὶ κατέστρεψε τὸν βίον. Καὶ ἀπέψυξε τὸν βίον. Καὶ μετήλλαξε καὶ τέθνηκεν ἀντὶ τοῦ αὐτοῦ.

Τέμνει ἀμπέλους ὁ κλαδεύων. ἐκτέμνει δὲ ὁ ἀφανίζων.

Τέμενος. ὁ ἀποκεκομμένος τόπος τινὶ ἢ θεῷ, ἢ ἀνθρώπῳ.

Τέχνη. ἡ ἐπιστήμη, καὶ ἡ μέθοδος, καὶ ὁ δόλος. τελεῖν τὸ τελέσθαι καὶ καταλλάξασθαι. τελεῖν τὸ εἰς τέλος καταστῆσαι, καὶ καταβάλλειν. ὡς καὶ ἀριστοφάνης. δύο δραχμὰς μισθὸν τελεῖ. τελεῖν καὶ ἀντὶ τοῦ εἰσπράττειν, καὶ ἀπαιτεῖν.

Τέλος τὸ πλήρωμα, καὶ τελέσω ἀντὶ τοῦ πληρώσω, καὶ τετελεσμένον τὸ πεπληρωμένον. Καὶ συντέλεια τὸ τέλος. Καὶ συντελεστὴς ὁ τελῶν. εἰ δυνάμεθα τελέσαι γε, καὶ εἰ τετελεσμένον ἐστί. Τέλος ἡ ἑορτή, καὶ τελετὴ τὸ αὐτό. Καὶ τετελεσμένος ὁ τὰ θεῖα μεμυημένος. Τέλος καὶ ὁ ἐτήσιος τοῖς βασιλεῦσι διδόμενος φόρος. Ἐκ τούτου καὶ συντελῶ, καὶ συντέλεια ἡ συνεισφορά. Τέλος καὶ ἡ ἀρχή. ὅθεν καὶ τοῖς ἐν τέλει βεβαιῶσι.

Τείνει τὴν χορδήν, καὶ τὴν νευρὰν ἐναρμόζει. ὅθεν καὶ ἐντείνει τὸ τόξον, καὶ ἐντείνει μουσικήν, ἢ κιθαρίαν, ἀριστοφάνης. ἐντειναμένους τὴν ἁρμονίαν. ἣν οἱ πατέρες παρέδωκαν. Ἐκτείνει ἤτοι ἐξαπλοῖ. Συντείνει ἤγουν συνέρχεται, καὶ συνωθεῖ. Προτείνει ἤτοι προβάλλεται. ὡς τὸ προτείνει πολλὰ κεφάλαια τοῦ δικαίου. Καὶ προτείνει τις πρόβλημα. Καὶ τὸ διδόναι. Ἀνατείνει ἤτοι ἀνέχει, καὶ εἰς ὕψος αἴρει ἤγουν ἀνατείνει τὰς χεῖρας πρὸς τὸν θεόν. Κατατείνει ἤτοι κατεργάζεται, καὶ πιέζει, καὶ ἐπιτρίβει. οἷον κατατείνει ἡ νόσος τὸν ἄνθρωπον, καὶ κατατείνει πληγαῖς καὶ μάστιξι τὸν δεῖνα. Καὶ τὸ εἰς μῆκος ἐκτείνει. ὡς τὸ κατατείνει λόγον. Κατατείνει καὶ τὸ συντόνως καὶ τρέχει. ὡς τὸ κατατείνει δρόμον ἀντὶ λιμένα. Διατείνει τὸ διαπλοῖ. ὡς τὸ διατείνει ὁ ἀράχνης τὸ ἴδιον ὕφασμα. Παρατείνει τὸ παρέλκει, καὶ μέχρι πόρρω προάγει. οἷον παρατείνει τὴν ὁμιλίαν. Ἀντιτείνει ἤτοι ἀντικρούει, καὶ ἀντιβαίνει. καὶ ἀντοφείλει. Ἐπιτείνει ἤγουν αὔξει, καὶ εἰς ἐπίδοσιν ἄγει. οἷον ἐπιτείνει τοὺς περὶ λόγους ἱδρῶντας. Περιτείνει, ἤτοι ἐπί τινος ἐξαπλοῖ. ἤγουν ἐπάνω τινός. οἷον περιτείνει τὸ σκῦτος ὁ σκυτοτόμος τῷ ξύλῳ. παρὰ λουκιανῷ. Ἀποτείνει τὸ εἰς ταυτὸ τείνει, καὶ φθάνει. κατὰ δεύτερον τὴν σημαινομένην τοῦ κατατείνει. Ἀποτείνει, καὶ τὸ ἀπάγει εἰς μῆκος. οἷον ἀπέτεινε λόγον μακρόν. ἔστι καὶ χωρὶς τῆς προθέσεως γράφεται ποιητικῶς. ὡς παρὰ σοφοκλεῖ, μὴ τεῖνε μακρὰν ἀντὶ τοῦ μὴ ἀπότεινε. Ὑποτείνει ἤτοι ὑποβάλλει, καὶ ὑποφαίνει. οἷον, ἐλπίδας χρηστὰς ὑποτείνει. Ὑπερτείνει, ἤτοι ὑπερβάλλει. οἷον ὁ δεῖνα σπουδῇ καὶ προθυμίᾳ τὸν ἀδελφὸν ὑπερτείνει.

Τηνικαῦτα ἀντὶ τοῦ τότε. τηνικάδε ἀντὶ ὥρας.

Τήκεσθαι. κυρίως ἐπὶ χιόνος λέγεται καὶ κηροῦ. καὶ τῶν κατ' ὀλίγον ἀναλισκομένων. καὶ ἀπὸ τούτου καὶ ἐπὶ τῶν καταπιπτόντων, ὑπὸ λύπης, καὶ διαφθειρομένων.

Τήθη. ἡ τοῦ πατρὸς ἢ τῆς μητρὸς μήτηρ. ἣν ἔνιοι μάμμην φασί.

Τιθὴς. ἡ τοῦ πατρὸς ἢ τῆς μητρὸς ἀδελφή. τίτθη μὲν ἡ μαστὸν παρέχουσα. τιθηνὸς καὶ τροφός, ἡ μετὰ τὸν ἀπογαλακτισμὸν ἐπιμέλειαν ποιουμένη τοῦ παιδός.

Τίκτω ὁ μέσος μέλλων τέξομαι, ὁ δεύτερος ἀόριστος, ἔτεκον. ἡ μετοχή, ὁ τεκών. Ἰστέον δὲ ὅτι τὸ μὲν τίκτω, καὶ τεκοῦσα, καὶ τοκεύς, ἐπὶ μητρός, τὸ δὲ γεννῶ καὶ γεννήτης, καὶ γονεὺς ἐπὶ πατρός. ὅθεν ἐπὶ γυναικὸς τό, τεκοῦσα, καὶ τοκετός. ἐπὶ ἀνδρὸς δὲ τὸ γεννήτωρ, καὶ γεννήτης, καὶ γονεύς. εὕρηται δὲ καὶ τοκεύς, ὁ γονεύς. ἐπὶ μέντοι τῆς γυναικὸς οὐχ εὕρηται, τὰ τῷ ἀνδρὶ οἰκειωθέντα ὀνόματα.

Τιμωροῦμαι παθητικῶς τὸ κολάζω αἰτιατικῇ. τιμωρῶ δὲ τὸ βοηθῶ καὶ ἐκδικῶ, δοτικῇ.

Τιθῶ τιθῶ καὶ ἐτίθεον ἐτίθουν. ἐτίθεις ἐτίθεις ἐτίθει ἐτίθει. τίθημι δὲ ἐτίθην, οὔ.

Τὸ ὄνομα μονοσύλλαβον, ἢ ὀξύνεται ἢ περισπᾶται. πλὴν τοῦ τὶς ἀορίστου ἐγκλινομένου ἐκλείψαντος ἐπὶ τοῦ. ἀλλ' ἐν τῷ τίνι ἥμερον καὶ τοῖς ὁμοίοις, ἐπαναβιβάσει τὸν τόνον, τ' οὖν γοῦν καὶ τ' ἄλλα, ὅτι ἐξ ὀξείας μὲν καὶ βαρείας, περισπώμενον. ἐκ βαρείας δὲ καὶ ὀξείας, οὔ.

Τιστέον ὅτι τὸ μὲν τί, ζητεῖ οὐσίαν πράγματος. οἷ τί τόδε ἐστὶν ἄνθρωπος τυχὸν, ἢ ἵππος, τὸ δὲ τίς, ὑπόστασιν καὶ πρόσωπον. οἷ τίς ὅδε ἐστὶ σωκράτης, τυχὸν, ἢ πλάτων, καὶ τίς πόθεν εἰς ἀνδρῶν, οὐ τοῦτο γὰρ ὁ ἐρωτῶν, ἀλλὰ μὲν ὅτι ἀνὴρ πρὸς ὃν τὴν ἐρώτησιν ποιεῖται, ζητεῖ δὲ τὸ ὄνομα ᾧ ἂν οὗτος τῶν ἄλλων ἀνδρῶν χωρίζοιτο. ἐπεὶ δὲ πρὸς τὸ τίς οὐκ ὄνομα μόνον ἀπαντᾷ κύριον, ἀλλὰ καὶ ζῷον ἐπιθέτῳ ὁμοίως κύριον. οἷον τίς ὅδε ἐστὶν ὁ ἡδὺς λουκιανός, ἀλλ' ὅπερ οὐκ ὀνόματι μόνον κυρίῳ ἡ τίς ὑπαντᾶται, ἀλλ' ἔστιν ὅτε καὶ ἐπιθέτῳ. οἷ λουκιανός τις ἐποίησε τόδε. καὶ ὁ λουκιανὸς ἡδὺς ἐστί. Κατὰ ταῦτα λέγεται καὶ τὸ ὅς τις, καὶ τὸ ὁποῖός τις. καὶ τὸ μὲν ὅς τις, νοεῖται ἐπὶ κυρίου ὀνόματος. τὸ δὲ ὁποῖός τις ἐπὶ ἐπιθέτου. ὡς παρὰ λουκιανῷ. τὸ δὲ ὅλον

ὁ δῆμος

οἱ δῆμοι οὐκ ἐπαίζοντες ὁ ποῖος τίς ἐστιν ὁ τοῖς πράγμασιν ἐφεστικώς, καὶ εἴτε καλὸς δηλονότι εἴτε τὸ ἐναντίον. ἅπερ ἐπιθετικῶς λέγεται.

τ ὁπλεῖον. τὸ μετὰ τοῦτο. τὸ δεύτερον. μεταξύ. τὸ τρίτον, καὶ τὰ τοιαῦτα εἰ μὴ ἔχουσιν ἐπαγόμενον ὄνομα πρὸς ὃ ἀποδοθήσεται τὸ τό, ἐπιρρήματά εἰσι. τοιοῦτον ἐστὶ καὶ τὸ ἐξάπαντος, καὶ τὸ ἐξαιφνος, καὶ τὰ τοιαῦτα, εἰ γὰρ μὴ ἐπάγεται γενικὴ πρὸς ἣν ἀποδοθήσεται ἡ ἐξ, οἷον ἐξ ἅπαντος φόνου ἢ τοιοῦτό τι, ἐπιρρήματά εἰσι.

τ λήμων παρὰ Ὁμήρῳ ὁ καρτερικός. τλήμονα θυμὸν ἔχοντες. παρὰ δὲ τοῖς τραγικοῖς τλήμων, ὁ δυστυχής.

τ ρικυμία λέγεται ὅταν ἐν τῇ θαλάσσῃ τρία κύματα εἰς ἓν συναφθῶσι.

τ ραχηλίζειν λέγεται τὸ διχοτομεῖν. ἤγουν τὸ διὰ τῆς ῥάχεως σχίζειν. καὶ τετραχηλισμένοι ἐσόμεθα, ἤγουν φανεροὶ καὶ ἀνακεκαλυμμένοι.

τ ὸ τρυγᾶν ἐπὶ καρπῶν λέγεται. ἀπὸ τούτου δὲ καὶ ἐπὶ καλλονῆς. καὶ ἐπὶ παντὸς οὗτινος ἀπολαύει τις, καὶ τρυφᾷ.

τ ὸ τρέφομαι δοτικῇ συντάσσεται. καὶ ὅτε πρὸς τὸν τρέφοντα λέγεται, καὶ ὅτε πρὸς τὴν τροφήν. οἷον τρέφομαί σοι, ἤγουν ὑπὸ σοῦ. καὶ τρέφομαι ἄρτῳ. τὸ δὲ σιτοῦμαι αἰτιατικῇ. δηλοῖ γὰρ τὸ ἐσθίω. ὡς παρ' ἀριστοφάνει. πῶς οὖν κυνὸς βορὰν σιτούμενος, μάχῃ σὺ κυνοκεφάλῳ.

τ ούνηθες. ἐστὶ τοῖς ἀττικοῖς τὸ λέγειν ἑτέραν πτῶσιν, εἶτα ἀποδιδόναι οὐδέτερον κατ' εὐθεῖαν προσυπακουομένου, τοῦ, τό δὲ ἐστίν. ὡς παρὰ τῷ θεολόγῳ γρηγορίῳ. τέλος ἰσχυροτέρου δεῖται φαρμάκου ἤγουν δραστικωτέρου τοῖς ἀρρωστήμασιν. ἀλληλοφονίαις, μοιχείαις, ἐπιορκείαις εἰδωλολατρείαις. τὸ πάντων ἔσχατον τῶν κακῶν καὶ πρῶτον. ἤγουν τό δὲ ἐστὶ τὸ πάντων ἔσχατον τῶν κακῶν καὶ πρῶτον. ὅσον γὰρ πρὸς τῇ εἰδωλολατρείαις, τῷ πάντων ἐσχάτῳ τῶν κακῶν καὶ πρώτῳ ἁρμόζει ἐπάγεσθαι. ὁ δὲ οὕτως ἐπήγαγεν ἤγουν τὸ δὲ ἐστὶ τὸ πάντων ἔσχατον τῶν κακῶν καὶ πρῶτον.

τ ρόπαιον ἐπὶ τῶν διωκόντων. τροπὴ ἐπὶ τῶν διωκομένων. ἀλλὰ καὶ τῶν διωκόντων. ὡς ποιησάντων αὐτήν. τουτέστιν ὡς τρεψαμένων, ὥσπερ ἐπ' ἐκείνων. ὡς παθόντων, ἤγουν ὡς τραπέντων.

τ ρίβων τρίβωνος ἐπὶ ἀρσενικοῦ ἱμάτιόν ἐστιν, ὅπερ ἐνεδέδυντο οἱ φιλόσοφοι. ὡς καὶ ὁ θεολόγος. δεινὸν γὰρ οἱ περιειληφότες τὸν τρίβωνα καὶ λαρυγγίζειν γαστριμαργήσαντας. Τριβώνιον δὲ ῥάκος τι καὶ ταπεινὸν μιμούμενον ὡς δοκεῖ, καὶ τῷ κωμικῷ λέγοντι. τὸ τριβώνιον δὲ τοῦτό τι βούλεται πρὸς θεῶν. Προστρίβεται μῶμον ἀπὸ μεταφορᾶς τῶν παρατριβομένων τοίχῳ, ἢ τοιούτῳ τινί. καὶ ῥύπον ἐκεῖθεν προσλαμβανόντων. Καὶ προστρίβεταί τις τινὶ πληγάς. ἤγουν ἐπιθέμενος, καὶ τύπτων ῥάβδῳ ἢ τοιοῦτό τινι, ἐργάζεται πληγάς.

τ ὰ τρία καὶ τέσσαρα, καὶ ἑξῆς ὀνόματα ἀριθμοῦ δηλωτικά. τὸ τρίτον δὲ καὶ τέταρτον καὶ ἑξῆς ὀνόματα τάξεως δηλωτικά. ἔστι γὰρ τρίτον μὲν τὸ ἔχον ὄπισθεν, πρῶτον καὶ δεύτερον, εἰσὶ δὲ ταῦτα τριγενῆ, ἀπὸ τῶν θηλυκῶν τούτων, τριταῖος, καὶ τεταρταῖος παράγωγα. ὡς ἀθηναῖος, μυκηναῖος ἢ τοιοῦτό τι. ἔστιν οὖν ἄλλο τρίτον, καὶ ἄλλο τριταῖον. ὥσπερ ἄλλο ἀθῆναι, καὶ ἄλλο ἀθηναῖος. λαμβάνεται τὸ τρίτον τὸ τέταρτον καὶ τὰ τῆς ἀκολουθίας ταύτης, καὶ ἐπὶ μορίων. ἃ ἁρμοδιώτερον λέγεται ἔχοντα ἐν τῇ συνθέσει τὸ μόριον. οἷον τριτημόριον, τεταρτημόριον καὶ ἑξῆς. Ἔχουσι δὲ ἐρωτηματικὰ τὸ πόσα, τὸ πόστον, τὸ ποσταῖον, καὶ τὸ ποστημόριον, καὶ πρὸς τὸ πόσα, ἀπαιτεῖ τὸ τρία τυχὸν ἢ τὸ τέσσαρα, πρὸς δὲ τὸ πόστον τὸ τρίτον ἢ τέταρτον, ἐπὶ τάξεως, πρὸς δὲ τὸ ποσταῖον, τὸ τριταῖον, ἢ τεταρταῖον οἷον πρὸς τὸ ποσταῖος ἀπ' οὐρανοῦ πάρει, ἀπαιτήσει τὸ τριταῖος τυχόν, ἢ τεταρταῖος. ἤγουν τρίτην ἡμέραν ἔχω, ἀφ' οὗ πάρειμι. ἢ τετάρτην. πρὸς δὲ τὸ ποστημόριον, τὸ δύοστον. τὸ τρίτον δ' τέταρτον ἐπὶ μορίων ἢ τὸ δύοστον τὸ τριτημόριον τὸ τεταρτημόριον. Ζητεῖ δὲ τὸ μὲν πόσα, διωρισμένον ποσόν. τὸ δὲ πόστον τάξιν. τὸ δὲ ποσταῖον συμβαῖνον τι ἐν τάξει. τὸ δὲ ποστημόριον, μέρος. Ἐπεὶ δὲ τὸ ποσὸν διαιρεῖται, καὶ τὸ μὲν αὐτοῦ ἐστὶ συνεχές, τὸ δὲ διωρισμένον, εὗρεν ἡ φύσις καὶ ἐπὶ τοῦ συνεχοῦς, ἕτερον ἐρωτηματικὸν τὸ πηλίκον. ὥς τε πρὸς μὲν τὸ πόσα ἀπαιτεῖ τὸ διωρισμένον ποσόν, πρὸς δὲ τὸ πηλίκον, συνεχές.

τ ρέπομαι τὸ νικῶ, καὶ τροπὴν ποιοῦμαι. καὶ καταβάλλω. οἷον τρέπομαι τοὺς πολεμίους. Τρέπομαι καὶ τὸ μεταβαίνω. οἷον ἄλλην ὁδὸν τρέπομαι, καὶ ἀπὸ τοῦ λέγειν ἐπὶ τὸ πράττειν. Τρέπω δὲ τὴν ὀργὴν ἀπὸ τοῦδε εἰς τόδε. Ἐπιτρέπω σοι τόδε ἀντὶ τοῦ δίδωμί σοι φροντίζειν αὐτοῦ. Καὶ ἐπίτροπος ὁ φροντιστής. Προτρέπουσι, ἤτοι παρακινοῦσι μὴ βουλομένους. μετὰ ἀπαρεμφάτου. λαμ-

δυξ ὁ διπλοῦς. ἄζυγες καὶ οἱ εἰς καιρὸν συζυγίας ὄντες, μήπω δὲ ὑπὸ ταύτῃ γεγονότες. οἵτινες ποιητικῶς καλοῦνται ἠΐθεοι.

Ὑπισχνοῦμαι ὑποσχήσομαι, καὶ ὑποστήσομαι. ὑπεσχόμην καὶ ὑπέσχομαι.

Κατὰ ταυτὸν ὑπόγυον λέγεται τὸ ἐγγὺς ὕστερον, καὶ πρόσφατον. τὸ ὑπὸ τὸ γυῖον καὶ τὴν χεῖρα ὄν. ἴσως οὖν καὶ ὑπογύου παράδειγμα εἴρηται ἐκ τοῦ πλησίον.

Ὑπιῶ καὶ ὑπιάζω ταυτόν.

Ὑπέχω. τὸ ὑποτίθημι, καὶ τὸ δίδωμι. οἷον ὑπέχω δίκην.

Τὸ ὑπάγειν. τοῦ πορεύεσθαι διαφέρει. ὑπάγειν μὲν γάρ ἐστι τὸ ὑπόζυγον ἄγειν. καὶ δουλοῦν βόας ἢ ἵππους. καὶ ὅμηρος ὕπαγε ζυγὸν ὠκέας ἵππους. πορεύεσθαι δὲ τὸ βαδίζειν. τὸ δ᾽ ὑπ᾽ ἀριστοφάνους λεγόμενον, ὑπάγετ᾽ ἀντὶ τοῦ προάγετ᾽ ἐστίν. ὑπάγεθ᾽ ὑμεῖς τῆς ὁδοῦ. ὥσπερ γὰρ ὑπογράμμοι ἀντὶ τοῦ προγεγραμμένοι. καὶ ὑφηγητὴν ἀντὶ τοῦ προηγητὴν, οὕτω καὶ ὑπάγειν ἀντὶ τοῦ προηγεῖσθαι. λέγει καὶ εὔπολις. σὺ δ᾽ ὕπαγ᾽ ἐς τοὔμπροσθεν.

Ὑπτιόω ὑπτιῶ καὶ ὑπτιάζω ἀμεταβάτως τὸ κοιμῶμαι. καμμύζω δὲ ὕστερον μεταβατικῶς. ὃ καὶ καμμύω γράφεται ποιητικῶς. Ἀφυπνίζω δὲ καὶ ἐξυπνίζω, τὸ ἐξ ὕπνου ἀνίστημί τινα.

Τὸ ὑπεξίσταμαι καὶ ἐξίσταμαι τάττεται ἐπὶ ὁδοῦ. τὸ δὲ ὑπανίσταμαι ἐπὶ καθέδρας. δεῖ ὑπεξίσταμαί σοι τῆς ὁδοῦ. ὑπανίσταμαι δέ σοι τῆς καθέδρας.

Ὑπηρετῶ καὶ ὑπηρετοῦμαι τὸ αὐτό. ὧν τὸ μὲν λέγεται κοινῶς. τὸ δὲ ὑπηρετοῦμαι παρὰ τοῖς ἀττικοῖς.

Ὑπέρχομαι τὸ ὑποκάτω τινὸς ἔρχομαι. καὶ ἀπὸ τούτου, τὸ κολακεύω. οἱ γὰρ κολακεύοντες ὑποταγὴν σχηματίζονται.

Ὑπέχει τὰ ἴσα ἡ θάλασσα. ἤγουν ὑποκειμένην ἔχει. Ὑπέχει τις τινὶ δίκην. ἤγουν ὑποκείμενον ἑαυτὸν ἔχει εἰς δίκην. ὅπερ ἐνίοτε μὲν τετελεσμένην ἔχει τὴν σύνταξιν. δεῖ ὑπέχωσι δίκην. ἐνίοτε δὲ καὶ ἁπλῶς. οἷον ὑπέχω δίκην. ἔτι ἐξ ἀνάγκης ἡ δοτικὴ συνυπακούεται.

Ὑπέστη καὶ ἀντὶ τοῦ ὑπεσχέθη ὅ ἐστι ποιητικόν. ὑπέστη ἀντὶ τοῦ ὑπέμεινε.

Ἡ ὑπὸ πρόθεσις ὅτε τὴν ὑποκάτω σχέσιν δηλοῖ, ἀττικῶς μὲν συντάσσεται μετὰ δοτικῆς. κοινῶς δὲ μετὰ αἰτιατικῆς.

Ὑποκρίνεταί τις ἀρετὴν, ἢ ἄλλο τι, ὅπερ οὐκ ἔχει, καὶ βιάζεται δοκεῖν ἔχειν. ὅθεν καὶ ὑποκριτὰς καὶ ὑποκρίνεταί τις ἑαυτῷ τι, ἀντὶ τοῦ ὑπολογίζεται, καὶ ἐν ἑαυτῷ κρίνει. ὡς τὸ ἐπὶ ἀσκοῖς ὑποκρινομένην ἐμαυτῷ τὸ ὄναρ.

Ὑποβολὴ ὁ κατά τινος λεγόμενος λόγος λαθραίως. καὶ ὑποβάλλει ὁ δεῖνα λόγον κατὰ τοῦ δεῖνος. ἀντὶ τοῦ λαθραίως ὑποσπείρει.

Ὑπομιμνήσκω. τοῦτο ἀπὸ ἐλάττονος προσώπου λέγεται πρὸς ὑψηλότερον. Ἀναμιμνήσκω δὲ τόδε. ἤγουν ὃ ἀπέβαλον τῆς μνήμης, τοῦτον αὖθις εἰς μνήμην ἄγω.

Ὑπέρμαχος ὁ ὑπέρ τινος μαχόμενος, ἀπόντος ἐκείνου. ὑπὲρ οὗ τὰ τῆς μάχης ἀνείλετο. ἐκ τούτου καὶ ῥῆμα ὑπερμαχῶ γενικῇ συντασσόμενον.

Ὑπεξυρημένον τὸ γένειον. ἀντὶ τοῦ μετρίως παρατετιλμένον. τοῖς γὰρ παλαιοῖς ἔθος ἦν κοσμιότητος ἕνεκεν τὸ πάντως ἀφαιρεῖν τὸ τῶν τριχῶν πλῆθος ξυρῷ. ὅθεν καὶ τὰ κουρεῖα παρ᾽ ἀριστοφάνει. καὶ μὴν λόγος ἦν πολὺς ἐν τοῖσι κουρείοισι τῶν καθημένων.

Ὑπολύειν κυρίως τὸ ἐξυπολύειν ἐπὶ ὑποδημάτων. στρατιωτικῶς δὲ καὶ ἀντὶ τοῦ ἁπλῶς λύειν.

Ὑπαναχωροῦσιν ἡσυχῇ, καὶ βάδην. τουτέστιν ἐπὶ πόδα ἔρχονται σχολαίῳ ποδί.

Ὑπολαμβάνω τὸ δοξάζω, ὅθεν καὶ ὑπόληψις. Ὑπολαμβάνω καὶ τὸ διαδέχομαι. ὡς καὶ ὁ θεολόγος. ἔπειτα τοῦτον ἐξουσίαις ὑπολαμβάνουσι. κατὰ τοῦτο τὸ σημαινόμενον λέγεται τὸ ὑπολαβὼν δὲ ὁ ἅγιος τὸν λόγον, ἤγουν διαδεξάμενος.

Τὸ τυμβωρύχης καὶ φρεωρύχης, καὶ τοιχωρύχης σμικρύνονται. διότι ἔχουσι τὸ ῡ ἐκτεταμένον θέσει. ὅσα δὲ οὐκ ἔχει τὸ ῡ ἐκτεταμένον ὑπὸ θέσεως, μεγεθύνονται. δεῖ τυμβωρύχος. φρεωρύχος. καὶ τοιχωρύχος.

Τὰ εἰς ῦς λήγοντα ὀνόματα μονοσύλλαβα εἴτε ἀρσενικὰ εἴτε θηλυκὰ, μὴ ἀπὸ συναιρέσεως ὄντα, μακροκαταληκτοῦσι, καὶ περισπῶνται. οἷον μῦς. ὀφρῦς. ὗς. σῦς. ὡσαύτως καὶ μυῶ. καὶ ὀφρυῶ. καὶ ὑῶ καὶ συῶ. πᾶσα γὰρ αἰτιατικὴ εἰς ν λήγουσα τῇ ἰδίᾳ εὐθείᾳ ὁμοτονεῖ. τὰ δὲ ὑπὲρ μίαν συλλαβὴν ἐπὶ τέλους ἔχοντα τὸν τόνον, μὴ ἀπὸ συναιρέσεως ὄντα, ὀξύνονται. οἷον, ἰχθύς. ὀφρύς. παλαμύς. ἀπὸ δὲ συναιρέσεως περισπῶνται, τοὺς ἰχθῦς, τὰς ὀφρῦς. ἐπὶ δὲ τῆς γενικῆς καὶ τῶν ἄλλων πτώσεων βραχύνονται. οἷον. ἰχθύος ὀφρύος.

Ὑστερῶ. τὸ ἐλλείπομαι. ὑστερίζω δὲ τὸ ὕστερος ἔρχομαι. ὑστερῶ ὑστερήσω ὑστέρηκα. ὑστέρησα δέ.

Ὑφάντης ἐργαζόμενος, ὑφαντικὴ δὲ ἡ τέχνη, γίνεται δὲ ἀπὸ τοῦ ὑφαίνω. Ταλασία δὲ τὸ αὐτό. ἐκ τοῦ τλῶ τὸ καρτερῶ.

Ὕφαλοι οἱ κρυπτόμενοι ὑπὸ τῆς θαλάσσης. Ἔφαλοι δὲ τὸ ἐπάνω τῆς θαλάσσης.

Τὰ εἰς ῡξ διὰ τοῦ ῡ ψιλοῦ, καὶ διὰ τοῦ ι· οἱ μὲν τῇ εὐθείᾳ, θέσει μακρὸν ἔχουσι τὸ δίχρονον. οὐδέποτε γὰρ πρὸ τῆς διπλῆς ἐκτείνεται δίχρονον ἐκτεταμένον πλὴν τῆς λέξεις. ὅτι

γα πρᾶξις ἐστί· φύσει γὰρ καὶ θέσει γενέσθαι ἀδύνατον, εἰ μήπω λόγου αὐξήσεως παρακειμένου. ὡς ἐπὶ τοῦ ἵξενον, καὶ ἀφῖγμαι. καὶ μὴν καὶ τὸ κτίσω κτίξω. ἐπὶ μὲν τοῦ μέλλοντος θέσει ἐν ἐκτεταμένον, ἐπὶ δὲ τοῦ ἐνεστῶτος, φύσει, μαρτυρεῖ ἀληθῆ τὸν τοιοῦτον εἶναι κανόνα. ἐν δὲ τῇ γενικῇ, φύσει. κήρυκος φοίνικος. τὰ τοῦ τυφλοῦ φοίνικος. ἐν φοίνικος, ἐν. ὡς ἀριστοφάνης τὸ γεμὸν ἥλικος καὶ ὁμήλικος. ἐπὶ τῆς γενικῆς συστέλλεται. ἴτ᾽ ὦ νέοι μοι τῆς δὲ γῆς ὁμήλικας.

Υ ποθήκη καὶ παραθήκη διαφέρουσι. καὶ δάνεισι καὶ χρήσει. καὶ ἀποθήκη μὲν ἐστὶ τὸ ἐνέχυρον. λέγεται δὲ καὶ ἡ συμβολή. παραθήκη δὲ καὶ παρακαταθήκη τὸ δοθέν τινι πρὸς τήρησιν καὶ φυλακήν. δάνειον δὲ τὸ λαβεῖν ἀργύριον ἐπὶ τινὶ τόκῳ. ἢ καὶ ἐκ τινὸς αὐτῷ τόκου, εἰ ὁ δανείζων φιλάνθρωπος. χρῆσις δὲ καὶ κίχρησις, τὸ συζητῆσαι παρὰ τινὸς πρὸς βραχὺ ἱμάτιον ἢ ἀργυρώματα ἀφικέσθαι πρὸς γαμήλια τυχόν, ἢ καὶ ἄλλην ἑστίασιν, ἢ ζητῆσαι ἵππον, ἢ ἄλλό τι τοιουτότροπον.

ΑΡΧΗ ΤΟΥ Φ.

Φ άσματα λέγεται τὰ ἐν ὕπνῳ φαινόμενα. καὶ ὅσα φαντάζουσι τὰ δαιμόνια νύκτωρ, ἢ μεθ᾽ ἡμέραν ἐν ταῖς ἐρημίαις, ἀπὸ τοῦ ἀέρος λαμβάνοντα μορφὰς, οἵας ἂν ἐθέλωσι.

Φ αίνω τὸ δεικνύειν. φαίνεσθαι δὲ τὸ δεικνύεσθαι, καὶ τὸ δοκεῖν. καὶ τὸ μὲν, συντάσσεται κατὰ τὰ παθητικά. τὸ δὲ ἀντὶ τοῦ δοκεῖν μετὰ ἀπαρεμφάτου.

Φ άος, τὸ φῶς. τὸ φᾶ βραχύ.

Κ αὶ φαρὸς ὄνομα τόπου. φάρος δὲ τὸ ἱμάτιον, ἐνίοτε μὲν μακρὸν, ἐνίοτε δὲ βραχύ. ὡς τὸ καλόν. τὸ ἴσον. τὸ αἰθήρ. τὸ ὕδωρ. τὸ ἀήρ. τὸ ἄρης. ἄρηες ὡς δείκνυται ἐν τῷ ἄρες ἄρες βροτολοιγέ. τὸ ὑμέν καὶ ἕτερα.

Φ αῦλον τὸ μικρὸν, καὶ εὐτελὲς καὶ οὐδαμινόν. Καὶ φαῦλον τὸ κακὸν καὶ πονηρόν. ὅθεν καὶ φαύλους λέγομεν τοὺς κακοβίους καὶ πονηροὺς ἀνθρώπους. Φαῦλον τὸ ἀντιδιαστελλόμενον πρὸς τὸ σπουδαῖον. οἷον φαῦλος ὁ δεῖνα, ἢ σπουδαῖος. φαῦλος τὰ ἤθη ἢ χρηστὸς τὰ ἤθη. Φαῦλον τὸ ἁπλοῦν ὡς παρὰ σοφοκλεῖ. ἅπας φαυλουργοῦ τέχνης. Φλαῦρον δὲ τὸ γελοῖον καὶ φλύαρον. ὅθεν καὶ φλαυρίζω τὸν δεῖνα, ἀντὶ τοῦ διαγελῶ καὶ διαπαίζω.

Φ ανεῖ. λέγεται τὸ, παρέστη, καὶ δόξαι. φανθὲν δὲ τὸ φαντασθὲν ἐν ὀνείρῳ. διὸ οὐ γίνεται καὶ τὸ φάντασμα. φαίνω ἐνεστώς. ἔφαινον παρατατικός. φανῶ μέλλων. ἔφηνα ἀόριστος. φαίνομαι ἐνεστώς. ἐφαινόμην παρατατικός. φανοῦμαι μέλλων, καὶ φανήσομαι παθητικῶς, καὶ ῥητορικῶς φανθήσομαι. πέφασμαι παρακείμενος. ἐφάνην δεύτερος ἀόριστος. καὶ ἐφάνθην παθητικῶς, καὶ ῥητορικῶς ἐπὶ πρώτου ἀορίστου. τὸ δὲ πέφηνα οὕτω κανονίζεται, φαίνω τὸ δεικνύω ὁ μέλλων φανῶ, ἀντὶ τοῦ δείξω. ὁ παρακείμενος πέφαγκα ἄχρηστος, καὶ ὅπου εὕρηται τὴν λιβανίου ἐπιστολὴν ἐκπέφαγκε γράφοντος. ὁ μέσος πέφανα. καὶ τροπῇ τοῦ α εἰς η πέφηνα καὶ λαμβάνεται εἰς μόνην παθητικὴν σημασίαν ἀντὶ τοῦ ἐλέγχθην.

Τ ὸ φῶ ἤ. παραλήγουσαν τὴν αὐτὴν ἔχει ὁ παρακείμενος τῷ μέλλοντι, ἐπεὶ γὰρ ὁ μέλλων αἰολικῶς φαίσω προφέρεται, καὶ παραλήγεται τῷ θέσει μακρῷ. ὁ δὲ μέσος παρακείμενος ἐπεὶ τὴν ἀπὸ προσθήκης ἔκτασιν οὐκ ἔχει, διὰ ἀνάγκης εἰς τὴν φυσικὴν ἔκτασιν μετέπεσεν, ἵνα μὴ βραχυτέρα ᾖ τοῦ μέλλοντος. ὥσπερ ἔστι καὶ τύψω τέτυφα, καὶ ἄλλα, καὶ γέγονα καὶ πέφανα διὰ τοῦ μακροῦ φᾶ, διὰ καὶ τὸ α εἰς η ἐτράπη. διὰ τὸ εὐφωνότερον, καὶ γέγονε πέφηνα.

Φ ᾶναι ἀντὶ τοῦ εἰπεῖν. ἐμφῆναι δὲ ἀντὶ τοῦ δεῖξαι. ἐμφαίνω γὰρ τὸ δεικνύω.

Φ αρμακεὺς ὁ μάγος. φαρμακὸς δὲ ὁ τὸ δηλητήριον διδούς.

Φ έρω τὸ βαστάζω, τὸ ἀπομένω, τὸ κομίζω, καὶ τὸ φορῶ. ἐπὶ δὲ παθητικῆς σημασίας τὸ λαμβάνω. φέρω οἴω ὁ μέλλων οἴσω. ὁ παρακείμενος ἐνήνοχα. ὁ ἀόριστος ἤνεγκα.

Τ ὸ φαντάζεσθαι ἐπὶ τοῦ ἀνατυποῦσθαι λέγεται. καὶ ἀναπλάττειν. καὶ ἐπὶ τῶν ἐν ὕπνῳ ὁρωμένων. ἔστι δὲ ἀνατυποῦσθαι μὲν, τὸ φαντάζεσθαι τινὰ τὰ ὁραθέντα. ἀναπλάττειν δὲ φαντάζεσθαι ἃ μηδέποτε εἶδε.

Φ εύγει τὶς διωκόμενος ὑπό τινος. Καὶ φεύγει φυγαδευόμενος καὶ ὑβριζόμενος. Καὶ φεύγει κατηγορούμενος. Ἐκφεύγει δὲ ἀντὶ τοῦ διολισθαίνει. Διαφεύγει δὲ ὅταν κρατηθεὶς διολισθήσῃ. ἢ ὅταν παραδράμῃ διωκόμενος. Ἐξέφυγε δὲ ἀντὶ τοῦ διελύσατο αὐτόν. Φεύγω ἄχρηστον ὅπερ σημαίνει τὸ ἐκκλίνω, καὶ τὸ κατηγοροῦμαι, ᾧ ἀντίκειται τὸ διώκω ῥῆμα. ἀμφότερα σημαίνει τότε μεθέπομαι, καὶ τὸ κατηγορῶ. μετὰ δὲ τῆς ἀπὸ, σημαίνει τὸν κατηγορούμενον ἀπολυθῆναι τῆς αἰτίας. Μετὰ δὲ τῆς κατὰ τὸ ἐπὶ σωτηρίᾳ εἰς τινὰ προσδραμεῖν. Μετὰ δὲ τῆς διὰ τὸ διὰ μέσου πολλῶν ἐκφυγεῖν. καὶ μετ᾽ ἄλλης προθέσεως ἄλλό τι. φεύγω τοίνυν ἄχρηστον. καὶ ὁ παρατατικὸς ἔφευγον. ὁ μέλλων φεύξω ἄχρηστον. ἀφ᾽ οὗ γράφεται τὸ φεύξομαι. ὁ παρακείμενος πέφευγα ἄχρη-

στος. ὁ

ρος· ὁ μέσος τετράφαλος εὔχρυσος· ὁ δεύτερος ἀδείσιος ἔφυγον.

αὖ θαυμαστικὸν, καὶ σχετλιαστικὸν ἤτοι θρηνητικὸν, καὶ θαυμαστικόν.

ορέω καὶ ἀναφορέω τὸ βαστάζω, ἐξ οὗ καὶ ἀνάφορον τὸ κοινῶς λεγόμενον ἀλαξιμάριον ἀπὸ τοῦ ἀναφορεῖσθαι. ὡς παρ' ἀριστοφάνει. εἰ μὴ καθαιρήσει τις τ' ἀνάφορον. Ἀπὸ τούτου καὶ δυσανάφορος ὕπνος ὁ δυσβάστακτος. Ἀπὸ δὲ τοῦ φορέω καὶ εὔφορος ζυγὸς ὁ ἐλαφρός. οὗ ἐναντίον δύσφορος ὁ βαρύς. Καὶ δυσφορῶ ῥῆμα τὸ λυποῦμαι, καὶ βαρύνομαι. καὶ ἀνιῶμαι πιέζομαι.

ορεῖ μέν τις βιβλίον. Ἐκφορεῖται δὲ ἐπί τινα πρᾶξιν. Ἐκφορεῖ γοῦν τις νεκρὸν, ἢ ψῆφον. Ἐκφορεῖται δὲ ὁ τοῦ δέοντος ἔξω φερόμενος. Προσφορεῖ τις τινὶ δῶρα. Προσφορεῖται δέ τις τινὶ πράως ἢ τοὐναντίον, ὃ δὴ καὶ σημαίνει διάθεσιν. Διαφέρει μὲν ἥλιος σελήνης. Διαφορεῖται δέ τις πρὸς ἀδελφὸν περὶ πατρῴου κλήρου.

θανω τὸ προλαμβάνω, καὶ τὸ καταλαμβάνω. καθ' ὃ σημαινόμενον λέγεται τὸ, οὐκ ἂν φθάνοις ἰὼν εἰς τὸ δικαστήριον, ἤγουν οὐκ ἂν ἀρχοίης, οὐκ ἂν καταλαμβάνοις τοὺς ἕλκοντας. τουτέστι τοσοῦτόν σε ἕλξουσι συντόμως, ὡς μὴ δύνασθαί σε καταλαμβάνειν τοὺς ἕλκοντας, ἀπὸ μεταφορᾶς τούτου λέγεται καὶ ἐφ' ἑτέρων, τὸ, οὐκ ἂν φθάνοις τι ἀποθνήσκοντες, ἤγουν οὐκ ἄρα ποτὲ γενήσεσθε. καὶ οὐκ ἂν ἄρχοιντε πρὸς τὴν τοῦ θανάτου συντομίαν. οὕτως ὑμᾶς ἕλξουσι δηλονότι μετὰ ταχυτῆτος. Ἰστέον δὲ ὅτι τὸ φθάνειν ὅτε μὲν πρὸς τὸ τέλος λέγεται τῆς κινήσεως, τὸ καταλαμβάνειν δηλοῖ. ὅτε δὲ πρός τινα ὁρίζονται, τὸ προλαμβάνειν, ἀπὸ τούτων δὲ κατὰ μεταφορὰν λέγεται καὶ τὸ διαρκεῖν.

θείρειν τὸ ἀφανίζεσθαι, καὶ τὸ βλάπτειν. καθὸ λέγεται ἐφθάρθαι τὰ δικαστήρια.

ἀφθονον τὸ ἔχειν φθόνον ἤγουν τὸ φθονούμενον. Ἄφθονον δὲ χωρὶς φθόνου διδόμενον, ἢ γινόμενον. οἷον ἄφθονος χάρις, ἡ χωρὶς φθόνου διδομένη. καὶ ἄφθονος πρᾶξις, ἡ χωρὶς φθόνου πραττομένη. ἀφ' οὗ ἄφθονος πλοῦτος ὁ πολύς. καὶ ἄφθονον πλῆθος ὁμοίως ἀντὶ τοῦ πολύ. Ἀφθόνητος δὲ ὁ μὴ φθονούμενος.

ὁ φθέγγεσθαι καὶ τὸ φθέγμα κυρίως ἐπὶ ἀνθρώπων. Φθέγγομαι τὸ λέγω. Ἀποφθέγγομαι τὸ συνεσταλμένα καὶ βραχέα λέγω, ὅθεν καὶ ἀποφθέγματα οἱ βραχεῖς, καὶ ὀλιγοσύλλαβοι λόγοι. ὡς τὸ, οἱ πλείους κακοί. καὶ πᾶν μέτρον ἄριστον.

οἱ φίλοι, προτείνουσι δὲ φίλιοι. Οἱ δὲ συνοικοῦντες ἐφέστιοι. Οἱ δὲ ἐν μιᾷ τάξει, καὶ μιᾷ συμμορίᾳ καταλεγόμενοι, ἑταιρεῖοι. Οἱ δὲ ξένοι, ξένιοι. Οἱ δὲ ἐν ὅρκοις συμφωνίαν ποιοῦντες, ὅρκιοι. Οἱ δὲ ὁμόγνιοι ἱκέσιοι. Οἱ δὲ ἀδελφοὶ ὁμόγνιοι.

ιλολογεῖν ἀδόκιμον, ἀλλὰ φιλοσοφεῖν καὶ ὁ φιλολόγος καὶ ἡ φιλολογία ἐν χρήσει, παρὰ πλάτωνι.

ιλῶ τὸ ἀγαπῶ οὗ ἐναντίον τὸ μισῶ. Καὶ φιλῶ ἐπὶ τῆς σωματικῆς ἐνεργείας. ὅπερ οὐκ ἔχει ἐναντίον. Φιλῶ παρὰ τῷ ποιητῇ. καὶ τὸ φιλοφρονοῦμαι καὶ δεξιοῦμαι. Φιλεῖν μὲν τὸ ἁπλῶς φιλεῖν. Ἐρᾶν δὲ, τὸ διαπύρως φιλεῖν. Ποθεῖν δὲ τὸ τοῦ πρότερον παρόντος, νῦν δὲ ἀπόντος εἰς ἐπιθυμίαν ἔρχεσθαι. Φίλος ἀεὶ βραχὺ, παρὰ δὲ τοῖς ποιηταῖς ἐνίοτε καὶ μακρόν.

λοῖσβος. ποιὰ λέξις ἐστὶ, πεποίηται δὲ ἀπὸ τοῦ ἤχου, ὃν ποιοῦσι τὰ κύματα ἐπὶ τῷ αἰγιαλῷ προσερχόμενα, καὶ ἀποστρέφοντα.

ορά. ἡ κίνησις. Καὶ φορὰ ἡ ἀνατολή. ἔτι φορὰ σίτου, καὶ φορὰ ῥητόρων. γίνεται δὲ ἀπὸ τοῦ φέρειν. ὃ ποιητικῶς λέγεται φορέειν. ὃ μετὰ τῆς ἐν προθέσεως, οὐ λέγεται. ἔνομα δὲ ἀπ' αὐτοῦ ὁ ἐμφορέας. μετὰ δὲ τῆς εἰς λέγεται εἰσφέρειν, καὶ δηλοῖ τὸ κατὰ μέρος καὶ νόμους διδόναι. Μετὰ δὲ τῆς ἐκ, ἐκφέρειν, ὃ λαμβάνεται ἐπὶ προφορᾶς λόγου, καὶ ἐπὶ τῆς ἔξω τοῦ πρέποντος φορᾶς. καὶ ἐπὶ νεκροῦ. Μετὰ δὲ τῆς σὺν, συμφέρειν, ἀφ' οὗ τὸ συμφέρον. ὃ τέλος ἐστὶ τοῦ συμβουλευτικοῦ μέρους τῆς ῥητορικῆς, καὶ ἡ συμφορά. Μετὰ δὲ τῆς πρὸς. προσφέρειν, τὸ δῶρά τινι φέρειν. οἷον προσφέρω σοι ὕμνον. Μετὰ δὲ τῆς πρὸ, προφέρειν, τὸ ὑβρίζειν, καὶ τὸ προτείνειν. Μετὰ δὲ τῆς ἀνὰ, ἀναφέρειν τὸ εἰς μεῖζον πρόσωπον ἀναφέρειν τὸν λόγον. Καὶ μετὰ τῆς κατὰ καταφέρειν, ἀφ' οὗ καταφορὰ ἡ κατηγορία. Μετὰ δὲ τῆς διὰ, διαφέρειν, τὸ διαφορὰν ἔχειν, καὶ συντάσσεται ἀπὸ αἰτιατικῆς εἰς δοτικὴν, καὶ τὸ ὑπερβάλλειν. ὃ καὶ μετὰ τῆς ὑπὸ λέγεται, καὶ δηλοῖ τὸ μετά τινος ὑπερβάλλειν. καὶ τὸ ἐπιτηδείως ἔχειν καὶ φιλικῶς πρός τινα. οἷον, ὁ σπουδαῖος ὀφείλει προνοεῖσθαι καὶ ἑαυτοῦ, καὶ τῶν διαφερόντων αὐτῷ. ἀπὸ τούτου διαφορὰ, καὶ διάφορος, ἐπὶ τοῦ ἐχθρωδῶς διακεῖσθαι πρός τινα, καὶ ἐπὶ τοῦ διαφορὰν ἔχειν. Καὶ μετὰ τῆς μετὰ μεταφέρειν, καὶ μεταφορὰ, τὸ μετατίθεσθαι ἐφ' ἑτέρου, τὴν ἁρμόζουσαν λέξιν ἐφ' ἑτέρῳ. Καὶ μετὰ τῆς παρὰ παραφέρειν, καὶ παράφορος, ὁ παραπαίων. Καὶ μετὰ τῆς ἀντὶ ἀντιφέρεσθαι τὸ ἐναντιοῦσθαι, ὃ ποιητικῶς λέγεται ἀντιφερίζειν. Καὶ μετὰ τῆς ἐπὶ ἐπιφέρειν, καὶ ἐπιφορὰ, καὶ ἐπίφορον πνεῦμα, τὸ ἐπιτήδειον καὶ ἁρμόζον τοῖς πλέουσι. Καὶ μετὰ τῆς περὶ περιφέρειν, καὶ περιφορὰ. ἐπὶ τῆς κύκλῳ φορᾶς. Καὶ μετὰ τῆς ἀπὸ παθητικῶς ἀποφέρεσθαι

ὸ, ἀπολαβόντα ἆθλον, ἤ τι τοιοῦτον λαμβάνει. Καὶ μετὰ τῆς ἀπὸ ἀποφθέγγεσθαι, τὸ ἀπομενεῖν. Ἀπὸ τοῦ φθέγγειν φθέγκτορος, ὁ καρτερικώτερος ποιητικῶς, ὁ μᾶλλον δηλαδὴ φθέγγειν δυνάμενος τὰ προαιρέσει. Καὶ φθόγγος ἀποφθεγκτικὸν, καὶ ἰσοφαρίζειν καὶ ἰσοφερὰ ποιητικῶς.

ορὸς ἄνεμος ὁ τοῖς πλέουσι δεξιός. καὶ φορὸς ἡ συκῆ σύκων ἤγουν καρπῶν. φορὸς, καὶ ἡ γῆ καρπῶν ἄλλων. καὶ πάμφορος γῆ ἡ παντοίους καρποὺς φέρουσα.

οίνικες μὲν φοινὸς δὲ καὶ φοινείδης.

οιτᾶν τὸ συχνῶς πορεύεσθαι πού. καὶ φοιτᾷ τὶς εἰς τὸ σχολεῖον. Καὶ φοιτᾶν τὸ μαίνεσθαι.

όβος ἐστὶν ἐλπὶς κακῶν. Ἐλπὶς δὲ προσδοκία ἀγαθῶν, προσδοκία δὲ καὶ ἐπ᾽ ἀμφοτέρων. συντάσσονται δὲ τὰ τρία ὡς ἐπὶ τὸ πλεῖστον, μέλλοντι πρώτῳ.

οβερός. σημαίνει καὶ ἐνέργειαν καὶ πάθος. οἷον φοβερὸς ὁ φόβον ἐμποιῶν, ἀλλὰ καὶ ὁ φοβούμενος. ἔστι δὲ σπανιάκις καὶ ἀπὸ τῶν φασμάτων ἐστὶ φοβερός, ἤτοι φοβούμενος.

οίνη ἡ συρία. φοῖνιξ ὁ σύρος. καὶ φοῖνιξ τὸ μοναδικὸν ὄρνεον. καὶ φοινικοῦν χρῶμα τὸ κόκκινον. καὶ φοινίσσω τὸ κοκκίνῳ βάπτω.

ράζω τὸ λέγω ὁ μέλλων φράσω. φράζομαι δὲ παθητικῶς τὸ νοῶ, ποιητικὸν καὶ φράττομαι, τὸ ἐν ὅπλοις ἐμαυτὸν ἀσφαλίζομαι, ἐξ οὗ κατάφρακτον στρατιώτην λέγομεν, τὸν πανταχόθεν ὅπλοις ὠχυρωμένον. Φράσσω δὲ ἄμπελον ἢ τοιοῦτό τι. ἤγουν ἕρκος αὐτῇ περιτίθημι. ἀφ᾽ οὗ καὶ ἔμφραξις, ὅταν γλίσχροι χυμοὶ τοῖς ἀγγείοις ἐγγένωνται, καὶ παχεῖς ὡς μὴ ῥᾳδίως δύνασθαι διαφορηθῆναι.

ροντιστήρια, τὰ διδασκαλεῖα τῶν φιλοσόφων. λέγονται δ᾽ αὖ οὕτω καὶ τὰ παρ᾽ ἡμῶν μοναστήρια. δικαστήρια ἔνθα δικάζουσιν οἱ κριταί. Κολαστήρια καὶ βασανιστήρια τὰ ὄργανα, δι᾽ ὧν κολάζουσι τινὰς, καὶ ἀπὸ τούτων αἱ κολάσεις. Ἀνακαλυπτήρια δὲ τὰ διδόμενα δῶρα ταῖς νύμφαις, ὅταν τὸ πρῶτον ἀνακαλύπτωνται, ὥς τε ὀφθῆναι τοῖς ἀνδράσιν. ἤγουν τὰ κοινῶς θεώρετρα. Θρεπτήρια δὲ ποιητικῶς τὰ διδόμενα τοῖς θρέψασι χάριν τῆς ἀνατροφῆς. ἤγουν τὰ θρεπτεῖα.

ροῦδος λέγεται ὁ ἀφανής. γίνεται δὲ ἀπὸ τῆς πρὸ προθέσεως, καὶ τοῦ ὁδὸς, οἱονεὶ ὁ πρὸ ὁδοῦ. ὥσπερ φρουρὸς ἀπὸ τοῦ προορᾶν.

Υ ὁ φρονῶ. αἰτιατικῇ συντάσσεται, καὶ τὸ εὖ φρονῶ, ἐπεὶ διαλελυμένον ἐστί. τὸ δὲ εὐφρονῶ δοτικῇ, ἐνίοτε δὲ καὶ αἰτιατικῇ.

ρυγία καὶ ὁ ἀπ᾽ ἐκείνης, φρύξ. θρᾴκη καὶ ἀπ᾽ ἐκείνης, θρᾷξ. καὶ ἀπὸ τῆς καρίας, κάρ. καὶ ἀπὸ τῆς κρήτης, κρής. καὶ ἀπὸ τῆς λιβύης, λίβυς. καὶ ἀπὸ τῆς μαγνησίας, μάγνης.

ρύξιον λέγεται τὸ πολίχνιον. ὃ καὶ πολίχνη θηλυκῶς καὶ ἔρυμα λέγεται.

ῖξ τὸ ἐπαναστατικὸς τῆς θαλάσσης, ἐπιπολῆς, ἀπὸ τούτου κατὰ μεταφορὰν καὶ ἐνθάδε συνόδῳ οἷον φρῖξας λεοντῇ. καὶ ἔφριξε μάχη φθισίμβροτος ἐγχείῃσι, καὶ ἀσπίσι πεφρικότα λόφον. οἱονεὶ κυματίζοντα τῇ πυκνότητι καὶ κινήσει τῶν ἀσπίδων καὶ ὀρθώσει.

ρίττει ὁ χέρσος ταῖς θριξί. φρίττει καὶ τὸ λήιον τοῖς ἀστάχυσι. φρίττει καὶ ὁ στρατὸς τοῖς δόρασι, καὶ ἡ θάλασσα τοῖς κύμασι. φρίττει δὲ καὶ ὁ φοβηθεὶς ἐπειδὴ αἱ τρίχες αὐτῷ ὀρθαὶ γίνωνται. φρύττει δέ τις ἐνθάδε κλιβανίου ἄρτον ἢ τοιοῦτό τι ἔτερον ψιλοῦται.

υσᾶν τὸ σφοδρῶς ἀναπέμπειν πνεῦμα ἐκ τοῦ στόματος, ἀφ᾽ οὗ καὶ φυσώδη ὄσπρια τὰ ἐμποιοῦντα πνεύματα. Φυσᾶν ἀπὸ τούτου καὶ τὸ ἐπαίρεσθαι καὶ ὀγκοῦσθαι.

υλάττω τὸ τηρῶ. Φυλάττομαι δὲ παθητικῶς τὸ ἐκφεύγω. καὶ φύλακες οἱ εἰς τὸ φυλάττειν τεταγμένοι καὶ φυλακὴ τὸ πλῆθος τῶν φυλάκων. ὥσπερ στρατεία τὸ πλῆθος τῶν στρατιωτῶν, φυλακὴ καὶ εἱρκτὴ τῶν φυλασσόντων. θουκυδίδης. ἀνθρώπων δὲ ὀλίγων ἐνόρμιζον, καὶ τῶν ἀχρειοτάτων ἀφικέσθαι τὴν φυλακὴν. συντάσσεται δὲ τὸ φυλάττω, ἀπὸ δοτικῆς εἰς αἰτιατικήν. οἷον διαφυλάττω σοι τὴν οἰκίαν. καὶ τὸ παθητικὸν διαφυλάττεται ὁ οἶκος ὑπ᾽ ἐμοῦ.

Υ ὁ φυτεύειν ἐνθάδε φυτῶν λέγεται. ἤγουν τὸ τὴν ῥίζαν αὐτῶν καταβάλλειν, ἀπὸ τούτου ποιητικῶς, καὶ ἐπ᾽ ἀνθρώπων, ὡς παρ᾽ ὁμήρῳ, οὗτος φυτεύει ὄλεθρον. καὶ ἁπλῶς ἐνθάδε τὸ καταβάλλειν ἀρχὴν ἐν πράγμασι. εὑρίσκεται καὶ φυτεύειν ἀντὶ τοῦ σπείρειν ἐνθάδε παιδός. καὶ παράγεται ἀπὸ τοῦ φιτύς ὁ πατήρ ὡς καὶ παρὰ σοφοκλεῖ. ἐφ᾽ ὃν λαβὼν αὐτὸς ὁ φιτύσας πατήρ. ἐστὶ δὲ δῆλον ὅτι ἐνταῦθα τὸ φι. ι. γράφεται ἀπὸ τοῦ τὸ φι μακρὸν εἶναι.

Δ ιαφέρει φύσεως οὐσία. οὐσία μὲν γάρ ἐστιν ὕπαρξις. φύσις δὲ ἡ ἐνοῦσα τινὶ δύναμις. οἷον φύσις τῆς γῆς τὸ ἀναβλαστάνειν βοτάνας. καὶ φύσις τοῦ πυρὸς τὸ θερμαίνειν. ἀφ᾽ οὗ καὶ εὐφυὴς ὁ εὖ ἔχων φύσεως. καὶ εὐφυΐα ἐνθάδε τούτου. εἰκότως οὖν ἡ εὐφυΐα, καὶ ἐνθάδε ἀνθρώπων λέγεται, καὶ φυτῶν, καὶ γῆς, τῶν τοιούτων. Λέγεται φύσις καὶ ἡ ποιότης. οἷον ὅρα δὲ πρόμαχον περιβέβληται, φύσεως οὐ μιᾶς, ἤγουν ποιότητος. Φύσις καὶ ἡ εὐφυΐα, ἤγουν τὸ κάλλος. ὡς τὸ, ὦ φύσις ἐν ἀνθρώποις ὡς μέγ᾽ εἶ κακόν. Φύσις καὶ τὸ γένος ἀπὸ τοῦ φύειν. οὐ μαθὼν ὃς ἐν φύσει.

ύω τὸ γεννῶ. ὁ μέλλων φύσω. ὁ παρακείμενος πέφυκα. καὶ σημαίνει τὸ γεγένημαι. ἔστι δὲ οὗ καὶ τὸ φύσιν ἔχω καὶ τὸ ὑπάρχω. ἡ μετοχὴ ὁ πεφυκώς. ὁ πρῶτος ἄριστος ἔφυσα ἄλλον. ὁ δεύτερος ἀόριστος ἔφυν ἀντὶ τοῦ ἐγεννήθην. καὶ οὐχὶ ἀντὶ τοῦ ἐγέννησα.

ἐγκλίνεται· ὥσπερ ὁ παρελθὼν ἀόριστος. ἔστι δὲ τὸ φῦ φύσει μακρὸν ἀεί. καὶ τοῦ ἀορίστου καὶ τοῦ παρακειμένου· καίτοι τὰ διὰ τοῦ ύω ῥήματα πάντα ἐπὶ τοῦ μέλλοντος, πλὴν τοῦ θύω καὶ λύω καὶ ῥύω, συστέλλει τινὸς λέγοντος, ἀμείνου καὶ [illegible] ἀπὸ τοῦ φῦμι. ἡ δὲ τετάρτη τῶν εἰς μι, διχρόνῳ ἀεὶ ἐκτεταμένῳ παραλήγεται.

Φύλον μὲν τὸ γένος· φύλλον δέ.

Φωνῶ τὸ καλῶ αἰτιατικῇ· φωνῶ δὲ τὸ διαλέγομαι δοτικῇ.

Φωρῶ [illegible] μετὰ μετοχῆς. ἐφωράθη ψευδόμενος ἢ κλέπτων. φυκία, τὰ πλατέα καὶ ἁπαλὰ τὰ ἐπὶ τῷ αἰγιαλῷ κείμενα, βρύα δὲ βοτάναι τινὲς ἐν τοῖς παράλοις τόποις τῆς θαλάσσης φυόμεναι.

ΑΡΧΗ ΤΟΥ Χ.

Χαρίζομαι τὸ δωροῦμαι, καὶ τὸ χάριν ποιῶ, δοτικῇ, καὶ ἀμφότερα. καὶ χάρις τὸ δῶρον, καὶ πᾶν ὃ ἄν τις χαρίσηται, καὶ θέλγητρον. καὶ χάριτες αἱ ἐπίσκοποι τούτων. φασὶ δὲ αὗται εἰσί. χαροπὸν τὸ ἔχον χαράν. χαρίεν τὸ ἔχον χάριν. ὃ καὶ ἐπίχαρι λέγεται. προπαροξύνεται δὲ τὸ χαρίεν. διότι ἐστὶ τὸ ει βραχύ. καὶ οὐ δύναται κατέχειν τὸν τόνον. ὡς γὰρ τιμῆεν, ὃν ἂν καὶ αὐτὸ χαρίεν. ὡσαύτως σφαλερὸν τὸ ἐπισφαλὲς καὶ τὸ ὀδυνηρὸν ἐπώδυνον. καὶ τὸ βλαβερὸν ἐπιβλαβές. φθονερὸν δὲ καὶ ἐπίφθονον οὐ τὸ αὐτό. λέγεται γὰρ τὸ φθονερὸν ἐπὶ τῶν χρωμένων τῷ φθόνῳ· τὸ δὲ ἐπίφθονον, ἐπὶ τῶν φθονουμένων. καὶ φοβερὸν ὁμοίως τὸ φόβον ἐμποιοῦν. ἐπίφοβον δὲ τὸ φοβούμενον.

Χαρίζομαι. χαριοῦμαι ἐχαρισάμην καὶ κεχάρισμαι.

Χαλκὸς καὶ χρυσὸς ὁ κείμενος ἀργός. χαλκοῦν δὲ καὶ χρυσοῦν σκεῦός τι ἄλλο ἐκ χαλκοῦ ἢ χρυσοῦ κατασκευασμένον. ὧν τὰ θηλυκὰ περισπῶνται. οἷον ἡ χαλκῆ. καὶ ἡ χρυσῆ καὶ ὅσα ἄλλα ἔχουσιν ἀρσενικὰ εἰς οῦς, καὶ αἱ εὐθεῖαι τῶν πληθυντικῶν περισπῶνται. οἷον αἱ χρυσαῖ καὶ αἱ χαλκαῖ.

Χάος. ὅθεν ὁ διακεχυμένος ἀήρ.

Χαίρω ἀεί ποτε ἐνεργητικῶς λέγεται. τὸ παθητικὸν ἐκβεβλημένον. συντάσσεται δὲ μετοχῇ, ὡς τὸ χαίρω λέγων. χαίρω τὰ σὰ μηνύων, καὶ πτώσει δοτικῇ. οἷον, χαίρω τῇ σῇ θέᾳ. χαίρω τῇ σῇ γεωργίᾳ. ὅπερ φαμὲν ἰδιωτικῶς ἀποδέχομαι. εὕρηται δὲ καὶ ἀμετάβατον. ὡς τό, σοῦ ταῦτα λέγοντος χαίρω, ἀντὶ τοῦ χαρὰν ἔχω.

Χερμὰς λίθος ὃν ἡ χεὶρ δύναται χωρῆσαι.

Χ [illegible] καὶ τὸ ῥεῖν κυρίως ἐπὶ ὕδατος λέγεται, ἀπὸ τούτου δὲ καὶ ἐπὶ παντὸς ἁπλοῦ, καὶ λείου. ὅθεν ἐσθὴς λέγεται ἁπαλή, καὶ περιρρέουσα.

Χειριδωτὸς, χιτὼν ὁ χειρίδας ἔχων. τὰ λεγόμενα κοινῶς μανίκια.

Ἐγχειρίζω. τὸ εἰς χεῖρας τινὸς τίθημι τὸ δέ τι. ἐγχειρῶ δὲ τῷδε τῷ πράγματι. ἤγουν ἐπ' αὐτῷ τὰς χεῖρας ἐπιβάλλω.

Εὐχείρωτα τὰ εὐκόλως κρατούμενα. διαχειρίζω τὰ πράγματα. τουτέστι διὰ χειρὸς ἔχω καὶ οἰκονομῶ. παθητικῶς δὲ διαχειρίζομαι τὸ φονεύω. μεταχειρίζομαι παρὰ ταῦτα τὸ οἰκονομῶ.

Χειρῶ χειρῶ ἔχρησεν ἀντὶ τούτου χειροῦμαι δὲ τὸ κρατῶ. ὅθεν καὶ τὸ ἐχειρώσατο τοὺς ἐχθρούς. ἐκ τούτου εὐχείρωτοι καὶ δυσχείρωτοι.

Ὑπερχειλὲς τὸ γεγεμισμένον. ἐπιχειλὲς δὲ τὸ διάκενον.

Χιὰ, ἡ τοῦ ὄφεως κατοικία. οὐχ ἡ ἁπλῶς φωλεά.

Χιτωνίσκος καὶ χιτὼν ὁ τοῦ ἀνδρός, χιτώνιον δὲ τὸ τῆς γυναικός.

Χλιδῶ χλιδῶ τὸ βλακεύομαι, καὶ χλιδὴ ἡ βλακεία.

Καὶ χλιαίνω καὶ χλιαρὸν ὕδωρ, τὸ μήτε πάνυ θερμόν, μήτε λίαν ψυχρὸν διὰ τοῦ ι.

Χλῆδος δὲ ἀρσενικῶς ὁ συρφετὸς τῶν ἀποκαθαρμάτων, καὶ ἡ τῶν ποταμῶν, καὶ μάλιστα ἡ τῶν χειμάρρων πρόχωσις. ὃ καὶ χαράδρος λέγεται διὰ τοῦ η.

Χλούνης καὶ μονιὸς, καὶ χαυλιόδους, ὁ ἄγριος λέγεται σῦς. τὸ μὲν ἀπὸ τοῦ ἐν τῇ χλόῃ νέμεσθαι. τὸ δὲ ἀπὸ τοῦ μόνος πορεύεσθαι. τὸ δὲ ἀπὸ τοῦ κεχαλάσθαι τοὺς ὀδόντας. καὶ κάπρος δὲ τὸ αὐτὸ λέγεται.

Χλοάζει τὸ λίαν ἤδη ἀνθεῖ. καὶ χλωρὸν, χλοερὸν δὲ κάλλιον.

Χοῦς ἡ λεπτὴ γῆ. καὶ κόνις ὁ κονιορτὸς, ὃ καὶ κονίσαλος λέγεται.

Χοῖρος καὶ σῦς ἐπὶ παντὸς χοίρου λέγεται.

Χολάδες τὰ ἔντερα. χόλικες δὲ αἱ τῶν βοῶν κοιλίαι. Ἀριστοφάνης, Βαβυλωνίων. ἢ βοίδια εἴ ἄν τις ἀπέκτεινε χολίκων ἐπιθυμῶν.

Χρήσιμον τὸ ἐπιτήδειον εἰς χρείαν. ἤγουν τὸ συντελοῦν εἴς τι.

Χρησμὸς ἡ ἐκ θεῶν μαντεία. Χρησμολόγος, ὁ τὰ δυνάμενα τῶν χρησμῶν ἑρμηνεύων. Χρηστήριον δὲ, τὸ τῶν θεῶν μαντεῖον. Μαντεία δὲ καὶ μάντευμα τὸ ἀπὸ μάντεων ἀνθρώπων.

Τῷ χρηστῷ ἐναντίον ὁ φαῦλος. ἔστι δὲ χρηστὸς οὗ ἡ ὁμιλία ὠφέλειαν ἐμποιεῖ, φαῦλος δὲ οὗ ὁ βίος ἄτακτος, καὶ ἀκόλαστος, ὡς καὶ ἄλλους βλάπτεσθαι ἀπὸ τῆς αὐτοῦ ὁμιλίας. Τῷ ἀγαθῷ δὲ ἐναντίον ὁ κακός. Τῷ καλῷ δὲ ὁ αἰσχρὸς, ἤγουν ὁ δυσειδής.

Χρέω χρῶ ἐνεστώς, τὸ δανείζω καὶ τὸ μαντεύω. ἔχρεον ἔχρων παρατατικός. χρήσω μέλλων. ἔχρησα ἀόριστος. χρέομαι χρῶμαι ἐνεστὼς ἀντὶ χρείας. ἐχρεόμην ἐχρώμην παρατατικός. χρήσομαι μέλλων. ἐχρησάμην ἀόριστος. κέχρημαι παρακείμενος.

Χρή. ἀντὶ τοῦ πρέπει βαρύνεται. χρῇ δὲ περισπώμενον ἀντὶ τοῦ χρησμὸν δίδωσι. καὶ χρᾶν ἀπαρέμφατον. χρᾷ γάρ ἐστι. καὶ φασὶ τοῦ ἀεὶ ἡ χρῇ. καὶ ὁ μὲν θεὸς χρῇ. ὁ δὲ ἄνθρωπος μαντεύεται. Χρῶμαι δὲ τῷ πράγματι ἀντὶ τοῦ ἀπολαύω τοῦ πράγματος. τὸ τρίτον οὐ χρᾶται ἀλλὰ χρῆται. τὸ ἀπαρέμφατον οὐ χρᾶσθαι ἀλλὰ χρῆσθαι.

Χρηματίζω. τὸ ὑπάρχω. ὡς τὸ, δι' ὃν οὐρανὸς ἐχρημάτισε, καὶ τὸ χρηματισμοὺς δίδωμι. ἤγουν λόγους. Χρηματίζομαι δὲ παθητικῶς τὰ χρήματα συλλέγω. ἀφ' οὗ καὶ χρηματιστής.

Χρήστας καὶ τοὺς δανειστὰς καὶ τοὺς χρεωφειλέτας φασί.

Χρῶμα κυρίως τὸ μετὰ τῆς ὕλης. οἷον ὠχρὰ. κυανῆ βαφή. χρόα δὲ καὶ χροιὰ αὐτὸ τὸ εἶδος τοῦ χρώματος.

Χρήζω. ἀντὶ τοῦ χρείαν ἔχω γενικῇ. χρήζω σοι δὲ τόδε, ἀντὶ τοῦ δανείζω σοι, δοτικῇ.

Χυμοὶ τὰ ἐν τοῖς ζώοις στοιχεῖα. ἤγουν τὸ αἷμα. τὸ φλέγμα. καὶ τὰ λοιπά. ἀφ' οὗ εὔχυμος τροφὴ ἡ εἰς καθαροὺς χυμοὺς μεταβαλλομένη. καὶ κακόχυμος τὸ ἐναντίον.

Χωρῶ τὸ ὁρμῶ, καὶ τὸ δέχομαι. οἷον τοσοῦτον ὕδωρ τόδε τὸ ἀγγεῖον χωρεῖ. ἀφ' οὗ χώρα ἡ ἄδεια, καὶ ἐλευθερία. καὶ παρὰ συνεσίῳ. ἐφοίτων ὅσοι ἐχώρουν αἱ κεφαλαί, ἐξ οὗ καὶ ἀχώρητον. χωρῶ καὶ τὸ ἔρχομαι ἀφ' οὗ συγχωρῶ, ὅταν ἑκὼν ἀπολύω τι. Καὶ παραχωρῶ ὅταν ἄκων ἀπολύω. Καὶ προχωρεῖ ἀντὶ τοῦ προβαίνει. καὶ ἀναχωρεῖ ἀντὶ τοῦ ἐπαναστρέφει. καὶ ἀποχωρεῖ ἀντὶ τοῦ ἀφίσταται. Καὶ ὑποχωρεῖ ἀντὶ τοῦ ὑπεξίσταται.

Χωρὶς ἀντὶ τοῦ ἄνευ καὶ ἀντὶ τοῦ κεχωρισμένως.

Χωννύω ἐνεστώς. ἐχώννυον παρατατικός. χώσω μέλλων. ἔχωσα ἀόριστος. χωννύομαι ἐνεστώς. καὶ χώννυμαι. ἐχωννυόμην καὶ ἐχώννυον παρατατικός. χωσθήσομαι μέλλων. ἐχώσθην ἀόριστος. κέχωσμαι παρακείμενος.

Χρεὼν ὅτε μὲν μετὰ ἄρθρου τίθεται, ὄνομά ἐστι μονόκλιτον. ὥσπερ καὶ τὸ δέον μετὰ ἄρθρου λαμβανόμενον ἐστὶ ὄνομα μονόκλιτον. χωρὶς δὲ τοῦ ἄρθρου, ἐπίρρημα. χρεὼν γάρ ἐστι γενέσθαι τὸ δέ τι, λέγομεν. ἄμεινον δὲ λέγειν τὸ αὐτὸ ὄνομα ἐπιρρηματικόν. καὶ Εὐριπίδης. οὐκ ἔστι μοίρας τοῦ χρεὼν ἀπαλλαγή.

ΑΡΧΗ ΤΟΥ Ψ.

Ψάλλιον ὁ χαλινός. ψέλλιον δὲ τὸ τοῖς βραχίοσι περιτιθέμενον κόσμιον.

Ψαύω τοῦ λίθου, καὶ ψαύω τόδε, ὅτι τὰ κατ' αἴσθησιν ἀμφοτέρως. ἐρῶ δὲ μόνον τόδε.

Ψάμμος καὶ ἄμμος. τὰ δὲ παράγωγα ψάμμαθος καὶ ἄμμαθος ποιητικόν.

Ψεύδομαι τόδε, παθητικῶς, ἀντὶ τοῦ ψευδῶς λέγω. ὡς παρὰ τῷ θεολόγῳ. ἐψευσάμην ὁμολογῶν τὴν ὑπόσχεσιν. Καταψεύδομαί σου τόδε. ἤγουν κατὰ σοῦ ψευδῶς λέγω. ἔψευσέ με τῆς ἐλπίδος ἐνεργητικῶς. ἀντὶ τοῦ ψευσθῆναι ἐποίησε. καὶ ἐψεύσθην τῆς ἐλπίδος.

Ψῆφος κυρίως ἡ ἀπόφασις, οὐχ ἡ κρίσις καὶ κατεψηφίσθη οὐ κατεκρίθη.

Ψηφίζομαι τὸ κρίνω παθητικῶς καὶ διαψηφίζομαι, καὶ ἐπιψηφίζομαι. τὸ ἐπικυρῶ. Καταψηφίζομαί σου θάνατον. ἤγουν κατὰ σοῦ ἐπάγω τὴν ψῆφον, ᾧπερ ἐναντίον τὸ ἀποψηφίζομαι. Ψηφίζομαι καὶ τὸ δόκιμος κρίνομαι. Ἀποψηφίζομαι δὲ τὸ ἀδόκιμος κρίνομαι. Ψηφίζω δὲ ἐνεργητικῶς τὸ λογαριάζω.

Ψὶς παρ' Ὁμήρῳ ἡ παρὰ τοῖς κοινοῖς ψιχάς.

Ψοφοδεὴς ὁ καταπλὴξ, καὶ ὁ δειλοικῶς ὁρῶν τὰ πάντα. ὃς καὶ ψόφου αἰσθανόμενος οὐκ ἀπαλλάττεται τοῦ φοβεῖσθαι.

Ψυχὴ ἡ λογικὴ καὶ ἡ ἐν τοῖς ζώοις τοῖς ἀλόγοις, καὶ ἡ ἐν τοῖς φυτοῖς. Ψυχὴ καὶ ἡ ζωὴ ὡς παρ' Ὁμήρῳ. Ἰλιάδι. Ἕκτορος τ' ἀπώλλυτο ψυχή. ἤγουν ἡ ζωή. Ψυχὴ καὶ ἡ φύσις, ὡς παρὰ Σοφοκλεῖ. ὅς τις τῆς ἐμῆς ψυχῆς γονάς, ἤγουν τῆς ἐμῆς φύσεως.

Ψυχαγωγεῖν. λέγεται τὸ τὴν ψυχὴν ἐκλείπουσαν καὶ ἐκλελυμένην, αὖθις πάλιν ἐπανάγειν.

Ψάλλιον ἀττικῶς ψέλλιον δὲ κοινῶς. καὶ ἔστι ψάλλιον ὁ κρίκος τοῦ χαλινοῦ, ἢ ἁπλῶς ὁ κρίκος.

ΑΡΧΗ ΤΟΥ Ω.

Ὠθῶ μὲν ἐνεργητικῶς τὸ κοινῶς λεγόμενον κουντῶ. ὠστίζονται δὲ παθητικῶς οἱ πρός τι σπεύδοντες ἐλθεῖν πολλοὶ ὄντες, καὶ ὑπ' ἀλλήλων ὠθούμενοι. Τὸ διωθεῖται παθητικῶς προφέρεται ἀττικῶς, καὶ δηλοῖ τὸ διακρούεται, καὶ παραγκωνίζεται, ᾧ παραπλήσιον τὸ παρωθεῖται. ἤτοι παρορᾷ καὶ περιφρονεῖ καὶ ὑπερβαίνει. Ἀπωθεῖται, ἤτοι ἀποπέμπει καὶ ἀποστρέφεται. Ἐξωθεῖται ἤτοι ἐκβάλλει, καὶ ἐξω-

ὄζειν ὄθεν καὶ ὀζώδης αὐτὴ μάλιστα. Ξηροῦσθαι ὄντοι συνελαύνει. καὶ παρ' ἀριστοφάνει ἐπὶ τῆς αὐτῆς σημασίας, τὸ, ὠστιζόμεθα ἀντὶ τοῦ συνελαυνόμεθα. Γρασωθεῖ ὄντοι εἰς τὸ ἔμπροσθεν κατὰ βίαν.

Ξ ὁ ὦ μετὰ τῆς κλητικῆς οὐδέποτε ὀξύνεται. εἰ καὶ ἔκπληξιν ὁ λόγος ἔχει, καὶ θαῦμα. οἷον ὦ ἡράκλεις, ὦ θαῦμα θαυμάτων. οὐ μόνον γὰρ τὸ ὦ ἐν τούτοις ἐμφαίνει τὴν ἔκπληξιν καὶ τὸ θαῦμα, ἀλλὰ μετὰ τῶν κλητικῶν. ὅτε δὲ ἐπάγεται γενική, τότε ἐξ ἀνάγκης ὀξύνεται. τότε γὰρ πάντως ἢ σχετλιαστικόν ἐστιν, οἷον ὢ τῆς ἐμῆς ἀθλιότητος. ἢ θαυμαστικόν. οἷον ὢ τοῦ ξένου μετάλλου. διὸ καὶ τὴν γενικὴν ἔχει ἐπαγομένην.

Ξ ὁ διὰ τοῦ ὠδῆς. μὲν πάντα πλὴν τῶν παρὰ τοὺς καὶ ὅλους, θερμώδων ποταμός, ὅτι μὴ δὲ παρὰ τὸ ὅλους, εἰ καὶ δοκεῖ τῇ προφορᾷ ὡς κτάδων.

Ξ ὁ εἰς ὦ μέγα πάντα ἔξω πόρρω. ἀλλόθεν καὶ ἀπὸ μακρὰ ἄπωθεν δὲ αὖθις. μεγάλης φωνῆς ἄπωθεν ὀρνίθων κωκυμένων.

Ω' ὧραι ἐφ' ἑκάστου τῶν τεσσάρων τμημάτων τοῦ χρόνου. ἤγουν ἔαρος. θέρους. καὶ τῶν λοιπῶν. Καὶ ὥρα ἡ εὐμορφία καὶ ἀπὸ μὲν τοῦ εἶναι, ὡραῖος ὁ εὐειδής. ἀπὸ δὲ τοῦ ὑστέρου ὡραῖος καρπός, ποιητικόν. ἤγουν ὁ ἐπὶ τῷ ἁρμόζοντι καιρῷ. Πρόωρος μὲν ὁ πρὸ τῆς ὥρας καὶ νεαρός. Ἔξωρος δὲ ὁ παρηβηκὼς καὶ γεραιός.

Ξ ὁ ὥς τε μετὰ ἀπαρεμφάτου συντάσσεται. οἷον ὥς τε γενέσθαι.

Ξ ὁ ὡς ἀντὶ τοῦ εἰς λαμβανόμενον, οὐδέποτε ἐπὶ ἀψύχων λαμβάνεται.

Ω' ὠνοῦμαι. ὠνήσομαι. ἐώνημαι ἐπριάμην.

Ξ ὁ ὡς οὐκ ἀντὶ τοῦ λίαν· ἀλλ' ἔχει τινὰ ἔμφασιν τούτου. καὶ θὲ γράφεται μετὰ ὑπερθετικοῦ, ὡς κάλλιστα. ὡς ὀξύτατα. ὑπερθετικοῦ γὰρ ὑπερθετικὸν οὐκ ἔστιν. οὕτω καὶ μετὰ τοῦ ὅτι, καὶ τοῦ ὅσον, τὰ ὑπερθετικὰ γράφεται πάντα.

Δ' τὸ τοῦ ὀφείλω ὤφειλον, καὶ ἐκβολῇ τοῦ ι ὤφελον. ὃ ἐξ ἀνάγκης γράφεται διὰ τοῦ ω μεγάλου, τάσσεται δὲ ἀεὶ μετὰ ἀπαρεμφάτου. λέγεται καὶ μετὰ τοῦ οὐ. οἷον οὐκ ὤφελον, καὶ μετὰ τοῦ ὡς μή, ἢ τοῦ οὐκ ἰσοδυναμοῦν. ἤγουν ὡς μὴ ὤφελον, ἢ οὐκ ὤφελον. ἤγουν ἐπεὶ ἐγένετο τόδε, ὡς οὐκ ὤφελον, γενέσθαι δηλονότι. συνυπακούεται γὰρ ἐξ ἀνάγκης τὸ ἀπαρέμφατον. καὶ ἐπεὶ παραγινόμενον ὡς μὴ ὤφελον, παραγενέσθαι δηλονότι. ἀφ' οὗ ὤφελες ἐπὶ δευτέρου, καὶ ὤφελε ἐπὶ τρίτου. λαμβάνεται δὲ ἀντὶ τοῦ εἴπερ τι. ὄφελον δὲ ἐπίρρημα ἀντὶ τοῦ εἴθε, διὰ τοῦ ο μικροῦ. καὶ συντάσσεται ἀεὶ μετὰ εὐκτικοῦ, ἢ μετὰ παρεληλυθότος χρόνου. λέγεται δὲ καὶ ἔστιν ὅτε καὶ μετὰ τοῦ ὡς οἷον ὡς ὄφελόν γε καὶ σὲ τῇ κενοδοξίᾳ συνεκρατοῦμεν.

τέλος.

a b c d e f g h i k l m n o p q r ſ t

A B C D E F G H I K L M N O P Q R S T V X.

Omnes quaterniones, excepto t duernione, & R ternione.

VENETIIS IN AEDIBVS ALDI,
ET ANDREAE ASVLANI
SOCERI, MENSE DE-
CEMBRI. M.D.
XXIIII.



ALDVS M. R.